00079850

THE
ASIATIC SOCIETY OF BOMBAY
Town Hall, Bombay.

Digitized with financial assistance from
Observer Research Foundation
on 17 May, 2019

79850

252

SUIDÆ LEXICON,

GRÆCE & LATINE.

TOMUS III.

00079850



ΣΟΥΙΔΑΣ.

Παγανοί.[1] ἀστράτευτοι. Συνέθεον δὲ γύναιά τε, καὶ οἱ ἐν στρατείᾳ, καὶ παγανοί.

Παγάς.[2] Δημοσθένης ἐν Φιλιππικοῖς. ἐπίνειόν ἐστι Φεραίων.

Πάγας. δίκτυα. παγίδας. Καὶ τοῦτο δήπου τὸ τοῦ Αἰσχύλου,[3] τοῖς ἑαυτοῦ πτεροῖς περιπεσὼν, καὶ ἐνσχεθεὶς ταῖς πάγαις, ἃς ἄλλοις[4] ὑφῆκε, τὰ ἐκ τοῦ νόμου δικαίως ἔπαθε.

Τεύχων[5] ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἥπατι τεύχει.

Παγασαί. πόλις.

Παγασιτικὸς κόλπος.

Πάγγαιον. ὄνομα ὄρους.

Παγῆναι. πηγῆναι.

Παγκάλης. πάνυ καλῆς. πάγκαλος δέ.

Παγκρατιασταῖς. ἀθληταῖς. πύκταις. τοῖς χερσὶ καὶ ποσὶ πυκτομαχοῦσιν.

Παγκράτιον. πυγμή. ἀγών. πάλη. ἄθλησις.

Παγκράτιος, σοφιστής. εἰς τὴν Μινουκιανοῦ τέχνην ὑπόμνημα.

Παγκράτιος. τούτου φέρονται Ὀψαρτυτικὰ, καθ᾽

Παγανοί. Pagani. Qui non militant. *Concurrebant autē & mulierculæ, & milites, & pagani.*

Παγάς. Pagas. Demoſthenes in *Philippicis.* Eſt navale Pheræorum.

Πάγας. Retia. Laqueos. *Et ſecundum dictum illud Æſchyli, ipſe pennis ſuis captus, & irretitus laqueis, quos aliis tetenderat, legitimas pœnas merito dedit. Nam qui alteri malum ſtruit, ipſe id hepati ſuo parat.*

Παγασαί. Pagaſæ. Urbs.

Παγασιτικὸς κόλπος. Pagaſiticus ſinus.

Πάγγαιον. Pangæum. Nomen montis.

Παγῆναι. Fixum, compactum, denſatum eſſe. Pro eo etiam dicitur πηγῆναι.

Παγκάλης. Valde formoſæ. Et πάγκαλος, valde formoſus.

Παγκρατιασταῖς. Pancratiaſtis. Id eſt, athletis, ſive pugilibus, qui manibus & pedibus pugnant.

Παγκράτιον. Pancratium. Pugilatus. Lucta. Certamen.

Παγκράτιος. Pancratius. Sophiſta. [Scripſit] commentarium in Minuciani Artem [Rhetoricam.]

Παγκράτιος. Pancratius. Hujus feruntur

NOTÆ.

1 Παγανοί] Plura de hac voce vide apud Dufrenium in Gloſſario Græco.

2 Παγάς] Imo Παγασαί. Vide Harpocrationem, ex quo Suidas.

3 Τοῖς ἑαυτοῦ πτεροῖς ἁλίσκεται.] De hoc proverbio vide nos ſupra ad v. Οὐχ ὑπ᾽ ἄλλων.

4 Ὑφῆκε] Gatakerus in *Adverſar. Poſthum.* c. XII. p. 539. legendum cenſet, ὕφηνε. i. e. contexuit, ad quam emendationem confirmandam adducit illud Theodoreti Dialog. cap. XXIV. Ἑάλως, οἷς ὕφηνας, ἄρκυσι. *Captus es eis, quos ipſe contexueras, retibus.* Sane τὸ ὕφηνε melius loco huic quadrare mihi videtur, quam ὑφῆκε, & ideo emendationem viri doctiſſimi probo.

5 Τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κτλ.] Secundum Euſtath. ad Il. Ε. pag. 522. ſententiæ hujus auctor fuit Heſiodus: poſt quem eadem uſum fuiſſe dicit Callimachum. Ait enim: Τὸ δὲ, οἷ᾽ αὐτῷ, ὥσπερ γέγονε γνωμικὸν πρῶτον μὲν Ἡσιόδῳ, εἶτα καὶ Καλλιμάχῳ, τῷ εἰπόντι, ὡς ὁ τεύχων ἑτέρῳ κακὸν, ἑῷ ἤπατι τεύχει. Sed verſus iſte non tam eſt Heſiodi, quam expreſſus ex Ἔργων 265.

Οἷ᾽ αὐτῷ κακὰ τεύχει ἀνὴρ, ἄλλῳ κακὰ τεύχων.

Hunc enim locum in animo habuiſſe puto ſcriptores, qui ſententiæ ante dictæ auctorem faciunt Heſiodum. Cæterum, verſu a Suida hic citato uſus eſt Lucilius *Anthol.* lib. II. cap. XXV. eundemque abſque auctoris nomine citat Ælianus *Var. Hiſt.* lib. VIII. cap. IX. (ad quem locum vide eruditiſſimum Perizonium) & Pauſan. lib. II. cap. IX.

ἰκάστην προσπίν. ἤκμαζεν ἐπὶ τῶν χρόνων Λέοντος τοῦ πρεσβύτου, καὶ ἕως Ζήνωνος.

Πάγκοινος. ἡ λίμνη ἡ τοῦ ᾅδου.

> Ἀλλ' [1] οὔτοι τόνγ' ἐξ ἀΐδα
> Παγκοίνου λίμνας ἀνα-
> στάσεις, οὔτε γόοισιν, οὔτε λιταῖς.

Πάγκοινον. εἰς ἣν ἅπαντας ἀφικέσθαι δεῖ. ὁ δὲ νοῦς· Οὔτε ὀδυρομένη, οὔτε παρακαλοῦσα τοὺς Θεοὺς, τοῦτον ἀναστήσεις. Ὁμηρικῶς·

> Οὐ [2] γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.

Καὶ Αἰσχύλος·

> Μόνος Θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ.
> Οὐ δέχεται γλυκερᾶς μέρος ἐλπίδος.

Πάγον εὐτειχῆ. ἐν ὄρει τετειχισμένον.

Πάγοι. [3] αἱ ἐξοχαὶ τῶν ὀρῶν καὶ τῶν πετρῶν.

> Αὔλια, [4] καὶ Νυμφῶν ἱερὸς πάγος, αἵ θ' ὑπὸ πέτρῃ
> Πίδακες, ἥ θ' ὕδασιν γειτονέουσα πίτυς.

Παγχενίτις. ὄνομα χώρας.

Πάγχυ. παντελῶς.

Πάδος. ὄνομα ποταμοῦ, τοῦ παρ' Ἕλλησιν Ἠριδανοῦ ὀνομαζομένου.

Πάθας. πάθη. ξυμφοράς. Ὁ δὲ ἐπῆγε τήν τε ἀποστέρησιν τῶν χρημάτων, καὶ τὴν καταδίκην, καὶ μέν τοι καὶ τὰς προτέρας αὐτοῦ τὰς ἀδίκους πάθας. πάθας θηλυκῶς. [5] Σοφοκλῆς·

> Καὶ τὰς μὲν ἔνδον οὐκ ἔχω φράζειν πάθας.

Πάθαι. αἱ συμφοραί. Οἰδίπους·

> Στέργειν [6] γὰρ αἱ πάθαι με, χὠ χρόνος ξυνὼν
> Μακρὸς διδάσκει, καὶ τὸ γενναῖον, τρίτον.

Στέργειν τὰ δυστυχήματα ὁ πολὺς ἐποίησε χρόνος, καὶ τὸ τῶν συμφορῶν ἐποίησε πλῆθος, καὶ τὸ τῆς ἀνδρείας πλεονέκτημα.

Πάθη. ἡ κάκωσις. Ἀκόλουθον σφίσι πάθην ἐπηρτημένην ὁρῶντα, ἣν λαθεῖν ἀδύνατον. καὶ αὖθις· Καὶ ἄλλας μυρίας εἴποιμι ἂν δίκης ἀμελουμένης ἀκόλουθα πάθας.

Πάθη. θηλυκὸν, τὸ πάθος. Οἷαι γὰρ αἱ πάθαι τῆς ψυχῆς κατὰ τὴν θέαν, τοιαύτας καὶ τὰς ἀποβάσεις εἶναι ἀνάγκη.

Πάθη [7] δύο· πόνος, καὶ ἡδονή. καὶ ἡ μὲν ἡδονὴ, λεία κίνησις· ὁ δὲ πόνος, τραχεῖα κίνησις. καὶ ἡ μὲν ἡδονὴ, εὐδοκητὴ πᾶσι ζώοις· ὁ δὲ πόνος, ἀποκρουστικός.

Παθηζίτης. ὄνομα κύριον.

Πάθος λέξεως ὁμωνυμία· ὡς κύων. μεταφορά·

Opſartytica: in quibus varios artis culinariæ modos tradit. Floruit tempore Leonis ſenioris, uſque ad Zenonem.

Πάγκοινος. Omnibus communis. Sic dicitur palus apud Inferos. [Sophocles:] *Sed nec lacrymis nec precibus eum a palude Orci, omnibus mortalibus communi, revocabis.* Πάγκοινον. Id eſt, eam, in quam omnes homines venire oportet. Senſus igitur eſt: Nec lugendo, nec Deos obteſtando, hunc a mortuis excitabis. [Dictum autem hoc eſt] ſecundum illud Homericum: *Triſti enim luctu nihil omnino proficitur.* Et Æſchylus inquit: *Sola enim Mors inter Deos non amat munera.* [Et alius de morte inquit:] *Nemini gratiam aliquam ab ea ſperare licet.*

Πάγον εὐτειχῆ. Collem munitum. Locum in monte muro cinctum.

Πάγοι. Montium & rupium cacumina. [In Epigrammate:] *Antra, & Nympharum ſacra rupes, quique ſub rupe ſunt fontes, & aquis vicina pinus.*

Παγχενίτης. Panchenitis. Nomen regionis.

Πάγχυ. Prorſus. Omnino.

Πάδος. Padus. Nomen fluvii, qui apud Græcos Eridanus vocatur.

Πάθας. Pro πάθη. Calamitates. Mala. *Ille vero in memoriam ei revocavit & jacturam pecuniæ, & mulctam ſibi irrogatam, & priora etiam mala injuſte ſibi inflicta.* Πάθας hic dictum eſt genere fœminino, [pro πάθη.] Sophocles: *Et domeſtica quidem mala dicere non poſſum.*

Πάθαι. Calamitates. Mala. Oedipus [apud Sophoclem inquit:] *Acquieſcere enim in præſenti fortuna & calamitates me docuerunt, & longum tempus, & præter hæc animus generoſus.* Vel, ut res adverſas æquo animo feram, & longitudo temporis, & calamitatum multitudo, & animi generoſitas effecerunt.

Πάθη. Calamitas. Malum. *Cum videam malum ipſis imminere, quod neminem latere poteſt.* Et iterum: *Et infinita alia mala dicere poſſim, quæ neglectam juſtitiam conſequi ſolent.*

Πάθη. Eſt fœmininum, pro πάθος. *Quales enim affectiones animæ in vultu apparent, tales etiam earum exitus eſſe neceſſe eſt.*

Πάθη δύο. Duæ ſunt affectiones animi, dolor & voluptas. Et voluptas quidem eſt ſuavis motus: dolor vero, aſper motus. Et voluptas omnibus animalibus grata eſt: dolorem vero eadem aſpernantur.

Παθηζίτης. Pathezites. Nomen proprium.

Πάθος λέξ. Affectio dictionis eſt Homonymia,

1 Ἀλλ' οὔτοι τόν γ' ἐξ ἀΐδ.] Hæc ſunt verba Sophoclis *Electra* p. 87. ut Portus monuit. Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

2 Οὐ γάρ τις πρ.] Eſt verſus Homericus Il. Ω. v. 524.

3 Πάγοι. αἱ ἐξοχαὶ τῶν ὀρ.] Hinc Athenis Ἄρειος πάγος dicebatur collis, vel rupes Martis; & in Elide Κρόνιος πάγος, rupes Saturnia, cujus meminit Pindarus *Olymp.* Od. x. Vulgus interpretum Latinorum τὸ πάγος plerumque reddit *pagus*, vel *vicus*: omnino male. Aliud enim prorſus ſignificat πάγος apud Græcos, & *pagus* apud Latinos; nec voces illæ quicquam commune habent, præter ſonum. Vide Holſtenium ad Stephanum v. Ἄρειος πάγος.

4 Αὔλια, καὶ Νυμφῶν ἱερ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum exſtat Anthol. lib. 1. cap. 111. ut Portus etiam obſervaverat.

5 Σοφοκλῆς] *Ajace*, pag. 19. ut Portus monuit. Sed ibi hodie ſic legitur,

> Καὶ τὰς ἐκεῖ μὲν οὐκ ἔχω λέγειν τύχας.

6 Στέργειν γὰρ αἱ π.] Duo hi ſenarii Jambici leguntur apud Sophoclem *Oedip. Tyran.* pag. 270. ut Portus itidem obſervavit.

7 Πάθη δύο· πόνος καὶ ἡδονή. καὶ ἡ μὲν ἡδ.] Hæc ſunt verba Laertii in *Ariſtippo*, ſegm. LXXXVI.

ὡς πτηνὸς ἢ γῆ. κατάχρησις ἐντεῦθεν, καὶ ἡ ἀσάφεια.

ut, Canis. Metaphora, ut, Nutrix tellus. Hinc oritur Catachreſis & obſcuritas.

Πάθος. ὅτι τὸ τοῦ πάθους ὄνομα διχῶς λέγεται. ἢ γὰρ τὸ εἰς φθορὰν ἄγον, ἢ εἰς τελείωσιν. λέγεται γὰρ πάσχειν τὸ ξύλον ὑπὸ τοῦ πυρὸς, ὡς εἰς φθορὰν ἀγόμενον. λέγεται δὲ πάσχειν καὶ τὰς αἰσθήσεις ὑπὸ τῶν αἰσθητῶν, ἀντὶ τοῦ, τελειοῦσθαι, καὶ ἐκ δυνάμεως εἰς ἐνέργειαν ἄγεσθαι. † [1]Ὅτι ἐκ τῶν παθῶν τοῦ σώματος διαβαίνει τι πρὸς τὴν ψυχὴν, (ἀλγοῦντι γὰρ συναλγεῖ, καὶ εὐθυμοῦντι συνήδεται) καὶ ἐμποδίζει αὐτῇ τὸ σῶμα τοίως ἢ τοίως διακείμενον, οὐδεὶς ἀγνοεῖ. ὅπερ οὐκ ἂν ἐγένετο, εἰ μὴ διέβαινεν ἀπὸ τῆς πρὸς αὐτὸ σχέσεως συμπάθειά τις ἐπὶ τὴν ψυχὴν, οὕτως, ὡς τῆς κοιλίας τοῦ ἐγκεφάλου τῆς ὄπισθεν παθούσης, τὸ μνημονευτικὸν πάσχειν. † Περὶ παθῶν. Τῆς [2]ψυχῆς μέρη τὰ πέντε αἰσθητήρια, καὶ τὸ φωνητικὸν μόριον, καὶ τὸ διανοητικόν· ὅπερ [3]ἐστὶν ἡ διάνοια. ἐκ δὲ τῶν ψευδῶν ἐπιγίνεσθαι τὴν διαστροφὴν ἐπὶ τὴν διάνοιαν, ἀφ' ἧς πολλὰ πάθη βλαστάνειν, καὶ ἀκαταστασίας αἴτια. ἔστι δὲ αὐτὸ τὸ πάθος, ἡ ἄλογος καὶ παρὰ φύσιν ψυχῆς κίνησις, ἢ ὁρμὴ πλεονάζουσα. τῶν δὲ παθῶν τὰ ἀνωτάτω γένη τέσσαρα, λύπη, φόβος, ἐπιθυμία, ἡδονή. δοκεῖ δὲ τὰ πάθη κρίσεις εἶναι. ἥ τε γὰρ φιλαργυρία ὑπόληψίς ἐστι τοῦ τὸ ἀργύριον καλὸν εἶναι. καὶ ἡ μέθη δὲ, καὶ ἡ ἀκολασία ὁμοίως, καὶ τὰ ἄλλα. καὶ τὴν μὲν λύπην εἶναι συστολὴν ἄλογον. εἴδη δὲ αὐτῆς, ἔλεος, φθόνος, ζῆλος, ζηλοτυπία, ἄχθος, ἐνόχλησις, ἀνία, ὀδύνη, σύγχυσις. [4]ἔλεον μὲν, ὡς ἐπὶ ἀναξίως κακοπαθοῦντι. φθόνον δὲ, λύπην ἐπ' ἀλλοτρίοις ἀγαθοῖς. ζῆλον δὲ, λύπην [5]ἐπὶ τῷ ἄλλῳ παρεῖναι, ὧν καὶ αὐτὸς ἔχει. ἄχθος, λύπην βαρύνουσαν. ἐνόχλησιν, λύπην στενοχωροῦσαν, καὶ δυσχωρίαν παρασκευάζουσαν. ἀνίαν, λύπην ἐκ διαλογισμῶν μένουσαν, ἢ ἐπιτεινομένην. [6]ὀδύνην, λύπην ἐπίπονον. σύγχυσιν, λύπην ἄλογον, [7]ἀποκλείουσαν καὶ κωλύουσαν τὰ παρόντα συνορᾶν. † Ἡ [8]ἀθανασία τῆς ζωῆς πάθος ἐστὶν, ἢ σύμπτωμά τι. ὅτι δὲ πάθος ἢ σύμπτωμά τι ἡ ἀθανασία τῆς ζωῆς, δειχθήσεται ἐπὶ ὑποθέσει, τῇ ἐκ θνητοῦ ἀθάνατον γίγνεσθαι. οὐ γὰρ μεταλήψει ἄλλης ζωῆς ἀθάνατον ἔσται τὸ θνητὸν, ἀλλ' ὡς συμπτώματί τινι καὶ πάθει. ἡ γὰρ αὐτὴ ζωὴ παθοῦσα, ἀθανασία ἐστιν. εἰ δὲ [9]πάθους αἰτία ἡ ζωὴ ἀθανασία γίνεται, εἴη ἂν [10]πάθος ἡ ζωὴ τῆς ἀθανασίας. εἰ οὖν τοῦ πάθους τοῦ ἰδίου τὸ πεπονθὸς οὐκ ἔστι γένος (σύμπτωμά τι γὰρ καὶ συμβεβηκὸς τὸ πάθος τοῦ πεπονθότος, ἀλλ' οὐκ εἶδος) οὐδ' ἂν τῆς ἀθανασίας γένος εἴη ἡ ζωή. οὐδὲ

Πάθος. Affectio. Perturbatio. Nomen πάθος duplici ſenſu accipitur. Vel enim ſic vocatur id, quod [ſubjectum] deſtruit, vel quod idem perficit. Lignum enim ab igne pati dicitur, utpote quod ab eo deſtruitur. Senſus etiam a ſenſilibus affici dicuntur: id eſt, perfici, & a facultate ad actionem perduci. † Ex corporis affectionibus aliquid ad animum tranſit. Corpore enim dolente, & animus ſimul dolet, &, cum voluptatem idem percipit, una lætatur. Jam corpus aliter atque aliter affectum animo eſſe impedimento, nullus ignorat. Quod profecto non accideret, niſi propter mutuum, quod inter ea intercedit, vinculum, anima eorum, quæ corpus afficiunt, particeps eſſet. Hinc cum poſterior ventriculus cerebri læſus eſt, læditur & vis memoriæ. † De affectibus, ſeu perturbationibus animi. Partes animæ ſunt, quinque ſenſuum inſtrumenta; itemque inſtrumentum vocis, & facultas cogitandi, [& vis generandi.] Ex falſis vero oriri perverſionem mentis, & ex ea complures pullulare perturbationes, & turbidorum motuum cauſas [*Stoici* ajunt.] Eſt autem πάθος, a ratione averſa & contra naturam animi commotio, vel appetitus vehementior. Perturbationum autem ſumma genera ſunt quatuor, ægritudo, metus, libido, voluptas. Statuunt etiam [Stoici,] perturbationes eſſe judicia quædam. Nam avaritia eſt opinio de pecunia, eam bonam eſſe: eademque eſt ratio ebrietatis, & intemperantiæ, & aliorum vitiorum. Ægritudinem autem definiunt, contractionem animi rationi adverſantem. Ejus ſpecies ſunt, miſericordia, invidia, æmulatio, obtrectatio, angor, afflictatio, ſolicitudo, dolor, conturbatio. Et miſericordia quidem eſt ægritudo, qua miſeramur aliquem, qui immerito mala nobis pati videtur. Invidia eſt ægritudo propter alterius res ſecundas ſuſcepta. Æmulatio eſt ægritudo, ſi eo, quod ipſe quis concupierit, alter potiatur. Angor, eſt ægritudo premens. Afflictatio, ægritudo vexans, difficultatemque afferens. Solicitudo, ægritudo e cogitatione manens, vel quæ intenditur. Dolor, ægritudo laborioſa. Conturbatio, ægritudo a ratione averſa, & impediens, quo minus præſentia conſpiciamus. † Immortalitas eſt vitæ affectio, vel accidens quoddam. Eſſe autem immortalitatem vitæ affectionem vel accidens, demonſtrabitur ex hypotheſi illa, quod homo ex mortali fiat immortalis. Non enim per participationem alterius vitæ id, quod eſt

1 Ὅτι ἐκ τῶν παθῶν τοῦ σώματος διαβ.———— τὸ μνημονευτικὸν πάσχειν] Hæc ſunt verba Philoponi in lib. 1. Ariſtotelis *de Anima*, E. 4. a. Vide etiam Noſtrum ſupra v. Διάθεσις, ubi hic ipſe locus auctior legitur.

2 Τῆς ψυχῆς μέρη τὰ πέντε αἰσθητ.————κωλύουσαν τὰ παρόντα συνορᾶν] Hæc omnia ſunt verba Laertii lib. VII. ſegm. CX. ubi vide Menagium.

3 Ὅπερ ἐστὶν ἡ διάνοια] Poſt hæc verba ex Laertio adde, καὶ τὸ σπερματικόν.

4 Ἔλεον μὲν, ὡς ἐπὶ ἀναξ.] Supple ex Laertio, ἔλεον μὲν οὖν εἶναι λύπην, ὡς ἐπὶ &c.

5 Ἐπὶ τῷ ἄλλῳ παρεῖναι, ὧν καὶ αὐτὸς ἔχει] Locus hic peſſime mutilatus eſt, qui ex Laertio ſic ſuppleri debet: Ἐπὶ τῷ ἄλλῳ παρεῖναι, ὧν αὐτὸς ἐπιθυμεῖ. ζηλοτυπίαν δὲ, λύπην ἐπὶ τῷ ἄλλῳ παρεῖναι, ἃ καὶ αὐτὸς ἔχει. Vide ad eum locum interpretes.

6 Ὀδύνην] Vox hæc ex prioribus Editt. excidit, quam ex MSS. Pariſ. & Laertio revocavi.

7 Ἀποκλείουσαν] Laertius habet ἀποκναίουσαν.

8 Ἡ ἀθανασία τῆς ζωῆς πάθος ἐστὶν, ἢ σύμπτωμά τι. ὅτι δὲ πάθ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrodiſienſis in *Topicorum* lib. IV. pag. 177. 178.

9 Πάθους αἰτία] Scribendum eſt ex Aphrodiſienſi, παθοῦσα.

10 Πάθος ἡ ζωὴ τῆς ἀθανασίας] Imo, πάθος τῆς ζωῆς ἡ ἀθανασία, ut recte habet Alexander Aphrod. loco laudato.

γὰρ γλυκύτητός τὸ σῶμα γένος, οὐδὲ ἡδονῆς ἢ λύπης ἡ ψυχή.

mortale, fit immortale, ſed per affectionem & accidens quoddam. Nam eadem vita, certo modo affecta, eſt immortalitas. Si autem vita certo modo affecta ſit immortalitas; immortalitas utique vitæ affectio erit. Si igitur affectionis propriæ id, quod patitur, genus non eſt (affectio enim eſt accidens ejus, quod patitur, non vero ſpecies) neque vita immortalitatis genus erit. Neque enim dulcedinis genus eſt corpus, neque voluptatis & doloris anima.

Πάθωμεν. αὐθυπότακτον.

Πάθωμεν. Subjunctivi modi. Patiamur.

Πάκατος,[1] ὁ Μινούκιος χρηματίσας, καὶ Εἰρηναῖος, Ἀλεξανδρεύς, γραμματικός. Περὶ τῆς Ἀλεξανδρέων διαλέκτου, ἢ περὶ ἑλληνισμοῦ, βιβλία ζ΄. ἔστι δὲ κατὰ στοιχεῖον. Περὶ Ἀττικῆς συνηθείας, τῆς ἐν λέξει καὶ προσῳδίᾳ, βιβλία γ΄. ἔστι δὲ κατὰ στοιχεῖον. Περὶ ἰδιωμάτων τῆς Ἀττικῆς καὶ τῆς Δωρίδος διαλέκτου. Περὶ Ἀττικισμοῦ· καὶ ἄλλα πολλά.

Πάκατος. Pacatus, qui Minucius vocabatur, & Irenæus, Alexandrinus, Grammaticus. Scripſit de Alexandrinorum dialecto, ſive de Græciſmo, libros VII. ordine alphabetico. De uſu Atticorum, tam in dictione, quam proſodia, libros III. ordine alphabetico. De proprietatibus Atticæ & Doricæ dialecti. De Atticiſmo: & alia multa.

Πάκορος. ὄνομα κύριον. Τῇ[2] τε γὰρ Κράσσου καὶ τῶν ἀμφ' αὐτὸν φθορᾷ ἀντίρροπον γενέσθαι τὴν Πακόρου καὶ τῶν ξὺν αὐτῷ δυνάμεως ἀπώλειαν.

Πάκορος. Pacorus. Nomen proprium. *Nam Craſſi & ipſius legionum cladi parem fuiſſe Pacori & copiarum ejus ſtragem.*

Πακτοῦν. κλείειν. ἀσφαλίζεσθαι. Μοχλοῖσι γὰρ τὰ προπύλαια πακτοῦν.[3] Ἀριστοφάνης Λυσιστράτῃ.

Πακτοῦν. Claudere. Obſerare. Munire. *Repagulis autem & clauſtris veſtibula obſerare.* Ariſtophanes *Lyſiſtrata.*

Πακτωλός. ὄνομα ποταμοῦ.

Πακτωλός. Pactolus. Nomen fluvii.

Πακτυκή. ὄνομα πόλεως. καὶ Πακτυή.

Πακτυκή. Pactycne. Nomen urbis. Vel Pactyne.

Παλλάδιον.[4] τοῦτο ἦν ζῴδιον μικρὸν ξύλινον, ὃ ἔλεγον εἶναι τετελεσμένον, φυλάττον τὴν βασιλείαν τῆς Τροίας. ἐδόθη δὲ Τρωῒ τῷ βασιλεῖ, κτίζοντι τὴν πόλιν, ὑπὸ Ἀσίου τινὸς φιλοσόφου καὶ τελεστοῦ. διὸ δὴ εἰς τιμὴν Ἀσίου τὴν ὑπ' αὐτοῦ βασιλευομένην χώραν, πρότερον Ἤπειρον λεγομένην, Ἀσίαν ἐκάλεσεν. οἱ δὲ ποιητικῶς γράψαντες, ἐκ τοῦ ἀέρος εἶπον τὸ Παλλάδιον τοῦτο κατενεχθῆναι τῷ Τρωῒ βασιλεύοντι Φρυγῶν. τοῦτο Διομήδης καὶ Ὀδυσσεύς, ὅτε τὴν πρεσβείαν ἐποιήσαντο πρὸς Πρίαμον, ἐκ τοῦ ἱεροῦ ἐσύλησαν, προδεδωκυίας αὐτὸ Θεανοῦς, τῆς τοῦ Ἀντήνορος γυναικός, ἱερείας τυγχανούσης, καὶ φυλαττούσης αὐτό. ἦσαν γὰρ καὶ ἀπὸ χρησμοῦ Ἀντήνορος μαθόντες, ὅτι ἕως οὗ μένει τὸ Παλλάδιον ἐν τῇ Τροίᾳ, ἀσάλευτος ἔσται ἡ βασιλεία τῶν Φρυγῶν. πολλὴ τοίνυν μεταξὺ Αἴαντος καὶ Ὀδυσσέως ἐκινήθη ἔρις, τίς τοῦτο εἰς τὴν ἰδίαν ἀπενέγκοι πατρίδα, δικαζόντων αὐτοῖς τῶν ἄλλων βασιλέων καὶ προμάχων. πολλῶν τοίνυν μεταξὺ λόγων κινηθέντων, καὶ γενομένης ὀψίας, ἔδοξεν αὐτοῖς παραθέσθαι τὸ βρέτας Διομήδει, μέχρις ἂν γένηται πρωΐ. καὶ τούτου γενομένου, διὰ τῆς νυκτὸς εὑρέθη ὁ Αἴας ἐσφαγμένος ἀδήλως. ὑπενόουν δὲ δολοφονεῦσαι αὐτὸν τὸν Ὀδυσσέα. καὶ φιλονεικήσαντες πρὸς ἀλλήλους, ἀπέπλευσαν.

Παλλάδιον. Palladium parvum ſignum ligneum fuit, magice, ut ajunt, conſecratum, quod regni Trojani tutela credebatur. Datum id autem fuit Troi Regi, cum urbem conderet, ab Aſio quodam philoſopho, artis magicæ perito. Quamobrem etiam in Aſii honorem, regionem imperio ipſius ſubjectam, quæ antea Epirus vocabatur, Aſiam appellavit. Poetæ vero, qui hac de re ſcripſerunt, Palladium cœlitus ad Troem Regem Phrygiæ delapſum fuiſſe fingunt. Hoc Diomedes & Ulyſſes, legati ad Priamum miſſi, ex templo ſurripuerunt, prodente id Theanone, Antenoris uxore, quæ templi ſacerdos erat, ejuſque cuſtodiæ præfecta. Ex oraculo enim cognoverant, Phrygum regnum incolume fore, dum Palladium Trojæ maneret. Poſtea igitur inter Ajacem & Ulyſſem ingens contentio exorta eſt, ab utro Palladium in patriam deportandum eſſet, aliis Regibus & ducibus de hac controverſia ſedentibus arbitris. Cum igitur multis utrinque verbis res acta eſſet, & veſperaſcere cœpiſſet, viſum eſt judicibus ſimulacrum apud Diomedem deponere, donec diluxiſſet. Quod cum eſſet factum, inventus eſt Ajax noctu clam interfectus: ſuſpicantibus omnibus, eum dolo ab Ulyſſe fuiſſe occiſum. Atque ita inter ſe altercati, e portu ſolverunt.

Παλλάδιος, Παλλαδίου, Μεθωναῖος, σοφιστής. γέγονε δὲ ἐπὶ Κωνσταντίνου τοῦ βασιλέως. Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν. Διαλέξεις. Λόγους διαφόρους, Ὀ-

Παλλάδιος. Palladius, Palladii F. Methonæus, Sophiſta, qui vixit ſub Conſtantino Imperatore. Scripſit de Romanorum feſtis.

1 Πάκατος, ὁ Μινούκιος χρηματίσας, καὶ Εἰρηναῖος.] Vide nos ſupra ad v. Εἰρηναῖος. ubi eadem leguntur.

2 Τῇ τε γὰρ Κράσσου καὶ τῶν ἀμφ.] Idem fragmentum legitur etiam ſupra v. Ἀντίρροπον.

3 Ἀριστοφάνης Λυσιστράτῃ] Pag. 852. (547. Ed. Baſ. P.) ubi ſic legitur:

Μοχλοῖσι δὲ καὶ κλῄθροισι
Τὰ προπύλαια πακτοῦν.

4 Παλλάδιον. τοῦτο ἦν ζῴδιον μικρὸν ξύλ.] Eadem de Palladio narrant Cedrenus, pag. 130. 131. Joannes Malalas, pag. 137. 138. & Joannes Antiochenus apud Tzetzem in commentario ad Lycophronem, quos confer.

λυμπακὸν, Πανηγυρικὸν, Δικανικόν.]

Παλλαδίων[1] χρυσωμένων. ἐν ταῖς πρώραις τῶν τριήρων οἱ Ἀθηναῖοι ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθίδρυον, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν.

Παλάθαι. μάζαι σύκων. καὶ [2] παλαθίων, τῶν πεπατημένων ἰσχάδων. [3] παλάθαι δὲ καὶ εἶδος βοτάνης.

Παλάθαι. καὶ τὰ ἐκ [4] τρυγὸς πλάσματα. ἢ ἡ ἐπάλληλος θέσις τῶν σύκων.

Παλλακή. καὶ παλλακὶς δέ.

Παλάμαι. αἱ τέχναι. αἱ χεῖρες. Ὦ παλάμαι θνητῶν, ὦ δύστηνα γένη βροτῶν, οἷσι μὴ μέτριος αἰὼν ὄντος, καὶ ἑξῆς.

Παλαμᾶσθαι. τεχνάζεσθαι. καὶ παλαμάσθω.

Πρὸς[5] ταῦθ' ὅτι χρὴ καὶ παλαμάσθω,
Καὶ πᾶν ἐπ' ἐμοὶ τεκταινέσθω.
Τὸ γὰρ εὖ μετ' ἐμοῦ καὶ τὸ δίκαιον
Ξύμμαχον ἔσται. καὶ οὐ μήποθ' ἁλῶ
Κακὰ πράσσων. ———

Καὶ αὖθις· Ὁποῖα παλαμᾶται. ἀντὶ τοῦ, τεχνάζεται. καὶ ἀπάλαμος [6] παρ' Ὁμήρῳ, ὁ ἄτεχνος.

Παλάμη. ἡ τέχνη. [7] Ἡρόδοτος· Ἔλεγέ σφιν, ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τοὺς βασιλέως συμμάχων ἀποστήσειν τοὺς κρείττους. [8] παλάμη οὖν, τῇ ἀρχῇ.

Παλαμήδειος λόγος. ὁ τοῦ Παλαμήδους.

Παλαμήδης, Ἐλεάτης, γραμματικός. [9] Κωμικὴν καὶ τραγικὴν λέξιν. Ὀνοματολόγον. Ὑπόμνημα εἰς Πίνδαρον τὸν ποιητήν.

Παλαμήδης, Ναυπλίου καὶ Κλιμένης, Ἀργεῖος, ἐποποιός. ἦν δὲ οὗτος ἀνεψιὸς τοῦ βασιλέως Ἀγαμέμνονος πρὸς μητρός. εἶχε δὲ εὐφυῶς πρός τε φιλοσοφίαν καὶ ποιητικὴν, καὶ [10] εὑρετὴς γέγονε τοῦ Ζ στοιχείου, [11] καὶ τοῦ Π, καὶ τοῦ Φ, καὶ τοῦ Χ, ψήφων τε, [12] καὶ πεσσῶν, καὶ κύβων, καὶ μέτρων, καὶ σταθμῶν. τὰ δὲ ποιήματα αὐτοῦ ἠφανίσθη ὑπὸ τῶν Ἀγαμέμνονος ἀπογόνων διὰ βασκανίαν. [13] Ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι, [14] καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην ποιήσασθαι. † Ἡ-

Diſputationes. Orationes diverſas, ut Olympiacam, Panegyricam, Judicialem.

Παλλαδίων χρ. Palladiorum auratorum. In triremium proris Athenienſes lignea quædam ſimulacra Minervæ collocare ſolebant, quorum curam gerebant, navigationem ſuſcepturi.

Παλάθαι. Ficuum maſſæ. Et παλαθίων, caricarum in maſſam compactarum. Παλάθη vero eſt etiam genus herbæ.

Παλάθαι. Sic etiam vocantur placentæ ex caſeo formatæ. Vel, ficuum compactarum maſſa.

Παλλακὴ, & παλλακίς. Pellex. Concubina.

Παλάμαι. Artes. Manus. Conatus. *O conatus hominum! O infelix genus mortalium! quibus ne mediocre quidem eſt ævum*, &c.

Παλαμᾶσθαι. Machinari. Moliri. Conari. Et παλαμάσθω. Moliatur. [Ariſtophanes:] *Adverſus hæc Cleon quidvis machinetur, & nullas non technas contra me excogitet. Æquum enim & juſtum a meis ſtabunt partibus, nec unquam in malo aliquo facinore deprehendar.* Et iterum: *Qualia machinatur.* Et ἀπάλαμος apud Homerum, iners, ſive qui nihil machinari poteſt.

Παλάμη. Ars. Techna. Ratio rei alicujus peragendæ. Herodotus: *Dixit ipſis, ſe rationem quandam reperiſſe, qua ſe effecturum ſperaret, ut fortiſſimi quique ſocii a Rege deficerent.*

Παλαμήδειος λόγος. Palamedis oratio.

Παλαμήδης. Palamedes, Eleates, Grammaticus. Scripſit de Comica & Tragica dictione. Nomenclatorem. Commentarium in poetam Pindarum.

Παλαμήδης. Palamedes, Nauplii & Climenes F. Argivus, poeta Epicus, & conſobrinus Regis Agamemnonis; qui non minus philoſophus fuit acutus, quam poeta ingenioſus. Idem inventor fuit literarum, Z, Π, Φ, & X, itemque calculorum, & teſſerarum, & aleæ, & menſurarum, & ponderum. Poemata ejus Agamemnonis poſteri ex invidia aboleverunt. Exiſtimo autem & poetam Homerum, quod eadem invidia laboraret, nullam ejus viri mencionem feciſſe. † Carmina Palamedis propter invidiam ab Homero abolita ſunt.

1 Παλλαδίων χρυσωμένων. ἐν ταῖς πρ.] Ariſtophanes *Acharnenſibus* pag. 396.

Μισθοῦ διδομένου, Παλλαδίων χρυσωμένων.

Scholiaſta ad illum locum: Παλλάδια ἐν ταῖς πρώραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Hinc Suidas ſua deſcripſit.

2 Παλαθίων. τῶν πεπατημ.] Ex Scholiaſta Ariſtophanis ad *Pacem*, pag. 664. ſed apud quem pro παλαθίων legitur παλλασίων; minus recte, ut puto.

3 Παλάθαι] Scribe παλάθη, ut habet Scholiaſta Ariſtophanis loco laudato.

4 Τρυγὸς] An potius τυροῦ? Τὸ τρυγὸς enim ſuſpectum mihi eſt.

5 Πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλ.] Hæc ſunt verba Ariſtophanis *Acharnenſ.* pag. 402. (288. Ed. Baſ. *P.*) ubi tamen quædam aliter leguntur.

6 Παρ' Ὁμήρῳ] Il. E. v. 597. ſed ubi legitur ἀπάλαμνος.

7 Ἡρόδοτος] Lib. VIII. pag. 296. ut Portus monuit.

8 Παλάμη, τῇ ἀρχῇ] Hæc leguntur etiam paulo inferius poſt v. Παλαιπεῖν. Sed tam illic, quam hic pro ἀρχῇ ſcribendum eſſe τέχνῃ, vel μηχανῇ, nemo, ut puto, ambiget.

9 Κωμικὴν καὶ τραγ. λέξιν] Hoc opus ſignat Etymologus v. Ἀγ-μάτιον μέλος, ubi ait, ὥς φησι Παλαμήδης ἐστὶ Ἐλεατικὸς, ὁ τὴν Κωμικὴν λέξιν συναγαγών.

10 Καὶ εὑρετὴς γέγ.] Locus hic occaſionem mihi præbet emendandi Heſychii v. Εὐβοεὺς, ubi ſic legitur: Εὐβοεὺς, ὁ Παλαμήδης, ὁ πολλῶν ἀρετῆς ἢ ἐπίφθονος. Reſcribe, Εὐβοεὺς, ὁ Παλ. ὁ πολλῶν εὑρετὴς καὶ ἐπίφθονος. Palamedem enim & multa inveniſſe, & cum invidia conflictatum fuiſſe, cum alii ſcriptores, tum etiam Suidas clare hic docet.

11 Καὶ τοῦ Π] Imo, καὶ τοῦ Θ. Vide Salmaſium in notis ad duas Inſcript. Veter. pag. 223. cui adde Meurſium ad Heſych. Mileſ. pag. 179. & ſeqq.

12 Καὶ πεσσῶν, καὶ κύβων] Vide eundem Salmaſium ad Flavii Vopiſci *Proculum*, qui de hoc argumento fuſe diſputat.

13 Ὑπολαμβάνω δὲ καὶ τὸν ποιητὴν ——— μνήμην ποιήσασθαι] Locum hunc antea mutilum ex 2 MSS. Pariſ. ſupplevi. In prioribus enim Editt. ſic legitur, ὑπολαμβάνω δὲ καὶ τὸν ποιήσασθαι; omiſſis verbis illis ποιητὴν Ὅμηρον αὐτὸ τοῦτο πεπονθέναι καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην. Leo Allatius in opere *de Patria Homeri* cap. IV. locum hunc, quem mutilum eſſe animadvertebat, ex ingenio ſic ſupplendum eſſe cenſebat, ὑπολαμβάνω δὲ καὶ τὸν Ἰλιακὸν πόλεμον ποιήσασθαι. Sed auctoritas MStorum conjecturæ huic merito præferenda eſt.

14 Καὶ μηδεμίαν τοῦ ἀνδρὸς μνήμην π.] Vide Philoſtratum *de Vit. Apoll.* lib. III. cap. VI.

 Φανίσθη

φανῆσθαι τὰ Παλαμήδους ποιήματα διὰ βασκανίαν ὑπὸ Ὁμήρου. ἅπτεται δὲ καὶ τῶν μεγίστων ἀνδρῶν ὁ φθόνος· ὡς εἴθε μὴ παρεισέδυ τῷ βίῳ, ἢ παρεισδὺς, μή μου περιέσοιτο. ἐῤῥώσθω δὲ, καὶ ἀπέστω. ὅσα γὰρ δέδηγμαι τὴν καρδίαν; καὶ οἷα δέδορκα μακρῷ χρόνῳ. [1]ἀλλ' εἴη μοι βίος παντάρκης· ὄμμα βάλλοι δὲ μήποτ' ἐφημέραις ἐλπίσι βασκανίη· φησί τις τῶν παλαιῶν.

Nam & maximi viri invidiæ obnoxii ſunt: quæ utinam non in vitam irrepſiſſet; vel, poſtquam irrepſit, ne ei ſuccumbam. Valeat vero, & procul a me abſit. Quoties enim cor mihi doluit? Qualia vidi longo tempore. Cæterum, *Sit mihi victus neceſſitatibus vitæ ſufficiens, nec invidia unquam ſpes noſtras limis oculis intueatur:* aliquis veterum inquit.

Παλαμήδης. [2]Οἶδα δ' ἐγὼ καὶ δὴ πόριμον ἐκ τοῦ Παλαμήδους ὡς ἐκεῖνος, τὰς πλάτας ῥίψω γράφων. ὥσπερ Οἴαξ τῷ Ναυπλίῳ γράφει τῷ πατρὶ τὸν Παλαμήδην ἐν διαφόροις πλάταις, καὶ ῥιπτεῖ εἰς θάλασσαν, ὥστε μιᾷ γέ τινι Ναυπλίῳ περιπεσεῖν. πόθεν οὖν γ' ἔκειντό μοι πλάται; ταδὶ τἀγάλματα ἀντὶ πλατῶν γράφων διαῤῥίπτοιμι. βέλτιον πολύ. ξύλον γέ τι καὶ ταῦτα, κἀκεῖνο ἦν ξύλον.

Παλαμήδης. Palamedes. [Ariſtophanes:] *Novi vero & ego viam conſilii, ex Palamedis hiſtoria petitam. Quemadmodum ille, ſic & ego remos literis inſcriptos in mare projiciam. Sed non adſunt mihi remi. Unde igitur erunt mihi remi? Unde? Quid ſi hæc ſimulacra, poſtquam literas eis inſcripſero, pro remis projiciam? Hoc profecto fuerit longe melius. Lignea enim ſunt iſta, & illud erat lignum.* Nimirum, ut Oeax Nauplio patri mortem Palamedis in diverſis remis ſcripſit, eoſque in mare projecit, ut aliquis ſaltem ex illis ad Nauplium perveniret.

Παλαμναῖος. Φονεὺς, ἢ μιαρός. [3]παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδροφονοῦντες· παρὰ τὴν παλάμην. καὶ Ζεὺς Παλαμναῖος, ὁ τοὺς τοιούτους τιμωρούμενος. καὶ Προστροπαῖος, ὁ προστρέπων τὸ ἄγος αὐτοῖς. Βάβριος·

> Οὐχὶ τὸν μῦν εἶπας, ἢ παλαμναία,
> Δέδοικα μή μου τὴν δορὰν δάκοι φεύγων.
> Χαίτην δ' ἔμελλε τὴν ἐμὴν καταισχύνειν.

[4]Ὁ λέων φησὶ περὶ μυός. καὶ αὖθις· Οὐκ [5]ἄνθρωποι ἔδοξαν εἶναι, ἀλλὰ δαίμονές παλαμναῖοί τινες. Αἰλιανός· Ὁ δὲ πρὸ τῆς ἐς τοὺς πολεμίους συμπλοκῆς, ὡς εἶδεν ἀπολλύμενον οἱ τὸν λεὼν, ἐνετολμήσατο κακὸν κακῷ μείζονι ὁ παλαμναῖος ἄρα ἐκεῖνος σβέσαι. προστάττει οὖν τὴν ἄθλιον παρθένον δίχα τεμεῖν.

Παλαμναῖος. Homicida. Vel, piaculo obſtrictus. Παλαμναῖοι enim dicuntur, qui manu aliquem occidunt: a παλάμη, manus. Et Jupiter Παλαμναῖος, qui tales homines punit. Et Προστροπαῖος, qui piaculum in ipſos convertit. Babrius: *Nonne dixiſti, ſcelerata, te murem metuere, ne pellem tuam mordeat fugiens. Comam enim meam laceraturus erat.* Hæc leo de mure inquit. Et iterum: *Non homines eſſe videbantur, ſed dæmones quidam pernicioſi.* Ælianus: *Ille vero, antequam cum hoſte congrederetur, videns populum perire, auſus eſt malum malo longe majori reſtinguere ſceleſtus ille. Miſeram enim virginem in duas partes diſſecari juſſit.*

Παλαμωμένων. χερσὶν ἐργαζομένων. Τὴν ἐκ τῶν Ῥωμαίων παλαμήσασθαι σωτηρίαν.

Παλαμωμένων. Manibus operantium. Molientium. Parantium. *Per Romanos ſalutem ſibi parare.*

Παλαμῶν. τεχνῶν, ἢ χειρῶν.

Παλαμῶν. Artium, vel manuum.

Παλλάντιον. Ὁ Ῥωμύλος μετὰ τὸ καταστῆσαι τὰ πολιτικὰ, ἀνενέωσε καὶ τὸ καλούμενον ἀπὸ Πάλλαντος Παλλάντιον. τὸν βασιλικὸν οἶκον.

Παλλάντιον. Palatium. *Romulus conſtituta Repub. inſtauravit & Palatium, a Pallante ita dictum.* Id eſt, domum regiam.

Παλλάς. παρθένος μεγάλη. ἔστι [6]δὲ ἐπίθετον Ἀθηνᾶς· ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, ἢ ἀπὸ τοῦ ἀνῃρηκέναι Πάλλαντα, ἕνα τῶν Γιγάντων.

Παλλάς. Pallas. Magna virgo. Eſt epithetum Minervæ, ſic dictæ ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, i. e. a vibranda haſta. Vel quod Pallantem unum ex Gigantibus occiderit.

Παλατῖνοι. [7]εἶδος ἄρτων, οὓς ἐφιλοτιμήσατο τῷ

Παλατῖνοι. Palatini. Genus panum, quos

1 Ἀλλ' εἴη μοι βίος παντάρκ.] Locus hic corruptus eſt, quem vir mihi amiciſſimus Richardus Bentlejus, Collegii Trinitatis hic apud Cantabrigienſes Præſes, a me conſultus, pro ſingulari ingenii & judicii ſui acumine ita ſcribendum & diſtinguendum eſſe feliciter conjecit:

> Εἴη μοι βίοτος παντάρκης· ὄμμα δὲ βάλλοι
> Μήποτ' ἐφ' ἡμετέραις ἐλπίσι βασκανίη.

Nihil hac emendatione verius eſt. Confer Anthologiam l. vii. p. 620.

2 Οἶδα δ' ἐγὼ καὶ δὴ πόριμον ἐκ τοῦ Παλ.] Ariſtophanes *Theſmophor.* pag. 807. (529. Ed. Baſ. *F.*)

> ——Οἶδ' ἐγὼ καὶ δὴ πόρον
> Ἐκ τοῦ Παλαμήδους. ὡς ἐκεῖνος τὰς πλάτας
> Ῥίψω γράφων. ἀλλ' οὐ πάρεισιν αἱ πλάται.
> Πόθεν οὖν γένοιντ' ἄν μοι πλάται; πόθεν; ——
> Τί δ' ἂν εἰ ταδὶ τἀγάλματ' ἀντὶ τῶν πλατῶν
> Γράφων διαῤῥίπτοιμι; βέλτιον πολύ.
> Ξύλον γέ τοι καὶ ταῦτα, κἀκεῖν' ἦν ξύλον.

Sic etiam apud Suidam locus hic ſcribendus & diſtinguendus eſt. Deinde legendum eſt, ὥστε μιᾷ γέ τινι Ναύπλιον περιπεσεῖν: ut Portus etiam monuit. Erat autem Nauplius Palamedis pater, & Oeax ejuſdem frater.

3 Παλαμναῖοι γὰρ λέγονται οἱ διὰ χειρὸς ἀνδρ.] Scholiaſta Sophoclis ad *Electram*, pag. 108. Παλαμναίῳ. φονεῖ. παλαμναῖος, ὁ ταῖς οἰκείαις χερσὶ φόνον ἐργασάμενος.

4 Ὁ λέων] Sic recte habent MSS. Pariſ. At in prioribus Editt. male legitur, ὁ λέγων.

5 Οὐκ ἄνθρωποι ἔδοξαν, ἀλλὰ δ.] Fragmentum hoc legitur apud Procop. *Hiſtor. Arcan.* cap. xii.

6 Ἔστι δὲ ἐπίθετον Ἀθηνᾶς· ἀπὸ τοῦ π.] Idem docet Scholiaſta Homeri ad Il. A. v. 200.

7 Παλατῖνοι. εἶδος ἄρτων, οὓς ἐφιλ.] Codinus *de Orig. CPol.* Num. xv. eandem rem iiſdem pene verbis docet. Ait enim: Ἐφιλοτιμήσατο δὲ (Κωνσταντῖνος) καὶ τῷ δήμῳ καθ' ἓν ἕκαστον ἔτος, παρέχων ἄρτους ἡμερησίους, ὀνομάσας αὐτοὺς ΠΑΛΑΤΙΝΟΥΣ, τοὺς ἐκ τοῦ Παλατίου χορηγουμένους, οἶνόν τε, καὶ κρέας, καὶ ἔλαιον, καὶ σιτηρέσια τάξας· ὧν καὶ νῦν ἡ πόλις ἀπολαύει, τῶν ὑπ' αὐτοῦ ῥιφέντων καλάμων φέρουσα τὰ γνωρίσματα. Hæc iis, quæ Suidas habet, egregie reſpondent. Cæterum, de toto hoc loco conſulendus eſt Salmaſius ad Flavii Vopiſci

δήμῳ Κωνσταντῖνος ὁ μέγας, καθ' ὃν ὑπάτευσε χρόνον, οὕτως ὀνομάσας αὐτοὺς, οἷα ἐκ τοῦ παλλατίου χορηγουμένους. προσέθηκε δὲ τούτοις καὶ κρέα, καὶ οἶνον, καὶ ἔλαιον· ὧν μέχρι τινὸς ἡ πόλις ἀπήλαυσε, τὴν ὑπ' αὐτοῦ [2] ῥιφέντων φέρουσα τὰ γνωρίσματα.

Conſtantinus Magnus populo largitus eſt, quo tempore Conſulatum geſſit; ſic dictos, quod ex Palatio ſuppeditarentur. His addidit carnes, & vinum, & oleum: quæ civitas aliquamdiu percepit, miſſilium ab ipſo ſparſorum teſſeras ferens.

Παλάμη. [1] τῇ τέχνῃ.

Παλάμη. Arte. Machina.

Πάλαι. ἐπίῤῥημα χρόνου δηλωτικόν.

Πάλαι. Olim. Adverbium temporis.

Παλαιγενές. πρεσβῦτα. [3] Ἀριστοφάνης·

Χαῖρ', ὦ πρεσβῦτα παλαιγενές.

Οὐχ ὡς σεμνόν τινα προσηγόρευσε διὰ τὸν χρόνον. τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. ἀντὶ τοῦ, ἀνόητε. καὶ Εὐριπίδης· Ἀρχαῖον εἴρηκας. ἀντὶ τοῦ, εὔηθες. εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι. † Ἡ παλαιὰ ἐν πίθῳ εὑρέθη. καὶ ζήτει ἐν τῷ Ὠριγένης.

Παλαιγενές. Senex. Ariſtophanes: *Salve, ſenex longæve*. Non jam eum ſic appellat, ut ob ætatem venerandum; ſed fatuum & ſtultum ſignificare vult. Simplices enim & fatuos appellabant ἀρχαίους & παλαιούς, i. e. antiquos & priſcos. Et Euripides: *Priſcum quid dixiſti*. Id eſt, ineptum, vel ſtultum. † Vetus [Teſtamentum] in dolio repertum fuit. Vide in v. Ὠριγένης.

Παλαιόν. οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιῷ ἐπὶ ἀρχαίου ἐκ δανείσματος ὀφειλομένου. οὕτω Λυσίας ἐν τῷ πρὸς Ἀλκιβίαδην· Καί τοι, εἰ ἀποδέδωκε τῷ Κτησικλεῖ ν' παλαιὰς, ὥσπερ οὗτός φησι.

Παλαιόν. Antiquum. Vetus. Oratores hanc vocem uſurpant de pecunia fœnore data, [ſortem ſic vocantes.] Sic Lyſias in oratione adverſus Alcibium: *Quamvis, ſi reſtituiſſet Cteſicli ſortem* L *drachmarum, ut iſte dicit*.

Παλαιόν. τὸ πρὸ πολλῶν χρόνων· ὡς [4] παρ' Ὁμήρῳ·

Ἦ ῥά νύ μοι ξεῖνος πατρώϊός ἐσσι παλαιός.

καὶ τὸ διεῤῥυηκός. ὡς τὸ,

Πολλαὶ [5] ἐν ἀμφιάλῳ Ἰθάκῃ νέαι, ἠδὲ παλαιαί.

Παλαιόν. Vetus. Priſcum. Antiquum. Ut apud Homerum: *Profecto mihi vetus es hoſpes paternus*. Item, quod vetuſtate attritum vel confectum eſt. Ut, *Multæ in circumflua Ithaca ſunt & juvenes & vetulæ*.

Παλαιὸς [6] ἀφ' οὗ χρόνος. ἀντὶ τοῦ, ἐκ πολλοῦ χρόνου.

Παλαιὸς ἀφ' οὗ χρ. Jamdudum eſt, ex quo. A longo jam tempore.

Παλαίπολις. ὄνομα τόπου.

Παλαίπολις. Palæpolis. Nomen loci.

Πάλαι [7] ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι. ἐπὶ τῶν ποτ' ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων.

Πάλαι ποτ' ἦσαν ἀλκ. Fuere quondam ſtrenui Mileſii. De iis dicitur, qui quondam viguerunt, nunc vero infirmi ſunt.

Παλαίσμασιν. ἀντὶ τοῦ, στρατηγήμασι. καὶ [8] Ἀριστοφάνης· Φρυνίχου παλαίσμασιν. στρατηγοῦντος γὰρ αὐτοῦ, ἡττήθησαν οἱ Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεχθρώθησαν, ὡς προδόντι τὸν πόλεμον. τινὲς δὲ τοῦτον κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε, καὶ παλαίοντας. ἐγένετο δὲ στρατηγὸς, ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν, καὶ ἄτιμοι ἐγένοντο.

Παλαίσμασιν. [Luctis. Item,] ſtratagematibus, vel artibus imperatoriis. Ariſtophanes: *Phrynichi artibus bellicis*. Eo enim duce Athenienſes victi fuerunt. Quamobrem etiam in multorum odium incurrit, quaſi bellum mala fide geſſiſſet. Quidam vero eum Comicum fuiſſe ajunt, qui Choros ſaltantes & pugnantes introduxerit. Fuit autem Strategus, ſub quo multi Tragici turpiter ſe dederunt, & ignominia notati ſunt.

Παλαιστάς. σπιθαμάς. ἢ ἐν πάλῃ.

Παλαιστάς. Palmos minores. Vel, luctatores.

Παλαιστηνός. ἐκ τοῦ παλαιστὴ, παλαιστής. Παλαιστῖνος δέ.

Παλαιστηνός. [Per η. Deducitur] a παλαιστή, [vel] παλαιστής, i. e. palmus minor. At Παλαιστῖνος, [per ι,] Palæſtinus, [eſt nomen gentile.]

Παλαιστής. ἀνταγωνιστής. [9] Σοφὸς παλαιστὴς οὗ κεῖνος, ἀλλ' οὐχ αἱ σοφαὶ γνῶμαι ἐμποδίζονται θαμά.

Παλαιστής. Luctator. Adverſarius in certamine. [Sophocles:] *Callidus luctator eſt ille: ſed tamen & callidis conſiliis fortuna ſæpe obſtat*.

Παλαιστίνη. ὄνομα χώρας. καὶ Παλαιστῖνος, ὁ ἀπὸ Παλαιστίνης. Πολλοῖς δὲ σταθμοῖς ἀφέστηκεν ἡ Βαβυλὼν τῆς Παλαιστίνης.

Παλαιστίνη. Palæſtina. Nomen regionis. Et Παλαιστῖνος, qui eſt ex Palæſtina. Multorum autem dierum itinere Babylon a Palæſtina diſtat.

Aurelianum, qui de panibus Palatinis, ſive civicis, & diſtributionis eorum modo copioſe & erudite diſſerit.

1 Τῇ τέχνῃ.] Scribe, μηχανῇ.

2 Ῥιφέντων] Adde ex Codino, καλάμων. Καλάμους autem Codinus appellat teſſeras panarias, ut pluribus docet diffuſæ eruditionis vir Claudius Salmaſius loco laudato.

3 Ἀριστοφάνης] *Nubibus*, pag. 147. (81. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam. Confer etiam Noſtrum ſupra v. Ἀρχαῖον.

4 Παρ' Ὁμήρῳ] Il. Z v. 215.

5 Πολλαὶ ἐν ἀμφ.] Eſt verſus Homericus Odyſſ. A. v. 395. ſed ubi genere maſculino legitur,

Πολλοὶ ——— νέοι ἠδὲ παλαιοί.

6 Παλαιὸς ἀφ' οὗ χρόνος] Hæc ſunt verba Sophoclis *Ajace* pag. 36. ut Portus obſervavit.

7 Πάλαι ποτ' ἦσαν ἀλκ.] Vide nos ſupra ad v. Ἦσαν.

8 Ἀριστοφάνης] *Ranis*, pag. 244. (157. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

9 Σοφὸς παλαιστὴς οὗ κεῖν.] Sophocles *Philoctete*, pag. 401.

Σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χ' αἱ σοφαὶ
Γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά.

Sic etiam apud Suidam locus hic ſcribendus & diſtinguendus eſt.

Πα-

Παλαίστρα. τὸ γυμνάσιον. Εὑρὼν πεδίον ὕπτιον, καὶ καλὸν εἰς χρῆσιν ἵππων καὶ φάλαγγος, ἐκάθαιρε, καὶ διέσκαπτε, καὶ τῷ πολέμῳ παλαίστρας ἐποίει.

Παλαίστρα. Palæſtra. Gymnaſium. *Cum nactus eſſet planitiem campeſtrem, & equorum phalangiſque uſui accommodatam, eam repurgavit, foſſiſque diſtinxit, ut exercitationibus bellicis ſerviret.*

Παλαίτατος. ὁ παλαιός.

Παλαίτατος. Antiquiſſimus.

Παλαίφατος, [1] Ἀθήνησιν ἐποποιὸς, υἱὸς Ἀκταίου, καὶ Βιοῦς· οἱ δὲ Ἰοκλέους φασὶ, καὶ Μετανείρας· οἱ δὲ, Ἑρμοῦ. γέγονε δὲ κατά τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους, καὶ πρὸ αὐτῆς. ἔγραψε δὲ Κοσμοποιΐαν εἰς ἔπη ε. Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονὰς, ἔπη γ. Ἀφροδίτης καὶ Ἔρωτος φωνὰς καὶ λόγους, ἔπη ε. Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος, ἔπη α. Λητοῦς πλόκαμον.

Παλαίφατος. Palæphatus, Athenienſis, poeta Epicus, filius Actæi & Bionis; aut, ut alii ajunt, Ioclis & Metaniræ; aut, ut alii, Mercurii. Vixit ſecundum quoſdam, poſt Phemonoen: ſecundum alios vero, poſt eam. Scripſit poema de opificio Mundi, verſibus circiter quinquies mille. Apollinis & Dianæ nativitatem, verſibus ter mille. Veneris & Cupidinis voces & ſermones, verſibus quinquies mille. Minervæ & Neptuni contentionem, verſibus mille. Latonæ comam.

Παλαίφατος, Πάριος, ἢ Πριηνεὺς, γεγονὼς κατὰ Ἀρταξέρξην. [2] Ἀπίστων βιβλία ε. τινὲς δὲ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι. πλὴν καὶ οὗτος ἔγραψε.

Παλαίφατος, Palæphatus, Parius, vel Prienenſis, qui vixit tempore Artaxerxis. Scripſit Incredibilium libros v. quos quidam [Palæphato] Athenienſi tribuunt. Sed & iſte [de eodem argumento] ſcripſit.

Παλαίφατος, Ἀβυδηνὸς, ἱστορικός. Κυπριακά. Δηλιακά. Ἀττικά. Ἀραβικά. γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, ὡς [3] Φίλων ἐν τῷ ει στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίου α, καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ Τρωϊκῶν.

Παλαίφατος. Palæphatus, Abydenus, hiſtoricus. [Scripſit] Cypriaca, Deliaca, Attica, & Arabica. Vixit ſub Alexandro Macedone, & Ariſtotelis Philoſophi ~~delici~~æ fuit, ut auctor eſt Philo libro primo de Hiſtoria admirabili; & Theodorus Ilienſis libro II. *Troicorum.*

Παλαίφατος, Αἰγύπτιος, ἢ Ἀθηναῖος, γραμματικός. Αἰγυπτιακὴν Θεολογίαν. Μυθικῶν βιβλίον α. [4] Λύσεις τῶν μυθικῶς εἰρημένων. Ὑποθέσεις εἰς Σιμωνίδην. [5] Τρωϊκά· ἃ τινες εἰς τὸν Ἀθηναῖον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. ἔγραψε καὶ ἱστορίαν ἰδίαν.

Παλαίφατος. Palæphatus, Ægyptius, aut Athenienſis, Grammaticus. [Scripſit] Theologiam Ægyptiacam. Fabuloſorum librum unum. Fabuloſe dictorum ſolutiones. Argumenta in Simonidem. Res Trojanas: quod opus quidam Athenienſi, alii vero Pario tribuunt. Scripſit & hiſtoriam propriam.

Παλαιφάτου. [6] παλαιᾶς, καὶ ἀρχαίας. περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους.

Παλαιφάτου. Veteris. Antiquæ. De qua veteres fabulæ circumferuntur.

Παλεός. [7] ὁ σκώπτης. τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος.

Παλεός. Cavillator. Deriſor. Ponitur & pro amente.

Παλεῦσαι. ἐξαπατῆσαι. ὑπαγαγέσθαι. καὶ παροιμία· Παλεύει καλῶς τὴν ἀλώπεκα. καὶ παλεύτρια, περιστερὰ πλάνος. [8] Ἀριστοφάνης Ὄρνισι·

Κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.

εἰώθασι γὰρ ἐκτυφλοῦν τινα τῶν ὀρνέων, καὶ ἱστᾶν ἐν δικτύῳ.

Παλεῦσαι. Decipere. Fallere. Seducere. Allicere. Et proverbium: *Pulchre fallit vulpem.* Et παλεύτρια, columba illex. Ariſtophanes *Avibus: Et cogit eas in retibus concluſas, [alias columbas] illectas fallere.* Solent enim aucupes aves quaſdam excæcatas in reti ponere, [ut alias alliciant.]

Πάλλει. κινεῖ. [9] σείεται. ἄλλεται.

Πάλλει. Vibrat. Movet. Quatit. [Et πάλλεται,] vibratur, movetur, ſaltat.

Παλληναῖος. ὁ ἀπὸ Παλλήνης χώρας.

Παλληναῖος. Pallenæus. Sive, qui eſt ex regione Pallene.

Παλληνεύς. [10] Παλλήνη δῆμος τῆς Ἀντιοχίδος. τὸ

Παλληνεύς. Pallenenſis. Pallene eſt popu-

1 Ἀθήνησιν ἐποπ.] Scripſerim potius, Ἀθηναῖος, ἐποποιός.

2 Ἀπίστων βιβλία ε] Theon in *Progymn.* Καὶ Παλαίφατος ὁ Περιπατητικὸς ἐστὶν ὅλον βιβλίον περὶ τῶν Ἀπίστων ἐπιγραφόμενον, ἐν ᾧ τὰ τοιαῦτα ἐπιλύεται. Palæphati *Incredibilia* citantur quoque ab Euſebio in *Chronico* Num. DCCCXLIV. Hujus operis fragmentum hodie adhuc exſtat.

3 Ὡς Φίλων ἐν τῷ ει στοιχείῳ τοῦ περὶ παραδ. ἱστορ. βιβλ.] Locum hunc ſic ſcribendum eſſe puto, ὡς Φίλων ἐν τῷ περὶ παραδόξου ἱστορίας βιβλίῳ πρώτῳ: omiſſis nempe verbis illis, ἐν τῷ ει στοιχείῳ. Non videtur enim probabile, opus illud Philonis ordine alphabetico conſcriptum fuiſſe. Quod ſi tamen quis verba illa retinenda eſſe pertinaciter contendat, locus hic ita concipiendus erit, ὡς Φίλων ἐν τῷ ει στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίου πρώτου.

4 Λύσεις] Sic recte MSS. Pariſ. itemque Editio Mediol. At in cæteris Editt. male legitur, λύσις.

5 Τρωϊκά] Operis hujus mentionem faciunt Stephanus Byzantius, Harpocratio, & Noſter ſupra v. Μακροκέφαλοι. Vide Voſſium in opere *de Hiſt. Gr.* & Meurſium in *Bibliotheca Attica*, v. Παλαίφατος.

6 Παλαιφάτου] Homerus *Odyſſ.* T. v. 163.

Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου,———

Scholiaſta: Παλαιφάτου. παλαιᾶ φατιζομένης. περὶ ἧς παλαιοὶ μυθεύονται. Huc Suidas reſpexit.

7 Παλεός] Scribe παλαιός, per diphthongum αι in ſyllaba ſecunda. Vide Heſychium v. Παλαιός.

8 Ἀριστοφάνης Ὄρνισι] Pag. 593. (410. Ed. Baſ. P.)

9 Σείεται. ἄλλ.] Hæc interpretatio mihi ſuſpecta eſt. Nam τὸ πάλλει interdum paſſive poni pro πάλλεται, valde dubito. Quare fortaſſe ſcribendum eſt, Πάλλει. κινεῖ. καὶ πάλλεται. σείεται. ἄλλεται. Sic locus hic recte ſe habebit.

10 Παλληνεύς. Παλλήνη δῆμ.] Ex Harpocratione.

δὲ ἐκ τόπου ἐπίρρημα Παλληνόθεν. ὁ δὲ δημότης Παλληνεύς. ὅτι δὲ ἔστιν ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλλήνη. μία τῶν Ἀλκυονίδων. καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

Παλληνικὸν[1] βλέπειν. ἀντὶ τοῦ, γενναῖον. Παλλήνη δὲ δῆμος τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις μὴ βουλομένοις, συνέστη πόλεμος. βλέπειν δὲ Παλληνικὸν, βούλεται εἰπεῖν, ὠμῶς διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν ἐχθρόν· ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαντο ἐν Παλλήνῃ τὴν μάχην. ἢ Βαλλήνη, κατὰ συγγένειαν τοῦ β΄ πρὸς τὸ π. παρὰ τὸ βάλλειν λίθοις. θέλει γὰρ εἰπεῖν, ὅτι δεῖ ζητεῖν τὸν ἐχθρὸν, καὶ λιθολευστεῖν αὐτόν.

Παλίγκοτος. ὀργίλος. στυγνός. φοβερός. ἐναντίος. [2] Ἀριστοφάνης·

Μὴ γένῃ παλίγκοτός τις ἀντιβολοῦσιν ἡμῖν γε.

ἤγουν, μὴ ἐξ ἀποστροφῆς ὀργισθῇς, καὶ πάλιν μετανοήσῃς, ἐφ' οἷς ἡμᾶς εὐεργετεῖν διέγνως. καὶ ἐν [3] Ἐπιγράμματι·

Κύπρις γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἓν δέ τι καλὸν
Ἔλλαχεν, ἐχθαίρειν τὰς σοβαρευομένας.

Παλίγκυρτος. ἁλιευτικὸν ἀγγεῖον. Πολύβιος· Τῶν γὰρ πολεμίων αὐτομάτως καθάπερ ἐς παλίγκυρτον αὐτοὺς καθειρκότων δυνάμενος κρατῆσαι, [4] τῶν ἐχθρῶν τούτους παρέλιπε.

Παλίλλογα. παλισύλλεκτα.

Παλιλογία. ταυτολογία.

Παλιμβαλής. ὁ [5] ἀνάπαυρα πεσών. ὁ ὕπτιος.

Παλίμβιος. ὁ ἐξ ἀναβιώσεως.

Παλιμβολία. ἡ εὐμετάβλητος γνώμη. [6] Ἀγαθίας· Τῶν δὲ στρατηγῶν πολλὴ μὲν ὑπῆρχε παράταξις, πολλαὶ δὲ φρουραὶ, καὶ ἀγρυπνίαι, καὶ ἀνὰ τὰ πλήθη περινοστήσεις, ἐλπὶς, καὶ δέος, καὶ παλιμβολία.

Παλίμβολον. ἀβέβαιον. ἄπιστον. Τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον.

Παλίμβολος. ἀδόκιμος. εὐμετάβλητος. ἀνελεύθερος. Κλήμης. δύναται καὶ τὸ [7] παλίμβολος, ἀντὶ τοῦ ἐναντιογνώμων· ὡς [8] καὶ παλίνδης ὄνομα.

Παλιμπετής. ὀπισθόρμητος.]

lus tribus Antiochidis. Et Παλληνόθεν, eſt adverbium, ſignificans, ex Pallene. Popularis vero appellatur Παλληνεύς, i.e. Pallenenſis. Eſſe autem & in Thracia Pallenen quandam, notum eſt.

Παλλήνη. Pallene. Una eſt ex filiabus Alcyonei. Quære in v. Ἀλκυονίδες.

Παλληνικὸν βλέπειν. Pallenicum tueri. Id eſt, animum maſculum & virilem vultu præ ſe ferre. Pallene enim eſt populus Atticæ, ubi inter Piſiſtratum, tyrannidem affectantem, & Athenienſes, ei parere recuſantes, prælium commiſſum eſt. Hinc Pallenicum tueri ſignificat, crudeli & exaſperato erga hoſtes eſſe animo; ut olim Athenienſes adverſus Piſiſtratum, cum pugnam ad Pallenen cum eo commiterent. Vel Βαλλήνη dixit, propter cognationem literæ β cum π: ut alludatur ad verbum βάλλειν, ferire, percutere; quod hoſtem oporteat lapidibus petere. Vult enim ſignificare, hoſtem eſſe quærendum & lapidibus obruendum.

Παλίγκοτος. Iracundus. Difficilis. Timendus. Adverſarius. Ariſtophanes: *Ne ſuppliciter orantibus nobis iraſcaris.* Vel, ne denuo nobis ſuccenſeas, neque rurſus te pœniteat conſilii, quo beneficiis nos afficere decreviſti. Et in Epigrammate: *Venus enim alias quidem ad iraſcendum proclivis eſt: ſed unum hoc præclarum habet, quod odio proſequatur ſuperbas.*

Παλίγκυρτος. Inſtrumentum piſcatorium. Naſſa. Sagena. Polybius: *Cum enim hoſtes, qui tanquam in naſſam ipſi ſe induerant, in poteſtatem ſuam facile redigere poſſet, eos dimiſit.*

Παλίλλογα. Rurſus collecta.

Παλιλογία. Intempeſtiva repetitio ejus, quod jam ante dictum eſt.

Παλιμβαλής. Qui retro cecidit. Qui cecidit in dorſum. Supinus.

Παλίμβιος. Redivivus.

Παλιμβολία. Levitas animi. Inconſtantia. Fluctuatio animorum. Agathias: *Acies diligenter utrinque inſtruebantur, præſidia & excubiæ paſſim diſponebantur, duces ordines militares obibant, omniumque animi inter ſpem & metum fluctuabant.*

Παλίμβολον. Mutabile. Inconſtans. Infidum. *Scythicam enim gentem levem & infidam eſſe ajunt.*

Παλίμβολος. Reprobus. Levis. Mutabilis. Servilis. [Sic] Clemens. Poteſt etiam dici de eo, qui conſilio & ſententia ſua alicui adverſatur.

Παλιμπετής. Recidens. Recurrens. Retrogradus.

1 Παλληνικὸν βλέπειν. ἀντὶ τοῦ γενναῖον.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 383. (271. Ed. Baſ. *P.*)

2 Ἀριστοφάνης] In *Pace*, pag. 648. (447. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

3 Ἐν Ἐπιγράμματι] Anthol. lib. VII. pag. 602.

4 Τῶν ἐχθρῶν] Hæ duæ voces, ut ſupervacaneæ, delendæ ſunt.

5 Ἀνάπαυρα] Hic hæreo, nec quid de voce hac ſtatuendum ſit ſcire me fateor. Certe, ſi non ſit corrupta, eſt ſaltem barbara, & in ſcriptoribus infimæ ætatis quærenda.

6 Ἀγαθίας] Lib. II. pag. 41. ſed ubi pro παλιμβολία legitur παλιμβουλία.

7 Παλίμβολος] Photius in Lexico MS. qui eadem habet, quæ hic Suidas, poſt παλίμβολος addit, ἐναντιόβουλος.

8 Ὡς καὶ παλίνδης ὄνομα] Hæc mihi non videntur ſana, nec integra: de quibus Lector proinde cogitet. Mihi enim omnibus minutiis per temporis anguſtias diu immorari non licet. In Lexico Photii inedito poſt vocem ὄνομα lacuna occurit: unde ſuſpicor, quædam huic loco deeſſe.

Παλίμφημα. δύσφημα. κακά. ἐναντία.

Παλινάγγελος. ὀπίσω ἐπανελθὼν ἄγγελος.

Παλινάγρετον. πάλιν καὶ αὖθις ὑστερόληπτον. [1] ἢ ἀφ' οὗ δύναταί τις πάλιν διεγερθῆναι.

Παλιγκάπηλος.[2] ὁ μεταπράτης.

Παλινδικεῖ. ἐπισυνάπτει δίκην. Καὶ παλινδικίαν [3] διδοὺς τοῖς ἀδίκως καταδικασθεῖσι.

Παλίνδρομος. ὀπισθόρμητος. Πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἀπέλαβε.

Παλινδρομῶν. ὑποστρέφων.

Παλιναίρετα. τὰ ἐπεσκευασμένα, καὶ οἷον ἐπίγραφα· οὐ καινὰ δέ, οὐδὲ ὑγιῆ.

Παλιναίρετος.[4] Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. μήποτε δὲ αἱρετὸν λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, ἐπειδὴ γὰρ συκοφαντῶν τινας, ἔπειτα λαμβάνων δῶρα, τούτοις αὐτοῖς ἐβοήθει. ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν, ἣν ὤφειλεν. ἔπειτα ἀποτίσας τὴν ζημίαν, πάλιν ἔλεγεν. ἐκάλουν δὲ τοὺς τοιούτους παλιναιρέτους. ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας ἀρχήν τινα ἄρχειν, καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει.

Παλινοδία. ἐναντία ὁδός. παλινῳδία δέ, ἐναντία ᾠδή, ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. καὶ ῥῆμα παλινῳδῶ. καὶ παροιμία· Ἄιδων παλινῳδίαν.

Παλίνορσος.[5] ὀπισθόρμητος.

Παλινοστήσας. ἐπανελθών.

Παλίνορσον. [6] παλινόρμητον. διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ποιεῖν. [7] Ἀριστοφάνης· Τὸ σφυρὸν παλίνορσον [8] ἐξεκόκκισε.

Παλίνσκιον.[9] Ἰσαῖος μὲν ἀντὶ τοῦ, σύσκιον. Ἀρχίλοχος δέ, ἀντὶ τοῦ σκοτεινόν. καὶ Σοφοκλῆς· Χειμῶνι παλισκίῳ. ἀντὶ τοῦ, ζοφερῷ.

Παλινσκίῳ. σκοτεινῷ. τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ· ὡς παλιγκάπηλος, καὶ παλίμπρατος. ἡ κοινὴ συνήθεια παλίνσκια λέγει, τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία.

Παλιντράπελον. ἀντίστροφον. ἐναντίον. ἀντεστραμμένον.

Παλιντριβῆ. [10] Σοφοκλῆς·

Παλίμφημα. Siniſtra. Mala. Contraria.

Παλινάγγελος. Nuncius reverſus.

Παλινάγρετον. Quod reprehendi vel revocari poteſt. Vel, ex quo quis iterum excitari poteſt.

Παλιγκάπηλος. Inſtitor. Propola.

Παλινδικεῖ. Cauſam jam ante judicatam reſumit, & denuo de ea judicat. *Et iis, qui injuſte damnati erant, de integro jus dicens.*

Παλίνδρομος. Recurrens. Revertens. Reciprocus. *Cum ipſi* xx *minas miſiſſet, eas ad ſe redeuntes recepit.*

Παλινδρομῶν. Recurrens. Revertens.

Παλιναίρετα. Quæ ſunt renovata, ſive mangonizata, & interpolata, non autem nova, nec ſana.

Παλιναίρετος. Dinarchus ἐν Ἐνδείξει contra Polyeuctum Senatu motum, [hac voce uſus eſt.] Videndum autem eſt, num forte orator Polyeuctū παλιναίρετον vocet, quod, cum calumniis quoſdam vexaret, poſtea muneribus corruptus, eos ipſos defenderet. Vel, quod, cum calumniæ convictus eſſet, mulcta ei irrogaretur, & facultas dicendi tam diu adimeretur, donec debitam mulctam perſolviſſet. Deinde vero, mulcta perſoluta, rurſus ei dicere licebat. Tales vero παλιναιρέτους vocabant. Præterea illi, qui magiſtratu moti, poſtea ſuffragiis populi iterum eligebantur, [παλιναίρετοι vocabantur.] Pindarus vero in *Dithyrambis* ædificia diruta, & deinde inſtaurata, παλιναίρετα appellavit.

Παλινοδία. [Per ο,] iter contrarium. At παλινῳδία, [per ω,] recantatio. Vel, oratio contraria iis, quæ ante dicta erant. Et verbum παλινῳδῶ. Recanto. Et proverbium: Palinodiam canens.

Παλίνορσος. Retrogradus. Revertens.

Παλινοστήσας. Regreſſus. Reverſus.

Παλίνορσον. Retrogradum. Revertens. Quod retro cedit. Ariſtophanes: *Et malleolus pedis ei luxatus eſt.*

Παλίνσκιον. Iſæus vocem hanc poſuit pro, umbroſum, opacum. Archilochus vero pro, tenebroſum. Et Sophocles: *Tempeſtate atra.* Vel, *tenebroſa.*

Παλινσκίῳ. Valde tenebroſo, vel obſcuro. Τὸ πάλιν enim intentionem hic ſignificat: ut in voce παλιγκάπηλος, & παλίμπρατος. Vulgo vero παλίνσκια πεδία vocantur campi, qui non ſunt aprici, nec ſoli expoſiti.

Παλιντράπελον. Reflexum. Contrarium. Retortum. Inverſum.

Παλιντριβῆ. Valde trita. Valde exercitata.

1 Ἢ ἀφ' οὗ δύναταί τις πάλιν διεγ.] Inepte. Τὸ παλινάγρετον enim non eſt compoſitum ex πάλιν & ἐγείρω, ſed ἀγρέω.
2 Παλιγκάπηλος] Vide de hac voce Scholiaſtam Ariſtophanis ad *Plutum*, pag. 110.
3 Διδοὺς] Sic recte 2 MSS. Pariſ. At in prioribus Editt. male legitur, δίκην.
4 Παλιναίρετος. Δείναρχος ἐν τῇ κ.] Ex Harpocratione.
5 Παλίνορσος] Eſt vox Homerica Il. Γ. v. 33.
6 Παλινόρμητον. διπλοῦν ἐποίησε. τὸ ἀν.] Locum hunc ſic lege, παλινόρμητον. τὸ πάλιν ὁρμώμενον. Ἀριστοφάνης, &c. Verba enim illa, διπλοῦν ἐποίησε, & ποιεῖν, ut inutilia, lituram merentur.
4 *Πανομφαίῳ. ᾧ πᾶσα φ.*] Scribendum puto, *Πανομφαίῳ Διΐ. εἰς ὃν πᾶσα φήμη καὶ μαντεία ἀναφέρεται.* Quomodo enim *τὸ ἀναφαίνεται* loco huic convenire poſſit, non video: quamvis non ignorem ſic etiam apud Heſychium legi. Euſtathius ad Il. Θ. pag. 711. 52. *Πανομφαῖος Ζεὺς*, inquit, *εἰς ὃν πᾶσα ὀμφὴ ἀνάγεται*: quod conjecturam noſtram firmat.

Πανοῦργος. ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος, καὶ ὁ πάντα ἐπιστάμενος. τὸ [1] δὲ πανοῦργε ἡμεῖς μὲν μετριώτερον φαμέν· Ἀττικοὶ δὲ ἐπὶ σφοδραῖς βλασφημίαις. Ἀριστοφάνης·

> Καὶ [2] πανοῦργον, καὶ πανοῦργον. πολλάκις γὰρ αὔτ' ἐρῶ.
> Καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.

Καὶ, [3] Πανουργιππαρχίδας. τούτους κωμῳδεῖ ὡς πανούργους, τὸν Τισαμενὸν καὶ τὸν Φαίνιππον καὶ τὸν Ἱππαρχίδην, καὶ τὸν γέροντα τὸν Φαλακρὸν, καὶ τὸν Θεόδωρον, Διομειαλαζόνας. καλεῖ δὲ οὕτως ἀπὸ Διομείων τοῦ δήμου, ὃς ὠνόμασται οὕτως ἀπὸ τινος Διόμου. † Τὸν πανοῦργον δὲ εἰς τὸν φρόνιμον μεταλαμβάνουσι. καὶ ζήτει ἐν τῷ Ἐγκράτεια.

Πανοῦργος. Callidus. Improbus. Sic etiam dicitur valde prudens, & qui omnia novit. Hoc nomen πανοῦργος apud nos quidem levius convicium notat: apud Atticos vero pro graviſſimo maledicto ſumitur. Ariſtophanes: *Et fraudulentum, fraudulentum inquam. Sæpius enim idem dico. Nam & iſte ſingulis diebus ſæpius fraudulentus eſt.* Et, Panurgipparchidas. [Ariſtophanes] ut fraudulentos perſtringit, Tiſamenem, Phænippum, Hipparchidem, & ſenem calvum, & Theodorum Diomenſem. Erat enim Theodorus ex Diomiis, populo [Atticæ,] ſic dicto a Diomo quodam. Interdum etiam πανοῦργος ponitur pro φρόνιμος, i. e. prudens. Vide in v. Ἐγκράτεια.

Πανωλεθρία. καὶ πανώλης. ὁ πανώλεθρος.

Πανωλεθρία. Omnium interitus. Internecio. Et πανώλης. Perditiſſimus. Omnino perdendus.

Πανσελήνῳ. Ἀριστοφάνης φησὶ περὶ Κλεωνύμου· Πῶς [4] σου τὸν πρωκτὸν συνήγαγε; καὶ φησὶ, Τῇ πανσελήνῳ. [5] διότι οἱ Ἕλληνες πάντες πρὸς τὴν σελήνην ἔπραττον ἀποβλέποντες. Δάτιδος γοῦν καὶ Ἀρταφέρνους, στρατηγῶν τοῦ βασιλέως Περσῶν, εἰς Μαραθῶνα ἐμβεβληκότων, περιέμενον τὴν πανσέληνον ἐπὶ τῷ τότε ἐξελθεῖν ἐπὶ τὸν πόλεμον. καὶ πρὶν τοὺς Λακεδαιμονίους παραγενέσθαι, κατώρθωσαν οἱ Ἀθηναῖοι τὸν πόλεμον. παίζει οὖν Ἀριστοφάνης διὰ τὸ ἔθος.

Πανσελήνῳ. Plenilunio. Ariſtophanes de Cleonymo dicit: *Quanto vero tempore podicem contraxit?* Et reſpondet: *Plenilunio.* Græci enim omnes in rebus gerendis lunam obſervabant. Cum igitur Datis & Artaphernes, duces Regis Perſarum, in Marathonem irruptionem feciſſent, [Lacedæmonii] plenilunium expectabant, ut tunc demum ad bellum exirent. Sed priuſquam illi [ad opem ferendam] advenirent, Athenienſes bellum feliciter jam confecerant. Ad hunc igitur morem Ariſtophanes alludens, jocatur.

Πανσθενέστατον. ἰσχυρότατον.

Πανσθενέστατον. Fortiſſimum. Robuſtiſſimum.

Πανσπερμία. παγκαρπία.

Πανσπερμία. Fruges miſcellæ.

Πανστρατί. ὅλῳ τῷ στρατοπέδῳ.

Πανστρατί. Cum toto exercitu.

Πανσυδί. πανστρατιᾷ. καὶ πανσυδίη.

Πανσυδί. Cum toto exercitu. Et πανσυδίη. Idem.

Πάντα [6] ἐν ἐλάττονι θέμενοι, ἀδεῶς ἐπόρθουν.

Πάντα ἐν ἐλάττ. *Omnia [avaritiæ ſuæ] poſtponentes, populationes impune faciebant.*

Πάντ' ἔχεις. πάντ' ἔγνωκας.

Πάντ' ἔχεις. Omnia tenes. Omnia noſti.

Πάντα κάλων σείειν. παροιμία ἐπὶ τῶν πάσῃ προθυμίᾳ χρωμένων. παρῆκται δὲ ἀπὸ τῶν τὰ ἀρμενα χαλώντων.

Πάντα κάλων σείειν. Omnem rudentem movere. Proverbium de iis, qui omni ſtudio in aliqua re elaborant. Ducta eſt metaphora ab illis, qui vela demittunt.

Πάντα [7] κινήσω πέτρον. ὁμοία τῇ, Πάντα λίθον κίνει. τοῦ Μαρδονίου ἡττηθέντος ἐν Πλαταιαῖς, φήμη κατεῖχεν, ὡς ἐν τῷ περιβόλῳ τῆς σκηνῆς θησαυρὸν κατορύξας ἀπολελοίπει. πριάμενος οὖν Πολυκράτης ὁ Θηβαῖος τὸν τόπον, πολὺν χρόνον ἐζήτει. ὡς δὲ οὐδὲν ἐπέραινε, πέμψας εἰς Δελφοὺς ἐπηρώτα, πῶς ἂν εὕροι. τὸν δὲ Ἀπόλλωνα ἀποκρίνασθαί φασι· Πάντα λίθον κίνει. τὸ δὲ, πάντα κάλων σείειν, ἀπὸ μεταφορᾶς τῶν τὰ ἄρμενα κινούντων.

Πάντα κινήσω πέτρον. *Omnem movebo lapidem.* Simile [eſt hoc proverbium] illi: *Omnem lapidem move.* Victo Mardonio ad Platæas, fama erat, eum intra ambitum tentorii ſui defoſſum reliquiſſe theſaurum. Polycrates igitur Thebanus eum locum mercatus, diu theſaurum quæſivit. Cum autem nihil proficeret, Delphos miſit, ſciſcitatum, quomodo eum reperturus eſſet. Apollinem vero reſpondiſſe ajunt: *Omnem lapidem move.* Proverbium vero illud, *Omnem rudentem quate*, dictum eſt per tranſlationem ab illis, qui vela movent.

1 Τὸ δὲ πανοῦργε ἡμεῖς ———— σφοδρ. βλασφημίαις] Hæc ſunt verba Scholiaſtæ Ariſtoph. ad *Ranas* pag. 211. (131. Ed. Baſ. *P.*) ſed ubi pro ἐπὶ σφοδραῖς βλασφημίαις, legitur, ἐπὶ σφοδρᾶς ἀτιμίας.

2 Καὶ πανοῦργον, & c.] Duo hi ſeptenarii Trochaici leguntur apud Ariſtophanem *Equit.* pag. 300. (202. Ed. Baſ. *P.*)

3 Καὶ Πανουργιππαρχίδας. τούτους κωμ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 399. (285. Ed. Baſ. *P.*) ſed ubi legitur, Γέροντα τὸν Φαλακρόν: uti etiam hic apud Suidam legendum eſt.

4 Πῶς σου τὸν πρ.] Scribe, Πόσῳ δὲ τὸν πρωκτὸν χρόνῳ συνήγαγεν. Sic enim legitur apud Ariſtophanem *Acharnenſ.* pag. 374. (264. Ed. Baſ. *P.*) unde locus hic depromptus eſt.

5 Διότι οἱ Ἕλληνες πάντες πρ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

6 Πάντα ἐν ἐλάττονι θ.] Locus hic ſupplendus eſt ex Polybio, apud quem lib. IV. cap. VI. ſic legitur: Πάντα δ' ἐν ἐλάττονι θέμενοι τῆς σφετέρας πλεονεξίας, ἀδεῶς ἐπόρθουν. &c.

7 Πάντα κινήσω πέτρον. ὁμοία τῇ. Πάντα λ.] Hæc, & quæ ſequuntur, deſcripta ſunt ex Enarratore Comici ad *Equit.* pag. 233.

Πάντα λίθον κινεῖν. Πολυκράτει τῷ Θηβαίῳ χρησμὸς ἐξεπέμφθη πειρωμένῳ τόπον, ἔνθα Μαρδόνιος ἐσκήνωσεν, ὅτε Πέρσαι ἔφυγον· καὶ εὗρε χρυσόν. οἱ δὲ εἰρῆσθαί φασιν ἀπὸ τῶν τοὺς καρκίνους θηρευόντων.

ctum eſſe [per tranſlationem] ab illis, qui

Πάντα λίθον κιν. Omnem lapidem movere. Polycrates Thebanus, cum poſt fugam Perſarum locum illum emiſſet, in quo Mardonius tetenderat, oraculo hoc accepto, aurum invenit. Alii dicunt, [proverbium hoc] dicancros venantur.

Πάντα μὴ βούλου κρατεῖν. ἐπὶ τῶν εἰς πάντα [1] εὐδοκιμεῖν βουλομένων.

Πάντα μὴ βούλου κρ. *Ne in omnibus victor eſſe velis.* Dicitur de illis, qui in omnibus excellere volunt.

Πάντα ὀκτώ. οἱ μὲν Στησίχορόν φασιν ἐν Κατάνῃ ταφῆναι πολυτελῶς πρὸς ταῖς ἀπ' αὐτοῦ Στησιχορείοις λεγομέναις πύλαις, καὶ τοῦ μνημείου ἔχοντος ὀκτὼ κίονας, καὶ ὀκτὼ βαθμοὺς, καὶ ὀκτὼ γωνίας. οἱ δὲ, ὅτι Ἀλήτης κατὰ χρησμὸν τοὺς Κορινθίους συνοικίζων, ὀκτὼ φυλὰς ἐποίησε τοὺς πολίτας, καὶ ὀκτὼ μέρη τὴν πόλιν.

Πάντα ὀκτώ. Omnia octo. Nonnulli ajunt, Steſichorum Catanæ ſplendide ſepultum fuiſſe, ad portas, quæ ab eo Steſichoreæ vocantur, ipſo monumento octo columnas habente, octo item gradus & angulos octo. Quidam vero tradunt, Aleten, cum Corinthios in unam civitatem oraculo juſſus coegiſſet, cives in octo tribus, & urbem in octo partes diſtribuiſſe.

Πανταχῆ. [2] πάντα τρόπον. πανταχοῦ, ἐν παντὶ τόπῳ. καὶ πανταχόθι. πανταχοῖ δὲ, καὶ πανταχόσε, εἰς πάντα τόπον.

Πανταχῆ. Ubique. Quovis modo. Πανταχοῦ, & πανταχόθι, In quovis loco. At πανταχοῖ, & πανταχόσε, in quemvis locum.

Πανταχῆ τῶν τόπων περισκεψάμενοι. καὶ πανταχοῦ γῆς.

Πανταχῆ τ. τ. Quaquaverſum circumſpicientes. Et πανταχοῦ γῆς. Ubique terrarum.

Παντέλειον. ὁλόκληρον.

Παντέλειον. Integrum. Perfectum.

Πανταίνετος.

Πανταίνετος. Pantænetus. [Nomen propriũ.]

Παντευχία. πανοπλία.

Παντευχία. Idem quod πανοπλία. Integra armatura.

Παντικάπαιον. ὄνομα πόλεως.

Παντικάπαιον. Panticapæum. Nomen urbis.

Παντὶ σθένει. ὅλῃ δυνάμει.

Παντὶ σθένει. Totis viribus.

Παντί τῳ. παντί τινι.

Παντί τῳ. Idem quod παντί τινι.

Παντοδαής. ὁ πάντα εἰδώς. [3] Τίς ἔργον ἔρεξε τοσοῦτον, ὅσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;

Παντοδαής. Omniſcius. Omnia ſciens. *Quis opus peregit tantum, quantum omniſcius ille Democritus?*

Παντοδαπά. παντοῖα.

Παντοδαπά. Omnigena.

Παντοκρατορεία. παναρχία.

Παντοκρατορεία. Imperium in omnia.

Παντοκράτωρ. καὶ κλίνεται παντοκράτορος, ἐπὶ γενικῆς· καὶ ἐπὶ κλητικῆς, ὦ παντοκράτορ.

Παντοκράτωρ. Omnipotens. Declinatur in genitivo, παντοκράτορος: & in vocativo, ὦ παντοκράτορ.

Παντολιγοχρόνιος. [4] παντελῶς ὀλιγοχρόνιος.
Ἄρτι δὲ καὶ νύμφη παντολιγοχρόνιος.

Παντολιγοχρόνιος. Valde exiguum tempus durans. [In Epigrammate: *Obii, modo mater,*] *modo item uxor: omniaque brevi tantum tempore fui.*

Παντομιγές. πολυειδές. [5] Εἴ πού τι χωρίον παντομιγές τε καὶ εὔκαρπον ὑπάρχοι, ὁ δεσπότης εὐθὺς συνήρπαστο, κατηγορίας πεπλασμένης εὐλόγου διά τινων ὑφειμένων ἐνηδρευμένος· καὶ ὁ ἀδικούμενος ἠδικεῖτο, τοῦ ἀδικοῦντος κρίνοντος.

Παντομιγές. Miſcellaneum. Multifarium. *Sicubi prædium eſſet, variarum rerum copia abundans, & fertile, ejus dominus illico comprehendebatur, ſubornatis calumniatoribus, qui ſpecioſa crimina adverſus eum confingerent. Innocens igitur injuriis opprimebatur, ipſo injuriæ auctore judice.*

Παντὸς μᾶλλον. ἀντὶ τοῦ, πάντως.

Παντὸς μᾶλλον. Omnino.

Πάντοσε. πανταχοῦ.

Πάντοσε. Quaquaverſum. Ubique.

Πανούργου. πάντα πράττοντι, καὶ μηδὲν ἀπο-

Πανούργου. Omnia audenti, & nullum faci-

[1] Εὐδοκιμεῖν] Sic rectius habet MS. Pariſ. A. quam priores Editt. in quibus legitur, εὐδαιμονεῖν.

[2] Πανταχῆ. πάντα τρόπον. πανταχ.] Locum hunc ex MS. Pariſ. A. emendavi, qui in prioribus Editt. male ſic legitur: Πανταχῆ. πανταχοῦ. πάντα τρόπον. ἐν παντὶ τρόπῳ. καὶ πανταχόθι. πανταχοῦ δὲ, καὶ πανταχόσε, εἰς πάντα τόπον. Cæterum, pro πάντα τρόπον, legendum eſt. πάντα τόπον: ſubintellecta nimirum præpoſitione κατά.

[3] Τίς ἔργον ἔρεξε τοσ.] Lege & diſtingue,
——————Τίς ἔργον ἔρεξε τοσοῦτον,
Ὅσσον ὁ παντοδαὴς μήνυσε Δημόκριτος;
Vide Laertium in *Democrito,* ubi integrum Epigramma, ex quo verba hæc decerpta ſunt, legitur: ut Pearſonius obſervaverat.

[4] Παντολιγοχρόνιος] Male Suidas vocem hanc & concepit, & interpretatus eſt. Scribere enim debebat, Πάντ' ὀλιγοχρόνιος. τουτέστι, κατὰ πάντα, ἢ ἐν πᾶσιν ὀλιγοχρόνιος: ut patet ex ipſo Epigrammate, ex quo ſequens fragmentum Suidas decerpſit. Id enim ſcriptum eſt in novam nuptam, decimo octavo ætatis anno extinctam, poſtquam brevi tantum tempore & uxor & mater (filium enim viginti tantum dies natum amiſerat) fuiſſet. Epigramma hoc integrum exſtat Anthol. lib. III. cap. XII. pag. 325. ubi recte, ut dixi, legitur πάντ' ὀλιγοχρόνιος: quam lectionem in verſione ſecutus ſum.

[5] Εἴ πού τι χωρίον παντομ.] Hæc ſunt verba Eunapii, ut diſcimus ex ipſo Suida infra v. Ῥουφῖνος: ubi locus hic auctior legitur.

στελλομένῳ. ἢ πανούργῳ, καὶ ἀναιδεῖ. [1] Σοφοκλῆς·

——— Φωτὶ παντούργῳ φρένας

Ἔπραξαν, ἀνδρὸς τοῦδ᾽ ἀπώσαντες κράτη.

nus intentatum relinquenti. Vel, aſtuto, & impudenti. Sophocles: [*Nunc vero Atridæ*] *homini iſti fraudulento & doloſo* [*arma*] *adjudicarunt; me rejecto, qui fortitudine reliquis antecello.*

Πάντως. παντελῶς. [2] Οὐδὲ μνήσαις σύ γε πάντως κινήσεις.

Πάντως. Omnino. *Ne mentionem quidem ejus rei omnino facies.*

Παντοίας ἤδη μούσης πειραθέντες καθ᾽ ἑαυτούς. τουτέστι, ποικίλης καὶ παντοδαπῆς.

Παντοίας ἤδη μούσ. *Qui variam Muſam pro viribus jam experti ſunt.* Παντοίας enim idem ſignificat, quod ποικίλης, & παντοδαπῆς.

Πανοικί. ὅλῳ οἴκῳ.

Πανοικί. Cum tota familia.

Πάνυ. λίαν.

Πάνυ. Valde. Admodum.

Πανύασις, [3] Πολυάρχου, Ἁλικαρνασσεύς, τερατοσκόπος, καὶ ποιητὴς ἐπῶν· ὃς σβεσθεῖσαν τὴν ποιητικὴν ἐπανήγαγε. Δοῦρις δὲ Διοκλέους τε παῖδα ἀνέγραψε, καὶ Σάμιον. ὁμοίως δὲ καὶ Ἡρόδοτος Θούριον. ἱστόρηται δὲ Πανύασις Ἡροδότου τοῦ ἱστορικοῦ ἐξάδελφος. γέγονε γὰρ Πανύασις Πολυάρχου· ὁ δὲ Ἡρόδοτος, Λύξου, τοῦ Πολυάρχου ἀδελφοῦ. τινὲς δὲ οὐ Λύξην, ἀλλὰ [4] Ῥοιὼ τὴν μητέρα Ἡροδότου, Πανυάσιδος ἀδελφὴν, ἱστόρησαν. ὁ δὲ Πανύασις γέγονε κατὰ τὴν οη ὀλυμπιάδα. κατὰ δέ τινας, πολλῷ πρεσβύτερος. γέγονε γὰρ ἐπὶ τῶν Περσικῶν. ἀνῃρέθη δὲ ὑπὸ Λυγδάμιδος τοῦ τρίτου τυραννήσαντος Ἁλικαρνασσοῦ. ἐν δὲ ποιηταῖς τάττεται μεθ᾽ Ὅμηρον. κατὰ δέ τινας καὶ μεθ᾽ Ἡσίοδον, καὶ Ἀντίμαχον. ἔγραψε δὲ καὶ [5] Ἡρακλειάδα ἐν βιβλίοις ιδʹ, εἰς ἔπη θ. Ἰωνικὰ ἐν πενταμέτρῳ, (ἔστι δὲ τὰ περὶ Κόδρου, καὶ Νηλέως, καὶ τὰς Ἰωνικὰς ἀποικίας) εἰς ἔπη ζ.

Πανύασις. Panyaſis, Polyarchi filius, Halicarnaſſenſis, prodigiorum interpres, & poeta Heroicus: qui poeſin exſtinctam in uſum revocavit. Duris vero memoriæ prodidit, eum fuiſſe Dioclis filium, & Samium. At Herodotus eum Thurium fuiſſe ait. Traditur item Panyaſis Herodoti hiſtorici patruelis fuiſſe. Fuit enim Panyaſis Polyarchi filius: Herodotus vero, Lyxi, Polyarchi fratris. Quidam vero non Lyxen, ſed Dryonem, Herodoti matrem, Panyaſidis ſororem fuiſſe dicunt. Panyaſis autem natus eſt Olympiade LXXVIII. Secundum alios vero antiquior fuit; utpote qui tempore belli Perſici vixerit. Occiſus autem eſt a Lygdamide, tertio Halicarnaſſi tyranno. Inter poetas ſecundus ei poſt Homerum locus tribuitur. Secundum alios vero poſt Heſiodum etiam & Antimachum. Scripſit etiam Heracliada, libris XIV. verſibus circiter novies mille. Ionica carmine pentametro, (agitur autem in eo poemate de Codro & Neleo & coloniis Ionicis) verſibus circiter ſepties mille.

Πανύασις, Ἁλικαρνασσεύς, νεώτερος, φιλόσοφος. Περὶ ὀνείρων βιβλία βʹ.

Πανύασις. Panyaſis, Halicarnaſſeus, junior, Philoſophus. Scripſit de ſomniis.

Πάνυ [6] γὰρ ἔστ᾽ ἤδη σχολὴ πολύ. τὸ δὲ πολὺ, κἂν ᾖ γλυκὺ, μοχθηρόν. Ἀριστοφάνης Βατράχοις.

Πάνυ γὰρ ἔστ᾽ ἤδ. *Omnino enim multum nobis nunc eſt otii.* † Id vero, quod multum eſt, quamvis ſit dulce, malum eſt. Ariſtophanes *Ranis.*

Πανύστατον. πάντων ἔσχατον.

Πανύστατον. Ultimum. Poſtremum.

Πάξαμος, λόγιος, ἔγραψεν Ὀψαρτυτικὰ κατὰ στοιχεῖον. Βοιωτικὰ ἐν βιβλίοις βʹ. Δωδεκάτεχνον. [7] ἔστι δὲ περὶ αἰσχρῶν σχημάτων. Βαφικὰ βιβλία βʹ. [8] Γεωργικὰ βʹ.

Πάξαμος. Paxamus, vir doctus. Scripſit de Arte culinaria, ordine alphabetico. Bœotica, libris duobus. Dodecatechnum, ſive, de ſchemis Venereis. De arte tinctoria libros duos. De Re Ruſtica libros duos.

Παξαμᾶς. [9] ὁ δίπυρος ἄρτος. ἔστι δὲ ἡ λέξις Ῥωμαϊκή.

Παξαμᾶς. Paxamas. Panis bis coctus. Eſt vox Romana.

Πάππα. ὅτι πάππα, καὶ τέττα, καὶ ἄππα, οὐχ ὁ τροφεὺς, [10] ἐν ἀνθ᾽ ἑνὸς ὄντι, ἀλλὰ προσφώνησις

Πάππα, τέττα, & ἄππα, non eſt ſimpliciter idem, quod τροφεὺς, i. e. nutritius: ſed

1 Σοφοκλῆς] *Ajace*, p. 27. unde ſenſus hujus loci ſupplendus eſt.

2 Οὐδὲ μνήσαις σύ γε π.] MS. A. habet, οὐδὲ μνήμονας σύ γε πάντως κινήσεις. Sed utriuſque lectionis ſenſus propter brevitatem fragmenti incertus eſt & obſcurus. Ego locum hunc ſic verti, ac ſi legeretur, οὐδὲ μνήμονας σύ γε πάντως ποιήσεις.

3 Πανύασις] De hoc vide Voſſium *de Hiſt. Gr.* lib. IV. cap. VI.

4 Ῥοιὼ] Supra v. Ἡρόδοτος eadem Δρυὼ vocatur.

5 Ἡρακλειάδα] Id eſt, poema de rebus geſtis Herculis: de quo argumento, præter Panyaſin, & plures alii veterum ſcripſerant; veluti, Cinæthon, Nymphis, Promachidas, Piſander, Diotimus, & alii.

6 Πάνυ γὰρ ἔστ᾽ ἤδη σχ.] Locus hic ſuſpectus mihi eſt, de quo tamen nihil certi affirmare poſſum, quoniam locum ſcriptoris, ex quo iſta Suidas excerpſit, in promptu non habeo.

7 Ἔστι δὲ] Sic recte habet MS. Pariſ. B. At in prioribus Editt. legitur, ἔτι δὲ: quod ſenſus reſpuit. Non enim hic novum aliquod opus, & a præcedente diverſum ſignat Suidas, ſed Lectorem docere vult, de quo argumento liber Paxami, Δωδεκάτεχνον appellatus, ſcriptus fuerit. Senſum hunc pulchre confirmat ipſe Suidas ſupra v. Δωδεκαμήχανον, ubi refert, Cyrenen, famoſam meretricem, dictam fuiſſe Δωδεκαμήχανον: διὰ τὸ τοσαῦτα (i. e. δώδεκα) σχήματα ἐν τῇ συνουσίᾳ ποιεῖν. Pulchre iſta, ut dixi, ad locum hunc Suidæ faciunt. Uti enim Cyrene dicta fuit Δωδεκαμήχανος, quod duodecim ſchemis ſive figuris Venereis in coitu uti ſoleret; ſic liber Paxami, in quo de XII ſchemis Venereis agebatur, dictus fuit Δωδεκάτεχνον: quod nomen ſono quidem, non autem ſenſu a priore diſcrepat.

8 Γεωργικὰ] Ex hoc opere non pauca fragmenta hodie adhuc ſuperſunt in *Geoponicis:* quorum novam editionem nunc parat eruditus juvenis Petrus Needham, Collegii S. Joannis hic apud Cantabrigienſes Socius.

9 Παξαμᾶς. ὁ δίπυρος ἄρτος. ἔστι δὲ ἡ λ.] Eadem legas etiam ſupra v. Δίπυρος. Confer Dufrenium in Gloſſario Græco, qui de hac voce plura notavit.

10 Ἐν ἀνθ᾽ ἑνὸς ὄντι] Sic Grammatici loqui ſolent, cum ſignificare volunt, duas voces eſſe ſynonymas, & alteram pro altera ſimpli-

ϖρὸς

πρὸς τροφέα. καὶ τὸ πάππα, καὶ τὸ ἄππα ἐ ψιλῶς ὁ πατὴρ, ἀλλὰ πρὸς πατέρα σεπτικὴ φωνή· καὶ τὸ τέττα, ἑταίρε. ὑπὸ δὲ λέγεται παρὰ Συρακουσίοις ὁ πατὴρ πάπας, καὶ κατ' ἀναδιπλασιασμὸν τοῦ π, πάππας.

Παππάζοιεν. [1] πάππα καλοῖεν.

Παππάξ. ἦχος πορδῆς. [2] Ἀριστοφάνης Νεφέλαις.

Παππασμός. προσφώνησις παρὰ παιδὸς εἰς πατέρα γινομένη.

Παπαί. σχετλιαστικὸν ἐπίῤῥημα.

Παππίδιον. Ἀριστοφάνης·

[3] Ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον.

Ὑποκοριστικῶς πάππε.

Παππίζω. Ἀριστοφάνης·

[4] Παππίζουσ' ἡ θυγάτηρ με τριώβολον ἐκκαλαμᾶται.

Παπίριος. ὄνομα κύριον. Οὐ γὰρ ἦν οὐδὲ τούτων ἄτριψ ὁ Παπίριος.

Πάπορος. ὄνομα κύριον.

Πάππος. αἱ ἐπὶ τοῦ κάτω χείλους τρίχες. μύσταξ δὲ, ἐπὶ τοῦ ἄνω.

Πάππος, Ἀλεξανδρεὺς, φιλόσοφος, γεγονὼς κατὰ τὸν πρεσβύτερον βασιλέα Θεοδόσιον, ὅτε καὶ Θέων ὁ φιλόσοφος ἤκμαζεν, ὁ γράψας εἰς τὸν Πτολεμαίου Κανόνα. βιβλία δὲ αὐτοῦ, Χωρογραφία οἰκουμενική. Εἰς τὰ τέσσαρα βιβλία τοῦ Πτολεμαίου μεγάλης Συντάξεως ὑπόμνημα. Ποταμοὺς τοὺς ἐν Λιβύῃ. Ὀνειροκριτικά.

Παππῷον.

[5] Τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν.

[6] ἐγένετο ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβαλέσθαι εἰς τὰ κοινὰ χρήματα. ταῦτα δὲ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις, εἰ τοῖς βαρβάροις πολεμοῖεν.

Παπυλεῶνος. [7] σκηνῆς. ἤτοι τένδας.

Πάπυρος. θηλυκῶς ἡ πάπυρος.

[8] Λαμπάδα κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
Σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ.

Παραβαλέσθαι. τὸ ἐξαπατῆσαι. Θουκυδίδης α. οὕτω καὶ [9] Ὅμηρος· Παραβλήδην ἀγορεύων.

vox, qua quis nutritium alloquitur. Et πάππα, & ἄππα, non vocatur ſimpliciter pater, ſed eſt vox qua quis patrem reverenter compellat. Et τέττα eſt vox, qua quis ſocium compellat. Pater vero apud Syracuſanos vocatur πάπας; & per reduplicationem literæ π, πάππας.

Παππάζοιεν. Patrem appellent.

Παππάξ. Pappax. Sonus, qui auditur, cum crepitum ventris emittimus. Ariſtophanes *Nubibus*.

Παππασμός. Pappaſmus. Vox, qua filius patrem compellat.

Παπαί. Papæ. Adverbium lamentantis.

Παππίδιον. Paterculus. Ariſtophanes: *Audi nunc, patercule, ſupercilium paululum laxans*. Eſt diminutivum pro πάππε.

Παππίζω. Patrem appello. Ariſtophanes: *Filia pappam me vocans, ſimul triobolum lingua mihi ſubtrahit.*

Παπίριος. Papirius. Nomen proprium. *Nam Papirius ne horum quidem imperitus erat.*

Πάπορος. Paporus. Nomen proprium.

Πάππος. Pili, qui ſunt in labro inferiore, vel mento. At μύσταξ, pili labri ſuperioris.

Πάππος. Pappus, Alexandrinus, Philoſophus, qui ſub Imperatore Theodoſio ſeniore vixit, quo tempore etiam floruit Theon Philoſophus, qui in Ptolemæi Canonem ſcripſit. Libri ejus ſunt, Univerſalis Orbis deſcriptio. In quatuor libros magnæ Syntaxis Ptolemæi commentarius. Deſcriptio fluviorum, qui ſunt in Libya. Interpretationes ſomniorum.

Παππῷον. Avitum. *Tributum, quod avitum dicitur, in uſum belli Perſici collectum.* Tempore belli Perſici ſcitum fuit, ut quiſque pro facultatibus ſuis pecuniam aliquam in ærarium conferret: quam Ariſtides ſociis dari juſſit, qui Barbaros bello infeſtarent.

Παπυλεῶνος. Papilionis. Tentorii.

Πάπυρος. Papyrus. Eſt generis fœminini. [In Epigrammate:] *Lampadem cerea tunica indutam, fumigantem lucernam Saturni, junco & tenui papyro conſtrictam.*

Παραβαλέσθαι. Decipere. Fallere. Thucydides lib. I. Et παραβλήδην apud Homerum ſignificat, doloſe, fallaciter. *Fallaciter loquens.*

citer poni. Harpocratio v. Σῖτος: Ἀγνοεῖ δὲ, ὅτι ἐν αὐθ' ἑνὸς οὐδέποτε παρ' αὐτοῖς ὁ τόκος σῖτος καλεῖται. Id eſt: *Ignorat vero, nunquam apud eos σῖτος pro τόκος ſimpliciter poni.* Vide etiam Noſtrum ſupra v. Κάπηλος, ubi eadem phraſis occurrit.

1 Παππάζοιεν. πάππα καλ.] Obiter hic emendo Photium, apud quem in Lexico MS. ſic legitur: Παππάζοιεν. παρακαλοῖεν. Scribe, Παππάζοιεν. πατέρα καλοῖεν. Mendum ortum eſt ex ſcripturæ compendio, quo vox πατὴρ, & reliqui caſus obliqui inde deducti in MSS. plerumque exarari ſolent.

2 Ἀριστοφάνης Νεφέλαις] Pag. 149. (83. Ed. Baſ. *P.*)

3 Ἀκρόασαι νῦν, ὦ παππίδιον, χαλάσας ὀλίγον τὸ μέτωπον. ὑποκοριστικῶς πάππε. † Παππίζω. Ἀριστοφάνης] Hæc omnia in prioribus Editt. incuria librariorum omiſſa ſunt, quæ ex MS. Pariſ. A. revocavi. Prior autem locus Ariſtophanis exſtat in *Veſpis* pag. 476. (333. Ed. Baſ. *P.*) Poſterior vero in eadem fabula, pag. 473. (332. Ed. Baſ. *P.*) ubi pro παππίζουσα rectius legitur παππάζουσα.

4 Παππίζουσ' ἡ θυγάτηρ με τρ.] Apud Ariſtophanem loco laudato ſic legitur:

Καὶ παππάζουσ' ἅμα τῇ γλώττῃ τριώβολον ἐκκαλαμᾶται.

Recte omnia: modo fulciendi metri gratia ante τριώβολον inſeras voculam τό, quæ librariorum incuria excidiſſe videtur.

5 Τὸν ἔρανον τὸν λεγ.] Senarius hic legitur apud Ariſtophanem *Lyſiſtrata*, pag. 878.

6 Ἐγένετο ἐπὶ τῶν Μηδ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ inediti ad modo indicatum locum Ariſtophanis: quæ etiam leguntur ſupra v. Μηδική.

7 Παπυλεῶνος] Eſt vox Latinorum *papilio*, quæ a Græcis & Latinis barbarizantibus pro *tentorio* accipitur. Vide Dufreſnium in Gloſſario Græco.

8 Λαμπάδα, κηροχ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. VI. cap. X.

9 Ὅμηρος] Il. Δ. v. 6.

Παρα-

Παραβαλέσθαι. τὸ παύσασθαι, καὶ ἀπαλλαγῆναι. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων.

Παραβαλέσθαι. Ὁ δὲ Ἰούδας θρασὺς ὢν, ἔκρινεν ὑπὲρ τῆς τἀδελφοῦ σωτηρίας παραβαλέσθαι. ἤγουν, τολμηρῶς ἐπέρχεσθαι. καὶ παραβαλλόμενος. ἀντὶ τοῦ, ἀδεῶς ἐπερχόμενος. [1]Ὁ δὲ παραβαλλόμενος, καὶ διαβαίνων πρὸς τὸν Δορύμαχον πλεονάκις.

Παραβάλλεσθαι. πρὸς κίνδυνον ῥίπτειν ἑαυτόν. Λοιπὸν ἦν παραβάλλεσθαι, καὶ τολμᾶν. καὶ αὖθις· Ὁ δὲ [2]πρὸς τῷ παραβάλλεσθαι καὶ διακινδυνεύειν ὅλος καὶ πᾶς ἦν. καὶ παραβαλλόμενος πλεονάκις. θαῤῥαλέως ὁρμῶν.

Παραβαλεῖν. ἀντὶ τοῦ παραδοῦναι. Ὁ [3]δὲ ὁρᾷ τὴν Μελησίαν, καὶ ἐρᾷ αὐτῆς· καὶ πέμπει πείσων πεντακισχιλίους καὶ μυρίους αὐτῇ χρυσοῦς, καὶ εἰ πλέον ἐδεῖτο, ἔφατο δώσειν. ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, καὶ ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα, τὸ ἑαυτὴν παραβαλεῖν ἀνδρὶ ἀγνῶτι, καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδόσθαι.

Παραβάλλειν. τὸ ἀπέρχεσθαι. Παραβάλλειν εἰς Σικελίαν πρὸς τὸν τύραννον. καὶ αὖθις· Αἰσχύνασαι τὴν λατρείαν τὴν περὶ τὴν Θεὸν, καὶ ἑαυτὰς ὁμιλίαις ἀνδρῶν παραβαλοῦσαι, ἐκολάσθησαν κατὰ τὸν νόμον. ἀντὶ τοῦ, μίξασαι.

Παραβαλεῖς. παραθήσεις. ὁμοιώσεις. ἐπιφοιτήσεις.

Παραβαλλόμενον. Οὐ γὰρ ἦν πρὸς τὴν Θρᾳκῶν χιόνα παραβαλλόμενον χαρίζεσθαι δάπιδας. καὶ παραβαλλόμενος, ἐξομοιούμενος. Τὰ πρῶτα παραβαλλόμενος τοῖς ἀρίστοις τῶν βασιλέων.

Παραβαλών. πλησίον στήσας. συνοδεύσας. Ὁ δὲ παραβαλὼν τὸν ἑαυτοῦ ἵππον τῷ Παρθουσίρου ἵππῳ, μηκέτι τὸ πέρα σπουδῇ ἐλαύνειν ἐκέλευεν. καὶ παραβάλλω. αἰτιατικῇ.

Παραβαλών. χαλάσας. [4]Ἀριστοφάνης·

Ὥσπερ παλαιστὴς παραβαλὼν τοὺς γομφίους.

ὥσπερ καὶ τὸ χαλάσαι κώπην λέγουσι παραβαλεῖν.

Παραβάλλοιτο. [5]ἀντὶ τοῦ [6]παραπέμψαιτο. Αἰσχίνης κατὰ Κτησιφῶντος.

Παράβασις. [7]τοῦτο λέγεται παράβασις, ἅπερ [8]ἔλεγον ἐπιστρέφοντες ὁ Χορὸς πρὸς τοὺς θεωμένους. ἔστι δὲ ὁ τρόπος, ὅταν καταλιπὼν τὰ ἑξῆς τοῦ δράματος ὁ ποιητὴς συμβουλεύῃ τοῖς θεωμένοις, ἢ ἄλλο τι ἐκτὸς τῆς ὑποθέσεως λέγῃ. Παράβασις δὲ λέ-

Παραβαλέσθαι. A labore ceſſare. Moleſtiis liberari. Tranſlatio ducta eſt a remigibus.

Παραβαλέσθαι. Temere pericula adire. Vitæ diſcrimen adire. *Judas autem, qui audax erat & ſtrenuus, pro fratris ſalute diſcrimen vitæ adire ſtatuit.* Vel, audacter in hoſtem ruere. Et παραβαλλόμενος, temere ſe periculis objiciens. *Ille vero non ſine manifeſto vitæ periculo ſæpius ad Dorymachum ventitans.*

Παραβάλλεσθαι. Se in periculum conjicere. *Reliquum erat, ut periculis ſe exponerent, & fortiter aliquid auderent.* Et iterum: *Ille vero maxime cordi erat, pericula adire & dubiæ fortunæ aleæ rem committere.* Et παραβαλλόμενος. Temere in pericula ruens.

Παραβαλεῖν. Idem interdum, quod παραδοῦναι. Tradere. Committere. *Ille autem Meleſiam videt, viſamque amat, & pudicitiæ ejus ſolicitandæ cauſa quindecim aureorum millia ei mittit. Illa vero donum repudiavit, dicens, meretrici convenire, mercede accepta viro ignoto gratificari, & formam tanquam rem venalem pretio vendere.*

Παραβάλλειν. Abire. Diſcedere. *Abire in Siciliam ad tyrannum.* Et iterum: *Cum ſacra Deæ polluiſſent, & cum viris rem habuiſſent, ſecundum leges punitæ ſunt.* Hic enim τὸ παραβαλοῦσαι idem ſignificat, quod μίξασαι.

Παραβαλεῖς. Admovebis. Comparabis. Conferes. Accedes.

Παραβαλλόμενον. *Non licebat enim ipſi cum Thracum nive confligenti tapetas largiri.* Et παραβαλλόμενος. Aſſimilatus. Comparatus. *Principio cum optimis Regibus comparatus.*

Παραβαλών. Qui prope collocavit. Qui admovit. *Ille vero cum equum ſuum Parthuſiri equo admoviſſet, non amplius tanta contentione eum pergere juſſit.* Et παραβάλλω. Admoveo. Comparo. Accuſativo jungitur.

Παραβαλών. Qui laxavit. Qui exſeruit. Ariſtophanes: *Tanquam luctator dentes molares exſerens.* Sic etiam laxare remum παραβαλεῖν dicitur.

Παραβάλλοιτο. Deducat. Proſequatur. Æſchines contra Cteſiphontem.

Παράβασις. Parabaſis. Digreſſio. Sic vocatur id, quod Chorus ad ſpectatores converſus dicit: quum nimirum Poeta interrupta fabulæ ſerie, ſpectatoribus conſilium dat, aut aliud quid extra propoſitum argumentum dicit. Παράβασις autem dicitur, quod cum ar-

1 Ὁ δὲ παραβαλλόμενος καὶ διαβ.] Hæc ſunt verba Polybii lib. IV. cap. LVII. ut Jacobus Gronovius recte obſervavit. Apud Polybium autem pro παραβαλλόμενος nunc legitur προσβαλλόμενος: ſed cui lectioni alteram præferendam eſſe judicat modo laudatus Jac. Gronovius; me quidem non diſſentiente.

2 Ὁ δὲ πρὸς τῷ παραβ.] Et hæc ſunt verba Polybii, quæ leguntur etiam ſupra v. Ὅλος καὶ πᾶς.

3 Ὁ δὲ ὁρᾷ τὴν Μελησίαν, καὶ ἐρ.] Fragmentum hoc ex Æliano depromptum eſſe, diſcimus ex ipſo Suida ſupra v. Μίσθωμα, & infra v. Πρεσβεῦσαι, ubi pars Eclogæ hujus legitur, & ſcriptori illi aſſignatur.

4 Ἀριστοφάνης] *Pace*, pag. 626. (435. Ed. Baſ. P.) ubi de ſcarabæo verba ſunt.

5 Παραβάλλοιτο. ἀντὶ τοῦ παρ.] Ex Harpocratione.

6 Παραπέμψαιτο] Sic habet MS. A. itemque Harpocratio. At priores Editt. mutile, πέμψαιτο.

7 Παράβασις. τοῦτο λέγεται παράβασις, ἅπερ ἔλ.] Enarrator Comici ad *Pacem*, pag. 677. (462. Ed. Baſ. P.) rem eandem his verbis exponit: Νῦν παραβάσει κέχρηται ὁ Χορὸς, μηδὲν περὶ τῶν προκειμένων λέγων, ἢ τὸν ποιητὴν ἐπαινῶν. Παράβασιν δὲ τοῦτο ἐκάλουν, ἀπὸ τοῦ παραβαίνειν τὸν Χορὸν ἀπὸ τῆς νενομισμένης στάσεως εἰς τὴν καταντικρὺ τῶν θεατῶν ὄψιν, ὁπότε ἐβούλετο ὁ ποιητὴς διαλεχθῆναί τι ἔξω τῆς ὑποθέσεως, αὐτοὶ τῶν ὑποκριτῶν πρὸς τὸ θέατρον διὰ τοῦ Χοροῦ. ἐστρέφετο δὲ ὁ Χορὸς, καὶ ἐγίνοντο στίχοι δʹ. εἶτα διελθόντες, &c. Reliqua enim, ut apud Suidam.

8 Ἔλεγον ἐπιστρέφοντες ὁ Χορός] Legerim, ἔλεγεν ἐπιστρέφων ὁ Χορός.

γεται,

;τὸ), ἐπειδὴ ἀπήρτηται τῆς ἄλλης ὑποθέσεως· ἢ ἐπεὶ παραβαίνει ὁ Χορὸς τὸν τόπον. ἑστᾶσι μὲν γὰρ [1] κατὰ στοιχεῖον οἱ πρὸς τὴν ὀρχήστραν προσβλέποντες. ὅταν δὲ παραβῶσιν, ἐφεξῆς ἑστῶτες, καὶ πρὸς τὸ θέατρον ἀποβλέποντες, τὸν λόγον ἐποιοῦντο· εἶτα διελθόντες τὴν καλουμένην παράβασιν, ἐστρέφοντο πάλιν εἰς τὴν προτέραν στάσιν. δῆλον δὲ ποιοῦσιν αὐτοὶ οἱ ποιηταὶ, τὸ στρέφεσθαι σημαίνοντες, καὶ τὸ παραβαίνειν. Πλάτων ὁ κωμικὸς ἐν Παιδαρίῳ· Εἰ [2] μὲν μὴ λίαν, ἄνδρες, ἠναγκαζόμην στρέψαι δεῦρο, οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν. Ἄμφω σημήνας, καὶ τὸ στρέφεσθαι, καὶ τὸ παραβαίνειν. καὶ Πισίδης·

Τὸν παραβάτην συμβαλὼν [3] πλασμῷ ξένῳ,
Πρὸ τῆς μάχης ἀφῆκας εἰς ἀντιστάτην.

gumento fabulæ non cohæreat: vel quod Chorus ſe convertat, & locum mutet. Qui enim Chorum conſtituebant, ordine ſtantes orcheſtram ſpectabant. Cum vero iidem converterentur, Theatrum reſpicientes verba faciebant: & deinde facta parabaſi, quam vocabant, rurſus converſi in priorem ſtatum revertebantur. Declarant id ipſi Poetæ, *converſionis* ſemper mentionem facientes, cum de *parabaſi* loquuntur. Plato Comicus in *Pædario: Niſi magna me neceſſitas cogeret, viri, huc me convertere, haud ſane per parabaſin hos verſus ad vos pronunciaſſem.* Utrumque nimirum ſignificat, & *converſionem* & *parabaſin.* Et Piſides: *Parabaten cum ficto hoſpite committens, ante pugnam in adverſarium immiſiſti.*

Παραβαίνω. Μή τι παραβαίνειν ἔδοξε τῶν κοινῶν;

Παραβαίνω. Prætereo. Violo. *Nunquid aliquid eorum, quæ ad remp. ſpectant, violare viſus eſt?*

Παραβεβάσθαι τὰς σπονδάς. τὸ παθητικὸν τοῦ παραβεβηκέναι. πάνυ ἀκολούθως Θουκυδίδης.

Παραβεβάσθαι τὰς σπ. *Fœdera violata fuiſſe.* Eſt paſſivum a παραβεβηκέναι. Thucydides.

Παραβέβλησαι. παραβόλως κέχρησαι. Καὶ παραβέβλησαι τῷ βίῳ διὰ τὴν πρὸς ἐμὲ εὔνοιαν, οὐδεμιᾶς ἀνάγκης σοι προσκειμένης.

Παραβέβλησαι. Te in periculum temere conjeciſti. *Vitæ periculum adiiſti propter benevolentiam tuam erga me; nulla neceſſitate te cogente.*

Παραβιβάζεσθαι. παραβαίνεσθαι.

Παραβιβάζεσθαι. Præteriri. Violari.

Παραβλέπουσα [4] θατέρῳ. Μὴ ἀτενίζουσα, φησὶν, ἀλλὰ τῷ ἑτέρῳ ὀφθαλμῷ βλέπουσα.

Παραβλέπουσα θατέρῳ. *Uno tantum oculo oblique intuens.* Non, inquit, intentis oculis intuens, ſed uno tantum oculo aſpiciens.

Παραβλήδην. [5] ἀπατηλικῶς. παραλογιστικῶς.

Παραβλήδην. Fallaciter. Doloſe.

Παραβληθησόμενος. συγκριθησόμενος. ὁμοιωθησόμενος.

Παραβληθησόμενος. Conferendus. Comparandus. Aſſimilandus.

Παραβλῶπες. παρορῶντες. διεστραμμένας ἔχοντες τὰς ὄψεις.

Χωλαί τε [6], ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ.

Παραβλῶπες. Oblique intuentes. Strabones. Diſtortos oculos habentes. [Homerus:] *Claudæ, & rugoſæ, oculoſque diſtortos habentes.*

Παραβλύσας. παραβαλών. ἀποπτύσας. Εἴποτε πληθεὶς οἴνου, καὶ παραβλύσας τὸ περιττὸν, εἶτα ὕπνου μέτοχος γένοιτο.

Παραβλύσας. Qui ejecit, vel evomuit. Qui exſpuit. *Si forte vino gravatus, ſuperfluum evomat, & poſtea ad ſomnum ſe componat.*

Παραβολή. λόγος αἰνιγματώδης καὶ κεκρυμμένος, πρὸς ὠφέλειαν φέρων.

Παραβολή. Parabola. Sive oratio obſcurum & occultum ſenſum habens, & [ad virtutem] utilis.

Παραβολή. διήγημα. [7] Ἀνοίξω ἐν παραβολαῖς τὸ στόμα μου. ἀντὶ τοῦ, ἐν διηγήσει ἀρχαίων λόγων. καὶ ἡ ὁμοίωσις, καὶ τὸ λάλημα, καὶ ὑπόδειγμα. [8] Ἔθου ἡμᾶς εἰς παραβολὴν ἐν τοῖς ἔθνεσι.

Παραβολή. Parabola. Narratio. *Aperiam in parabolis os meum.* Id eſt, res antiquas narrabo. Et παραβολή, comparatio, fabula, exemplum. *Nos fabulam inter gentes feciſti.*

Παραβολή. πραγμάτων ὁμοίωσις.

Παραβολή. Comparatio. Similitudo.

Παράβολος. [9] Ἀριστοφάνης Σφηξί·

Πονηρὸς εἶ πόρρω τέχνης, καὶ παράβολος.

Παράβολος. Falſus, adulterinus. Ariſtophanes *Veſpis: Non arte, [ſed natura] im-*

1 Κατὰ στοιχεῖον] Lege, κατὰ στίχον.

2 Εἰ μὲν μὴ λίαν, ἄνδρες, ἠναγκ.] Locum hunc ſic diſtinguendum & in verſus redigendum eſſe me monuit celeberrimus Richardus Bentlejus:

Εἰ μὲν μὴ λίαν (deeſt hic Anapæſtus) ἄνδρες, ἠναγκαζόμην
Στρέψαι δεῦρ', οὐκ ἂν παρέβην εἰς λέξιν τοιάνδ' ἐπῶν.

Simili metro uſus eſt Ariſtophanes in Parabaſi *Nubium*, cujus initium tale eſt,

Ὦ θεώμενοι, κατερῶ πρὸς γ' ὑμᾶς ἐλευθέρως
Τἀληθῆ, νὴ τὸν Διόνυσον τὸν ἐκθρέψαντά με.

Vide Hephæſtionem pag. 57. ubi plura hujuſmodi citat ex Eupolide & Cratino, a quo, tanquam inventore, metrum hoc Κρατίνειον vocatur.

3 Πλασμῷ] Portus ſuſpicabatur, legendum eſſe πλαστῷ: quam conjecturam, utpote de loco, de cujus ſenſu nihil certi ſtatui poteſt, in medio relinquo.

4 Παραβλέπουσα θατέρῳ] Ariſtophanes *Eccleſiaz.* pag. 738. (496. Ed. Baſ. *P.*)

Ἐλθοῦσα πρὸς τὸ τειχίον παραβλέπουσα θατέρῳ.

Hunc locum Suidas hic repetere voluit.

5 Παραβλήδην. ἀπατ.] Uſus eſt hac voce Homerus Il. Δ. v. 6. ubi vide Scholiaſtam. Euſtathius ad Odyſſ. A. pag. 1406. 22. 23. Καὶ παραβλήδην παρ' Ὁμήρῳ ἀντὶ τοῦ συγκριτικῶς, ὡς οἱ παλαιοί φασι· κατὰ δὲ τὸν Σουΐδαν, ἀντὶ τοῦ ἀπατητικῶς, παραλογιστικῶς. Ad hunc ipſum locum Suidæ reſpexit.

6 Χωλαί τε, ῥυσαί τε, παρ.] Eſt verſus Homericus Il. I. v. 499.

7 Ἀνοίξω ἐν παραβολαῖς τὸ στ.] Pſalm. LXXVII.

8 Ἔθου ἡμᾶς εἰς παραβ.] Pſalm. XLIII.

9 Ἀριστοφάνης] *Veſpis* pag. 442. (317. Ed. Baſ. *P.*)

ἀντὶ ζ, ἐ γνήσιος. [1] Ἰώσηπος περὶ τῆς ἐγγαστριμύθου. Ταύτην αἰτοῦμαι τὴν χάριν ἀντὶ τῆς παραβόλου μαντείας.

Παραβόλως. [2] Πολύβιος· Μετὰ δὲ ταῦτα πρὸς ἡλίκην δυναστείαν παραβόλως ἀντοφθαλμίσας.

Παραβολώτερος. ἀνόητος.

Παραβραβεύοντα. διακρίνοντα. διορίζοντα. [3] Ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὴν παραβραβεύουσαν φάραγγα. ἀρσενικὸν ὁ φάραγξ.

Παραβύουσα. παρακαλύπτουσα.

Παράβυστον. παρακεκαλυμμένον. λάθρα γινόμενον.

Παράβυστον. [4] οὕτως ἐκαλεῖτό τι τῶν παρ' Ἀθηναίοις δικαστηρίων, ἐν ᾧ ἐδίκαζον οἱ Ἕνδεκα. ἐκαλεῖτο δέ τις ἐν τοῖς νυμφικοῖς δωματίοις καὶ κλίνη παράβυστος, ἧς μέμνηται καὶ Ὑπερίδης ἐν τῷ κατὰ Πατροκλέους. λέγεσθαι δ' ἔοικε ταῦτα κατὰ μεταφορὰν, ἀπὸ τῶν ἐν τοῖς φορτίοις παραβυσμάτων. τουτέστι, παραπληρωμάτων.

Παραγάγης. παρηγορήσῃς. [5] Μηκέτι παραγάγης, ἵν' οὐ πάρεισιν ἐλπίδων ἔτι κοινοτόκων εὐπατριδᾶν ἀρωγοί.

Παραγγελία. [6] Ὅσην [7] σπουδὴν καὶ παραγγελίαν περὶ τουτονὶ τὸν ἀγῶνα γέγονε. καὶ Αἰσχίνης δὲ τρόπον τινὰ τῇ αὐτῇ διανοίᾳ ἐχρήσατο ἐν τῷ κατὰ Κτησιφῶντος· Τὴν μὲν παρασκευὴν ὁρᾶτε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ τὴν παράταξιν ὅση γεγένηται, καὶ τὰς κατὰ τὴν ἀγορὰν δεήσεις, αἷς κέχρηνταί τινες. Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἀποφάσει· Καὶ τὰς ἰδίας παραγγελίας γεγενημένας καὶ τὰς δεήσεις.

Παράγγελμα. προτροπή. προκατάρξις. [8] Κρότος τε ἀθρόος οὐκ ἐκ τοῦ παραγγέλματος, ἀλλ' ἐκ τοῦ αὐτοκελεύστου τῆς προθυμίας τῶν θεωμένων.

Παραγγέλλοντα. δεχόμενον τὴν ἀρχήν. Ὁ δὲ Φάβιος λαβὼν τὴν ἀρχὴν, Πόπλιον ἀποδείκνυσιν ὕπατον, οὐδ' αὐτὸν [9] παραγγέλλοντα τὴν ἀρχήν.

Παραγγέλλοντας. Οἱ δὲ Ἀρειανοὶ ὄντες, προφάσει τοῦ δόγματος, ἀφικόμενοι ἐν Καρχηδόνι, περὶ τοὺς εἰς ἱερωσύνην παραγγέλλοντας ὅπως ὁ Γεζέριχος παρασκευῆς ἔχει καὶ γνώμης, [10] μαθεῖν. ἀντὶ τοῦ, τελοῦντας. καὶ Ξενοφῶν· Ὁ δὲ καταφεύγει ἐς τὸ αὑτοῦ στράτευμα, καὶ εὐθὺς παραγγέλλει εἰς τὰ ὅπλα. καὶ αὖθις· Στρατιὰν ὡς πλείστην εἰς τὸν πόλεμον παραγγέλλων. ἀντὶ τοῦ, καταλέγων.

Παραγγέλλων. ἀντὶ [11] τοῦ, συνδιερχόμενος. συν-

probus es, & ſubdititius. [Et παράβολος. Temerarius.] Joſephus de ventriloqua vate inquit: *Hanc a te gratiam peto pro temerario vaticinio.*

Παραβόλως. Temere. Polybius: *Poſtea vero adverſus quantum imperium quanta audacia oculos attollere ſuſtinuit.*

Παραβολώτερος. Amens. Temerarius. Audax.

Παραβραβεύοντα. Diſcernentem. Diſterminantem. Dirimentem. *Perſæ vero impreſſionem hoſtis vitabant, voragine inter ipſos & hoſtē interjecta.* Φάραγξ hic eſt generis maſculini.

Παραβύουσα. Velans. Occultans. Abſcondens.

Παράβυστον. Occultum. Quod in occulto fit.

Παράβυστον. Parabyſtum. Ita vocabatur apud Athenienſes Judicium quoddam, cui Undecimviri præerant. Item, in thalamis lectus quidam appellabatur παράβυστος: cujus meminit Hyperides in oratione contra Patroclem. Videntur autem hæc dici per metaphoram, ductam ab iis, quæ ſarcinis inferciuntur & inculcantur.

Παραγάγης. Conſoleris. [Sophocles:] *Noli me conſolari, quæ nullum amplius auxilium ſpero a fratre nobili, iiſdemque, quibus & ego, parentibus nato.*

Παραγγελία. Ambitus. Prehenſatio. *Quanta contentione, quibus prehenſationibus in hoc judicio adverſarii uſi ſint,* [*ſcitis.*] Et Æſchines in oratione contra Creſiphontem eadem ſenten tia quodammodo uſus eſt. *Quanto conatu, quantoque ſtudio ſe ad hoc judicium adverſarii pararint, & quibus uſi ſint in foro precibus quidam,* [*vidiſtis.*] Dinarchus ἐν ἀποφάσει adverſus Polyeuctum: *Privataſque prenſationes & preces adhibitas.*

Παράγγελμα. Præceptum. Adhortatio. Signum, quo dato aliquid facere incipimus. *Plauſus frequens ortus eſt, non alicujus juſſu, ſed ex voluntario ſpectatorum ſtudio.*

Παραγγέλλοντα. Eum, qui magiſtratum ambit. *Fabius autem Conſul creatus, collegam deſignat Publium, qui nec ipſe magiſtratum illum ambibat.*

Παραγγέλλοντας. Ambientes. Jubentes. *Illi vero, cum religionem Arrianorum præ ſe ferrent, Carthaginem venerunt, ut explorarent, quo animo Genſericus erga ſacerdotes & Epiſcopos eſſet.* Et Xenophon: *Ille vero ad exercitum ſuum confugiens, ſtatim ad arma capienda concurri jubet.* Et iterum: *Exercitum quam maximum ad bellum conſcribi jubens.*

Παραγγέλλων. Simul tranſiens. Cum aliquo

1 Ἰώσηπος] *Antiq. Jud.* lib. VII. cap. XV. pag. 205.

2 Πολύβιος] Lib. II. cap. XXIV. ſed ubi legitur ἀντοφθαλμήσας, per η, uti etiam hic apud Suidam ſcribendum eſt.

3 Ἀποκλίνοντα τὸ Περσικὸν διὰ τὴν παραβρ.] Locus hic emendandus & ſupplendus eſt ex Theophyl. Simocatta, apud quem lib. II. cap. VIII. ſic legitur: Τὸ δὲ Ῥωμαϊκὸν τὴν τάφρον ἐξαπλάσαν κατωρύχει, συμπλοκῆς ἐφιέμενον, τὸ δὲ Περσικὸν τὴν ἐπιφορὰν ἀποκλίνοντα διὰ τὴν παραβραβεύουσαν φάραγγα, πῶς ἀναγκαίαν ὁ φόβος ἐλάμβανε. Vide etiam infra v. Φάραγξ, ubi locus hic repetitur.

4 Παράβυστον. οὕτως ἐκαλ.] Ex Harpocratione. Confer Meurſ. *Attic. Lect.* lib. II. cap. IX.

5 Μηκέτι παραγ.] Hæc ſunt verba Sophoclis *Electra* pag. 119. ut Portus monuit.

6 Παραγγελία] Ex Harpocratione.

7 Ὅσην σπουδὴν & παραγγ. περὶ τὸν τουτ. ἀγ. γέγονε] Hæc ſunt verba Demoſthenis initio orationis περὶ τῆς παραπρεσβ. unde ſenſus hujus loci ſupplendus eſt.

8 Κρότος τε ἀθρόος οὐκ ἐκ τοῦ παραγγ.] Fragmentum hoc aſſignatur Arriano ſupra v. Αὐτοκέλευστος.

9 Παραγγέλλοντα τὴν ἀρχ.] De hac phraſi vide Valeſium ad Euagr. lib. II. cap. I.

10 Μαθεῖν] Deeſt verbum ἐπεμψαν, vel ſimile quid.

11 Ἀντὶ τοῦ, συνδιερχόμενος, συνανασφ.] Peſſime. Nihil enim hæc interpretatio cum verbo παραγγέλλων commune habet. Quare nugis & deliriis Grammaticorum hæc per me accenſeas licet.

ἀναστρέ-

ἀναστρεφόμενος. Ὁ δὲ παραγγέλλων ποτὲ μὲν τοῖς, ποτὲ δὲ τοῖς, ἥρπαζε μετ᾽ αὐτῶν, καὶ διεδύετο. ἢ παραγγέλλων, ἀντὶ τοῦ ἀπροόπτως ἐρχόμενος.

verſans. [Præcipiens.] *Ille vero modo his, modo illis ſigno dato, cum eis prædas agebat; &* [*per itinera occulta*] *penetrabat.* Vel παραγγέλλων, ex improviſo veniens.

Παράγγελσις. Αἱ γὰρ παραγγέλσεις οὐ καθ᾽ ἕν, ὡς πρότερον, ἀλλὰ διτταὶ ἐγένοντο.

Παράγγελσις. Præceptum. Mandatum. Edictum. *Edicta enim, non ſingula, ut ante, ſed bina proponebantur.*

Παράγεσθαι. μεταπείθεσθαι. [1] Θουκυδίδης· Κελεύει αὐτοὺς μὴ λόγοις μόνοις παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες ἀπαγγελοῦσι.

Παράγεσθαι. Ab aliqua ſententia deduci. Decipi. Thucydides: *Suaſit ipſis, ne verbis ſe falli paterentur, ſed potius ex ſuorum civium numero probitatis fideique ſpectatæ viros* [*Athenas*] *mitterent, qui rem diligenter exploratam fideliter renuntiarent.*

Παραγγείλας. Ὁ δὲ ἀνεχώρησεν, οὐδὲ τὸ ἀνακλητικὸν παραγγείλας. ἀντὶ τοῦ, σημήνας. καὶ αὖθις· Πολίσματα ἐκτόπια τὸ παντελὲς ὑπάρχοντα τῶν γραφομένων καὶ παραγγελλομένων.

Παραγγείλας. Qui denunciavit. Qui ſignificavit. *Ille vero receſſit, cum ne receptui quidem ceciniſſet.* Et iterum: *Oppida ab omnibus edictis prorſus remota.*

Παραγκωνίσας. ἀποστρέψας. ἐκ τῶν ἀγκώνων δήσας.

Παραγκωνίσας. Qui cubito aliquid repulit. Qui ex cubitis aliquid religavit.

Παραγνούς. παρανοήσας.

Παραγνούς. Delirans.

Παραγωγαῖς. ἐξαπάταις. Σοφίσμασι δὲ καὶ παραγωγαῖς ἀεί τε καὶ καθημέραν ἡμᾶς ἐκκρούοντες, κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

Παραγωγαῖς. Impoſturis. Fallaciis. *Cum autem ſemper & quotidie fallaciis doliſque nos deciperent, rerum noſtrarum præter expectationem facti ſunt domini.*

Παραγωγή[2] λέγεται, ὅταν ἡ Φάλαγξ πορεύηται, ἐκ τῶν εὐωνύμων τοὺς ἡγεμόνας ἔχουσα, ἢ ἐκ τῶν δεξιῶν. κἂν μὲν ἐκ τῶν εὐωνύμων ἔχῃ τοὺς ἡγεμόνας, εὐώνυμος παραγωγὴ λέγεται· ἐὰν δὲ ἐκ τῶν δεξιῶν, δεξιὰ παραγωγή. εἴτε δὲ ἡ πορεία ἐν ἐπαγωγῇ γίνεται, εἴτε ἐν παραγωγῇ, ἐν μονοπλεύρῳ, ἢ διπλεύρῳ, ἢ τριπλεύρῳ, ἢ τετραπλεύρῳ τάγματι βαδιεῖ. μονοπλεύρῳ μὲν, ὅταν μοναχόθεν φοβῇ. διπλεύρῳ δὲ, ὅταν διχόθεν· τριπλεύρῳ δὲ, ὅταν τριχόθεν· τετραπλεύρῳ δὲ, ὅταν πανταχόθεν οἱ πολέμιοι ἐπιτίθεσθαι ὑφορῶνται.

Παραγωγή. Paragoge dicitur, quum phalanx procedit, a ſiniſtra, vel a dextra duces habens. Et ſi quidem a ſiniſtra duces habeat; ſiniſtra paragoge vocatur: ſin a dextra, dextra paragoge. Sive vero agmen ducatur per epagogen, ſive per paragogen; phalanx vel unum tantum latus habebit, vel duplex, vel triplex, vel quadruplex. Ac unum quidem latus habebit, cum ab una tantum parte hoſtis metuetur. Duplex vero, cum a duabus: triplex, cum a tribus: quadruplex denique, cum ab omnibus partibus invaſio hoſtilis metuitur.

Παραγραμματίζων. ὅπερ παρήχημα λέγεται. [3] Τίμων οὕτωσὶ παραγραμματίζων αὐτὸν, ὡς ἀνέπλασε Πλάτων πεπλασμένα θαύματα. οἷόν ἐστι, παυσάμενος Παυσανίας· καὶ, Σαμία μία ναῦς.

Παραγραμματίζων, Ludens nominibus ſimilem literarum ſonum habentibus. [Et παραγραμματισμὸς, Paragrammatiſmus, ſive annominatio;] quæ etiam παρήχημα [a Græcis] dicitur. *Timon hac annominatione eum perſtringens: Ut confinxit Plato conficta miracula ſciens.* Huiuſmodi etiam eſt, παυσάμενος Παυσανίας, & Σαμία μία ναῦς.

Παραγραμματισμός. ὅταν γράμμα ἀντὶ γράμματος τεθῇ· οἷον ἀντὶ τοῦ, μυρσίνη, βυρσίνη. β ἀντὶ τοῦ μ. ὡς [4] Ἀριστοφάνης ἀντὶ τοῦ μ τῷ β ἐχρήσατο. δέον γὰρ εἰπεῖν μυρσίνη, βυρσίνη εἴρηκε. ταῖς γὰρ μυρσίναις ἀποσοβοῦσι τὰς μυίας. ὁ δὲ ἔπαιξε διὰ τὸν βυρσοδέψην. καὶ μυρσίνῃ ἐστεφανοῦντο οἱ στρατηγοί. [5] ἢ ὡς ὅταν λέγῃ, ἐν Κλωπιδῶν, ἀντὶ τοῦ, Κεκροπιδῶν. λ᾽ ἀντὶ τοῦ ρ.

Παραγραμματισμός. Paragrammatiſmus, ſive annominatio; quæ fit, cum litera pro litera ponitur: ut cum pro μυρσίνη dicimus βυρσίνη, poſito β pro μ. Sic Ariſtophanes τῷ β uſus eſt pro μ. Cum enim dicendum eſſet μυρσίνη, (ramis enim myrteis muſcæ abigi ſolebant) βυρσίνη dixit, alludens ad βυρσοδέψην, i. e. coriarium. Et myrto coronabantur Imperatores. Vel, cum [idem Comicus] Κλωπιδῶν dixit pro Κρωπιδῶν, poſito λ pro ρ.

1 Θουκυδίδης] Lib. I. cap. XCI. ubi ſic legitur: Κελεύει αὐτοὺς μὴ λόγοις μᾶλλον παράγεσθαι, ἢ πέμψαι σφῶν αὐτῶν ἄνδρας, οἵτινες χρηστοὶ, καὶ πιστῶς ἀπαγγελοῦσι. Sic etiam apud Suidam ſcribendum eſt.

2 Παραγωγὴ λέγ.] Cum toto hoc loco confer Ælianum in *Tactic.* cap. XXXVII.

3 Τίμων οὕτωσὶ παραγραμματ.] Hæc ſumpta ſunt ex Laertio, apud quem in *Platone*, ſegm. XXVI. rectius ſic legitur: Ἀλλὰ καὶ Τίμων οὕτωσὶ παραγραμματίζων αὐτὸν (φησίν·)

Ὡς ἀνέπλασε Πλάτων, πεπλασμένα θαύματα εἰδώς.

Eundem verſum Timonis adducit etiam Athenæus lib. XII. qui pro ἀνέπλασε habet ἀνέπλαττε: quæ lectio ſono literarum ad vocem Πλάτων propius accedit, & proinde præferenda eſt.

4 Ὡς Ἀριστοφάνης] *Equit.* pag. 291. (194. Ed. Baſ. *P.*) ubi Comicus ſic inquit:

———Κἂν ἐᾷ τὸν δεσπότην

Ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων.

Scholiaſta ad eum locum: Ἀλλὰ βυρσίνην ἔχων. φυτεύει. ἱμάντα. ἔπαιξε δὲ παρὰ τὸ βυρσοδέψην εἶναι τὸν Κλέωνα, ἐναλλαγῇ στοιχείου ἐργασάμενος. ἔδει γὰρ εἰπεῖν, μυρρίνην ἔχων ἀποσοβεῖ τὰς μυίας. ταύτῃ γὰρ ἐστεφανοῦντο οἱ στρατηγοί. Ultima ſunt mutila, quæ ſic recte ſuppleveris, ταύτῃ γὰρ ἀποσοβοῦσι τὰς μυίας καὶ τῇ αὐτῇ ἐστεφανοῦντο &c. Sic enim ſcribendum eſſe & ex ſenſu & hoc loco Suidæ manifeſtum eſt.

5 Ἢ ὡς ὅταν λέγῃ, ἐν Κλωπιδ.] Hæc referenda ſunt ad locum il-

Παραγεάπτως,[1] καὶ παρεγγεάπτως. νόθους. ξένους.

Παραγεγράφθαι. Falſo in album civium relatos. Nothos. Peregrinos.

Παραγράφεται. ἐξουθενεῖ. παραιτεῖται. ἀποβάλλεται. καὶ ἐν συνθέσει, ἀπαράγραφον. Ὡς μάρτυς ἔχεις τὸ ἀπαράγραφον. περὶ Ἰακώβου τοῦ ἀδελφοθέου.

Παραγράφεται. Spernit. Repudiat. Rejicit. Exceptione utitur. Et compoſitum eſt, ἀπαράγραφον, adverſus quod nulla exceptio valet. *Es teſtis omni exceptione major.* De Jacobo fratre Chriſti hæc dicuntur.

Παραγραφή. ὅταν λέγῃ τις τὸ πρᾶγμα, περὶ οὗ τὸ ἔγκλημά ἐστιν, ὅπερ εἰσήχθη πρότερον εἰς δικαστήριον, καὶ γεγένηται περὶ αὐτοῦ γνῶσις, καὶ διὰ τοῦτό φησι, μὴ δεῖν ἔτι περὶ αὐτοῦ συνίστασθαι κρίσιν· μάλιστα δὲ τοὺς νόμους ἀναγινώσκειν τοῖς δικασταῖς, οἳ πλεονάκις δικάζεσθαι περὶ τῶν αὐτῶν οὐ συγχωροῦσι. λέγει δὲ περὶ αὐτοῦ τοῦ πράγματος, ἅμα τοῖς δικασταῖς παραδεικνύς, ὡς οἱ πάλαι δικάσαντες, καὶ δικαίως καὶ κατὰ τοὺς νόμους ψηφίσαντες. καὶ τοῦτό ἐστι παραγραφή. καὶ ἔστιν ἐκείνη τῇ δίκῃ, περὶ ἧς οὐδὲν ὥρισται παρὰ τοῖς νόμοις, οὐδὲ ἔνεστιν αὐτὴν ὁ εἰσάξων, ὥσπερ καὶ τὰς ἄλλας δίκας. τὴν γὰρ ἄλλων δικῶν πρόστακται ἑκάστῳ τῶν ἐν ταῖς ἀρχαῖς εἰσάγειν τινά. παραγράφεσθαι οὖν ἐφεῖται καὶ τοῖς τοιοῦτόν τι ἐγκαλουμένοις, περὶ οὗ οὐ νενομοθέτηται.

Παραγραφή. Præſcriptio, vel Exceptio. Ea eſt, cum quis contendit, rem, de qua eſt controverſia, in Judicium ante adductam, cognitionemque de ea habitam fuiſſe; & proinde denuo de ea judicandum non eſſe: ſed potius leges Judicibus eſſe recitandas, quæ de rebus iiſdem ſæpius judicare non ſinant. Porro, de ipſa etiam re controverſa verba facit, Judicibus oſtendens, eos, qui ante de re iſta judicarint, & juſte & ſecundum leges ſententiam tuliſſe. Et hoc vocatur παραγραφή. Dicitur etiam de cauſa, de qua legibus nihil definitum eſt, & quam nullus eſt qui in Judicium introducat, ut alias cauſas. Aliæ enim cauſæ ſingulæ ſuis aſſignatæ ſunt magiſtratibus, qui eas in Judicium introducant. Exceptione igitur illis etiam uti licet, quibus intenditur crimen aliquod, de quo nulla lex exſtat lata.

Παραγραφή.[2] οὐ μόνον ἐπὶ τοῦ κοινοῦ καὶ γνωρίμου τίθεται παρὰ τοῖς ῥήτορσιν· ἀλλ' ἰδίως Ἰσοκράτης παραγραφῆς εἶπεν, ἀντὶ τοῦ, ἀπὸ τῆς γραφῆς. καὶ ἔστι τὸ λεγόμενον παρ' αὐτῷ, ἀφ' οὗ παρέγραψα. τοῦτο δ' ἂν εἴη, ἀφ' οὗ παρεθέμην. ὁ δὲ Ὑπερείδης ἐν τῷ κατὰ Δημοσθένους, οὐδὲ μέχρι παραγραφῆς φησιν. ἀντὶ τοῦ, οὐδὲ [3] μέχρι τινὸς ὡρισμένου. καὶ παραγεγραμμένον, ὅπερ ἐστὶν ὡρισμένον.

Παραγραφή. Non ſolum apud Oratores pro Præſcriptione vel Exceptione ponitur, quæ ſignificatio communis eſt & nota: ſed peculiariter Iſocrates dixit, ἀπὸ τῆς παραγραφῆς, pro ἀπὸ τῆς γραφῆς, i. e. a ſcriptura. Et, ἀφ' οὗ παρέγραψα, pro ἀφ' οὗ παρεθέμην, i. e. ex eo, quod in medium attuli. Hyperides vero in oratione contra Demoſthenem, οὐδὲ μέχρι παραγραφῆς inquit, pro, Nec ad definitum uſque [tempus.] Et παραγεγραμμένον [interdum] ſignificat, definitum, circumſcriptum.

Παράδειγμα. εἰκών, ἢ χαρακτήρ, ἔννοιαν ἔχων αἰσθητοῦ πράγματος. ἰστέον δὲ, ὅτι ἄλλο παράδειγμα, καὶ ἄλλο παραβολή. παράδειγμα μὲν γάρ ἐστιν, ὅταν ἀντιπαραθῇ τις ὅμοιον ὁμοίῳ· οἷον λογικὸν λογικῷ. παραβολὴ δὲ, ὅταν ἀνόμοιον ἀνομοίῳ· οἷον ἀλόγῳ λογικὸν, ἢ ἔμπαλιν. ἢ παράδειγμά ἐστι λόγος ἀπὸ τῶν καθέκαστα ἐπὶ τὰ καθόλου. ἢ δεῖξις πιστουμένη τὸ μερικὸν διὰ μερικοῦ ὁμοίου.

Παράδειγμα. Exemplum, ſive imago & character, rem aliquam ſenſibilem ob oculos nobis ponens. Sciendum autem, aliud eſſe exemplum, aliud parabolam. Exemplum enim eſt, quum quis ſimile cum ſimili confert: ut cum quis comparat animal rationis capax cum rationis capaci. Parabola vero eſt, cum diſſimile comparatur cum diſſimili: ut brutum cum animali ratione prædito. Vel, Exemplum eſt oratio, a ſingularibus ad univerſalia [progrediens.] Vel, demonſtratio, quæ particulare per aliud particulare probat.

Παράδειγμα. τὸ[4] παράδειγμα τῆς ἐπαγωγῆς ἄλλο. ἡ μὲν γὰρ ἐπαγωγὴ ἐκ τῶν καθέκαστά ἐστιν ἐπὶ τὸ καθόλου ὁδός. παράδειγμα δὲ γίνεται, τὸ ὅμοιον, καὶ γνωριμώτερον τοῦ ὁμοίου, καὶ ἧττον γνωρίμου. διὸ ἐπαγωγὴ μὲν δι' ἑνὸς οὐ γίνεται· τὸ δὲ παράδειγμα ἀρκεῖ καὶ δι' ἑνὸς εἶναι. καὶ ἔστιν ἡ μὲν ἐπαγωγὴ τῷ διαλεκτικῷ οἰκειοτέρα· τὸ δὲ παράδειγμα, τῷ ῥήτορι. κέχρηται μέν τοι καὶ ὁ διαλεκτικὸς παραδείγμασιν ὑπὲρ σαφηνείας τοῦ λεγομένου, εἰ μὴ εἴη γνώ-

Παράδειγμα. Exemplum & Inductio ſunt diverſa. Nam Inductio eſt a ſingularibus ad univerſalia progreſſio. Exemplum vero eſt ſimile, & ſimili notius, & minus noto. Quamobrem Inductio per unum non fit. Exemplum vero ſi vel per unum fiat, ſufficit. Et Inductio magis convenit Dialectico; Exemplum vero, Oratori. Sed tamen & Dialecticus utitur exemplis, ad perſpicuitatem orationis, ſi non ſit dilucida; ut ſi per ſimilitudinem interroget. Interrogatio autem per exem-

lum Ariſtophanis in eadem fabula pag. 292. (195. Ed. Baſ. P.)
Τῷ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
Scholiaſta: Τὸ δ' ἐν Κλωπιδῶν, ἐναλλαγὴ πάλιν στοιχείου τοῦ ρ εἰς τὸ λ. Κρωπίδαι γὰρ δῆμος τῆς Λεοντίδος φυλῆς. ἔπαιξεν οὖν παρὰ τὸ κλέπτειν. Hinc Suidam emendabis.

1 Παραγεάπτως, καὶ παρεγγ.] Confer Noſtrum ſupra v. Ἀποψήφισις, & v. Διαψήφισις.

2 Παραγραφή. οὐ μόνον ἐπὶ τοῦ κ.] Ex Harpocratione.

3 Οὐδὲ μέχρι τινὸς ὡρισμ.] Harpocratio rectius: Οὐδὲ μέχρι τινὸς ὡρισμένου χρόνου καὶ παραγεγραμμένου ὅ ἐστι, περιγεγραμμένου. Sic etiam habet Photius in Lexico inedito.

4 Τὸ παράδειγμα τῆς ἐπαγωγ.————ὁμοιότητα πρός τι γνωρίμως σημαίνουσα] Hæc omnia deſcripta ſunt ex Alexandro Aphrod. in lib. VIII. *Topic.* pag. 254.

ριμον

ειμον· ὡς τὸ διὰ τῆς ὁμοιότητος πυνθάνεσθαι. παραδειγματικὸν γὰρ τὸ οὕτως ἐρωτῆσαι· Ἆρά γε τῶν ἐναντίων ἡ αὐτὴ ἐπιστήμη, ὥσπερ καὶ ἡ αἴσθησις; Παραδείγματος δὲ καὶ παραβολῆς διαφορά, ὅτι τὸ μὲν παράδειγμα δοκεῖ γεγονός τι εἰς δεῖξιν τινος παρατίθεσθαι μηδέπω γεγονότος, καὶ διὰ τοῦτο ἀδήλου. ἡ δὲ παραβολὴ εἰκών ἐστιν, ὁμοιότητα πρός τι γεγονὸς σημαίνουσα. † [1] Ἰστέον ὅτι τὰ παραδείγματα οὐ κατὰ πάντα λαμβάνεται, καὶ τοῖς προκειμένοις ἁρμόζεται, (ἐπεὶ οὐκ ἂν εἴη ὑποδείγματα, ἀλλὰ ταυτότης) ἀλλὰ δεῖ τὸ χρήσιμον ἡμᾶς, καὶ εἰς ὃ παρείληπται, ἐκλεξαμένους, τὸ λοιπὸν ἅπαν χαίρειν ἐᾷν· οἷον ὁ Πατριάρχης ὅτε λέγει περὶ τοῦ Σωτῆρος, Ἀναπεσὼν ὡς λέων· οὐ πάντα προσαρμόζομεν τῷ Χριστῷ, ἀλλὰ τὸ ἄμαχον, καὶ φοβερὸν, καὶ βασιλικὸν ἐκλαμβάνοντες, τὸ δὲ θηριῶδες, καὶ εἴ τι ἄλλο πρόσεστι, παραιτούμενοι. καὶ ὅταν λέγῃ, [2] Ἀπαντήσομαι αὐτοῖς ὡς ἄρκτος ἀπορουμένη, τὸ τιμωρητικὸν μόνον ἐκληψόμεθα, ἀλλ' οὐκ ἄλλο τι τῶν τῇ ἄρκτῳ προσόντων.

plum hoc modo fit: Eſt ne contrariorum eadem ſcientia, ſicut & ſenſus? Exempli vero & parabolæ hæc eſt differentia. Exemplum videtur eſſe factum aliquod, quod in medium affertur ad demonſtrationem alicujus rei, quæ nondum facta fuit, & quæ propterea eſt incerta. Parabola vero eſt imago ſimilitudinem ſignificans, quæ refertur ad aliquid, quod factum eſt. Sciendum eſt, exempla non ideo adhiberi, ut per omnia & ſimpliciter propoſito reſpondeant, (ſic enim non forent exempla, ſed res eadem) ſed oportet nos deligere id, quod utile eſt, & cujus cauſa aſſumptum eſt, reliqua vero omittere. Sic cum Patriarcha de Servatore noſtro dicit, *Recubans ut leo:* non omnia [quæ ſunt leonis propria,] Chriſto accommodamus, ſed tantum vim ejus invictam, & formidabilem, & regiam; feritatem vero, & ſi quid aliud leoni ineſt, præterimus. Et cum [Propheta] dicit, *Occurram illis ut urſa catulis orbata;* ſolam vim ultricem intelligemus, non vero aliud quicquam eorum, quæ urſæ inſunt.

Παράδεισος. ζήτει ἐν τῷ Σεμίραμις.

Παράδεισος. Paradiſus. Quære in voce *Σεμίραμις.*

Παρασταυρῶντες. Vallos defigentes. *Cum iis in locis, qua deſcendendum erat, vallos* [*utrinque*] *defixiſſent, & medium ſpatium aliis vallis tranſverſis firmaſſent, faſciculoſque lignorum in id conjeciſſent, deſcenſum molliorem & minus lubricum effecerunt.*

Παραστησάμενος. παραλαβών. ἑλών. καταστρεψάμενος.

Παραστησάμενος. Qui in poteſtatem ſuam redegit. Qui cepit. Qui ſubegit.

Παραστήσομαι ἐναντίον σου. ἐνώπιόν σου στήσομαι. Τὸ [2] πρωῒ παραστήσομαί σοι. τοῦτο δὲ ἁρμόδιον λέγειν τοῖς κατ' Ἠλίαν βεβιωκόσι, καὶ παθῶν [3] ὑπερανεστηκόσι.

Παραστήσομαι ἐναντ. Stabo coram te. In conſpectu tuo ſtabo. *Mane coram te ſtabo.* Hoc dicere convenit illis, qui Eliæ more vixerunt, & animi affectus domuerunt.

Παραστησόμεθα αὐτὸν εἰς κρίσιν. Πολιτείας ὀγδόῳ. ἀντὶ τοῦ, καταστήσομεν αὐτὸν εἰς κρίσιν. τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται. Ὁ δὲ ἐγκαλῶν, γράψας εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ [4] τὸ ἐπίσημον, μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσι.

Παραστησόμεθα αὐτὸν εἰς κρ. Judicio eum ſiſtemus. [Plato] lib. VIII. *de Republ.* Crimen enim, cujus reus poſtulabatur, ἀντωμοσία vocabatur. Actor autem nomen ſuum & mulctam in tabella ſcribebat, eamque per publicum miniſtrum reo tradebat.

Παραστιχίς. [5] Ἡρακλείδης ὁ Ποντικὸς [6] εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίοις, ὡς Σοφοκλέους. αἰσθόμενος δὲ ὁ Διονύσιος, ἐμήνυσεν αὐτῷ τὸ γεγονός. τοῦ δὲ ἀρνουμένου, καὶ ἀπιστοῦντος, ἐπέστειλεν ἰδεῖν τὴν παραστιχίδα· καὶ εἶχε, παγκάλως.

Παραστιχίς. Series verſuum, quorum primæ literæ nomen vel ſententiam aliquam componunt. *Heraclides vero Ponticus in quodam commentariorum ſuorum ejus teſtimoniis veluti Sophoclis utebatur. Id ſentiens Dionyſius, quid feciſſet, illi indicavit. Neganti vero & non credenti per epiſtolam ſignificavit, ut inſpiceret primas verſuum literas. Quod cum feciſſet, animadvertit, ex illis componi nomen hoc,* παγκάλως.

Παραστορῶ. ἐκτείνω. ἀπὸ τῶν βυρσῶν.
Ἐγώ [7] σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.

Παραστορῶ. Proſternam. Extendam. [Tranſlatio ducta eſt] a pellibus. *Ego te, per Herculem, humi ſternam.*

Παρὰ σφᾶς ὡς οὐκ ἔσπλειν. παρὰ Θουκυδίδῃ. ἀντὶ τοῦ σχεδὸν, ὡς τὸ μονονουχί.

Παρὰ σφ. Ad ſe propemodum navibus accedere. Thucydides. Ὡς οὐκ enim hic idem ſignificat quod σχεδὸν, vel μονονουχὶ, i. e. propemodum.

Παρὰ [8] σφῆσι. παρ' αὐταῖς. Παρὰ σφίσι δὲ, διὰ τοῦ ι, παρ' αὐτοῖς.

Παρὰ σφῆσι. Apud illas. Παρὰ σφίσι vero, per ι, apud illos.

1 Οἱ δὲ παρασταυρῶντες ξύλα τῇ καταβ.] Fragmentum hoc legitur etiam ſupra v. Ἐμάλθαξαν.

2 Τὸ πρωῒ παραστήσομαί σοι] Hæc ſunt verba Davidis Pſalm. V. 5. ſecundum verſionem τῶν LXX. Theodoretus ad illum locum: Οὐ παντὸς δὲ ἐστι λέγειν τῷ τῶν ὅλων Θεῷ, Παραστήσομαί σοι, καὶ ἐπόψει με· ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παῤῥησίαν λέγειν θαῤῥούντων, Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Hinc Suidas ſua hauſit, quamvis verba & ſententiam nonnihil immutaverit.

3 Ὑπερανεστηκόσι] Sic rectius MSS. Pariſ. quam priores Editt. in quibus legitur ὑπανεστηκόσι.

4 Τὸ ἐπίσημον] Vox hæc mihi ſuſpecta eſt, cujus loco forte ſcribendum eſt, ἐπίτιμον, i. e. pœna, vel mulcta: vel quod magis uſitatum eſt, ἐπιτίμιον. Actores enim olim non ſolum nomen ſuum, & crimen, cujus adverſarium poſtulaturi erant, in tabella aliqua perſcribere ſolebant, ſed etiam pœnam vel mulctam, qua reus afficiendus erat. Id colligo ex loco hoc Ariſtophanis *Veſpis* pag. 494.

Ἀκούετ' ἤδη τῆς γραφῆς ἐγράψατο
Κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα.
Τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιε
Τὸν Σικελικόν. τίμημα κλῳὸς σύκινος.

Id eſt: *Audite cujus criminis nunc poſtulet Canis Cydathenæenſis Labetem Æxonenſem. Injuriam eum feciſſe dicit, quod ſolus caſeum Sicanum comederit: pœnamque eſſe collare ficulnum.* Eſt quidem dica hæc ficta, & ridiculi tantum gratia a Comico excogitata, ſed tamen ad imitationem veri expreſſa: adeo ut morem veterum tuto inde colligere liceat. Sed idem, quod dixi, clare etiam confirmat Laertius in *Socrate*, ſegm. XL. ubi ex Phavorino refert dicam, Socrati ab adverſariis ſcriptam, quæ his verbis concepta erat: Τάδε ἐγράψατο καὶ ἀντωμολογήσατο Μέλιτος Μελίτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν. Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα δὲ καινὰ δαιμόνια εἰσηγούμενος. ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. ΤΙΜΗΜΑ θάνατος. Id eſt: *Melitus Meliti filius, Pithenſis, Socrati Sophroniſci filio Alopecenſi hanc dicam ſcribit. Adverſus leges Socrates peccat, Deos negans, quos ex majorum inſtituto civitas ſuſcepit; aliaque eorum loco nova dæmonia inducens. Idem contra jus & fas juvenes corrumpit. Pœna illi mors.* En, expreſſe in formula hac accuſationis pœnæ mentionem factam eſſe vides: quod conjecturam noſtram egregie, ut diximus, confirmat, & tantum non veram eſſe demonſtrat.

5 Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τ.] Hæc ſunt verba Laertii in *Heraclide Pontico*, ſegm. XCII. XCIII. unde ſenſus hujus loci ſupplendus eſt.

6 Εἴς τι τῶν ἰδίων συγγρ. ——— ὡς Σοφοκλέους] Locum hunc ex MS. Pariſ. A. & Laertio emendavi, qui in prioribus Editt. ſic legitur: Εἴ τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίαν, ὡς Σοφοκλέα. Peſſime.

7 Ἐγώ σε, νὴ τὸν Ἡρ.] Senarius hic legitur apud Ariſtophanem *Equit.* pag. 356. (216. Ed. Baſ. *P.*)

8 Παρὰ σφῆσι. παρ' αὐτ.] Locum hunc ex MSS. Pariſ. ſupplevi, qui in prioribus Editt. ſic legitur: Παρὰ σφίσι δὲ, διὰ τοῦ ι, παρ' αὐτοῖς, παρ' αὐταῖς.

Παραχ-

Παρασχεδόν. παραυτίκα.

Παρασχηματίζειν. [1] Τοὺς τοῦ βασιλέως στρατιώτας διέβαλε, φάσκων, τούτους μὲν παρασχηματίζειν, οὐδεμίαν ἀληθινὴν χρείαν παρεχομένους τοῦ ἀληθοῦς παρατρέπεσθαι.

Παρασχόν. ἐπίρρημα. Εἰ δέ γε παρασχὸν οὕτω κατάδηλος γένηται δόξαι λέγειν, ὡς παραγέγονε λέξων περὶ τῶν πρέσβεων.

Παράταξις. πόλεμος ἐμπαράσκευος.

Παραταχθείς. παρ' αὐτὸν ταχθείς.

Παρατέθηγμαι. ἠκόνημαι.

Παρατενθεὶς.[2] ἀπολεῖς. ἐπὶ πλέον παρελκύσεις.

Παρατέταμαι. ἐξώγκωμαι. [3] Ἀριστοφάνης·

Ἅλις ἀφύης. παρατέταμαι γὰρ ἐσθίων.

λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

Παρατετολμηκότες. ἑαυτῶν ἀφειδήσαντες. Πολύβιος· Παρατετολμηκότες, καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν.

Παρατεῖναι. τὸ ἐπιλεῖψαι, καὶ ἀπολέσαι. κωμικῶς ἐπὶ Εὐβοίας·

Οἶδ'. [4] ὑπὸ γὰρ ὑμῶν παρετάθη, καὶ Περικλέους.

Παρὰ τὴν αὐτῶν φύσιν. ἀντὶ τοῦ, παραδόξως. Οἱ δὲ τύραννοι παρὰ τὴν αὐτῶν φύσιν ἠδέσθησαν τὴν ἱέρειαν κακῷ τῳ περιβαλεῖν.

Παρατηρημάτων. ἐπιτηρήσεων, κληδονισμῶν, καὶ ἀπαντήσεων, οἰωνοσκοπιῶν, καὶ μαντειῶν.

Παρατίλλεται. [5] διασείεται. τὰς τρίχας τοῦ πρωκτοῦ διασείεται. αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς, ἀποραφανίδωσις καὶ παρατιλμοὶ τοῖς πένησιν· οἱ δὲ πλούσιοι χρήματα παρέχοντες, ἀπελύοντο. οἱ δὲ ἀποροῦντες, μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν [6] πυγήν, δημοσίᾳ ταῦτα ἔπασχον. Ἀριστοφάνης Πλούτῳ·

Ὁ δ' ἁλοὺς γε μοιχὸς διὰ σέ που παρατίλλεται.

καὶ αὖθις [7] Ἀριστοφάνης· Παρατίλλω τρίχας. παρατίλλομαι δέ, ἐκ τῶν μυκτήρων τίλλω τρίχας, ἢ τῶν μασχαλῶν. ταῦτα δὲ πάντα ποιοῦσιν οἱ προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ τυγχάνοντες τοῦ προκειμένου λογισμοῦ. ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται, ἀλύουσι [8] καὶ ἐπιγράφουσι.

Παρὰ [9] τὸ καθεστηκός. οἷον παρὰ τὸ νόμιμον. παρὰ τὸ πρέπον.

Παράτοπον. εἰς κακὸν τόπον. Παράτοπον ὁρμήσαντες διὰ τὴν ἀπειρίαν. ἔστι δ' ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης.

Παρασχεδόν. Confeſtim. Statim.

Παρασχηματίζειν. Formam vel figuram alicui rei inducere. *Regis milites vituperabat, dicens, eos falſam ſpeciem præ ſe ferre, nullumque verum uſum præbentes, a veritate aberrare.*

Παρασχόν. Adverbium. Quum occaſio tulerit. *Quum vero occaſione ferente de Legatis aperte locutus fuerit, ut venit de iis dicturus.*

Παράταξις. Acies inſtructa.

Παραταχθείς. Juxta aliquem collocatus.

Παρατέθηγμαι. Acutus ſum.

Παρατενθείς. Perdes. Longius protrahes.

Παρατέταμαι. Extenſus ſum. Diſtentus ſum. Ariſtophanes: *Satis eſt apuæ. Edendo enim diſtentus ſum.* Dicitur enim & ſingulari numero ἀφύη.

Παρατετολμηκότες. Cœca audacia in periculum ruentes. Polybius: *Cœca audacia in periculum ruentes, ut qui omnem ſalutis ſpem penitus abjeciſſent.*

Παρατεῖναι. [Producere. Extendere. Item,] atterere. Perdere. De Eubœa [Ariſtophanes] Comice dicit: *Novi. A nobis enim & Pericle protenſa eſt.*

Παρὰ τὴν αὐτῶν φύσιν. Præter naturam ſuam. Præter morem ſuum. *Tyranni autem præter morem ſuum ſacerdotem ullo malo afficere veriti ſunt.*

Παρατηρημάτων. Obſervationum. Ominationum. Auguriorum. Divinationum.

Παρατίλλεται. Vellitur. Vulſuram podicis patitur. In adulteros enim hæc pœna conſtituta erat, ut podicibus eorum infereretur raphanus, pilique ipſis evellerentur, ſi pauperes eſſent. Divites enim pecunia data hanc pœnam effugiebant. At pauperes, [ut dictum eſt,] cum pecunia podicem redimere non poſſent, pœnam iſtam publice patiebantur. Ariſtophanes *Pluto: Mœcho vero in adulterio deprehenſo propter te podex vellitur.* Et iterum Ariſtophanes: [*Dubito, ſcribo,*] *pilos mihi evello.* Παρατίλλομαι enim hic ſignificat, ex naribus vel axillis pilos vello. Hæc autem omnia facere ſolent illi, qui anxie aliquid quærunt, omneque tempus hæſitando & dubitando conſumunt, nec quod volunt commentum invenire queunt. Cum enim ipſi ſoli ſecum meditantur, animo ſunt anxio, & [digitis in pariete aliquid] pingere vel deſcribere ſolent.

Παρὰ τὸ καθ. Præter id, quod legibus conſtitutum eſt. Contra mores receptos. Præter decorum.

Παράτοπον. In locum malum & incommodum. *Cum propter imperitiam in loca iniqua incidiſſent. Interdũ etiam propter æſtum maris.*

1 Τοὺς τοῦ βασιλέως στρατ.] Hoc fragmentum an Polybio tribuendum ſit, dubitat Caſaubonus.

2 Παρατενθείς] Scribe παρατενεῖς, ut habet Heſychius. Confer etiam Noſtrum paulo inferius v. Παρατεῖναι.

3 Ἀριστοφάνης] In *Tageniſtis*, ut docet Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 401. (287. Ed. Baſ. *P.*)

4 Οἶδ'. ὑπὸ γὰρ ὑμῶν παρ.] Hæc ſunt verba Ariſtoph. *Nubibus*, pag. 135. (70. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam.

5 Παρατίλλεται. διασείεται. τὰς τρ.] Ex Scholiaſta Ariſtoph. ad *Plutum* pag. 18. (9. Ed. Baſ. *P.*)

6 Πυγήν] Sic recte habet Enarrator Comici loco laudato. At in prioribus Editt. male legitur, φυγήν.

7 Ἀριστοφάνης] *Acharnenſibus*, p. 371. (262. Ed. Baſ. *P.*) ubi legitur: Ἀπορῶ, γράφω, παρατίλλομαι, ——— Scholiaſta: Παρατίλλομαι. τὰς ἐκ τῶν μυκτήρων τίλλων τρίχας, &c. Sic etiam apud Suidam ſcribendum eſt.

8 Καὶ ἐπιγράφουσι] Scholiaſta Ariſtophanis rectius habet, καὶ ἐπὶ τῆς γῆς διαγράφουσι.

9 Παρὰ τὸ καθεστηκός. οἷον π.] Ex Scholiaſta Thucydidis ad librum I. cap. XCVIII.

Παράτον.

Παράτον.[1] ἡ παρασκευὴ παρὰ Ῥωμαίοις. ἐξ οὗ καὶ ἀντιπαράτωρα, ἡ κόσμησις, ἡ ἄλλη εὐπρέπεια.

Παρὰ τοσόνδε ἧκον ἀπορίας ὑπὸ τῶν κακοπραγιῶν, ὥστε ἀπὸ τῶν κυνηγεσίων ἐτρέφοντο.

Παρὰ τούτου. ἀντὶ τοῦ, ἀπὸ τούτου. καὶ παρὰ τοῦτον, ἀντὶ τοῦ, πρὸς τοῦτον. οὕτω πανταχοῦ Ἀῤῥιανός.

Παρατριβή. λογομαχία. ἔρις. Τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν.

Παρατρύζει. παραφωνεῖ. εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων, ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσι.

Παρατυχόν. ἀντὶ τοῦ, παρατυχόντος· ὡς καὶ ἐξὸν, ἀντὶ τοῦ ἐξόντος.

Παραυδήσας.[2] παραμυθησάμενος.

Πάραυλος.[3] ὁ ἐν ἀγροῖς. ἢ [4] πάραυλος, παρατεταμένη. ἢ ἐγγὺς παρὰ τὴν αὐλήν. ἢ θρηνητικὴ παρὰ τοὺς αὐλούς. Σοφοκλῆς·

Τίνος βοὴ πάραυλος ἐξέβη νάπους.

Παραυτόθεν. αὐτίκα. ἀπὸ τοῦ παρόντος χρόνου. Ἀῤῥιανός· Παραυτόθεν, ὡς ἔχομεν, ἐπεξελθόντες, ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης.

Παράφορος. ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος. [5] Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ τῇ χαλίστῃ [ὑπὸ] δαιμόνων ἐκριπισθέντες ἀπολώλασι.

Παραφρόνιμον.[6] παράφρονα. ἀνόητον. καὶ ἄπορον περὶ τὰ φρονήματα.

——Ἴσθι δὲ,
Παραφρόνιμον, ἄπορον
Ἐπὶ φρόνιμα πεφάνθαι
Μ' ἄν, εἴ σε νοσφίζομαι.

Παραφρυκτωρευόμενος. οἱ κακουργοῦντες [7] παρὰ τὰς φυλακάς, καὶ φρυκτοὺς ἀναπτόντες, ἐναντίως τοῖς πεπιστευκόσι τὴν φυλακήν, καὶ ἐπὶ τοῖς συμφέρουσι τῶν ἀντικαθεζομένων, παραφρυκτωρεύεσθαι λέγονται· ὥς φησι [8] Λυσίας· Τούτων εἷς ὁ πρεσβύτης ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου, ἀπετυμπανίσθη.

Παραφρυκτωρεῖν.[9] τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι· τουτέστιν, ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων· ὡς καὶ Δείναρχος ἐν οἰκείῳ λόγῳ ἐχρήσατο.

Παραφυλάσσω. προσδοκῶ. Ἰώσηπος· Παραφυλάσσω γὰρ ἐν Χάλβῳ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι διὰ ἐννοίας ἔχοντα.

Παράτον. Sic apud Romanos dicitur id, quod Græce vocatur παρασκευή, i. e. apparatus. Unde & ἀντιπαράτωρα dicitur ornatus, & apparatus decorus.

Παρὰ τοσόνδε ἧκον ἀπορ. *Propter calamitates ad tantam inopiam redacti ſunt, ut venatione vitam ſuſtentare cogerentur.*

Παρὰ τούτου. Pro ἀπὸ τούτου. Ab hoc. Et παρὰ τοῦτον, pro πρὸς τοῦτον. Ad hunc. Sic ubique Arrianus.

Παρατριβή. Verborum contentio. Jurgium. Rixa. *Contentionem, quæ ipſi cum altero interceſſerat, & æmulationem* [*damnabat.*]

Παρατρύζει. Adſtridet. Adſtrepit. Sumptum eſt ab avibus, quæ juxta pullos ſuos triſtem gemitum edunt.

Παρατυχόν. [Attice] pro παρατυχόντος: ut ἐξὸν, pro ἐξόντος.

Παραυδήσας. Conſolatus.

Πάραυλος. In agris commorans. Vel πάραυλος, juxta aliquid extenſa. Vel propinqua. Ab αὐλή, aula. Vel, lugubris. Ab αὐλός, tibia. Sophocles: *Cujus eſt vox illa lugubris, quæ ex luco ad aures noſtras pervenit?*

Παραυτόθεν. Statim. Confeſtim. A præſenti tempore. Arrianus: *Statim, ut nunc ſumus inſtructi, hoſtem adoriamur, & manibus pugnæ finem imponamus.*

Παράφορος. Inſanus. Fanaticus. *Una cum ipſis fanatico furore correpti, & inſana hac peſſimaque ambitione a dæmonibus agitati perierunt.*

Παραφρόνιμον. Amentem. Dementem. Stultum. Vel, conſilii & prudentiæ expertem. [Sophocles:] *Scias vero, me imprudentem & mentis expertem viſum iri, ſi te hinc ejiciam.*

Παραφρυκτωρευόμενος. Qui mala fide excubias agunt, faceſque e ſpecula tollunt, ut eos, qui ipſis cuſtodiam crediderunt, prodant, hoſtibus vero opportuno tempore ſignum dent, dicuntur παραφρυκτωρεύεσθαι. Lyſias: *Horum unus, iſque natu major, qui in Sicilia facibus accenſis hoſti ſignum dederat, a Lamacho captus, fuſtiumque ictibus necatus eſt.*

Παραφρυκτωρεῖν. Facibus, quibus e ſpecula ſignum datur, mala fide, & ſecus ac par eſt, uti: id eſt, in hoſtium commodum, amicorum vero perniciem. Sic & Dinarchus in oratione quadam hoc verbo uſus eſt.

Παραφυλάσσω. Obſervo. Expecto. Joſephus: *Chalbi Placidum expecto, qui in Galilæam proficiſci cogitat.*

1 Παράτον. ἡ παρασκ.] Hæc leguntur etiam ſupra v. Ἀντιπαράτωρα: ſed ubi, uti & hic, ſcribendum eſt ἀντιπαράτωρα.

2 Παραυδήσας. παραμυθ.] Ex Scholiaſta Homeri ad Odyſſ. ο. v. 53.

3 Πάραυλος. ὁ ἐν ἀγροῖς] Hæc pertinent ad locum illum Sophoclis Oedip. Colon. pag. 297.

Ἀλλ' ὡς πάραυλον οἰκίσης——

Scholiaſta ad illum locum: Ὡς πάραυλον. ἀντὶ τοῦ, ἐν ἀγροῖς.

4 Ἡ πάραυλος, παρατεταμένη. ἢ ἐγγ.] Hæc deprompta ſunt ex eodem Scholiaſta ad *Ajacem*, pag. 53. ut Portus monuit.

5 Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφ.] Fragmentum hoc eſſe Æliani diſcimus ex Suida infra v. Ῥιπίζεται.

6 Παραφρόνιμον. παράφρ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Tyran.* pag. 181. ut Portus obſervaverat.

7 Παρὰ τὰς φυλ.] Potius, περὶ τὰς φυλ. ut legitur infra v. Φρυκτός: ubi totus hic locus repetitur.

8 Λυσίας] Orat. contra Agoratum, pag. 136. ubi locum integrum vide.

9 Παραφρυκτωρεῖν. τὸ τοῖς φρ.] Ex Harpocratione.

Παραχαράκτης. διαστροφεύς.

Παραχαράκτης. Qui falſam monetam cudit.

Παραχναύω. δοτικῇ.

Παραχναύω. Dativo jungitur. Juxta aliquem aliquid deglutio, vel devoro.

Παραχορδιεῖς.[1] παράσημον ποιήσῃς. μηδὲν προσφθέγξῃ, ἀλλ' ἃ δεῖ εἰπεῖν, εἴπῃς, σαυτῷ προσέχων. [2]Ὅπως μηδὲν παραχορδιεῖς ὧν δεῖ σ' ἀποδεῖξαι.

Παραχορδιεῖς. Abſonum, abſurdum, indecorum quid facies. Nihil extra propoſitum dicas, ſed quæ dicere oportet, ea dic, diligenti cautione adhibita. *Ne quid inepti proferas, cum de argumento quodam verba facienda tibi ſunt.*

Παραχορδίζειν. διαφωνεῖν. ἁμαρτάνειν.

Παραχορδίζειν. Diſcrepare, Peccare. Turpiter ſe dare.

Παραχωρῶ. οἱ μὲν ἀπὸ γενικῆς εἰς δοτικήν· οἱ δὲ τοὐναντίον. Παραχωρῆσαι τῶν θρόνων τοῖς βουλομένοις.

Παραχωρῶ. Cedo. Concedo. Alii quidem a genitivo ad dativum [transferunt:] alii, contra. *Solio quibuſvis cedere.*

Παραχρῆται. πολὺ, σφοδρῶς συνουσιάζει. ἀκολάστως μίγνυται. εἴρηται δὲ καὶ περὶ ἑκάστου πράγματος ἐκ περιουσίας γινομένου. περὶ [3]Ὠριγένους. Σοὶ δὲ [4] κακομηχανία εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη. αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασας εἰς παράχρησιν τοῦ σώματος.

Παραχρῆται. Nimio coitu venereo utitur. Intemperans eſt in venerem. Dicitur vero & de qualibet alia re, quæ immoderate fit. De Origene. *Tibi vero mala techna in virum turpiſſimum excogitata eſt. Æthiopem enim ſubornaſti, qui corpore ejus abuteretur.*

Παραχρῆμα. παραυτίκα. εὐθέως. Μηδὲν δὲ μηδὲ ἐκ τοῦ παραχρῆμα ἀποκριναμένων. ἢ ἀντὶ τοῦ, ἐκ τοῦ παρατυχόντος. Καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμητό τε ἐξιέναι, καὶ ψηφίσματι τὴν στρατείαν ἐκύρωσαν, ὥρμητό τε πᾶς ἐς τὴν ἐπιχείρησιν. Δέξιππός φησι.

Παραχρῆμα. Confeſtim. Statim. Ex tempore. *Cum autem ne ex tempore quidem quidquam reſpondiſſent.* Vel pro ἐκ τοῦ παρατυχόντος, i. e. pro re nata. Subito. *Cum autem ſubito impetum cepiſſent ad bellum proficiſcendi, & expeditionem illam publice decreviſſent, & quilibet ad rem aggrediendam cupide ſe pararet.* Dexippus ait.

Παρδακόν.[5]

Παρδακόν. Humidum.

Παρδαλῆ. παρδάλεως δορά. [6]Ἀριστοφάνης· Πέμψω ἐπ' αὐτὸν ὄρνις πορφυρίωνας, παρδαλᾶς ἐνημμένους.

Παρδαλῆ. Pellis pardi. Ariſtophanes: *Mittam in ipſum aves porphyriones, pardi pellibus indutas.*

Πάρδαλις· τὸ ζῶον. [7]Ὅμηρος·

Θώων, παρδαλίων τε, λύκων τ' ἤια πέλονται.

Καὶ [8]Ἀριστοφάνης·

Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
Οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις.

Πάρδαλις. Pardalis. Panthera. Homerus: *Luporum cervariorum pardorumque & luporum eſca ſunt.* Et Ariſtophanes: *Nulla eſt bellua magis intractabilis, quam fœmina: nec ignis, nec adeo impudens ulla panthera.*

Παραιβάτης.

Παραιβάτης. [Poetice, pro παραβάτης.]

Παραινῶ. δοτικῇ. καὶ παραίνεσις, ἡ ἀγαθὴ συμβουλή.

Παραινῶ, Dativo jungitur. Suadeo. Adhortor. Præcipio. Et παραίνεσις, adhortatio, præceptum.

Παραίνεσις[9] συμβουλῆς διαφέρει. Παραίνεσις μὲν γάρ ἐστι λόγος παραινετικὸς, ἀντίρρησιν οὐκ ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ τὸ θεῖον τιμᾶν. οὐδεὶς γὰρ ἐναντιοῦται ταύτῃ τῇ παραινέσει, μὴ πρότερον μανείς. Συμβουλὴ δέ ἐστι λόγος συμβουλευτικὸς, ἀντίρρησιν ἐπιδεχόμενος· οἷον ὡς εἴ τις εἴποι, ὅτι δεῖ πολεμεῖν. πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ πολέμου κέρδη. ἕτερος δέ τις ἀντείποι, ὡς οὐ δεῖ πολεμεῖν. πολλὰ γάρ ἐστι τὰ ἐκ τοῦ πολέμου συμβαίνοντα, οἷον ἧττα, αἰχμαλωσία, πληγαὶ, πόλεων κατασκαφαί.

Παραίνεσις differt a συμβουλή. Παραίνεσις enim eſt oratio, qua aliquem [ad virtutem] adhortamur, quæque nullam contradictionem admittit: ut ſi quis dicat, Numen divinum eſſe colendum. Nemo enim præcepto huic repugnat, niſi ſit inſanus. Συμβουλὴ vero eſt oratio, qua alteri aliquid ſuademus, ſed quæ contradictionem admittit: ut ſi quis dicat, bellum eſſe gerendum. Multa enim ex bello commoda percipi. Alius vero contra hæc dicat, bellum non eſſe gerendum. Multa enim eſſe belli incommoda, veluti cladem, captivitatem, vulnera, urbium excidia.

Παραιξορούσιν.[10] Ἀριστοφάνης Ταγηνισταῖς. ἀπέδω-

Παραιξορούσι. Ariſtophanes *Tageniſtis*. Qui-

1 Παραχορδιεῖς] Confer Noſtrum ſupra v. Παραγκαχόρδιος.
2 Ὅπως μηδὲν παραχορδ.] Hæc ſunt verba Ariſtophanis *Ecclesiaz.* pag. 732. (492. Ed. Baſ. *P.*)
3 Περὶ Ὠριγένους] Hæ duæ voces in prioribus Editt. deſunt, quas ex MS. Parif. A. revocavi.
4 Σοὶ δὲ κακομηχανία εἰς αἰσχ.] Locus hic, ſed paulo aliter conceptus, legitur etiam ſupra v. Ὠριγένης: quo Lectorem remitto.
5 Παρδακόν] Voce hac uſus eſt Ariſtophanes in *Pace*, pag. 708. (477. Ed. Baſ. *P.*) ubi Scholiaſta eam exponit δίυγρον.
6 Ἀριστοφάνης] *Avibus*, pag. 599. (415. Ed. Baſ. *P.*) ubi locus hic ita legitur & diſtinguitur:

Πέμψω δὲ πορφυρίωνας ἐς τὸν οὐρανὸν
Ὄρνις ἐπ' αὐτὸν, παρδαλᾶς ἐνημμένους.

7 Ὅμηρος] Il. N. v. 103.
8 Ἀριστοφάνης] *Lyſiſtrata* pag. 899. (564. Ed. Baſ. *P.*)
9 Παραίνεσις συμβουλῆς διαφ.] Confer omnino Ammonium v. Συμβουλή, qui eadem habet, quamvis aliis verbis.
10 Παραιξορούσι] Michael Apoſtolius, qui locum hunc ex Suida repetit, habet παραιξορούσι. Sed, ut breviter dicam, eſt vox omnino obſcura & de qua nihil certi ſtatuere poſſis.

καν

ἥκειν δὲ οἱ μὲν, παιδιᾶς εἶδός τι. Εὐφρόνιος δὲ παροιμιωδῶς λέγεσθαι ἐπὶ τῶν παρακελευομένων ταχέως ἥκειν, ἢ ἀπαλλάττεσθαι.

Παραιρήσεται. ἀφαιρήσεται. [1] Θουκυδίδης· Διέφθειρον σφᾶς αὐτοὺς, οἱ μὲν ἀπὸ κλινῶν σπάρτα· οἱ δὲ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, (τουτέστιν, ἀφαιρήματα) ἀπήγχοντο.

Παραιροῦνται. ἀφαιροῦνται. καὶ παραιρούμενος. [2] Ὁ δὲ ἐξόπισθεν πλέων, παραιρούμενος φθάνει τοῦ δρόμου. ἀντὶ τοῦ, ἀφαιρούμενος. καὶ αὖθις· Ὥστε αὐτοῖς ἡμᾶς συγγνώμονας εἶναι οὐδεμία μηχανὴ ἔσται, τοῦ τῶν ἐγκλημάτων ὄγκου παραιρουμένου τοῖς ἠδικηκόσι τὸν ἔλεον.

Παραίσια. [3] ἀπαίσια. χαλεπά.

Παρὰ [4] τὸ δέον. παρὰ τὸ προσῆκον.

Παραιτεῖσθαι. παρακαλεῖν. συγγνώμην αἰτεῖν. [5] Ὁ δὲ ἀναιρεῖν μέλλων αὐτὸν, ἀφῆκε, Παρυσάτιδος παραιτησαμένης αὐτὸν, καὶ τὴν σωτηρίαν αὐτῷ φυλαξάσης. καὶ αὖθις· Ὁ δὲ ῥύεται Δερκέταιον τοῦ θανάτου, παραιτησάμενος τὴν μητέρα.

Παραιτηθείς. παρακληθείς. Παραιτηθεὶς δὲ διὰ τῶν φίλων, τοῦτον ἀπέλυσε τῆς αἰτίας.

Παρῃτεῖτο. παρεκάλει. ἐλιπάρει. Ὁ δὲ ἐλθὼν, παρῃτεῖτο τὸν Πέρσην. τυγχάνων δὲ οὐδενὸς, ὧν ἐδεῖτο, αὐτὸς ἔλυσεν. Ἡρόδοτος.

Παραιτησόμενος. [6] Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτησόμενος τοῦ Θεοῦ δι' αὐτοῦ τὸν χόλον,

Νήπιος, [7] οὐδὲ τὸ ᾔδει, ὃ πείσεσθαι ἔμελλεν.
Οὐ γὰρ τ' αἶψα Θεῶν τρέπεται νόος αἰὲν ἐόντων.

Παραιτητής. παρακλήτωρ. ἢ ἀπολογούμενος.

Παραιτοῖτο. παρακαλοῖ. ἀπαγορεύοι. [8] Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος, παρελθὼν, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, [9] εἰ μὴ ἀγωνίζοιτο.

Παραιτοῦμαι. τὸ ἱκετεύω. αἰτιατικῇ.

Παραίφασις. παραίνεσις. συμβουλή.

Παρέβαλεν. ἐχθροὺς καὶ ἀλλοτρίους εἰργάσατο. [10] Ὁ

dam voce hac genus quoddam luſus ſignificari ajunt: Euphronius vero proverbialiter hoc dici tradit de iis, qui aliquos celeriter venire aut diſcedere jubent.

Παραιρήσεται. Auferetur. Detrahetur. [Et παραιρήματα. Fruſta, quæ ex veſtibus, vel alia quavis re detrahuntur.] Thucydides: *Necem ſibi conſciverunt, alii quidem vinculis lectorum, alii vero laciniis, quas ex veſtibus detraxerant, ſe ſtrangulantes.*

Παραιροῦνται. Auferunt. Detrahunt. Et παραιρούμενος, auferens, detrahens. *Ille vero a tergo navigans,* [*vento ipſi*] *adempto, curſu eum antevertit.* Et iterum: *Nullo modo fieri poteſt, ut horum factorum ipſis veniam demus, ſcelerum magnitudine omnem miſericordiæ ſpem maleficis adimente.*

Παραίσια. Infauſta. Gravia. Moleſta.

Παρὰ τὸ δέον. Præter officium. Præter decorum.

Παραιτεῖσθαι. Deprecari. Veniam petere. *Ille vero, cum eum eſſet interfecturus, ipſum dimiſit, Paryſatide pro eo deprecante, & præfecturam ipſi conſervante.* Et iterum: *Ille vero Dercetæum a morte liberat, matrem pro ipſo deprecatus.*

Παραιτηθείς. Aliquorum precibus ac deprecationibus exoratus. *Amicorum autem precibus exoratus, eum criminis iſtius abſolvit.*

Παρῃτεῖτο. Deprecabatur. Precabatur. Orabat. *Ille vero, cum ad Perſam veniſſet, eum deprecatus eſt. Cum autem precibus nihil proficeret, ipſe eum ſolvit.* Herodotus.

Παραιτησόμενος. Deprecaturus. Exoraturus. *Aurum reſtituit, quaſi Dei iram hac ratione deprecaturus: ſtultus utique, & qui non noſſet, eum precibus ſuis apud Deum nihil profecturum eſſe. Haud facile enim Deorum immortalium mens flectitur.*

Παραιτητής. Deprecator. Vel reus, qui cauſam dicit, & pœnam deprecatur.

Παραιτοῖτο. Deprecetur. Precetur. Petat. *Perinde ac ſi quis inter pugiles nomen ſuum in Gymnicis ludis profeſſus, poſtmodum ſtadium ingreſſus, ubi pugnandum eſſet, a ſpectatoribus veniam ſibi dari peteret, ſi laborem & plagas ferre non poſſet.*

Παραιτοῦμαι. Deprecor. Suppliciter oro. Accuſativo jungitur.

Παραίφασις. Admonitio. Adhortatio. Conſilium.

Παρέβαλεν. Objecit. Inimicos reddidit. *Ille*

1 Θουκυδίδης] Lib. IV, cap. XLVIII. ubi ſic legitur: Καὶ ἄνδρες οἱ πολλοὶ σφᾶς αὐτοὺς διέφθειρον, οἰστούς τε, οὓς ἀφίεσαν ἐκεῖνοι, εἰς τὰς σφαγὰς καθιέντες, καὶ ἐκ κλινῶν τινων, αἳ ἔτυχον αὐτοῖς ἐνοῦσαι, τοῖς σπάρτοις, καὶ ἐκ τῶν ἱματίων παραιρήματα ποιοῦντες, ἀπαγχόμενοι &c. Hinc Suidas ſupplendus & emendandus eſt.

2 Ὁ δὲ ἐξόπισθεν κτλ.] Si ariolari licet, locum hunc ſic ſcribendum & ſupplendum eſſe putem: Ὁ δὲ ἐξόπισθεν πλέων, παραιρούμενος αὐτοῖς τὸν ἄνεμον, φθάνει, &c. Sed hæc tantum mera eſt conjectura.

3 Παραίσια] Vide Scholiaſtam Homeri ad Il. Δ. v. 381.

4 Παρὰ τὸ δέον. παρὰ τὸ πρ.] Hæc cum articulo præcedenti connectenda ſunt. Αἴσια enim præter alia ſignificat etiam idem quod τὸ καθῆκον, vel τὸ δέον. Unde παραίσια (quod non ſolum eſt adjectivum, ſed etiam ἐπιρρηματικῶς interdum accipitur) recte interpretaberis παρὰ τὸ δέον, vel παρὰ τὸ προσῆκον.

5 Ὁ δὲ ἀναιρεῖν μέλλ.] Ex Xenophonte.

6 Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτ.] Hæc ſunt verba Dionyſii Halicarnaſſenſis de Pyrrho, ut patet ex Collectaneis Conſtantini Imperatoris, a Valeſio editis, pag. 542. ubi locum integrum vide.

7 Νήπιος, οὐδὲ τὸ ᾔδ.] Sunt duo verſus Homerici Odyſſ. Γ. v. 146. 147. quorum prior ſic apud poetam legitur,

Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν.

Sic etiam apud Suidam ſcribendum eſt: quippe apud quem verſus iſte propter defectum particulæ οὐ claudicat. Cæterum, ut hoc obiter moneam, pro ὃ οὐ apud Homerum ſcripſerim potius ὅτ' οὐ; quoniam ſenſum ſic planiorem fore puto.

8 Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμν.] Hæc ſunt verba Polybii de Aulo Poſthumio, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis, pag. 190. ut Pearſonius obſervaverat. Vide etiam Noſtrum ſupra v. Αὖλος Ποστούμιος, ubi hic ipſe locus auctior legitur.

9 Εἰ μὴ ἀγωνίζοιτο] Polybius loco laudato habet, ἐὰν μὴ δύνηται μήτε τὸν πόνον ὑπομένειν, μήτε τὰς πληγάς.

10 Ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλ.] Et hæc ſunt verba Polybii, quæ leguntur in iiſdem Collectaneis pag. 185. ut itidem Pearſonius monuit. Ibi autem pro ἀναδεχθῆναι legitur ἀναχθῆναι, uti etiam hic apud Suidam ſcribendum eſt.

δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης ὕβρεως συλληφθέντας ἀναδεχθῆναι δεδεμένους.

Παρεβάλετο. ὥρμησεν. εἰσήλασε. Παρεβάλετο μάλα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας. ἤ, ἀπερισκέπτως ἔκρινε.

Παραβέβλητο. τροφὴ ἐδέδοτο. Ἄρτι γὰρ αὐτῇ παραβέβλητο τροφή. τουτέστι, τῇ καμήλῳ.

Παρεγγεγραμμένος.[1] ὁ μὴ ἀστός.

Παρέγγραπτον. νόθον. καὶ παρεγγράπτους. ξένους. νόθους.

Παρεγγυᾷ. δοτικῇ. παραδίδωσι.

Παρεγγέλλει.[2] παραινεῖ. παρακατίθεται. [3]Ξενοφῶν· Βοώντων τῶν στρατιωτῶν, καὶ παρεγγυώντων, ἔνθα δὴ ἔθεον ἅπαντες. καὶ αὖθις· [4]Ὅτου δὴ παρεγγυήσαντος, οἱ στρατιῶται φέρουσι λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν. ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος, καὶ βακτηρίας, καὶ γέρρα.

Παρεγγύησε,[5] καὶ παρεγγυηθέντος. Παρεγγύησε μέν, ἀντὶ τοῦ παρέδωκεν. Ἰσαῖος. Παρεγγυηθέντος δέ, ἀντὶ τοῦ, παραλαβόντος. ὁ αὐτός.

Παρεγγυήσαντος. παρασχόντος. καὶ παρενεγγύα, παρήγγειλεν. Ὁ δὲ παρενεγγύα αὐτοῖς, Πέρσαις μὴ συμπλέκεσθαι.

Παρενεγγύησε. παρῄνεσε. συνεβούλευσε. Ταύτῃ τοι παρενεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς.

Παρέδωκεν. ὁ [6]Ἀπόστολος λέγει· Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν. τουτέστι, συνεχώρησε.

Πάρεδρος. [7]Ἀριστοτέλης ἐν τῇ Ἀθηναίων πολιτείᾳ φησί· Λαμβάνουσι δὲ καὶ Παρέδρους ὅ, τε Ἄρχων, καὶ ὁ Πολέμαρχος, δύο ἑκάτερος, οὓς ἂν βούληται. καὶ οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν· καὶ εὐθύνας διδόασιν, ἐπὰν παρεδρεύσωσιν. ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικοῖς.

Παρεθέντος. ἐκλυθέντος. καὶ παρεθείς, παραλυθείς. καὶ παρείθη, ἐξελύθη, ἐχαυνώθη. Ὁ δὲ κινδύνοις ὁμιλήσας, παρείθη τὸ σῶμα πᾶς, καὶ λυπηροῦ θανάτου τέλει παρεδόθη. καὶ παρείθησαν, ἀντὶ τοῦ παρελύθησαν. Ἰώσηπος· Οἱ δὲ πλήθει τῶν πολεμίων παρείθησαν τὰς δεξιάς. καὶ αὖθις· Οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς φόβου παρείθησαν· περὶ δὲ τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

Παρέκαστα. ἑκάστοτε.

Παρεκαττύετο.[8] ἐκ συλλογῆς ηὐτρέπιζεν. ἀπὸ τῶν καττυμάτων. καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες,

vero homines turbæ objecit, ut comprehenſi vinctique cum omni contumelia [per urbem] traducerentur.

Παρεβάλετο. Impetum fecit. Irruit. *Ingenti temeritate & audacia eum adortus eſt.* Vel, inconſiderate & temere judicavit.

Παραβέβλητο. Objectus eſt. Pabulum datum eſt. *Modo enim camelo pabulum datum fuerat.*

Παρεγγεγραμμένος. Qui non eſt verus civis, ſed in civium album falſo relatus.

Παρέγγραπτον. Nothum. Adulterinum. Peregrinum. Et παρεγγράπτους. Peregrinos. Nothos.

Παρεγγυᾷ. Dativo jungitur. Tradit. Præcipit. Adhortatur.

Παρεγγέλλει. Adhortatur. Præcipit. Deponit. Xenophon: *Militibus clamantibus, & ſe mutuo cohortantibus, eo omnes currere cœperunt.* Et iterum: *Aliquo jubente, milites congerunt lapides, & ingentem tumulum excitant: in quo magnam pellium copiam, & baculos, & crates repoſuerunt.*

Παρεγγύησε, & παρεγγυηθέντος. Παρεγγύησε ſignificat, Tradidit, apud Iſæum. Παρεγγυηθέντος vero, Ejus, qui aliquid [ſibi traditum] accepit. Apud eundem.

Παρεγγυήσαντος. Illius, qui alteri aliquid præbuit, vel tradidit. Et παρενεγγύα, præcipiebat. *Ille vero ei præcepit, ne cum Perſis confligeret.*

Παρενεγγύησε. Præcepit. Suaſit. *Quare ſuaſit, ut veneno eos de medio tolleret.*

Παρέδωκεν. Tradidit. Apoſtolus inquit: *Tradidit eos Deus in perverſam mentem.* Id eſt, permiſit.

Πάρεδρος. Paredrus. Aſſeſſor. Ariſtoteles in opere de Athenienſium Republ. ait: *Aſſumunt autem etiam Paredros & Archon & Polemarchus, uterque binos, quos voluerit. Hi vero examinantur in judicio antequam munus ſuum ineant: iidemque rationes reddunt, poſtquam munere Paredri functi fuerint.* Vocabulum hoc non ſolum Oratoribus, ſed etiam Comicis familiare eſt.

Παρεθέντος. Remiſſi. Reſoluti. Et παρεθείς, remiſſus. Et παρείθη, remiſſus eſt, laxatus eſt. *Ille vero, poſtquam multis periculis caput ſuum objeciſſet, laxatis toto corpore nervis, moleſta morte periit.* Et παρείθησαν, remiſſi ſunt. Joſephus: *Illi vero propter hoſtium multitudinem dextras remittere cœperunt.* Et iterum: *Illi quidem metu mortis liberati fuerunt: at ob crimina particularia acerbe objurgati fuerunt.*

Παρέκαστα. Subinde. Frequenter.

Παρεκαττύετο. Ex rebus undique collectis aliquid componebat, vel conſarcinabat. A

1 Παρεγγεγραμμένος.] Παρεγγεγραμμένοι apud Athenienſes dicebantur peregrini, vel inquilini, qui in civium album falſo relati erant. Vide Noſtrum ſupra v. Ἀπεψηφίσατο, & v. Ἀποψηφισθέντες.

2 Παρεγγέλλει. παραινεῖ. παρακ.] Hæc, & quæ ſequuntur, priores Editt. a præcedentibus disjungunt; cum quibus eadem connectenda eſſe & ſenſus & literarum ſeries ſatis oſtendunt.

3 Ξενοφῶν] *De Expedit. Cyri* lib. IV. pag. 339. ut Pearſonius obſervaverat.

4 Ὅτου δὴ παρεγγ.] Et hoc fragmentum legitur apud Xenophontem eodem loco.

5 Παρεγγύησε, & παρεγγ.] Ex Harpocratione.

6 Ὁ Ἀπόστολος] Ad Roman. XXI. 8.

7 Πάρεδρος. Ἀριστοτέλης ἐν τῇ Ἀθην.] Ex Harpocratione.

8 Παρεκαττύετο. ἐκ συλλογῆς ηὐτρ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum*, pag. 71. (35. Ed. Baſ. P.)

τὰ ἐρριμμένα ἐπὶ τῆς κόπρου. λέγει οὖν, ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ἠυτρεπίζομεν. Ἀριστοφάνης Πλούτῳ·
Ἡμῶν δ' ἕκαστος στιβάδα παρεκάττυε.

κάττυμα. Καττύματα vero appellantur exigui corii ſegmenta, quæ in ſterquilinium projiciuntur. Dicit igitur [Comicus,] Ex parvis & multis fruſtis lectulum compoſuimus.

Ariſtophanes *Pluto*: *Unuſquiſque vero noſtrum ex parvis fruſtis undique collectis lectulum adornavimus.*

Παρεκβατικῶς. συντόμως.

Παρεκβατικῶς. [Per digreſſionem.] Compendioſe. Breviter.

Παρεκνόον.[1] ἀντὶ τοῦ, παρ' ἐλπίδα. Παρεκνόον εἰλήλουθας.

Παρεκνόον. Præter ſpem. *Præter ſpem veniſti.*

Παρεκότει. ὠργίζετο.

Παρεκότει. Iraſcebatur.

Παρεκρότουν. παρώρμων. Τούτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν.

Παρεκρότουν. Incitabant. Impellebant. *Hos congregantes, ſe mutuo cohortabantur.*

Παρεκρούσατο. ἐπλάνησε.

Παρεκρούσατο. Decepit. Fefellit. In errorem induxit.

Παρεκστῆναι. παρεκτετράφθαι.[2] Ὥστε καὶ τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς γενέσθαι, καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερωδυνίᾳ.

Παρεκστῆναι. De poteſtate mentis exire. Stupore attonitum eſſe. *Adeo ut Senatores præ ſtupore obmuteſcerent, & de poteſtate mentis propemodum exirent, extremi doloris ſenſu, quo infelices opprimebantur, animos illorum tangente.*

Παρεκτός. ἐπίρρημα.

Παρεκτός. Adverbium. Extra. Præter.

Παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια ὑποδεδημένην, καὶ πτισάνην ῥοφοῦσαν.

Παρέλαβε τὴν π. *Accepit urbem non talem, qualis majorum temporibus fuerat, ſed anum ſandaliis indutam, & ptiſanam ſorbentem.*

Παρελέξατο. παρεκοιμήθη. ἐχρήσατο δὲ [3]Ὅμηρος τούτῳ ἐπὶ ἵππου καταχρηστικῶς. οὐ γὰρ παρακλίνεται ἵππος, ἀλλ' ἐπαναβαίνει.

Παρελέξατο. Accubuit. Juxta cubuit. Hoc verbo Homerus abuſive de equo uſus eſt. Equus enim non accubat equæ, ſed eam init.

Παρελθεῖν.[4] τὸ αὐτίκα δηλοῖ παρὰ Θουκυδίδῃ. τὸ δὲ ἐπελθεῖν, τὸ ἀναβαλλόμενον χρόνῳ τοῦτο διαπράξασθαι.

Παρελθεῖν. Apud Thucydidem ſignificat, confeſtim aliquo accedere. Ἐπελθεῖν vero, id interpoſita mora aliqua facere.

Παρελθεῖν.[5] ἀντὶ τοῦ νικῆσαι. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Παρελθεῖν. [Interdum] ſignificat, Vincere: ut apud Demoſthenem in oratione pro Cteſiphonte.

Παρελθών. ἀντὶ τοῦ, εἰσελθών.

Παρελθών. Ingreſſus.

Παρέλκον. περιττόν. ἢ παρατεῖνον.

Παρέλκον. Superfluum. Aut, quod porrigitur, vel extenditur.

Παρέλκυσις. ὑπέρθεσις.

Παρέλκυσις. Protractio. Dilatio.

Παρελογίσασθε. ἠπατήσατε.

Παρελογίσασθε. Decepiſtis. Fefelliſtis.

Παρ' ἐλπίδα. ἐπίρρημα.

Παρ' ἐλπίδα. Adverbium. Præter ſpem.

Παρέλυσαν. ἀπήλλαξαν. μετέστησαν. Θουκυδίδης· Τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς.

Παρέλυσαν. Removerunt. Loco moverunt. Thucydides: *Niciam quidem magiſtratu non moverunt.*

Παρεμβαλόντων. κυκλωσάντων.

Παρεμβαλόντων. Illorum, qui aliquos circumdederunt.

Παρεμβολή. σκηνή. κάστρον. στρατόπεδον. ἐπὶ τοῦ μεγάλου Ἀντωνίου κεῖται τὸ παρεμβολὴ ὄνομα.

Παρεμβολή. Caſtra. Locus, in quo exercitus eſt collocatus. Apud magnum Antonium hoc nomen παρεμβολὴ extat. *Port.*

Παρεμβολὴ παρεντάξεως διαφέρει. Παρεμβολὴ μὲν γάρ ἐστιν ἡ τῶν ὁμοίων παρένθεσις· οἷον ὁπλιτῶν πρὸς ὁπλίτας, ἢ ψιλῶν πρὸς ψιλούς. Παρένταξις δὲ, ἡ τῶν ἀνομοίων· οἷον ὁπλιτῶν πρὸς ψιλούς· ἢ ψιλῶν, πρὸς ὁπλίτας. πάλιν. [6]Παρεμβολὴ λέγεται,

Παρεμβολή. Parembole. Inſertio. Ea differt a parentaxi. Parembole enim eſt, cum milites ſimiles ordinibus ſui ſimilium inſeruntur: ut graviter armati ordinibus graviter armatorum; vel leviter armati, leviter armatorum. Παρένταξις vero eſt diſſimilium inſertio: veluti cum graviter armati ordinibus leviter armatorum inſeruntur; & contra. Item, παρεμβολὴ dicitur, cum inter eorum, qui anteriorem in acie locum tenent, intervalla

1 Παρεκνόον] Eſt vox Homerica Il. K. v. 391. & Il. Υ. v. 133. ſed ubi Scholiaſta eam exponit, παρὰ γνώμην, ἀνοήτως.

2 Ὥστε καὶ τοὺς ἐν τῷ συνεδρ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀκληρούντων.

3 Ὅμηρος] Il. Υ. v. 224.

4 Παρελθεῖν. τὸ αὐτίκα δηλοῖ παρὰ Θουκ.] Aliter Scholiaſta Thucydidis ad lib. 1. cap. LXXIII. quem vide.

5 Παρελθεῖν. ἀντὶ τοῦ νικ.] Ex Harpocratione.

6 Παρεμβολὴ λέγεται, ὅταν πρός.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Ælianum in *Tact.* cap. XXXI. unde eâ Suidas deſcripſit.

ἔταν περιτεταγμένων τινῶν εἰς τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς ἐπ᾽ εὐθείας.

inſerimus eos, qui ipſos recta ſerie a tergo excipiunt.

Παρεμβολή. παράταξις. καὶ παρεμβάλλειν. παρατάττεσθαι.

Παρεμβολή. Acies inſtructa. Et παρεμβάλλειν. Aciem inſtruere.

Παρέμπτωσις. προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν· οἷον ξένος, ξεῖνος, ἔνατος, εἴνατος.

Παρέμπτωσις. Paremptoſis. Sic dicitur inſertio vocalis in mediam vocem, ſyllabam non facientis: ut ξένος, ξεῖνος, ἔνατος, εἴνατος.

Παρεμφῆναι. παραδεῖξαι. παρασημᾶναι.

Παρεμφῆναι. Leviter oſtendere. Perperam ſignificare.

Παρενείρει. παρεμβάλλει. ἤγουν λέγει.

Παρενείρει. Interſerit. Inſerit. Interponit.

Παρένησαν. [1] Θουκυδίδης· Ἐπιπαρένησαν καὶ τῆς ἄλλης ὕλης ὅσον ἐδύναντο.

Παρένησαν. Accumularunt. Coacervarunt. Thucydides: *Accumularunt & aliam materiam, quantam potuerunt.*

Παρενθέμενος. παραλογισάμενος. Ὁ δὲ Ἀκάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα, καὶ τὸ θυσιαστήριον καταλαμβάνει, καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ.

Παρενθέμενος. [Qui interjecit, interpoſuit, inſeruit.] Qui decepit. *Acacius vero, cum inſeruiſſet & ea, quæ canonibus ſunt interdicta, & altare occupat, & quæ ad ſacerdotum officium pertinent, adminiſtrat.*

Παρενθήκη. προσθήκη.

Παρενθήκη. Additamentum. Id, quod alteri rei inſeritur.

Παρέντες. παραλυθέντες. ἀμελήσαντες. Τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες.

Παρέντες. Reſoluti. Qui neglexerunt. *Qui manus & panoplias neglexerunt.*

Παρέξ. παρεκτός.

Παρέξ. Præter. Extra.

Παρενοχλῶ. δοτικῇ.

Παρενοχλῶ. Dativo jungitur. Obturbo.

Παρεξαγωγή.

Παρεξαγωγή. Exercitus eductio in hoſtem.

Παρεστηκὼς ἐν τῇ διανοίᾳ, καὶ ἄνθρωπος φιλοδοξῶν ἐν τῇ πρὸς αὐτὸν διαφθορᾷ.

Παρεστηκὼς ἐν τῇ δ. *In ſententia ſua perſtans, & in perniciem ſuam ambitioſus.*

Παρεξειρεσία. τὸ ἔξω τῶν ἐρεσσόντων. ἐν [2] τετάρτῃ Θουκυδίδης. Ἀρριανός· Τῶν μὲν κωπῶν ἔστιν ἃς συνέτριψαν, καὶ τῆς παρεξειρεσίας τινὰ ἀπέθραυσαν.

Παρεξειρεσία. Extrema pars proræ, vel puppis, ubi nulli ſunt remiges. Thucydides libro IV. Et Arrianus: *Remorum nonnullos confregerunt, & partes quaſdam extremæ proræ deterſerunt.*

Παρεξειρεσίας. παρὰ Θουκυδίδῃ τὸ κατὰ πρῶραν πρὸ τῶν κωπῶν· ὡς ἂν εἴποι τις, τὸ παρὲξ τῆς εἰρεσίας.

Παρεξειρεσίας. Apud Thucydidem ſic vocatur locus in prora qui eſt ante remos: ac ſi dicas, quod eſt παρὲξ τῆς εἰρεσίας, i. e. extra remos.

Παρεξηυλημένον [3] νοῦν. οἷον διεφθαρμένον, καὶ ἀμυδρὸν ὑπὸ γήρως. μετῆνεκται δὲ ἀπὸ τῶν γλωσσίδων, τῶν ἐν τοῖς αὐλοῖς. οἱ γὰρ κατατετριμμένοι, ἐξηυλῆσθαι λέγονται. Ἀριστοφάνης·

Οὐδὲν ὄντας, ἀλλὰ κωφούς, καὶ παρεξηυλημένους.

κωφοὺς δέ, οἷον ἀφώνους. Ὅμηρος·

Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος.

Παρεξηυλημένον νοῦν. Mentem corruptam, & ſenio hebetatam. Tranſlatio ducta eſt a tibiarum lingulis, quæ, cum attritæ ſunt, ἐξηυλῆσθαι dicuntur. Ariſtophanes: *Homines nihili, enerveſque, & prorſus inutiles.* Κωφούς, proprie, mutos. Homerus: *Telum hominis imbellis nullam vim habet.*

Παρεωραμένος. καταφρονηθείς. Παρῃωρημένος δέ.

Παρεωραμένος. Neglectus. Contemptus. At παρῃωρημένος, juxta ſuſpenſus.

Παρεπίδημος. Καὶ ὁ βίος ἡμῶν παρεπιδημία.

Παρεπίδημος. Advena. Peregrinus. [Et παρεπιδημία, peregrinatio.] *Vita noſtra eſt tanquam peregrinatio.*

Παρέπτη. παρῆλθε.

Παρέπτη. Prætervolavit. Præteriit.

Παρέργως. ὀλιγώρως. Οὐ μὴν οὐδὲ τὸ πάρεργον ἄξιον σιωπῆσαι, καθάπερ ἀγαθοῦ τεχνίτου. περὶ τοῦ Σκιπίωνος λέγων ὁ Πολύβιος. καὶ αὖθις· Ἔγνωσαν δὲ οἱ Λακεδαιμόνιοι μὴ πάρεργον ποιήσασθαι τὸν στόλον.

Παρέργως. Perfunctorie. Negligenter. Obiter. [Et πάρεργον, id quod obiter tantum curamus.] *Verum ne leviora quidem ejus dicta & facta, tanquam periti cujuſdam artificis, ſilentio præterire decet.* Sic de Scipione Polybius inquit. Et iterum: *Lacedæmonii vero claſſis vel primariam curam habendam eſſe cenſuerunt.*

1 Θουκυδίδης] Lib. II. cap. LXXVII. Locum ipſum adi. Vide etiam ſupra v. Ἐπιπαρένησαν.

2 Ἐν τετάρτῃ Θουκυδίδης] Cap. XII. ubi Scholiaſta: Παρεξειρεσία ἐστὶν ὁ ἔξω τῆς εἰρεσίας τῆς νεὼς τόπος, καθ᾽ ὃ μέρος οὐκέτι κώπαις χρῶνται. ἔστι δὲ τοῦτο τὸ ἀκρότατον τῆς πρύμνης ἢ τῆς πρῴρας.

3 Παρεξηυλημένον νοῦν. οἷον διεφθ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 404. (288. Ed. Baſ. *P.*) Confer Heſychium v. Ἐξηυλημένον.

Παρερ-

Παρερπύσασα. ἠρέμα εἰσελθοῦσα.

Εἴσω¹ παρερπύσασα, πρὶν τὸν ἄνδρα με ἰδεῖν.

Παρέρχεται. αἰτιατικῇ. ὑπερβάλλει.

Πάρες. ὑποχώρησον.

Πάρεσις. νέκρωσις. Ἀππιανός· Οἱ δὲ Λατῖνοι ἐγκλήματα εἰς Ῥωμαίους ἐποιοῦντο τήν τε πάρεσιν αὐτῶν τὴν ἐπὶ σφᾶς, ὄντας ἐνσπόνδους καὶ συγγενεῖς. τουτέστι, τὴν ἀμέλειαν, τὴν καταφρόνησιν.

Παρέστη. ἐγένετο. περιέσχε. Πανταχόθεν δὲ ὑπὸ τῶν πολεμίων περιεχόμενοι, δεινὴ παρέστη πρὸς τὸ πλῆθος ἀμηχανία.

Παρεστηκότες. συνημμένοι. τεθαῤῥηκότες. Ἀῤῥιανός· Οἱ δὲ ἐπεσκεδασμένοι, καὶ οὐ παρεστηκότες ταῖς γνώμαις, ἐς φυγὴν ἐτράπησαν.

Παρεστηκότος. προϋπάρχοντος. παρισταμένου. ἐνεστῶτος. Ὁ δὲ πρὸς πᾶν ἀναιδεύεται, καὶ οὐ μεθίστησι τοῦ χρώματος τοῦ παρεστηκότος.

Παρεστήσαντο. Ἀμαχεὶ δὲ πλείστας τῆς Ἰταλίας παρεστήσαντο πόλεις. ἐπόρθησαν. εἷλον.

Πάρεστι. δοτικῇ. ἐκ παντὸς δυνατόν ἐστιν. ἤ, παρόν ἐστι.

Παρέσφηλε. παρεμφαίνεται. ἐσφάλη. ἀπεῤῥύη.

Παρετέον. σιωπητέον. ἀφετέον.

Παρέτραγον.

²Καὶ τοῦ κύκλου παρέτραγον ὑφ' ἁρματωλίας. ἀντὶ τοῦ, φειδόμενοι τῶν ἁρμάτων αὐτῶν.

Παρευδοκιμησάσης. νικησάσης. ἤτοι εἰς δόξαν ὑπερβάσης. καὶ παρευδοκιμῶ, αἰτιατικῇ.

Παρευθύνει.³ παραφέρει. βιάζεται.

Παρευθύς.

Παρευνηθείς. παρακοιμηθείς.

Παρευρημένως. Δικαιότατα καὶ παρευρημένως κρινόντων.

Παρέχοντας. ⁴Ἡρόδοτος· Κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα, ἤπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ. καὶ παρέχω, δοτικῇ.

Πάρει. ἐλήλυθας. παραγένου.

Τίνα λόγον ἄρα ποτὲ πρὸς ἐμέ, φίλ', ἔχων πάρει;
Κοινόν, ἀσφαλῆ, δίκαιον, ἡδύν, ὠφελήσιμον.

Ἀντὶ τοῦ, κοινωφελῆ, ἀσφαλῆ. τουτέστιν, ἀληθῆ, καὶ μὴ σφαλῆναι δυνάμενον.

Παρειά. γνάθος. καὶ μέρος τῆς νεώς.

Παρεῖαι⁵ ὄφεις. ὀνομάζονται δέ τινες ὄφεις οὕτω, παρὰ τὸ τὰς παρειὰς μείζους ἔχειν. ὁ δὲ Ὑπερίδης ἐν

Παρερπύσασα. Quæ tacite, vel clam irrepſit. Clam ingreſſa. [Ariſtophanes:] *Intro clam ingreſſa, priuſquam vir me videat.*

Παρέρχεται. Accuſativo jungitur. Præterit. Superat. Vincit.

Πάρες. Dimitte. Concede. Cede.

Πάρεσις. Membrorum reſolutio & relaxatio. Item, negligentia. Contemptus. Appianus: *Latini vero Romanos incuſarunt, quod ſe fœderatos & cognatos contemnerent.*

Παρέστη. Adſtitit. Accidit. *Cum vero undique ab hoſte cincti eſſent, ad ſummam deſperationem redacti ſunt.*

Παρεστηκότες. Adſtantes. Conjuncti. Confidentes. Arrianus: *Illi vero diſſipati, nec animis confidentes, in fugam ſe verterunt.*

Παρεστηκότος. Ante exiſtentis. Adſtantis. Præſentis. *Ille autem perfrictæ ad omnia eſt frontis, nec unquam colorem vultus mutat.*

Παρεστήσαντο. Diripuerunt. Ceperunt. In poteſtatem ſuam redegerunt. *Plurimas autem Italiæ urbes ſine pugna ceperunt.*

Πάρεστι. Dativo jungitur. Omnino fieri poteſt. Vel, præſens eſt.

Παρέσφηλε. In errorem inducitur. Lapſus eſt. Defluxit.

Παρετέον. Prætereundum. Tacendum. Dimittendum.

Παρέτραγον. Arroſerunt. Detriverunt. *Partem orbis ſui detriverunt ob malam aurigationem.* Id eſt, curribus ſuis parcentes.

Παρευδοκιμησάσης. Illius, quæ vicit, vel gloria ſuperavit aliquem. Et παρευδοκιμῶ. Accuſativo jungitur. Gloria aliquem ſupero.

Παρευθύνει. A recta via abducit. Cogit.

Παρευθύς. Confeſtim. Statim.

Παρευνηθείς. Qui alicui accubuit.

Παρευρημένως. Ex tempore. *Juſtiſſime & ex tempore judicantibus.*

Παρέχοντας. Herodotus. *Præſtat pugnantes nec inultos mori, quam hoſti nos permittentes fœdiſſima morte perire.*

Πάρει. Ades. Adveniſti. *De qua re mecum acturus, amice, veniſti? De re communi, tuta, juſta, jucunda, utili.* Sive, de re omnibus utili, & vera, & certa.

Παρειά. Gena. Mala. Item, pars navis. Prora.

Παρεῖαι. Sic vocantur ſerpentes quidam, quod magnas habeant maxillas. Hyperides

1 Εἴσω παρερπύσ.] Hæc ſunt verba Ariſtophanis *Eccleſiaz.* pag. 738. (496. Ed. Baſ. *P.*)

2 Καὶ τοῦ κύκλου παρέτρ.] Senarius hic legitur apud Ariſtophanem in *Pace*, pag. 650. (447. Ed. Baſ. *P.*) Confer etiam Noſtrum ſupra v. Ἁρματωλία.

3 Παραφέρει] Priores Editt. male habent, παραφθονεῖ, cujus loco ſcribendum eſſe παραφθονεῖ, Portus recte conjecerat. Sic enim & MSS. Pariſ. habent. Cæterum vocem hanc clarius exponit Scholiaſta Sophoclis ad *Ajacem*, pag. 61. Παραφθόνοντες. ὀκνοῦντες. ἀπὸ τοῦ μὴ ἐώντων τινὰς βαδίζειν τὴν ἑαυτῶν ὁδόν, ἀλλὰ παρεκκλινόντων αὐτούς. Locum hunc Scholiaſtæ obſervaverat etiam Portus.

4 Ἡρόδοτος.] Lib. IX. pag. 328. ubi Armocydes Phocenſes ad fortiter contra Perſas pugnandum adhortatur.

5 Παρεῖαι ὄφεις. ὀνομάζ.] Ex Harpocratione. Huc egregie faciunt, quæ de eodem ſerpentis genere notat Enarrator Comici ad *Plutum*, pag. 73. ubi exponit locum illum Comici,

Ὀδὰξ ἐλαβόμην, ὡς παρεῖας ὢν ὄφις.

Eo Lectorem remitto.

τῷ

τῷ κατὰ Δημάδου φησὶν, εἶναι δὲ τοὺς ῥήτορας ὁμοίους τοῖς ὄφεσι. τούς τε γὰρ ὄφεις μισητοὺς μὲν εἶναι πάντας· τῶν δὲ ὄφεων αὐτῶν τοὺς μὲν ἔχεις, τοὺς ἀνθρώπους ἀδικεῖν· τοὺς δὲ παρείας αὐτοὺς τοὺς ἔχεις κατεσθίειν.

Παρείη. [1] Ὁ δὲ Θηρίβαζος φίλος ἦν τῷ βασιλεῖ· καὶ ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνεβίβαζε.

Παρείθη. παρελύθη. Εἶτα μέν τοι τὰ δεξιὰ παρείθη μέρη.

Παρεικάσθη.

Παρεικότος. παραλελυμένους.

Παρείκοι. παραχωροίη. Πέμποντες ἱππέας ἐκδρόμους, ὅπου παρείκοι, τροφὰς ἐλάμβανον, ὅπου ἦν δυνατόν. καὶ αὖθις· Σφοδρότατα σφᾶς ἐπιδιώκοιμεν, ὅπη παρείκοι. ὅπου ἐστὶ δυνατόν. ὅπως τρέποιτο ὁ πόλεμος. καὶ αὖθις· [2] Ὁ δὲ Τραϊανὸς ἔγνω μάλιστα, εἰ παρείκοι, ἐξελεῖν τὸ ἔθνος· εἰ δὲ μὴ, συντρίψας γε παῦσαι τῆς ἄγαν ἀτασθαλίας.

Παρειμένον. κεχαυνωμένον.

Παρειμένος. παρεωραμένος.

Παρείμην. συγχωρήσαιμι. [3] Σοφοκλῆς·

Οὐκ ἂν παρείμην, οἷσι μὴ δοκῶ φρονεῖν.

Τουτέστιν, οὐκ ἂν συγχωρήσαιμι.

Πάρειμι. ὑπάρχω.

Παρεῖναι. τὸ παραγίνεσθαι, καὶ ὑπάρχειν. Παρῆναι δὲ, κεντηθῆναι.

Παρείποι. παραπείσοι.

Παρειπών. παραινέσας.

Παρείραντα. παρεισβαλόντα. [4] Πολύβιος· Οὔτ᾽ ἐπιβαλέσθαι παρείραντα τὴν χεῖρα δυνατὸν, ἅτε πυκνῶν ὄντων.

Παρείρπυσεν. εἰσῆλθεν. ὡς ἐπὶ ὄφεως δὲ εἶπεν, ἐπειδὴ τυφλὸς ἦν, ἢ γλάμων.

[5] Πρῶτον Νεοκλείδης ὁ γλάμων παρείρπυσε.

Παρείς. ἐάσας. ἀφείς.

Παρείς. ἀμελήσας. ἐπικατακλίνας. ὀλιγωρήσας. Καὶ παρεὶς ἑαυτὸν ὑπὸ λύπης ἔκειτο. Παρῆς δὲ, ἀντὶ τοῦ, ὑπῆρχες.

Παρείσακτον. ἀλλότριον.

Παρεῖσαν. εἴασαν. ἀφῆκαν.

Παρεισελθεῖν. τὸ μετ᾽ ἄλλου [6] πλαγιάσαντος συνεισελθεῖν. Ἐλθεῖν δὲ, τὸ γυμνῇ τῇ παῤῥησίᾳ χρήσασθαι. διὰ τοῦτο φησὶν ὁ Ἀπόστολος· Παρεισῆλθεν ὁ νόμος.

Πάρεισιν αὐτῷ τέκνα.

Παρείσθω. συγχωρείσθω.

autem in oratione contra Demadem dicit, Oratores ſimiles eſſe ſerpentibus. Omnes enim ſerpentes inviſos eſſe. Inter ipſos vero ſerpentes, viperas quidem homines lædere; a Pariis vero ipſas viperas devorari.

Παρείη. Adſit. Adeſſet. Aderat. *Theribazus autem erat amicus Regi, & quoties ipſe aderat, nullus alius Regem in equum levabat.*

Παρείθη. Reſolutus eſt. Paralyſi correptus eſt. *Deinde dextræ ejus partes paralyſi correptæ fuerunt.*

Παρεικάσθη. Aſſimilatus eſt.

Παρεικότος. Reſoluti. Remiſſi. Languidi.

Παρείκοι. Licuerit. Occaſio oblata fuerit. Fieri potuerit. *Mittentes equites, qui excurſionem facerent, quacunque licuiſſet, commeatum, unde poterant, ceperunt.* Et iterum: *Eos acerrime perſequamur, quacunque licuerit.* Vel, ubicunque id fieri poterit. Et iterum: *Trajanus vero præcipue ſtatuit gentem illam, ſi id licuiſſet, exſcindere: ſin ſecus, eam ita cladibus domare, ut inſolentia ejus compeſceretur.*

Παρειμένον. Laxatum. Remiſſum. Reſolutum.

Παρειμένος. Neglectus. Contemptus.

Παρείμην. Concedam. Conceſſerim. Sophocles: *Non conceſſerim illis, quibus non videor ſapere.*

Πάρειμι. Adſum. Exiſto. Sum.

Παρεῖναι. Adeſſe. Eſſe. Παρῆναι vero, transfixum eſſe.

Παρείποι. Perſuadeat. Decipiat.

Παρειπών. Qui ſuaſit. Qui monuit. Hortatus.

Παρείραντα. Illum, qui immiſit, vel inſeruit. Polybius: *Neque fieri poteſt, ut quis manu immiſſa* [*vallum*] *prehendat, impedientibus ſurculis denſis.*

Παρείρπυσεν. Irrepſit. Intravit. Ingreſſus eſt. Sed ut de ſerpente dixit παρείρπυσεν. [Neoclides] enim cœcus erat, vel lippus. [Ariſtophanes:] *Primus Neoclides ille lippus irrepſit.*

Παρείς. Qui ſivit. Qui dimiſit.

Παρείς. Qui neglexit. Qui contempſit. Qui reclinavit. *Et cum ſe totum mœrori permiſiſſet, humi jacebat.* Παρῆς vero, per η, aderas.

Παρείσακτον. Alienum. Peregrinum. Adſcititium.

Παρεῖσαν. Siverunt. Omiſerunt.

Παρεισελθεῖν. Cum alio clam & oblique intrare. Ἐλθεῖν vero eſt, aperte & cum fiducia accedere. Propterea Apoſtolus dicit: *Lex ſimul ingreſſa eſt.*

Πάρεισιν αὐτῷ τέκνα. Adſunt ei liberi.

Παρείσθω. Concedatur.

1 Ὁ δὲ Θηρίβαζος φίλος ἦν τῷ βασ.] Hæc ſunt verba Xenophontis lib. IV. *de Expedit. Cyri*, pag. 327. eademque leguntur ſupra v. Ἀνεβίβαζεν.

2 Ὁ δὲ Τραϊανὸς ἔγνω μ.] Fragmentum hoc legitur etiam ſupra v. Ἀτάσθαλα.

3 Σοφοκλῆς] *Oedip. Colon.* pag. 325. ut Portus obſervavit.

4 Πολύβιος] Lib. XVII. cap. XV. unde ſenſum hujus loci ſupplebis.

5 Πρῶτον Νεοκλείδης ὁ γλ.] Senarius hic legitur apud Ariſtophanem *Ecclesiaz.* pag. 735. (434. Ed. Baſ. P.)

6 Πλαγιάσαντος] Potius, πλαγιάσαντι.

Παρει-

Παρεισκέλει. παρεισέρχεται. παρεισβάλλει.

Παρῆτε.[1] παρεγίνεσθε.

Παρεῖτο. ἠμελεῖτο. παρῃρεῖτο. Τῶν μὲν ἐξ ἐμοῦ παίδων πόθος παρεῖτο. καὶ παρεῖτο, διελύετο.

Παρηβηκώς. γεγηρακώς.

Παρηβῆσαι. παρακμάσαι.

Παρήγαγε. παρεισήνεγκεν. Ἐν τῷ δείπνῳ παῖδα αὐτοῦ ὀρχησάμενον βαρβαρικῶς παρήγαγε.

Παρήγγελλον. ἐτάσσοντο. συνηριθμοῦντο. [2]Ἀππιανός· Πᾶς τις αὐτῶν καὶ συμμάχων ὥρμα, καὶ ἐθελονταὶ παρήγγελλον εἰς τὸν κατάλογον.

Παρηγορίας. συμβουλῆς, ἢ παρακλήσεως. καὶ [3]ἐν Ἐπιγράμματι·

Παίγνιά τ' ἀμφιέπουσι παρήγορα, καὶ κατ' ἀγυιὰς
Πλάζονται.

Παρηέρθη. ἀπὸ τοῦ ἀείρω, ἀερῶ, ἤερκα, ἤερμαι, ἠέρθην, καὶ παρηέρθην.

Παρήειζαν. παρῆλθον.

Παρήκαμεν. ἐπέμψαμεν. ἢ ἀφήκαμεν.

Παρῆκον. Μὴ διὰ πάσης ἰέναι ἐξετάσεως, ἀλλὰ μετρίας κατὰ τὸ παρῆκον τῆς αὐτῶν προαιρέσεώς τε καὶ δυνάμεως.

Παρήκοντα. παρατείνοντα. ὡς διήκοντα, ἐπεκτεινόμενα. [4]ἐκ τοῦ παρείκοντος δέ, ἀντὶ τοῦ ἀναδιδόντος.

Παρήλλαξεν. Ἐπειδὴ παρήλλαξαν τὴν ἐνέδραν, ἄφνω πάντες ἐπεφάνησαν. ἀντὶ τοῦ παρῆλθον.

Παρῆλθεν. αἰτιατικῇ. παρήλασεν. ὑπερήλασεν. ἤτοι ἐνίκησε.

Παρῆλιξ, παρήλικος.

Παρήλιος. νεφέλη πεπυκνωμένη καθ' ὑπερβολὴν, καὶ αὐγαζομένη ὑπὸ τοῦ ἡλίου.

Παρῆν. παρήμην. ἑνικῶς κατ' Ἀττικούς.

Παρήορος. παρειμένος τὰς φρένας. καὶ [5]παρήορος ἵππος. καὶ παρηορίῃσι, ταῖς ἔξω τοῦ ζυγοῦ ἡνίαις.

Παρῃρηκώς. λαβών.

Παρῄρηντο. ἀφήρπαζον. ἀφῃροῦντο. Καὶ φρούρια δὲ αὐτῶν παρῄρηντο περὶ τοὺς αὐτοὺς χρόνους. καί, Παρῃρεῖτο τῆς ἐξουσίας ὅσον μέρος αὐτοῦ.

Παρῃρῆσθαι. ἀφῃρῆσθαι. Ὁ δὲ ἐγεγήθει ἐπὶ τῷ παρῃρῆσθαι αὐτοῖς τῇ διαλύσει τοῦ κρυστάλλου τὴν πεζὴν ἐπάνοδον.

Παρῄρηται. περιτέτμηται.

Παρήρτητο. παρηρτημένος. Τῷ ξίφει, ᾧ ἔτυχε παρηρτημένος, ἑαυτὸν διέφθειρε. ἀντὶ τοῦ φορῶν, βαστάζων.

Παρῆς. ὑπῆρχες.

Παρεισκέλει. Simul ingreditur. Simul irrumpit.

Παρῆτε. Aderatis. Adveneratis.

Παρεῖτο. Negligebatur. Remittebatur. *Liberorum quidem meorum deſiderium remittebatur.* Et παρεῖτο, reſolvebatur.

Παρηβηκώς. Ætate provectus.

Παρηβῆσαι. Ætate provectum eſſe.

Παρήγαγε. Produxit. Introduxit. *In cœna filium ſuum barbarice ſaltantem introduxit.*

Παρήγγελλον. In numerum vel ordinem aliquem referebantur. Nomen ſuum profitebantur. Appianus: *Quilibet illorum & ſociorum ad bellum paratum ſe oſtendebat, & nomen ſuum inter milites profitebatur.*

5 Πεπορπημένος. ἱμάτιον διπλοῦν περικείμενον π.] Locus hic non ſolum corruptus eſt, ſed etiam mutilus, & male interpunctus; qui ſic ſcribendus & diſtinguendus eſt: Πεπορπημένος ἱμάτιον διπλοῦν. τουτέστι, περικείμενος ἱμάτιον διπλοῦν, πόρπῃ συνεχόμενον. In ſubjuncto enim loco Lycurgi inter alia & hæc leguntur, διπλᾶ ἱμάτια ἐμπεπορπημένους: quam phraſin Suidas in principio articuli hujus explicandam proponit: tametſi fatear, notam hanc ad vocem ἐμπεπορπημένος potius, quam πεπορπημένος, referri debuiſſe. Portus loco huic, quem male affectum eſſe videbat, alio modo conſulere conabatur: ſed cujus conjectura omnino eſt ἀνεμιαία, nec ſolida ratione ſubnixa. Exiſtimabat enim poſt πεπορπημένος inſerendam eſſe vocem πόρπημα, ejuſque interpretationem eſſe ea, quæ ſequuntur, ἱμάτιον διπλοῦν περικείμενον, πόρπῃ συνεχόμενον. Sed præterquam quod τὸ πόρπημα nihil omnino faciat ad ſubjunctum locum Lycurgi, quippe in quo nulla vocabuli ejus fit mentio; falſum etiam eſt, vocem illam ſignificare ἱμάτιον διπλοῦν. Ne dicam, ſecundum hanc conjecturam ſupervacaneum etiam fore vocabulum περικείμενον, quippe quo omiſſo dici potius oportebat, ἱμάτιον διπλοῦν πόρπῃ συνεχόμενον. Sed opinionem hanc manifeſte falſam pluribus verbis refellere neceſſarium non duco. Quamvis enim, ut proverbium fert,

Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασι,

non vereor tamen, ne quis in his literis judicio ſit adeo corrupto, ut præ frugibus noſtris Porti βαλάνους eligere velit.

6 Παρὰ Λυκούργῳ ἐν τῷ κατὰ Τιμοκράτους] Mauſſacus ad Harpocrationem v. Αὐτόλυκος, recte monuit, hic apud Suidam ſcribendum eſſe, παρὰ Λυκούργῳ ἐν τῷ κατὰ Λεωκράτους. Locus enim a Suida hic citatus exſtat in oratione, quam orator ille contra Leocratem ſcripſit, pag. 153. ubi tamen hodie pro περιφθειρομένους legitur διαφθειρομένους: minus recte, ut puto. Cæterum, Stephanus in Lexico ſuo Tom. II. pag. 1184. locum hunc Lycurgi Antiphonti tribuit; vel errore memoriæ, vel ab alio quodam deceptus: quod ideo obiter hic moneo, ut Lector ſibi ab errore illo Stephani caveat.

7 Ὀδῷ] Id eſt, limine. Ab ὀδὸς, quod idem eſt ac οὐδός. Apud Lycurgum loco laudato hodie legitur, οὐδῷ: quarum lectionum utraque ſana eſt, & uſu recepta.

8 Ἀριστοφάνης Νεφέλαις] Pag. 143. (78. Ed. Baſ. *P.*)

9 Πεπραξικοπηκότα] Eſt vox Polybio familiaris. Vide Excerpta a Valeſio edita, pag. 21.

10 Πεπρᾶσθαι καὶ πωλεῖσθαι διαφ.] Hæc, & quæ ſequuntur, ſunt verba Artemidori lib. IV. cap. XVI. ut Pearſonius recte obſervaverat.

11 Πεπερασμένον ἀπὸ μοίρας εἰς π.] Lego & ſuppleo, οἱονεὶ πεπερασμένον. λέγεται δὲ ἐπὶ μοίρας, παρὰ τὸ πέρας. Lectio enim vulgata eſt calx abſque arena.

Πεπυ-

Πεπυκασμένον. ἐσκεπασμένον. περιβεβλημένον. Εἶτα ἐν ἑτέρᾳ σκηνῇ ξυνῆλθεν ἠμφιεσμένη τε καὶ καταπεπυκασμένη οὐκ ἄλλως ἐξ ἱματίων σηρικῶν.

Πέπυσται. ἠκηκόει.

Περᾷ. πλέει.

Πέρα. ἐπίρρημα. ἀντὶ τοῦ περαιτέρω. Τὸ πέρα δὲ ἀντιτείνοντας ξυνδεῖν. καὶ αὖθις· Δασμολογοῦντες αὐτοὺς τῆς δυνάμεως πέρα. καὶ αὖθις· Οὐ δυναμένων δὲ τὸ πέρα φέρειν, δι' ὕβριν τε καὶ ὠμότητα. καὶ αὖθις· Ἀρρήτων ἀρρητότερα, καὶ κακῶν πέρα. καὶ αὖθις· Εἰπόντες δὲ τοῦ Ἰωτόμου τὸ τόλμημα, ἔπαυσαν αὐτὸν τὸ πέρα ἀμφιγνοοῦντα. καὶ [1] Ἀριστοφάνης·

Ἆρ' οἶσθ', ὅτι Ζεὺς εἴ με λυπήσοι πέρα,
Μέλαθρα μὲν αὐτοῦ καὶ δόμους Ἀμφίονος
Καταιθαλώσω;

καὶ αὖθις· Ὁ δὲ οὐκ ἐπὶ Σελεύκειαν τὸ πέρα ἄγειν ἀπείχετο. ἀντὶ τοῦ, πλεονάκις.

Περᾶναι. τελειῶσαι.

Περάνῃ. αὐθυποτακτικόν. ἀντὶ τοῦ, τελειώσῃ.

Περαντικός. πέρας ἐπιτιθεὶς τοῖς λόγοις.

Πέρασις βίου. ἡ τελευτή.

——————— [2] Δότε
Βίου πέρασιν καὶ καταστροφήν τινα
Εἰ μὴ δοκῶ τι μειόνως ἔχειν ἀεί.

Εἰ μὴ δοκῶ ἐλαττόνως ἔχειν τὰ κακά, καὶ δεῖσθαι προσθήκης κακῶν. καὶ πέρατα, τέλη.

Περγαμηναί. αἱ μεμβράναι. αἱ δέρρεις.

Περγάμιον. [3] δήμιον.

Πέργαμον. τὴν πόλιν Ἴωνες λέγουσιν. οἱ δὲ, πάντα τὰ ὑψηλά.

Περγασῆθεν. [4] δῆμος ἡ Περγασὴ τῆς Ἐρεχθηΐδος. τὸν μέντοι δημότην διχῶς λέγεσθαί φασι, Περγασέα τε, καὶ Περγασηνόν.

Περγαῖος.

Πέρδεσθαι. Ὅτι [5] Ἀργύριος τοσοῦτον ἐπὶ μαλακίᾳ διεβέβλητο, ὡς καὶ πέρδεσθαι αὐτόν.

Περδίκκας, [6] ὁ Μακεδών· καὶ κλίνεται Περδίκκου. ὃν ἔκτειναν ἐξ ἐπιβουλῆς οἱ Μακεδόνες, ἄνδρα τά τε πολέμια κράτιστον γενόμενον, καὶ μεγαλονοίᾳ λελησάμενον διαφερόντως· ἐξ οὗ δὴ καὶ τὸ ὑπέρογκον αὐτοῦ τοῦ φρονήματος εὐθαρσὲς πρὸς πάντα κίνδυνον ἦν. τό τε ἄγαν μεγαλήγορον, σὺν ᾧ πάντας Μακεδόνας ὑπερφρονεῖν ἔδοξε, τάς τε εὐπραγίας αὐτοῦ φθόνου ἐπαξίας ἐποίει. ἐπὶ δὲ τοῦ φθόνῳ μῖσος ἐπεγίνετο, καὶ τὸ μὴ φέρειν ὑπὲρ σφᾶς ὄντα τε καὶ ὀνομαζόμενον. ὅθεν καὶ τὴν ἐν τοῖς πταίσμασι μεταβολὴν σὺν ὀργῇ τῆς πρόσθεν [7] ὑποψίας μᾶλλον, ἢ κρίσεως ἀληθεστάτης δικασάσης, εἰς τὸ κατ' αὐτοῦ ἐπιβούλευμα ἐποιοῦντο.

Πεπυκασμένον. Tectum. Amictum. Veſtitum. *Deinde in alio tentorio [cum viro] congreſſa eſt, ſericis veſtibus haud negligenter veſtita & ornata.*

Πέπυσται. Audiverat.

Περᾷ. Trajicit. Navigat.

Πέρα. Adverbium. Ultra. Ulterius. Amplius. *Eos vero, qui ulterius reſiſterent, vinculis conſtringi juſſit.* Et iterum: *Tributa ab ipſis exigentes majora quam pro facultatibus.* Et iterum: *Cum autem illi [hominem] ulterius ferre non poſſent, propter ejus inſolentiam & crudelitatem.* Et iterum: *Omni oratione majora, omnemque malorum modum excedentia.* Et iterum: *Cum autem Iotomi facinus narraſſent, ulteriorem dubitationem ei exemerunt.* Et Ariſtophanes: *An ignoras, me, ſi Jupiter poſthac malo aliquo me affecerit, ædes ipſius & domos Amphionis combuſturum eſſe?* Et iterum: *Ille vero Seleuciam ſæpius petere deſiit.*

Περᾶναι. Perfeciſſe. Ad finem perduxiſſe.

Περάνῃ. Subjunctivus. Perfecerit. Ad finem perduxerit.

Περαντικός. Qui verbis finem imponit.

Πέρασις βίου. Vitæ finis. [Sophocles:] *Date vitæ finem & exitum aliquem, niſi vobis videar nondum ſatis infelix & miſer eſſe.* Vel, niſi vobis nondum ſatis malorum habere videar, ſed indigere acceſſione aliqua. Et πέρατα, fines, termini.

Περγαμηναί. Membranæ. Pelles Pergamenæ.

Περγάμιον. Pergamium. Eodem modo effertur, quo δήμιον.

Πέργαμον. Pergamum urbem. Sic Jones. Alii vero omnia excelſa [ſic appellant.]

Περγασῆθεν. Ex Pergaſe. Pergaſe erat populus tribus Erechtheidis: cujus popularem dupliciter vocari ajunt; Περγασέα, & Περγασηνόν.

Περγαῖος. Pergæus.

Πέρδεσθαι. Pedere. Argyrius ob mollitiem adeo infamis erat, ut & [publice] pederet.

Περδίκκας. Perdiccas, Macedo. Declinatur Περδίκκου. Hunc ex inſidiis Macedones interfecerunt, virum bellicoſiſſimum, & excellenti ingenii magnitudine, & propter animi præſtantiam pericula omnia confidenter adeuntem, & immodica magniloquentia, qua Macedones omnes deſpicere videbatur; ſuamque felicitatem invidiæ reddebat obnoxiam. Invidiam odium eſt ſecutum, & indignatio: cum eum ſuperiorem & eſſe & dici ferre non poſſent. Unde poſt acceptam cladem, ex iracundia magis ſuperioris deſpicientiæ, quam veri judicii ratione, inſidias illi ſtruxerunt. *Wolf.*

1 Ἀριστοφάνης] *Avibus.* pag. 599. (415. Ed. Baſ. P.)
2 Δότε βίου πέρασιν καὶ καταστρ.] Fragmentum hoc legitur apud Sophoclem *Oedip. Colon.* pag. 274. ut Pearſonius monuit.
3 Περγάμιον. δήμιον] Sic etiam habent Heſychius & Photius in Lexico inedito. At de ſenſu amplius cogitandum cenſeo.
4 Περγασῆθεν. δῆμος ἡ Περγ.] Ex Harpocratione.
5 Ὅτι Ἀργύριος τοσοῦτον ἐπὶ μαλ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum*, pag. 19. (10. Ed. Baſ. P.) Confer Noſtrum ſupra v. Ἀργύριος, ubi eadem leguntur.
6 Περδίκκας, ὁ Μακ.] Quæ hic Suidas de Perdicca refert, deprompta ſunt ex ſcriptore aliquo, qui hodie intercidit.
7 Ὑποψίας] Lege, ὑπεροψίας.

Περδίκειος κάρα. καὶ περδίκειος πούς.

Περδίκειος κάρα. Caput perdicis. Et περδίκειος πούς, pes perdicis. [Scribitur per diphthongum ει.]

Πέρδικος ἱερὸν παρὰ τῇ Ἀκροπόλει. Εὐπαλάμῳ γὰρ ἐγένοντο παῖδες, Δαίδαλος, καὶ Πέρδιξ· ἧς υἱὸς Κάλως· ᾧ φθονήσας ὁ Δαίδαλος τῆς τέχνης, ἔρριψεν αὐτὸν κατὰ τῆς Ἀκροπόλεως· ἐφ' ᾧ ἡ Πέρδιξ ἑαυτὴν ἀνήρτησεν. Ἀθηναῖοι δὲ αὐτὴν ἐτίμησαν. Σοφοκλῆς δὲ ἐν Καμικοῖς τὸν ὑπὸ Δαιδάλου ἀναιρεθέντα, Πέρδικα εἶναι τοὔνομα.

Πέρδικος ἱερὸν παρὰ τῇ Ἀκρ. Perdicis fanum juxta Arcem erat. Eupalamo enim liberi fuerunt Dædalus & Perdix: cujus filius fuit Calos. Huic cum Dædalus ob artem invideret, eum de Arce præcipitavit. Quamobrem Perdix ſe ipſam ſuſpendit: quam Athenienſes [poſt mortem] coluerunt. Sophocles vero in Comicis tradit, ei, qui a Dædalo ſublatus ſit, Perdici nomen fuiſſe.

Περαία. ὄνομα τόπου.

Περαία. Peræa. Nomen loci.

Περραιβοί. ἔθνος.

Περραιβοί. Perræbi. Gens.

Περαίνειν.[1] τὸ συνουσιάζειν.

Περαίνειν. Cum fœmina coire.

Περαίνοντας. τελειοῦντας.

Περαίνοντας. Perficientes. Ad finem perducentes.

Περαιωθέντες. περάσαντες.

Περαιωθέντες. Qui trajecerunt. Qui tranſierunt.

Περαιτέρω. πλέον. πάνυ.

Περαιτέρω. Ulterius. Magis. Omnino.

Περεγρῖνος.[2] ὄνομα κύριον.

Περεγρῖνος. Peregrinus. Nomen proprium.

Περένη. πόλις.

Περένη. Perene. Urbs.

Περήτεια. ἡ [3] περιαγγέλλουσα τὴν ὥραν.

Περήτεια. Quæ horam annuntiat.

Πέρι. περισσῶς.

Πέρι. Pro περισσῶς. Eximie. Excellenter. Supra modum.

Περί. ἀμφί. κύκλῳ.

Περί. Circum. Undique. Circum circa.

Περιαγειρόμενοι. [4] Ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι ἀθληταί. Πολιτείας πέμπτῳ ἐπὶ τέλει. λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα προυτίθεσαν τοῖς ἀγωνιζομένοις, ὃν τρόπον καὶ Ὅμηρος, καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν. ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν [5] σύνεγγυς καθήμενοι, καὶ πλησιάζοντες, πλέονος ἄξια ἐπετίθεσαν· οἱ δὲ πορρώτερον, ἄνθεσι καὶ φύλλοις ἔβαλλον περιερχομένους· ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις [6] ἐπιβάλλουσι πετάσους καὶ ζώνας· οἱ δὲ, χιτῶνας. ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν, καὶ λαμβάνειν τὰ διδόμενα. ὅθεν Σιμωνίδης Ἀετίλλου φησὶν οὕτω· Τίς δὴ τῶν νῦν τοσσάσδε πετάλλοισι μύρτων, ἢ στεφάνοισι ῥόδων ἀνεδήσατο νίκας ἐν ἀγῶνι περικτιόνων. ἔνιοι δὲ τοῦτο τὸ ἔθος ἀπὸ Θησέως τὴν ἀρχὴν λαβεῖν. ἐκεῖνον γὰρ ἐκ Κρήτης κομισθέντα, μετὰ τὸ ἀνελεῖν τὸν Μινώταυρον, οἱ ἀπὸ τῆς χώρας ἄνθεσι καὶ φύλλοις ἔβαλλον, καὶ τοῖς παροῦσι καρποῖς ἐτίμων.

Περιαγειρόμενοι. A circumſtantibus munera colligentes, vel corrogantes. *Ut athletæ coronati munera a circumſtantibus colligentes.* [Plato] lib. x. *de Republ.* in fine. Antiquis quidem temporibus præmia certantibus proponebantur, ut Homerus, & alii poetæ tradunt. Poſtquam vero ſine præmiis certari cæptum eſt, amici & cognati victorum coronis eos redimibant: alii vero prope ſedentes, vel ſtantes, majoris pretii res in eos congerebant. Qui vero remotiores erant, flores & folia in circumeuntes conjiciebant: ut & nunc in eos, qui certamine cum præclara laude defuncti ſunt, petaſos & zonas, nonnulli etiam veſtes, conjicere ſolent. Hinc mos inolevit, ut athletæ in orbem euntes, munera a circumſtantibus colligerent & acciperent. Unde Simonides Aetilli filius ſic inquit: *Quis noſtra ætate tot frondibus myrtorum aut coronis roſarum in certamine finitimorum ob victorias redimitus fuit?* Quidam vero tradunt, conſuetudinem hanc a Theſeo ortam eſſe. Eum enim ex Creta occiſo Minotauro reverſum populares floribus & foliis cumularunt, & fructibus, qui tunc aderant, honorarunt.

Περιαγκώνισμα.

Περιαγκώνισμα. Res ob omni parte eminentias cubitis ſimiles habens.

Περιάγνυται. περικλᾶται. οἱονεὶ, περιίσχεται. καὶ περιαγνυμένου. περικλωμένου. Πρὸς τὴν ἑσπερίαν τοῦ κόλπου ἀκτὴν, τοῦ περὶ τῇ Αἴνῳ τῇ πόλει περιαγνυμένου.

Περιάγνυται. Circumfringitur. Vel, cingitur, ambitur. Et περιαγνυμένου, circumfracti, cincti. *Ad occidentale littus ſinus, qui urbem Ænum circumluit.*

1 Περαίνειν] Confer Heſychium v. Κολεασμὸς, & v. Λακωνικὸν τρόπον.

2 Περεγρῖνος] De eo vide Lucianum, qui mortem ejus comico-tragicam lepide deſcribit.

3 Περιαγγέλλουσα] Heſychius habet παραγγέλλουσα: qui præterea poſt ὥραν addit, τοῖς κεκτημένοις, i. e. Dominis.

4 Ὥσπερ οἱ νικηφόροι περιαγειρ.] Hæc ſunt verba Platonis, quæ leguntur lib. x. *de Republ.* in fine: non vero, ut Suidas vel proprio, vel librariorum errore, falſo hic tradit, libro v.

5 Σύνεγγυς] Sic recte habent MSS. Pariſ. At priores Editt. συγγενεῖς: quod ſenſus manifeſto reſpuit.

6 Ἐπιβάλλουσι πετάσους καὶ ζώνας· οἱ δὲ χιτ.] Locum hunc illuſtramus ſupra v. Ἀχερδοῦνα: ubi nos vide.

Περιάγξαι.

Περιάγξαι. περιστρέψαι. συνθλίψαι.

Περιαγοραῖος. λάλος.

Περιαγωγάς. τὰς ἐν κύκλῳ περιφοράς. Ἀετοὶ δὲ ἕξ, κυκλοτερεῖς περὶ τὸ στρατόπεδον ποιησάμενοι περιαγωγὰς, ἐν δεξιᾷ διέστησαν.

Περιαθρεῖν. περισκοπεῖν.

Περίακτος. ὁδός.

Περιαλγῶν. ἀχθόμενος. Κἀγὼ περιαλγῶν τοῖς γεγονόσι, διὰ γραμμάτων ἐδεόμην ἀναπεμφθῆναι ὡς τὸν πατέρα τὸν ὑμέτερον.

Περίαλος. τὸ ἰσχίον.

Περιαλουργός. [1] Ἀριστοφάνης περὶ Λυσιστράτου·

Περιαλουργὸς κακοῖς,
Ῥιγῶν τε, καὶ πεινῶν ἀεὶ,
Πλὴν ἢ τριάκονθ᾽ ἡμέρας
Τοῦ μηνὸς ἑκάστου.

Τουτέστιν, ὁ κακοῖς βεβαμμένος. ἢ ὁ βαθὺς τοῖς κακοῖς. μετήνεκται δὲ ἡ λέξις ἀπὸ τῆς βαφῆς τῆς πορφύρας τῆς [2] θαλαττοβαφοῦς· ὅτι ἐκ βάθους τὸ ὄστρεον εὑρίσκεται. ἀλουργὶς δὲ, ἡ πορφύρα.

Περιαμησάμενος. θερίσας.

Περίανδρος, Κυψέλου, Κορίνθιος, τῶν ζ´ Σοφῶν, γεγονὼς κατὰ τὴν λή ὀλυμπιάδα. ἔγραψεν ὑποθήκας εἰς τὸν ἀνθρώπινον βίον, ἔπη δισχίλια. οὗτός ἐστι Περίανδρος, ὁ διὰ λύπην ἰδίαν ἀποθανών· ὡς καὶ τὸ [3] ἐπ᾽ αὐτῷ ἐπίγραμμα μαρτυρεῖ, οὕτως ἔχον·

Μήποτε λυπήσῃ σε τὸ μή σε τυχεῖν τινος, ἀλλὰ
Τέρπεο πᾶσιν ὁμῶς, οἷσι δίδωσι Θεός.
Καὶ γὰρ ἀθυμήσας ὁ σοφὸς Περίανδρος ἀπέσβη,
Οὕνεκεν οὐκ ἔτυχεν πρήξιος, ἧς ἔθελεν.

Περίανδρος, [4] ὁ Κυψέλου υἱὸς, τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει, καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν [5] αὐτὴν εἰς τυραννίδα· καὶ δορυφόρους εἶχε τριακοσίους· ἐκώλυσέ τε τοὺς πολίτας δούλους κτᾶσθαι, καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς καθέζοιτο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ᾽ αὐτοῦ. λέγεται δὲ καὶ ἄλλο τοῦτον ἄνομον ἐργάσασθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ᾽ ἔρωτος. ἐστρατεύετο δὲ συνεχῶς, καὶ ἦν πολεμικὸς, τριήρεις τε ναυπηγησάμενος, ἐχρῆτο ἀμφοτέραις ταῖς θαλάτταις. Φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ Σοφῶν γεγονέναι. τὸ δὲ οὐκ ἦν.

Περιανθίζω. ἄνθη συλλέγω.

Περιαοιδός. ἐγκύκλιος ᾠδή.

Περιάπτω. δολιχή.

Περιάγξαι. [Præfocare.] Contorquere. Conterere.

Περιαγοραῖος. Circumforaneus. Loquax. Rabula forenſis.

Περιαγωγάς. Flexus, qui in orbem fiunt. Circumactiones. *Sex autem aquilæ, cum circum caſtra in orbem volaſſent, ad dextram in diverſa diſceſſerunt.*

Περιαθρεῖν. Circumſpicere.

Περίακτος. Epithetum viæ.

Περιαλγῶν. Vehementer dolens. Graviter dolens. *Ego vero graviter dolens ob ea, quæ facta fuerant, per literas rogavi, ut ad patrem veſtrum remitterer.*

Περίαλος. Coxa.

Περιαλουργός. Totus velut purpuræ colore tinctus. Ariſtophanes de Lyſiſtrato inquit: *Totus velut immerſus malis, frigenſque & eſuriens ſemper, præterquam triginta dies menſis cujuſque.* Vel, qui malis infectus eſt, tanquam colore quodam. Vel, qui alte malis immerſus eſt. Tranſlatio ducta eſt a tinctura purpuræ marinæ. Oſtreum enim illud ex fundo maris petitur. Et ἀλουργὶς dicitur veſtis purpurea.

Περιαμησάμενος. Qui meſſuit.

Περίανδρος. Periander, Cypſeli F. Corinthius, unus ex ſeptem Sapientibus; qui vixit Olympiade XXXVIII. Scripſit præcepta de vita humana, verſibus 2000. Hic eſt Periander ille, qui animi ægritudine mortuus eſt: ut & Epigramma in ipſum ſcriptum teſtatur, quod ſic habet: *Nunquam dolore afficiaris, ſi voti tui compos non fias: ſed omnibus, quæ Deus dederit, læto animo fruaris. Nam & ſapiens ille Periander mœrore confectus obiit, quod rem cupitam non eſſet adeptus.*

Περίανδρος. Periander, Cypſeli Corinthiorum Regis filius, ætatis privilegio acceptum a patre regnum crudelitate ac violentia in tyrannidem vertit, trecentos ſatellites circum ſe habens. Interdixit etiam civibus, ne mancipia coemerent: &, ne in otio agerent, novitate operum aſſidue eos vexabat. Quod ſi quem forte ſedentem in foro reperiſſet, ſtatim mulctabat, metuens, ne qua conſpiratio adverſus ſe iniretur. Aliud quoque nefarium facinus patraſſe dicitur; amoris ſcilicet impotentia cum uxore jam mortua rem habuiſſe. Porro, bellicoſus erat inprimis, crebraſque expeditiones ſuſcipiebat, ac triremibus ædificatis utrumque late tenebat mare. Sunt qui hunc unum e ſeptem Sapientibus fuiſſe opinantur: falſo tamen.

Περιανθίζω. Flores colligo.

Περιαοιδός. Carmen encyclium.

Περιάπτω. Appendo. Dativo jungitur.

1 Ἀριστοφάνης] *Acharnenſ.* pag. 412. (295. Ed. Baſ. *P.*)

2 Θαλαττοβαφοῦς] Apud Scholiaſtam Ariſtophanis loco modo laudato legitur θαλάσσης; & deinde, ἀλουργὴς ἐσθὴς, ἡ πορφυρᾶ.

3 Τὸ ἐπ᾽ αὐτῷ ἐπίγρ.] Epigramma hoc refert etiam Laertius in vita Periandri.

4 Περίανδρος, ὁ Κυψέλου υἱὸς, τοῦ βασιλέως Κορ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Nicolai Damaſceni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 450. unde ea Noſter deſcripſit.

5 Αὐτὴν] Sic habet MS. Pariſ. A. itemque Nicolaus Damaſcenus loco laudato. At in prioribus Editt. minus recte legitur, ἑαυτήν.

Περιαστράπτω. αἰτιατικῇ.

Περιαστράπτω. Accuſativo jungitur. Circumfulgeo.

Περιαυθαδίζεται. ἐν ὑπερηφανίᾳ ἀναστρέφεται. ἢ, μέγα φρονεῖ περὶ ἑαυτοῦ.

Περιαυθαδίζεται. Superbe ſe gerit. Magnifice de ſe ſentit.

Περιαυτίζεται. περὶ ἑαυτοῦ μέγα φρονεῖ. ἢ ἐν αὐτῇ τῇ λέξει ἐνδιατρίβει.

Περιαυτίζεται. De ſe magnifice ſentit. Vel; eadem ſæpe repetit & inculcat.

Περιαυτολογεῖν. περὶ ἑαυτοῦ λέγειν. τουτέστι, μεθ' ὑπερηφανίας.

Περιαυτολογεῖν. Cum jactantia de ſe loqui.

Περιβάδην.[1] ἀμφιπλίξ. παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. Πλὶξ γὰρ τὸ βῆμα. καὶ πλίγματα, τὰ πηδήματα.

Περιβάδην. Ἀμφιπλὶξ ſignificat idem quod περιβάδην, i. e. circumeundo, vel obeundo: [eaque vox reperitur] apud Sophoclem in *Triptolemo*. Πλὶξ enim eſt greſſus: & πλίγματα, ſaltus, paſſus.

Περιβαλλόμενος. περιποιούμενος. περιβαλλόμενος δὲ πολλὴν λείαν, ἐπῆγεν ἐπὶ τὸ νεόκτιστον φρούριον. † Ὁ[2] δὲ Ἀπολλώνιος τὸ Λεωνίδου σῶμα τοῦ Σπαρτιάτου οὐ περιέβαλε μόνον, ἀγασθεὶς τὸν ἄνδρα. καὶ αὖθις· Καὶ πλοῦτον περιβάλλει ἀνδρὶ πένητι μὲν, εὐσεβεῖ δὲ, καὶ ἀεὶ θεραπεύοντι οἱ τὸν νεών. καὶ αὖθις· Ἐν ὀλίγῳ χρόνῳ πολλὴν σοφίαν περιβαλλόμενος.

Περιβαλλόμενος. Acquirens. Sibi comparans. *Cum autem ingentem prædam coegiſſet, eam in recens conditum caſtellum comportavit.* † *Apollonius vero Leonidæ Spartani corpus amplexus eſt, viri virtutem admiratus.* Et iterum: *Et divitias confert in virum, pauperem illum quidem, ſed pium, & aſſiduum ædis ſuæ cultorem.* Et iterum: *Cum exiguo tempore magnam ſapientiam ſibi comparaſſet.*

Περιβαλλομένους. περιλαμβανομένους. Ξενοφῶν· Τοὺς ἐπιτηδείους ἄλλους ἄλλοσε ἀφῆκε καταθεῖν, καὶ ἐκέλευε περιβαλλομένους, ὅπως τις ἐπιτυγχάνῃ, ἐλαύνειν πρὸς αὐτόν. καὶ Πολύβιος· Ὁ δὲ Ἄτταλος περιβαλλόμενος πλείω λόγον, ὑπεμίμνησκεν αὐτοὺς τῆς ἀνέκαθεν τῶν προγόνων ἀρετῆς. ἀντὶ τοῦ, διεξελθών. καὶ Αἰλιανός· Οἱ δὲ τοὺς ὑπηρέτας αὐτῶν δεσμοῖς περιβαλόντες, εἰς τὸ θέατρον ἄγουσιν.

Περιβαλλομένους. Aſſumptos. Xenophon: *Ad excurſionem faciendam idoneos, alios alio dimiſit, iiſque præcepit, ut raptis, in quæ incidiſſent, ad ſe contenderent.* Et Polybius: *Attalus autem prolixiore oratione habita, iis priſcam majorum virtutem in memoriam revocavit.* Et Ælianus: *Illi vero miniſtros illorum vinculis conſtrictos in theatrum duxerunt.*

Περίβαρα.[3] ὑποδήματα. καὶ περιβαρίδες, ὑποδήματα γυναικῶν. Θεόπομπος ἐν Σειρῆσιν· Ὑπὸ σοῦ λαβὼν τὰς περιβαρίδας.

Περίβαρα. Peribara. Calceamenta [quædam.] Et περιβαρίδες, peribarides, ſive calcei muliebres. Theopompus in *Sirenibus*: *A te acceptis peribaridibus.*

Περιβάς. ἐποχησάμενος. περιβὰς δὲ τὸν ἵππον, ἐλαύνει ὡς ἐπὶ τὸ θορυβούμενον.

Περιβάς. Qui adſcendit. Qui conſcendit. *Cum autem equum conſcendiſſet, ad locum, ubi tumultus erat, contendit.*

Περίβλεπτος. ἔξοχος. μέγιστος.

Περίβλεπτος. Inſignis. Conſpicuus. Excellens. Maximus.

Περιβόλαιον. περιβολή. ἔνδυμα. [4]Ἄβυσσον δὲ καλεῖ τὴν ὑγρὰν οὐσίαν ἡ θεία γραφή. ἐπεὶ οὖν ἡ γῆ πανταχόθεν ὕδασι περιέχεται, μεγάλοις καὶ μικροῖς πελάγεσιν, εἰκότως περιβόλαιον αὐτῆς εἴρηκεν ὁ Δαβίδ.

Περιβόλαιον. Amiculum. Indumentum. Aquas Oceani S. Scriptura abyſſum vocat. Quoniam igitur terra aquis undique cingitur, minoribus nempe & majoribus maribus; merito David [aquas] terræ amiculum vocavit.

1 Περιβάδην. ἀμφιπλίξ] In nota hac inverſa ſunt omnia. Τὸ ἀμφιπλὶξ enim oportebat articuli eſſe caput, & περιβάδην ejus interpretationem: quandoquidem interpretatio ſemper notior & clarior eſſe debet voce illa, quæ exponitur; quod hic ſecus ſe habet. Τὸ ἀμφιπλὶξ enim eſt vox poetica, multoque obſcurior & ignotior altera, cui interpretationis loco ipſa ſubjecta eſt. Deinde, ex hoc loco Suidæ, ut nunc conceptus eſt, Lector colligat, Sophoclem in *Triptolemo* voce περιβάδην uſum eſſe: cum alii Grammatici contra Tragici illius teſtimonium vocis ἀμφιπλὶξ gratia advocent. Etymologus v. Εὖ πλίσσοντο: Εὖ πλίσσοντο, καλῶς ἐβάδιζον, καὶ διέβαινον. πλίσσεσθαι γὰρ τὸ βάδην διαβαίνειν· καὶ πλίγμα, τὸ διάστημα τῶν ποδῶν. Σοφοκλῆς Τριπτολέμῳ·

Δράκοντε δ' αἶρον ἀμφιπλὶξ εἰληφότε.

περιβάδην. Pro δ' αἶρον hic legendum eſt θαιρὸν: ut apud Pollucem loco ſtatim citando. Heſychius enim v. Θαιρὸς expreſſe teſtatur, Sophoclem in *Triptolemo* vocabulo illo uſum eſſe: qui quidem quin ad ipſum illum locum Tragici, quem Etymologus citat, reſpexerit, nullus dubito. Pollux lib. II. cap. IV. pag. III. Ὅθεν καὶ τὸ διαβαίνειν οἱ ποιηταὶ ἀμφιπλήσσειν (lege, ἀμφιπλίσσειν) λέγουσι· καὶ τὸ περιβάδην, ἀμφιπλήξ, (lege, ἀμφιπλίξ) ὡς καὶ Σοφοκλῆς κατεχρήσατο ἐπὶ δρακόντων, εἰπών· Θαιρὸν ἀμφιπλὶξ εἰληφότα. Enarrator Comici ad *Acharnenſes*, p. 382. Ἀπεπλίξατο. ἀπεσείσατο. ἀπέφυγεν. πλὶξ γὰρ, τὸ βῆμα. καὶ πλίγματα, τὰ πηδήματα. ὅθεν καὶ τὸ περιβάδην, ἀμφιπλὶξ παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. Ex his locis Grammaticorum, (ex quorum ultimo Suidas ſua deſcripſit) clare patet, τὸ ἀμφιπλὶξ eſſe gloſſam, περιβάδην vero ejus interpretationem; & proinde Suidam inconſiderate admodum ordinem iſtum hic invertiſſe, notamque hanc ad vocem περιβάδην retuliſſe, quæ, ut diximus, ad vocem ἀμφιπλὶξ referenda erat. Cæterum, Grammatici, ut ex citatis illorum locis patet, τὸ ἀμφιπλὶξ interpretantur περιβάδην, i. e. *circumeundo*, vel *obeundo*: quæ interpretatio tamen τῷ περιπλὶξ potius convenit. Πλίσσεσθαι enim eſt διαβαίνειν, i. e. crura divaricare ad ingrediendum: unde περιπλίσσεσθαι recte interpreteris περιβαίνειν, i. e. circumire, & περιπλὶξ, περιβάδην. At ἀμφιπλίσσεσθαι (unde ἀμφιπλὶξ) erit, utrumque pedem alternatim promovere, quod illi, qui ingrediuntur, faciunt. Τὸ ἀμφὶ enim in compoſitione non ſignificat circumcirca, ſed utrinque: veluti ἀμφιδέξιος non eſt, undique dexter, ſed, utraque manu dexter. Sed de ſignificatione τοῦ ἀμφιπλὶξ certius nobis conſtare poſſet, ſi extaret hodie fabula Sophoclis *Triptolemus*, ubi vocabuli hujus ſedes erat. Fragmentum enim, quod Etymologus loco ante laudato inde adducit, tam breve eſt, ut de ſenſu ejus nihil certi ſtatui poſſit.

2 Ὁ δὲ Ἀπολλώνιος τὸ Λεωνίδου σ.] Locus hic apud Philoſtratum *de Vit. Apoll.* lib. IV. cap. VII. ſic legitur: Καὶ τὸ Λεωνίδου σῆμα τοῦ Σπαρτιάτου μονονοὺ περιέλαβεν, ἀγασθεὶς τὸν ἄνδρα, &c. Sic etiam apud Suidam ſcribendum eſt. Vide etiam infra v. Περιεβάλοντο.

3 Περίβαρα] Sic recte habet MS. Pariſ. A. itemque Heſychius & Pollux. At in prioribus Edit. male excuſum eſt, περίβαλα.

4 Ἄβυσσον δὲ καλεῖ τὴν ὑγρὰν οὐ.] Hæc Suidas ſumpſit ex Theodoreto ad Pſalm. CIII. v. 6. ubi David ſecundum verſionem τῶν LXX. inquit: Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ.

Περιβολή.

Περιβολή. εἶδος λόγου δεινότητος. Ἀλαζόνας φασὶν εἶναι τοὺς Ἕλληνας, τὰ οἰκεῖα αἴροντας διά τε ἐπιγραμμάτων, καὶ συγγραφῆς, καὶ τῆς ἄλλης τῶν λόγων πομπείας τε καὶ περιβολῆς. καὶ περιβολὴ, ὁ πλοῦτος. [1] Καλοῦνται δὲ ὑπὸ τῶν ἐν περιβολῇ γέργηθες, ἥ τε τύρβη, καὶ οἱ χειρώνακτες.

Περιβολή. Genus orationis, qua rem exaggeramus. [Vel, orationis ambitus & periodus.] *Ajunt Græcos eſſe jactabundos, utpote qui ſua & epigrammatibus & hiſtoriis [magnifice celebrent,] & ingenti verborum pompa prolixoque ambitu extollant.* Et περιβολὴ, divitiarum copia, vel opulentia. *Homines plebeji & opifices a divitibus appellantur* γέργηθες.

Περίβολος. ὁ τῆς νηός.

Περίβολος. Ambitus, vel ſeptum navis.

Περιγηθής. περιχαρής.

Περιγηθής. Perlætus. Valde lætus.

Περιγίνομαι. γενικῇ.

Περιγίνομαι. Genitivo jungitur. Supero. Vinco.

Περιγλωττίς. σκεπαστήριον τῆς γλώττης. [2] Πίθυλλόν φασι, τὸν Τένθην καλούμενον, περιγλωττίδα ὑμενίνην φορεῖν, καὶ προσεπιλυτροῦν τὴν γλῶτταν πρὸς τὰς ἀπολαύσεις. καὶ [3] δακτυλήθρας ἔχων ἐσθίειν λέγεται τὸ ὄψον, ἵν' ὡς θερμότατον ἀναδιδῷ τῇ γλώττῃ.

Περιγλωττίς. Linguæ tegumentum. Involucrum linguæ. *Pithyllum ajunt, Tenthen cognominatum, non ſolum membraneo tegmine linguam involviſſe; ſed hoc amplius, cruſtam ceu loricam illi induxiſſe, luxuriæ cauſa. Idem etiam digitalibus adhibitis cibos comediſſe dicitur, ut eos quam ferventiſſimos in os ingerere poſſet.*

Περίγρα. [4] ὁ διαβήτης, δι' ἧς οἱ τροχοὶ περιφερεῖς ἀποτελοῦνται. πυράγρας γὰρ οὐδεμία πρὸς ἁμάξης κατασκευὴν χρεία. ἔστι δὲ βοηθῆσαι καὶ τῇ κρατούσῃ γραφῇ, ἐπεὶ καὶ ταῖς πυράγραις ἐπὶ ταῖς σιδηροτρόχοις ἁμάξαις χρῶνται· περίγραις δὲ, ἐπὶ ταῖς ξυλίναις. [5] ὁ Θεολόγος Γρηγόριός φησιν εἰς τὸν συντακτήριον· Εἰ γὰρ ἐγὼ μὲν εἰς δόξαν Θεοῦ, τοῦτο δι' ἐμὲ, ἡ πυράγρα διὰ τὴν ἅμαξαν, ἢ ὁ πρίων διὰ τὴν θύραν· νικῶ τῇ αἰτίᾳ.

Περίγρα. Perigra. Circinus, cujus opera rotæ rotundæ efficiuntur. Nam ad plauſtri fabricationem nullus eſt uſus πυράγρας, i. e. forcipis. Poteſt tamen ad defendendam ſcripturam receptam dici, quod forcipes adhiberi ſoleant in fabricandis plauſtris, quæ ferreas habent rotas; perigræ vero, in [fabricandis plauſtris] ligneis. Theologus Gregorius in oratione valedictoria inquit: *Nam ſi ego ad Dei gloriam [conditus ſum,] hoc autem propter me, & forceps propter currum, vel ſerra propter januam: cauſa vinco.*

Περιγράψαι. οἷον ἀποκλεῖσαι. ἐπεὶ οἱ ἀποθανόντες περιεγράφοντο καὶ περιῃροῦντο τῶν ἀρχείων.

Περιγράψαι. [Delere. Expungere. Aliquando] idem valet, ac occidere. Defunctorum enim nomina ex publicis civitatis tabulis expunguntur.

Περιγνεῖδα. περιφέρειαν.

Περιγνεῖδα. Circumferentiam. Ambitum.

Περιδαρδάπτεσθαι, κατεσθίεσθαι.

Περιδαρδάπτεσθαι. Devorari.

Περιδέεια. καὶ περιδεής. περίφοβος. Καὶ τὰ συμπεσόντα αὐτοῖς πολλὰ καὶ δεινὰ τῷ περιδεεῖ τῆς ὄψεως ἐμήνυον.

Περιδέεια. Ingens timor. Et περιδεής. Valde metuens. Ingenti metu perculſus. *Et multa graviaque mala, quæ ipſis acciderant, vultus pavore ſignificabant.*

Περιδέξιος. ὁ καὶ τῇ ἀριστερᾷ ἐργαζόμενος. παρὰ δὲ τῷ Θεολόγῳ λέγοντι, Καὶ ὅπως ἀποφεύξηται τὸν περιδέξιον· περιδέξιόν ἐστι πᾶν διλήμματον. ἑκατέρωθεν γὰρ βούλεται συνάγειν. Περιδέξιος, καὶ ὁ σοφός.

—Οἷος ἐκεῖνος ἀεὶ περιδέξιος ἥρως.

παρὰ Καλλιμάχῳ.

Περιδέξιος. Ambidexter, ſive, qui ſiniſtra æque ac dextra opus facere poteſt. Uſus etiam eſt hac voce Theologus, inquiens: *Ut ambidextrum effugiat.* Omne dilemma eſt quaſi ambidextrum. Ab utraque enim parte aliquid concludit. Item περιδέξιος, peritus, ingenioſus, ad omnia promptus, vel, aptus. *Qualis eſt ille ad omnia ſemper promptus heros.* Apud Callimachum.

Περιδέρραια. περιτραχήλια κόσμια.

Περιδέρραια. Monilia, ſive ornamenta colli.

Περιδεῖν. περιδεσμεῖν. περιάπτειν. [6] Ξενοφῶν· Ὁ δὲ διδάσκει περὶ τοὺς πόδας τῶν ἵππων καὶ τῶν ὑποζυγίων σακκία περιδεῖν, ὅταν διὰ τῆς χιόνος ἄγωσι, διὰ τὸ μὴ καταδύεσθαι.

Περιδεῖν. Circumligare. Alligare. Xenophon: *Ille autem eos docuit, ut equorum & jumentorum pedibus ſacculos circumligarent; quoties ea per nives acturi eſſent; ne alte nimis illis immergerentur.*

Περίδειπνον. καὶ περίδειπνον τῶν νεκρῶν. Καὶ τοῦτο ἐδείπνουν τὸ Ἀττικὸν περίδειπνον.

Περίδειπνον, Silicernium, ſive convivium funebre. *Et hoc convivium funebre Atticorum more celebrarunt.*

Περιδήλιον. [7] πειρατήν.

Περιδήλιον. Piratam.

1 Καλοῦνται δὲ ὑπὸ τῶν ἐν περιβ.] Vide ſupra v. Γέργηθες.

2 Πίθυλλόν φασι, τὸν Τένθην καλ.] Hæc, & quæ ſequuntur, ſunt verba Athenæi lib. 1. pag. 6. quæ etiam leguntur infra v. Πίθυλλος.

3 Δακτυλήθρας ἔχων ἐσθίειν λέγεται.] Eadem habes etiam ſupra v. Δακτυλήθρα.

4 Περίγρα. ὁ διαβ.] Nota hæc pertinet ad locum Gregorii Nazianzeni, qui in fine articuli hujus adducitur.

5 Ὁ Θεολόγος Γρηγόριος] Orat. xxxii. pag. 521.

6 Ξενοφῶν] Lib. ii. *de Expedit. Cyr.* pag. 333.

7 Περιδήλιον] Heſychius: Περίδειπνον, πειρατήν. Scribe, περιδείπνοις

Περιδινοῦνται. περιδινεύονται. περιστρέφονται. Ὁ δὲ περιδινήσας ἄφνω ἐς τὸ μέτωπον τὸν ἵππον, ὑπαντιάζει τοῖς δειλαίοις.

Περιδινοῦντες. περιστρέφοντες. Οἱ δὲ Βαβυλώνιοι ἐντιθέντες εἰς σφενδόνας ᾠὰ, περιδινοῦντες ἐν κύκλῳ, ἅτε οὐκ ἄπειροι τῆς αὐτοσχεδίου καὶ κυνηγετικῶν διαιτημάτων, ἀλλὰ μεμελετηκότες τὰ ἐν ἐρημίᾳ μηχανήματα, ἑφθὸν καὶ ὠμὸν τῇ ῥύμῃ τὸ ᾠὸν κατεσκεύαζον.

Περίδου. περίθες. [1] Ἀριστοφάνης.

Ἴθι δὴ σὺ περίδου, καὶ ταχέως ἀνὴρ γενοῦ.

καὶ αὖθις· [2] Ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι. ἀντὶ τοῦ, περὶ τῆς κεφαλῆς συνθήκην θεῖναι. καὶ αὖθις· Εἰ [3] βούλει, περίδου μοι περὶ θυμιτίδων ἁλῶν. εἰ βούλει, φησὶ, ποιησώμεθα συνθήκας περὶ θυμιτίδων ἁλῶν· οἷον, μετὰ θύμου τετριμμένων. καὶ ἑτέρωθι·

[4] Ἅλας θυμίτας δὸς ἐμοὶ, καὶ κρόμμυα.

τὸ δὲ περίδου μοι καὶ [5] Ὅμηρός φησι.

Περιδοῦ. τουτέστι, συνθήκην ποιοῦ. [6] Ἀριστοφάνης Νεφέλαις·

——— Περιδοῦ νῦν ἐμοὶ,
Εἰ μὴ τετράμετρον ἐστὶν [7] ἡμιεκταῖον.

Περιδώμεθα. συνθώμεθα. [8] Ὅμηρος·

Δεῦρό νυν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος.

Περιδράττεσθαι. περιέχεσθαι. καὶ περιδράξασθαι, γενικῇ.

Περίδρομος. πάντη περιέρχεσθαι δυνάμενος. καὶ [9] περίδρομοι κύνες, οἱ πανταχοῦ περιστρέφεσθαι δυνάμενοι. Ἀριστοφάνης Βατράχοις.

Περιδύεται. κρύπτεται. εἰσδύεται. καὶ περιδυθῆναι. ἐκδυθῆναι.

Περιδύσας. ἐκδύσας. ἀφελόμενος. Περιδύσας μὲν τὸν ναὸν, ὡς καὶ τὰ σκεύη τοῦ Θεοῦ βαστάσαι.

Περιαιρεῖν. ἀφαιρεῖσθαι. ἀποκόπτειν. καθυφεῖναι. Συγχωρηθῆναι δὲ τοῖς Κελτίβηρσιν ὑπὸ Τιβερίου πρεσβεύειν πρὸς τὴν Σύγκλητον, καὶ περιαιρεῖν, ἐάν τι τούτων δύνωνται παραιτεῖσθαι. οἱ δὲ παραλῦσαι ἐπρέσβευον τὴν Σύγκλητον τῆς στρατείας, καὶ τῶν φόρων.

Περιεβάλοντο. ἐπεκτήσαντο. Οἱ δὲ καταδραμόντες τὴν χώραν, περιεβάλοντο λείας πλῆθος. καὶ αὖθις· Ὁ [10] δὲ Ἀπολλώνιος οὐ μόνον τὸ σῆμα Λεωνίδου τοῦ Σπαρτιάτου περιέβαλεν, ἀγασθεὶς τὸν ἄνδρα.

Περιδινοῦνται. Circumeunt. Circumaguntur. Vertuntur. *Ille vero, cum equos convertiſſet, miſeris in frontem occurrit.*

Περιδινοῦντες. Circumagentes. Rotantes. *Babylonii autem ova in fundas injecta circumagentes, utpote qui victus expediti & venatorii rationem non ignorarent, ſed artes quaſdam [ciborum ex tempore parandorum] in deſerto excogitaſſent, ovum etiam crudum rotationis celeritate percoquere norant.*

Περίδου. Circumliga. Alliga. Ariſtophanes: *Age igitur [barbam mento] alliga, ut cito vir fias.* Et iterum: *Caput meum pignoris loco deponam.* Vel, de capite paciſcar. Et iterum: *Si vis, ſalem thymitidem mecum depone.* Vel, ſalem thymitidem pignoris loco deponamus. Quaſi diceret, ſalem cum thymo tritum. Et alibi [Ariſtophanes inquit:] *Salem thymitem affer, puer, & cepas.* Phraſi autem illa περίδου μοι uſus etiam eſt Homerus.

Περιδοῦ. Pignus depone. Pignore aliquo certa. Ariſtophanes *Nubibus*: *Pignore aliquo nunc mecum certa, niſi eſt tetrametrum hemiecteum.*

Περιδώμεθα. Pignus deponamus. *Age nunc vel tripodem, vel lebetem pignoris loco deponamus.*

Περιδράττεσθαι. Undique prehendi. Comprehendi. Et περιδράσσω. Prehendo. Complector. Genitivo jungitur.

Περίδρομος. Omnia circumiens, vel circumcurſans. Et περίδρομοι κύνες, canes omnia circumcurſantes. Ariſtophanes *Ranis.*

Περιδύεται. Seſe occultat. Locum aliquem ſubit. Et περιδυθῆναι, exui, ſpoliari.

Περιδύσας. Qui ſpoliavit. Qui abſtulit. *Templum igitur ſpolians, ipſa quoque Dei vaſa abſtulit.*

Περιαιρεῖν. Auferre. Recidere. Detrahere. [*Ferunt*] *Celtiberis a Tiberio conceſſum fuiſſe, ut legatos ad Senatum mitterent, & ex iis, quæ ſibi imperata eſſent, precibus aliquid deminuerent, ſi poſſent. Illi vero a Senatu petierunt, ut militiam & tributa ſibi remitteret.*

Περιεβάλοντο. Acquiſiverunt. Sibi pararunt. *Illi vero excurſionibus in regionem factis, magnas prædas egerunt.* [Et περιβάλλειν, amplecti, complecti.] *Apollonius vero Leonidæ Spartani monumentum tantum non amplexus eſt, ob admirationem viri.*

per ι in ſyllaba penultima. Piratæ namque dicti videntur περίδινοι, a περιδινεῖσθαι, i. e. a circumvagando: quod circa maria vagari ſoleant. Quare & apud Suidam pro περιδέλιοι hic ſcribendum puto περίδινοι.

1 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 727. (488. Ed. Baſ. *P.*)

2 Ἐθέλω περὶ τ. κεφαλῆς περιδ.] Hæc ſunt verba Ariſtophanis *Equit.* pag. 335. (234. Ed. Baſ. *P.*)

3 Εἰ βούλ. περίδου μοι περὶ θυμ.] Locus hic apud Ariſtophanem *Acharnenſ.* pag. 408. (292. Ed. Baſ. P.) ſic legitur:

Αἱ λῆς, περιδοῦ νῦν μοι περὶ θυμιτίδων ἁλῶν.

Vide quæ de loco hoc Comici notamus ſupra ad v. Θυμιτίδων.

4 Ἅλας θυμίτας δ.] Apud Ariſtophanem hodie legitur:

Ἅλας θυμίτας οἶσε, παῖ, καὶ κρόμμυα.

5 Ὅμηρός φησι] Vide paulo poſt v. Περιδώμεθα.

6 Ἀριστοφάνης Νεφέλαις] Pag. 164. 165. (96. Ed. Baſ. *P.*) ſed ubi hodie legitur, περίδου, cum acuto in penultima.

7 Ἡμιεκταῖον] Apud Ariſtophanem loco laudato legitur, ἡμιεκτέον; uti etiam hic apud Suidam legendum eſt.

8 Ὅμηρος] Il. Ψ. v. 485.

9 Περίδρομοι κύνες, οἱ παντ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 234. (149. Ed. Baſ. *P.*)

10 Ὁ δὲ Ἀπολλώνιος οὐ μόνον τὸ σ.] Hæc ſunt verba Philoſtrati lib. IV. *de Vit. Apoll.* cap. VII. ſed ubi pro οὐ μόνον legitur μονονοὺ: uti etiam hic apud Suidam ſcribendum eſt. Vide etiam ſupra v. Ἀγασθεὶς ..., ubi Suidas idem fragmentum recitat.

Περιέδυσεν. ἀφείλετο τὰ ἱμάτια. Ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα τῶν σαρκῶν. περὶ ὀστέων λέγων.

Περιέδυσεν. Veſtibus nudavit. Spoliavit. *Pater ejus univerſam Syriam ſpoliavit, ſicut iſte hæc* [*oſſa*] *carnibus* [*nudavit.*] De oſſibus enim loquitur.

Περιεζώσατο. ἀντὶ τοῦ, περιεβάλετο. [1] Ἀπορῶν ἐπιτρόπου, γυμνὸς ὤν, τοῦτον τέως περιεζώσατο. οἱ γὰρ γυμνοὶ ἐπιθυμοῦσι κἂν περιζώματος τυχεῖν.

Περιεζώσατο. Se zona cinxit. *Indigens tutore, & prorſus nudus, eo tunc ſe ſuccinxit, tanquam ſubligaculo.* Qui enim nudi ſunt, vel ſubligaculum ſibi dari petunt, quo ſe præcingant.

Περιεκέχυτο. πανταχόθεν περιέῤῥει. Ἐπειδὴ τῷ Τιβερίῳ ἤδη τὰ τῆς πολιτείας περιεκέχυτο πράγματα.

Περιεκέχυτο. Circumfluebat. *Poſtquam Tiberium negotia Reip. circumfluere quaſi cæperunt.*

Περιεκόκκυσα. κόρδακα ὠρχησάμην. [2] Ἀριστοφάνης.

Περιεκόκκυσα. Cordacem ſaltavi. Ariſtophanes.

Περιεκτικόν. περιέχον.

Περιεκτικόν. Continens.

Περιελῶ[3] σ' ἀλαζονείας,

Ὑποτεμοῦμαι τὰς ὁδούς σου.

Οἷον, ἀποδύσω σε, παύσω τῆς ἀλαζονειῶν. τὸ δὲ περιελάσω, ἐκ μεταφορᾶς τῶν ἐρεσσόντων. παύσω σε καὶ περικόψω τῆς ἀλαζονείας. Ὑποτεμοῦμαι δὲ, ὡς βυρσοδέψης. ὑποτέμνουσι γὰρ τὰ δέρματα, διὰ τὸ φαίνεσθαι παχέα.

Περιελῶ σ' ἀλαζ. *Jactantiam tibi eximam, viaſque tuas præcidam.* Vel, jactantiam tuam compeſcam. Τὸ περιελάσω dictum eſt per tranſlationem a remigantibus ductam. Ὑποτεμοῦμαι vero dixit, ut coriarius. Coriarii enim coria oblique præcidunt, ut craſſa videantur.

Περιημεκτήσας. [4] Ὁ δὲ περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου, καὶ διαλυσάμενος τὴν ξενίην, ἐποίει τοιάδε. ἀντὶ τοῦ, δεινοπαθήσας. Ὁ δὲ Θεμίσων ἀνὴρ Φρόνιμος περιημέκτησεν αὐτὴν ἐν τῷ πελάγει. καὶ ζήτει ἐν τῷ Βάττος.

Περιημεκτήσας. Indigne ferens. [Herodotus:] *Themiſon vero ſe jurejurando circumventum eſſe iniquo animo ferens, cum hoſpitium Etearcho renunciaſſet, puellam funibus alligatam in mare demiſit.* Vide ſupra v. Βάττος.

Περιέπειν. αἰτιατικῇ. Φυλάσσειν, ἢ ἐνεργεῖν.

Περιέπειν. Accuſativo jungitur. Cuſtodire. Curare. Adminiſtrare.

Περιεπτισμένον. [5] λελεπτυσμένον. περιεξεσμένον. κεκαθαρμένον.

Περιεπτισμένον. Cortice nudatum. Purgatum.

Περιεπτισμένοι. [6] οἷον, ξένων ἀπηλλαγμένοι, καὶ καθαροὶ ἀστοί. κυρίως δὲ πτίσσειν ἐστὶ, κριθὴν ἢ ἄλλο τι λεπίζειν καὶ καθαροποιεῖν. ἔνθεν καὶ πτισάνη, ἡ [7] λελεπτυσμένη κριθή. Ἀριστοφάνης·

Ἀλλ' ἐσμὲν αὐτοὶ νῦν γε περιεπτισμένοι.

Περιεπτισμένοι. [Apud Ariſtophanem per tranſlationem ſignificat,] nullos peregrinos amplius admixtos habentes, ſed puri puti cives. Πτίσσειν vero proprie eſt, hordeum vel aliud quid decorticare & purgare. Unde & πτισάνη dicitur hordeum decorticatum. Ariſtophanes: *At nunc perpurgati & quaſi decorticati ſumus.*

Περιέπλυξαν. ἐκύκλωσαν. Οἱ δὲ Ῥωμαῖοι κυκλωθέντες ὑπὸ τῶν βαρβάρων, καὶ τὸ πλαίσιον λύσαντες ἐς λόχους, περιέβαλον τοὺς περιέχοντας. ὑπὸ θᾶττον ἀναπνοῆς αὐτοὺς περιέπλυξαν, καὶ συγκλείσαντες, ἅπαντας κατηκόντισαν· δείξαντες ἐν μιᾷ ἡμέρᾳ, καὶ ὅπως χρὴ διαφεύγειν κύκλωσιν, καὶ ὅπως κυκλώσασθαι δι' ὑπερβολὴν ἀνδρείας.

Περιέπλυξαν. Circumdederunt. *Romani autem a Barbaris circumdati, quadrato agmine in manipulos diſſoluto, illos circumvenerunt, a quibus fuerant circumventi. Nam reſpiratione celerius eos circumdederunt, & concluſos omnes jaculis confecerunt: demonſtrantes uno die, & quomodo hoſtis, a quo circumventus fueris, effugiendus; & quomodo idem forti & audaci animo circumveniendus ſit.*

Περιεργάσεται.[8] περιεργήσεσθαι. Ὁ δὲ περιεργασάμενος τοὺς οἴκους, ἐν οἷς συνειλεγμένοι ἐκκλησιάζουσι, τούτοις συνέσχηκε.

Περιεργάσεται. Curioſe inveſtigaturum eſſe. *Ille vero cum curioſe inveſtigaſſet ædes, in quibus congregati conciones habebant, in his eos concluſit.*

Περιέῤῥων.

Περιέῤῥων. Circumiens. Obiens. *Quæſivi eum*

1 Ἀπορῶν ἐπιτρόπου, γυμν.] Ariſtophanes *Pace* pag. 672.

Ἀπορῶν ὁ δῆμος ἐπιτρόπου, καὶ γυμνὸς ὤν,

Τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο.

Sic etiam apud Suidam locus hic ſcribendus & diſtinguendus eſt.

2 Ἀριστοφάνης] *Equit.* pag. 329. (228. Ed. Baſ. *P.*)

3 Περιελῶ σ' ἀλαζονείας, ὑποτεμοῦμαι τὰς ὁδούς σου] Et hæc ſunt verba Ariſtophanis *Equit.* pag. 303. 304. (205. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

4 Ὁ δὲ περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκ.] Locus hic mire turbatus & confuſus eſt, qui ex Herodoto ſic reſcribendus & in integrum reſtituendus eſt: Ὁ δὲ Θεμίσων περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου, διαλυσάμενος τὴν ξενίην, ἐποίει τοιάδε. παραλαβὼν τὴν παῖδα, ἀπέπλεε. ὡς δὲ ἐγένετο ἐν τῷ πελάγει, ἀποσιεύμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου. σχοινίοισι αὐτὴν διαδήσας, κατῆκεν ἐς τὸ πέλαγος. Locus exſtat apud Herodotum lib. IV. pag. 172. ut Portus etiam monuit.

5 Λελεπτυσμένον] MS. Pariſ. A. habet, λελεπτισμένον, per ι: quaſi a λεπτίζω. Sed neutra lectio ſana eſt. Scribendum enim eſt λελεπισμένον; a λεπίζω, decortico, vel cortice nudo.

6 Περιεπτισμένοι. οἷον, ξένων κτλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 395. (282. Ed. Baſ. *P.*)

7 Λελεπτυσμένη] Scribe & hic, λελεπισμένη.

8 Περιεργάσεται] Vocem hanc Suidas male interpretatur: cujus veram ſignificationem ex Lexicis vulgatis pete.

[1] Ζητῶν περιέῤῥει αὐτὸν ἐξ ἑωθινοῦ.

Κραπατάλλοις Φερεκράτης. Ἀπὸ τοῦ ἔῤῥειν, ὃ σημαίνει τὸ φθείρεσθαι.

Περιερέττων. κωπηλατῶν.

Περιεῤῥύη. ἐξεχύθη. ἐξέπεσεν. Ὀρχουμένου γὰρ αὐτοῦ, ὁ ἀκινάκης περιεῤῥύη.

Περιέρχομαι. ἐνεδρεύω. ἐξαπατῶ. σοφίζομαι. ὑπέρχομαι. [2] Ἀριστοφάνης·

Σκέψασθε δέ μ' εἰ σοφῶς
Αὐτοὺς περιέρχομαι,
Τοὺς οἰομένους φρονεῖν,
Καί μ' ἐξαπατύλλειν.

Περιέσταλο. περιεβάλλετο.

Περιέσεσθαι. περιγενέσθαι. Οὐ γὰρ ἑτέρως περιέσεσθαι στρατηγοῦ θερμοῦ τε καὶ ἀμάχου παντάπασι.

Περίεσα. [3] καθαρά.

Περιεσκεμμένος. περιβεβλημένος.

Περιεσόμεθα. περιγενησόμεθα.

Περιέσπασαν. ἀτίμως περιεῖλον. Αἰλιανός· Τὸν βωμὸν ἀνέτρεψαν, καὶ τὸν κόσμον, ὅσος ἦν περικείμενος, τοῦτον περιέσπασαν.

Περιεστηκώς. Καὶ περιστάντος αὐτὸν παντὸς τοῦ τῆς ἀδελφότητος πληρώματος, καὶ τὸ περιεστηκὸς ἐκεῖνο πλῆθος τὸν [4] πατριάρχην Ἠσαΐαν [5] διέπρισαν. [6] Ὁ θεῖος Σάββας.

Περιέστησαν. περιεκύκλωσαν.

Περιστήξει. περιστήσεται.

Περιέχεσθαι. γενικῇ. ἀντέχεσθαι. φροντίζειν. Μήτε αὐτοῦ πάνυ περιέχεσθαι Ῥωμαίους. αἰτιατικῇ δὲ, ὡς τὸ, Ζάλη ἁμαρτημάτων περιέχει με, σῶτερ.

Περιεχόμενον. ἀντεχόμενον.

Περίζωμα. τὸ ἀπὸ τὰ αἰδοῖα σκέπασμα. Γυμνῶν μαχομένων τῶν Ῥωμαίων ἐν τοῖς περιζώμασι.

Περίζυγα. Ξενοφῶν· Ἔχειν δὲ χρὴ καὶ ἱμάντας. τούτων γὰρ τριβομένων καὶ ῥηγνυμένων, ἀνάγκη ἀργεῖν, εἰ μή τις ἔχοι περίζυγα.

Περιειλάμενος. περιειλησάμενος.

Περίειμι. ζῶ. ἔτι σώζομαι. Καὶ αὐτὸς μὲν, ἔφη, ἐπὶ τῆς Μυσίας ἐπολέμησα, καὶ περίειμι νῦν καὶ λόγ-

a tempore matutino, omnia obiens loca. Pherecrates *Crapatallis.* Ab ἔῤῥειν, quod ſignificat, in malam rem abiens.

Περιερέττων. Remigans.

Περιεῤῥύη. Effuſus eſt. Excidit. Elapſus eſt. *Illo enim ſaltante, acinaces ex vagina elapſus eſt.*

Περιέρχομαι. Inſidior. Decipio. Fallo. Circumvenio. Ariſtophanes: *Me vero videte, utrum callide hos circumveniam, qui ſe putant ſapere, & me decipere.*

Περιέσταλο. Induit. Indutus eſt.

Περιέσεσθαι. Superaturum eſſe. *Haud enim alia ratione ducem præfervidum & ſuperatu difficilem ab eo victum iri.*

Περίεσα. Pura.

Περιεσκεμμένος. Circumſpectus. Qui deliberate & prudenter omnia agit.

Περιεσόμεθα. Superabimus. Superſtites erimus.

Περιέσπασαν. Ignominioſe avulſerunt. Detraxerunt. Ælianus: *Aram everterunt, omnemque ornatum ei detraxerunt.*

Περιεστηκώς. Circumſtans. *Cum autem omnis fratrum cœtus & reliqua turba prophetam Eſaiam circumdediſſet, eum diſſecuerunt.* Sic divinus Sabbas.

Περιέστησαν. Circumſteterunt. Circumdederũt.

Περιστήξει. Circumſtabit. Circumdabit.

Περιέχεσθαι. Genitivo jungitur. Aliquid ambire. Alicujus rei rationem habere. Aliquid curare. *Nec Romani magnam ipſius rationem habebant.* Item, accuſativo: ut, *Tempeſtas peccatorum me circumdat, Servator.*

Περιεχόμενον. Ambientem. Curantem.

Περίζωμα. Subligaculum, ſive tegmen partium genitalium. *Cum Romani nudi & ſubligaculis tantum præcincti pugnarent.*

Περίζυγα. Lora jugalia. Funes jugales. Xenophon: *Oportet autem etiam habere lora. His enim attritis & ruptis, neceſſe eſt ab opere ceſſare, niſi quis habeat funes jugales.*

Περιειλάμενος. Pro περιειλησάμενος. Circumvolutus. Circumplicatus.

Περίειμι. Superſtes ſum. Adhuc vivo. *Et dixit, ſe in Myſia bellum geſſiſſe, & adhuc ſu-*

1 Ζητῶν] Lego, ζητεῖ.

2 Ἀριστοφάνης] *Equit.* pag. 353. (249. Ed. Baſ. P.)

3 Περίεσα. καθαρά] Haud forſan a vero aberravero, ſi dixero, pro περίεσα ſcribendum eſſe ἀπέρισα, notamque hanc ad literam A referri debere. Videtur enim Suidas vocem hanc ex corrupto aliquo codice excerpſiſſe: cujuſmodi errores, quales Noſter ipſe non fecit, ſed ab aliis accepit, haud pauci in Collectaneis hiſce occurrunt. Sic alibi in ſerie ſua mendoſe ſcriptum legas, Καλλιδίαν, pro κολλυβίαν, Ἔσοχος, pro ὕσγινος, Φρήμας, pro δι' ἔρήμης, Ἠρέμησεν, pro ἠρέμησεν, Πεπινεσμένως, pro μεμινεσμένως, Διέξοντες, pro διέξοντες. Ἀλοῦσι, pro αἱ Λῶσαι, Θερματέρω, pro ἐρματέρω, Ἀμάσης, pro ἀναμάσης, Ἠδὺς, pro ἠδύς, Ἀκριτὸν, pro ἀκριτὸν, Διάψαλις, pro ἀλλέψαλις. Δάπος, pro λάπος. Δεινὸς, pro ἰδεινὸς, Εὐχείμονος, pro λεχείμονος, Παιόλη, pro ἀπαιόλη, Παιόλημα, pro ἀπαιόλημα, & alia plura, quæ ſuis locis indicamus. Quod autem ad vocem ἀπέρισα attinet, eam recte exponis καθαρά; quoniam compoſita eſt ex α privativo, & περισσὸν, vel περίσσευμα, quod interdum idem ſignificat, ac περίψημα, i. e. ſordes, purgamenta, excrementa. Hoc ſenſu vox iſta capitur in ῥήσει illa, quam refert Euſtathius ad Il. Α. pag. 108. Εἰς τὴν ἀπέρισαν τὰ περιττεύματα ἔβαλλον: i. e. *In mare ab omnibus ſordibus purum purgamenta projiciebant.* Poſtquam igitur locum hunc Suidæ recte nobis ſanaſſe videmur, Heſychio etiam medicam manum obiter adhibeamus. Apud eum enim in ſerie ſua legitur, Περιερεία, καθαρεία. Reſcribo, Περιττεία, ἀκαθαρσία; vel καθάρσια, cum accentu in antepenultima, ut ſit pluralis, a καθάρσιον. Ratio emendationis hujus ex iis, quæ proxime ante diximus, liquere poteſt.

4 Τὸν πατριάρχην Ἠσαΐαν] Puto legendum eſſe, τὸν προφήτην Ἠσαΐαν. Eſaiam enim ſerra diſſectum fuiſſe hiſtoria ſacra teſtatur, quod auctor fragmenti hujus innuere velle videtur. Fateor tamen, de ſenſu loci hujus, qui omnino lacer eſt & mutilus, nihil certi ſtatui poſſe.

5 Διεπρισάν] Malim, διέπρισαν.

6 Ὁ θεῖος Σάββας] Quid hoc? Si eſt nomen auctoris, eum mihi ignotum eſſe fateor.

χὴν ἐπαναλύσας, ἐν ταύτῃ, ἔφη, ἡμῖν ἡ πίστις ἐστί.

Περιεῖναι. περιγενέσθαι. Ἰδὼν ὅτι οὐκ ἄλλως τῆς πόλεως, ἢ λιμῷ περιεῖναι δύναιτο.

Περιεῖναι. ἐν βίῳ διάγειν. ζῆν. Τότε μὲν οὕτως Ἰουστίνῳ περιεῖναι ξυνέβη. καὶ ἀντὶ τοῦ νικᾷν. Ἐν δὲ τοῖς μάλιστα τὸν ἀδελφὸν αὐτοῦ Γάϊον οὐκ ἀνέξεσθαι περιεῖναι αὐτὸν δοῦλον τῶν πολεμίων γεγονότα. † Οὐδὲ περιεῖναι τῶν πολεμίων οἷός τε ὢν, τῷ μὴ τὰ δέοντα ὑπὸ σμικρολογίας ἐργάζεσθαι.

Περιεῖπον. περί τινα ἦσαν θεραπευτικῶς.

Περιεῖχεν. ὑπερεῖχε.

Περιήγγελλεν. ἐκέλευε.

Περιηγγέλθη τὸ ἄθεον πρόσταγμα. Ἀττικώτερον δὲ τὸ περιηγγέλη.

Περιηγεῖται. ἀντὶ τοῦ διηγεῖται. Αἰλιανός· Αὐτὸς δὲ διυπνισθεὶς, τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε, καὶ ὅσα ἤκουσε, καὶ ἅ τινα εἶπεν.

Περιηγεῖτο. πανταχόσε περιήρχετο. Πῦρ δὲ αὐτοῖς ὑπέφαινεν ὁ Σίνωνις, καὶ περιηγεῖτο.

Περιημάκτεον. ἐδυσφόρουν. Οἱ [1] δὲ Φωκέες περιημάκτεον τῇ δουλοσύνῃ.

Περιῆν. ἐνίκα.

Περιεγίνετο. ὑπῆρχε.

Περιηχήθην. περιεψιθυρίσθην.

Περιηχῶ. αἰτιατικῇ.

Περιιόντα. περιερχόμενον.

Περιίπταμαι. αἰτιατικῇ.

Περιιππεύων. περιτρέχων.

Περιίσταμαι. αἰτιατικῇ. Τοξότας αὐτῶν πάντοθεν περιίστησι. καὶ, Περιίστανται πάντοθεν τὸ πανδοχεῖον.

Περιιστάμενος. φεύγων. Ἰώσηπος περὶ Μωϋσέως· Περιίστατο γὰρ, μὴ πολλοὶ τῆς τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γένωνται.

Περιίστασο. ἀντιλαβοῦ. περισκέπασον.

Περιίστατο. Τὸν ὄχλον γὰρ ἐκεῖνος ἀεὶ καὶ τοὺς θορύβους περιίστατο μάλιστα.

Περίθετος. προσωπεῖον. [2] Ἀριστοφάνης· Ἥδιον μὲν οὖν κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. Διαβάλλεται δὲ Ἀγάθων ἐπὶ μαλακίᾳ, ἵνα λανθάνῃ νυκτὸς, καὶ ὡς γυνὴ πάσχῃ.

Περίθου. ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν. [3] Ἀριστοφάνης· Περίθου νῦν τόνδε πρότερον, πρὶν λέγειν. ἤγουν στέφανον. ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον.

perſtitem eſſe; haſtaque protenſa, In hac, inquit, fiducia noſtra poſita eſt.

Περιεῖναι. Supereſſe. Superare. Vincere. *Animadvertens urbem illam nullà alia ratione, quam fame a ſe expugnari poſſe.*

Περιεῖναι. Superſtitem eſſe. Vivere. *Tunc igitur Juſtinus [periculo quidem] ſuperſtes fuit.* † *Præcipue vero fratrem ipſius non paſſurum eum ſuperſtitem eſſe, quod hoſtium ſervus factus fuiſſet.* Item, vincere. *Nec hoſtes ſuperare potuit, quod propter avaritiam officio ſuo deeſſet.*

Περιεῖπον. Alicujus curam geſſerunt.

Περιεῖχεν. Superabat. Eminebat.

Περιήγγελλεν. Jubebat. Denuntiabat.

Περιηγγέλθη τὸ ἄθ. *Impium mandatum divulgatum eſt.* Περιηγγέλη vero magis eſt Atticum.

Περιηγεῖται. Idem quod διηγεῖται. Narrat. Recenſet. *Ille vero expergefactus, puero narrat, quæ vidiſſet, quæque audiviſſet & dixiſſet.*

Περιηγεῖτο. In omnes partes circumibat. Per omnia ducebat. *Ignem autem ipſis oſtendebat Sinonis, eoſque per omnia ducebat.*

Περιημάκτεον. Graviter ferebant. *Phocenſes vero ſervitutem graviter ferebant.*

Περιῆν. Superabat. Vincebat.

Περιεγίνετο. Superſtes erat.

Περιηχήθην. Vox circum aures meas ſonuit.

Περιηχῶ. Accuſativo jungitur. Circumſono.

Περιιόντα. Circumeuntem.

Περιίπταμαι. Accuſativo jungitur. Circumvolo.

Περιιππεύων. Circumequitans. Obequitans.

Περιίσταμαι. Accuſativo jungitur. Circumſto. Circumdo. *Ipſorum ſagittarios undique circumdat.* Et, *Diverſorium undique circumdant.*

Περιιστάμενος. Vitans. Fugiens. Cavens. Joſephus de Moſe: *Cavit enim, ne multi petulantiam verborum ejus imitarentur.*

Περιίστασο. Opem fer. Protege. Defende.

Περιίστατο. Vitabat. Fugiebat. *Turbam enim & tumultus maxime ſemper fugiebat.*

Περίθετος. Larva. Perſona. [Et περίθετος κεφαλὴ, ornatus muliebris, quo caput circumdatur] Ariſtophanes: *Hæc eſt faſcia, qua noctu caput circumdo.* Agathon enim ob mollitiem male audiebat, [utpote qui ornatum muliebrem gereret,] ut noctu lateret, & muliebria pateretur.

Περίθου. Idem quod vulgo ἐπίθου, i. e. impone. *Impone igitur capiti hanc, priuſquam dicere incipias.* Id eſt, coronam. Mos enim erat, ut illi, qui verba facturi erant, prius coronarentur.

1 Οἱ δὲ Φωκέες περιημ.] Locus hic apud Herodotum lib. 1. pag. 42. ſic legitur: Οἱ δὲ Φωκαιέες περιημεκτέοντες τῇ δουλοσύνῃ, ἔφασκον, &c.

2 Ἀριστοφάνης] *Theſmophor.* pag. 780. (518. Ed. Baſ. *P.*) ubi ſic legitur:

——— Ἥδη ἃ ἂν

Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.

Sic etiam apud Suidam ſcribendum eſt. Huc pertinent illa Euſtathii ad Il. Χ. pag. 1280. Ἰστέον δὲ, ὅτι φέρεται παρὰ τοῖς παλαιοῖς κόσμος γυναικεῖος, ὃν περίθετον κεφαλὴν ἐκάλουν. Ἀριστοφάνης Θεσμοφοριαζ.

Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.

Ἄδηλον δὲ, εἴτε κρήδεμνον αὕτη, εἴτε ἄμπυξ, εἴτε κεκρύφαλον, εἴτε ὁμοῦ πάντα ταῦτα μετὰ τῆς ἀναδέσμης.

3 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 728. (488. Ed. Baſ. *P.*)

Περί-

Πεϱίθϱιξ. ὁ ἀπὸ γενετῆς πλόκαμος, ὁ μηδέπω καϱείς. Ἔπι πλοκάμοιο πεϱίθϱιξ.

Πεϱιθοῖδαι. δῆμος τῆς Οἰνηΐδος φυλῆς. ἀπὸ Πειϱίθου, τοῦ Ἰξίονος. νόμος δ' ἦν Ἀθήνησι, ξένους εἰσδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων. Θετταλοὺς δ' ἐξαιϱέτως ὑπεδέχοντο, διὰ τὴν Πειϱίθου καὶ Θησέως φιλοξενίαν. τούτοις δὲ καὶ χώϱαν ἐμέϱισαν, ἣν ἐκάλεσαν Πειϱιθίδα. Ἔφοϱος ἱστοϱεῖ ἐν τϱίτῳ.

Πεϱικαθαίϱων. ἀναλύων τὸν πεφαϱμακευμένον, ἢ τὸν γεγοητευμένον.

Πεϱικάθημαι. αἰτιατικῇ.

Πεϱικακῶ. ἐκκακῶ.

Πεϱικαλλές. λίαν καλόν.

Πεϱικαῶς. ἐϱωτικῶς. Πεϱικαῶς τῆς γυναικὸς ἔχων.

Πεϱίκειμαι. τοῦ ἐπίκειμαι διαφέϱει.

Πεϱικεκλασμένοις. Ἐνέδϱαν εἶχεν ἐν τόποις πεϱικεκλασμένοις καὶ δυσθεωϱήτοις.

Πεϱικεφαλαία.

Πεϱίκηλα.

Πεϱικλῆς, Ἀθηναῖος. ἐπὶ τούτου ἤϱξατο ὁ Πελοποννησιακὸς πόλεμος. ἐπὶ τούτου τὸ Κυλώνειον ἄγος ἠλάσατο παϱὰ Ἀθηναίων, ᾧ ἐνείχετο Πεϱικλῆς. Κύλωνα γὰϱ ἄνδϱα Ἀθηναῖον, Ὀλύμπια νενικηκότα, γαμβϱὸν Θεαγένους, τοῦ Μεγαϱέων τυϱάννου, ἐπιθέμενον τυϱαννίδι τῶν Ἀθηναίων, παϱαχϱῆμα φυγόντα, καταφυγόντα δὲ ἐπὶ τὰς Σεμνὰς Θεὰς, ἀποσπάσαντες οἱ πεϱὶ Πεϱικλέα, ἀπέκτειναν. οἱ δὲ ἀντιπέπτωντο. Πεϱικλῆς δὲ οὐκ εἴα πείθεσθαι. ὃς ἦν Ξανθίππου παῖς, στϱατηγοῦ Ἀθηναίων, Ἀναξαγόϱου δ' ὁμιλητής. Φασὶ δὲ, ὅτι μέλλουσα τὸν Πεϱικλέα τίκτειν ἡ μήτηϱ, ὄναϱ εἶδεν ὡς λέοντα τέκοι. οὗτος κεϱαυνοῦ ποτὲ γενομένου, καὶ θοϱυβηθέντων Ἀθηναίων, ὡς ἐξῄεσαν ἐς μάχην ὑπ' αὐτῷ στϱατηγῷ, δύο λίθους συγκϱούσας, καὶ πῦϱ ἐξ αὐτῶν ἐκκόψας, τοῦτο, εἶπεν, ἐστὶν ὁ κεϱαυνός. ἔγημε δὲ Ἀσπασίαν τὴν Μιλησίαν, ἐξ ἧς ἔσχε παῖδας, Ξάνθιππον, καὶ Πάϱαλον· ὃν παϱὰ τὰ πάτϱια ὠνόμασεν, ἥϱωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

Πεϱικλῆς, Ξανθίππου, καὶ Ἀγαϱίστης, Ἀθηναῖος, ῥήτωϱ, καὶ δημαγωγὸς, ὅστις πϱῶτος γϱαπτὸν λόγον ἐν δικαστηϱίῳ εἶπε, τῶν πϱὸ αὐτοῦ σχεδιαζόντων. ἦν δὲ μαθητὴς Ἀναξαγόϱου τοῦ Κλαζομενίου· καὶ αὐτὸς ἐϱύσατο αὐτὸν ἐκ θανάτου.

Πεϱικλῆς. οὗτος συμβουλεύεται Ἀθηναίοις·

[1] Τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
Εἶναι σφετέϱαν, τὴν δὲ σφετέϱαν, τῶν πολεμίων·
Πόϱον δὲ τὰς ναῦς, ἀποϱίαν δὲ τὸν πόϱον.

[2] οὗτος ἐκέλευσεν Ἀθηναίοις, ἐμβαλόντων μὲν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ

Πεϱίθϱιξ. Capillus, vel cincinnus, inde a prima ætate intonſus. *Coma adhuc intonſa.*

Πεϱιθοῖδαι. Perithœdæ. Populus tribus Oeneidis, [ſic dictus] a Pirithoo Ixionis filio. Lex autem erat Athenis, ut quivis hoſpites Græci reciperentur. Præ cæteris vero Theſſali [humaniter] excipiebantur, propter Pirithoi & Theſei hoſpitalitatem. Iiſdem etiam agrum diviſerunt, quem Pirithidem vocarunt. Hæc narrat Ephorus libro III.

Πεϱικαθαίϱων. [Luſtrans. Purgans.] Incantationibus & veneficiis defixum ſolvens.

Πεϱικάθημαι. Circumſideo. Obſideo.

Πεϱικακῶ. Malis cedo, vel ſuccumbo.

Πεϱικαλλές. Perpulchrum. Valde pulchrum.

Πεϱικαῶς. Ardenter. Ardenti amore. *Illius mulieris ardenti amore flagrans.*

Πεϱίκειμαι. Differt ab ἐπίκειμαι.

Πεϱικεκλασμένοις. Undique præruptis. *Inſidias collocarat in locis præruptis, & quæ perſpici facile non poterant.*

Πεϱικεφαλαία. Caſſis. Galea.

Πεϱίκηλα. Ambuſta. Sicca.

Πεϱικλῆς. Pericles, Athenienſis. Hujus tempore bellum Peloponneſiacum cœpit, ſceluſque Cylonium, cujus ipſe Pericles particeps erat, ab Athenienſibus expiatum fuit. Cylonem enim Athenienſem, in ludis Olympicis victorem, generumque Theagenis, Megarenſium tyranni, cum tyrannidis Athenis affectatæ reus ad Deas Furias ſupplex confugiſſet, Pericles vi inde abſtractum interfici juſſit. Hic erat filius Xanthippi, imperatoris Athenienſium, & Anaxagoræ auditor. Ferunt autem matrem Periclis, cum eum enixura eſſet, in ſomnis vidiſſe, ſe leonem parere. Hic, cum aliquando fulmen cœlo cecidiſſet, & Athenienſes ipſo duce ad prælium exituri ea re conſternati fuiſſent; duobus lapidibus colliſis, & igne ex ipſis excuſſo, hoc eſſe fulmen dixit. Uxorem duxit Aſpaſiam Mileſiam, & ex ea filios ſuſcepit Xanthippum & Paralum; quem contra inſtituta patria ſic nominavit, herois indito nomine, quod [Athenis] non licebat.

Πεϱικλῆς. Pericles, Xanthippi & Agariſtes F. Athenienſis, orator & demagogus, qui primus ſcriptam orationem habuit in judicio, cum illi, qui ipſum anteceſſerant, ex tempore dixiſſent. Fuit autem Anaxagoræ Clazomenii diſcipulus; quem ipſe a morte liberavit.

Πεϱικλῆς. Pericles. Hic Athenienſibus ſequens conſilium dedit: *Terram hoſtium cum putaverint eſſe ſuam; ſuam vero, hoſtium: naves, viam ſalutis; cæteras autem vias invias.* Hic enim, cum Lacedæmonii in Atticam irruptionem feciſſent, Athenienſibus auctor fuit, ne iis obviam irent, ſed intra mœnia manerent; ipſique Laconicam claſſe inva-

1 Τὴν γῆν ὅταν νομ.] Tres hi ſenarii leguntur apud Ariſtoph. *Ranis*, pag. 180. (186. Ed. Baſ. *P.*)

2 Οὗτος ἐκέλευσεν Ἀθην.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo memoratum locum Ariſtophanis.

Λακω-

Λακωνικῇ. τὸν μὲν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι· τὸ δὲ διὰ θαλάττης, τοῦτο ἡγεῖσθαι πόρον. ἄλλως. Τὴν Περικλέους λέγει γνώμην, τὴν Ἀττικὴν ὡς πολεμίαν ἡγεῖσθαι, καὶ ἐᾶν τέμνεσθαι· τὴν δὲ Λακωνικὴν περιπλεῦσαι. συνεβούλευσε δὲ περιπλεῖν τὴν πολεμίαν· μὴ μάχεσθαι δὲ, τεμνομένης τῆς Ἀττικῆς. ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τούτου γίνηται, τοῦτον ἄπορον νομίζειν· οἷον τὰ θεωρικὰ, καὶ δικαστικὰ, καὶ ἐκκλησιαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. πρὸς ταύτην γὰρ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. Φησὶ γὰρ ὁ Διόνυσος·

Πλὴν ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.

ὡς πολλῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν.

derent. In expeditione igitur terreſtri ne ullam ſpem ſalutis ponerent; at contra expeditionem navalem viam ſalutis exiſtimarent, ſuaſit. Aliter. Periclis hoc erat conſilium, ut Athenienſes Atticam tanquam terram hoſtium vaſtari ſinerent; ipſi vero Laconicam claſſe circumirent. [Aliter. Pericles Athenienſibus] ſuaſit, ut terram hoſtium claſſe circumirent, nec cum hoſtibus pugnarent, dum Attica vaſtaretur. Item, ut navium multitudinem opes ſuas ducerent, pro damno vero reputarent pecuniam, quæ in alios uſus impenderetur, veluti in ſpectacula, judicia, & comitia. Auctor igitur erat, ut omnes ſumptus, qui in iſta conferebantur, navibus aſſignarentur. Huic enim ſententiæ congruit illud, quod Bacchus deinceps ſubjungit: *Sed Judex ea ſolus deglutit*: ſignificans nimirum, multū pecuniæ in Judicum mercedem abſumi.

Περικλυτός.

Περικλυτός. Inclytus. Præclarus.

Περικνημῖδας.

Περικνημῖδας. Ocreas. Tibialia.

Περικόμματ' [1] ἐκ σοῦ κατασκευάσω. τὰ ὑπὸ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· Κόψω σου τὸ σῶμα.

Περικόμματ' ἐκ σοῦ κατασκ. *Te in fruſta concidam.* Περικόμματα enim vocantur fruſta, quæ coqui a carne præcidunt. Senſus igitur eſt: *Corpus tuum concidam.*

Περικόμψους. [2] Ἀριστοφάνης·

Παῦσον ἡμῶν τὰς ὑπονοίας
Τὰς περικόμψους, αἷς στωμυλλόμε-
θ' εἰς ἀλλήλους. ———
——— καὶ συγγνώμη
Τινὶ πρᾳοτέρᾳ κέρασον τὸν νοῦν.

Στωμυλλόμεθα, ἀντὶ τοῦ, Φλυαροῦμεν.

Περικόμψους. Valde lepidas. Valde elegantes & comptas. Ariſtophanes: *Reprime ſuſpiciones noſtras lepidas, de quibus identidem inter nos garrimus, & mitiore venia mentem tempera.* Στωμυλλόμεθα hic ſignificat, garrimus, nugamur.

Περικοπή. [3] Πολύβιος· Ταύτην τὴν περικοπὴν ἐδωρήσατο τῇ τῆς Αἰμιλίας μητρί. τουτέστι, τὴν ὕπαρξιν. καὶ αὖθις· Ἅτε μηδεμίαν ἐχούσης πραγματικὴν ἔμφασιν τῆς περικοπῆς αὐτῶν. τουτέστι, τῆς ἐνεργείας.

Περικοπή. Apparatus. Polybius: *Hunc apparatum Æmiliæ matri donavit.* Et iterum: *Quippe cum apparatus illorum vanam tantum ſpeciem haberet.*

Περικοπή. μέρος τι τῆς ὑποθέσεως. Ὁ δὲ προῆγε, ποιήσας εὔστολον τὴν ἀκολουθίαν καὶ τὴν περικοπὴν τῆς ἐκδημίας.

Περικοπή. Sententia, vel pars argumenti. [Item, apparatus.] *Ille vero præceſſit cum expedito comitatu & apparatu itineris.*

Περικόπτω. αἰτιατικῇ.

Περικόπτω. Circumcido. Reſeco. Accuſativo jungitur.

Περικρεμνῶ.

Περικρεμνῶ. Circumcirca ſuſpendo.

Περικτίονος. τοῦ πέριξ οἰκοῦντος.

Περικτίονος. Circum habitantis. Vicini.

Περιλακιζομένη. ἀντὶ τοῦ διασχιζομένη, καὶ διακοπτομένη.

Περιλακιζομένη. Diſciſſa. Diſſecta. Dilacerata.

Περιλαλοῦσιν. αἰτιατικῇ. ἀντὶ τοῦ, περιττολογοῦσι. Φλυαροῦσι. Τοῖς [4] περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι.

Περιλαλοῦσιν. Garrulis. Nugas deblaterantibus. *Ne temere aſſentiaris garrulis hominibus.*

Περίλαος. ὄνομα κύριον.

Περίλαος. Perilaus. Nomen proprium.

Περίλεξις. περίφρασις. [5] λεληθότως δὲ δείκνυσιν, ἐκ πόσων συνέστηκε ῥητορεία. δεῖ γὰρ πρῶτον νοῆσαι· εἶτα ἑρμηνεῦσαι τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τοῦ τῆς ἐξηγήσεως λόγου. καὶ κατάληψιν, ἤγουν τὴν αἴσθησιν, καὶ τὴν τέχνην. οὕτω γὰρ ὁριζόμεθα τὴν τέχνην. Ῥητορική ἐστι τέχνη τοῦ εὖ λέγειν τὰ προβλή-

Περίλεξις. Circumlocutio. [Eloquentia. Garrulitas.] Occulte autem oſtendit, ex quot partibus ars dicendi conſtet. Primum enim rem mente concipere oportet; & deinde conceptam verbis declarare: quod eſt opus orationis, qua alteri aliquid exponimus. Et κατάληψιν, i. e. comprehenſionem, vel ſenſum,

1 Περικόμματ' ἐκ σοῦ κατασκ.] Hæc ſunt verba Ariſtophanis *Equit.* pag. 309. (210. Ed. Baſ. *P.*)

2 Ἀριστοφάνης] *Pace*, pag. 697. (472. Ed. Baſ. *P.*)

3 Πολύβιος] Integer locus Polybii, ex quo fragmentum hoc deſcriptum eſt, exſtat in Collectaneis Conſtantini Imperat. a Valeſio editis, pag. 154. itemque apud Suidam ſupra v. Αἰμιλία.

4 Τοῖς περιλαλοῦσι μὴ ταχ.] Hæc ſunt verba Marci Antonini lib. 1. §. 7. ut Pearſonius monuit.

5 Λεληθότως δὲ δείκνυσιν, ἐκ πόσων συνέσ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes* pag. 143. (78. Ed. Baſ. *P.*)

μαλα. διὰ τί τέχνη; σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων.

Περιλέποντες. τὸν φλοιὸν περιαιροῦντες. [1] Ἡρόδοτος· Τῶν δὲ δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ ἐσθίοντες.

Περιλιχμώμενος. κατασπαζόμενος. Ὁ δὲ τὴν γυναῖκα πολὺν χρόνον περιλιχμώμενος, καὶ τοὺς πόδας εἱλούμενος, συνέπεισεν ἄνδρα νομίσαι.

Περίλλος.[2] Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ὄνομα κύριον.

Πέριλος. τὸ αἰδοῖον. δι᾽ ἑνὸς λ.

Περὶ λύχνων ἁφάς. ὀψιαίτερον. Μικρὸν δὲ μετὰ λύχνων ἁφὰς ἄρτι ἐς θοίνην ἰόντων, ἐπιπεσόντες ἀδόκητοι, τῶν πολεμίων πολλοὺς κτείνουσι.

Περίμανος,[3] καὶ μανέρως. ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.

Περιμένω. αἰτιατικῇ.

Περίνεως.[4] τοὺς περιττοὺς ἐν τῇ νηὶ ἐπιβάτας. οἷον, δούλους.

Περίνεως. τοὺς περιττούς, καὶ ἔξω τῆς ὑπηρεσίας ὡς λειπόνεως, τοὺς λειποτάκτας. Θουκυδίδης· Τοὺς δὲ περίνεως (πολλοὶ γὰρ φθειρομένων ἐν τῇ ναυαγίᾳ τῶν σκαφῶν ἀπεκολύμβησαν) ὡς ἐς τὸ ναυτικὸν ὀλιγανδροῦν κατέταξεν. † Οἱ δὲ ναῦται, καὶ ὅσοι περίνεῳ, οὐκ ἀνεξόμενοι δῆλοι ἦσαν.

Περήνη. πόλις.

Περινήσαντες. περισωρεύσαντες. Οἱ δὲ βάρβαροι πολὺ περινήσαντες πῦρ, συνέφλεξαν ἅπαντας.

Περινθίοις.[5] τούτοις ἁλωθὲν τὸ Βυζάντιον δῶρον ἐδόθη εἰς δουλείαν παρὰ Σεβήρου τοῦ Ῥωμαίων βασιλέως· ὥσπερ καὶ ἡ Ἀντιόχεια Λαοδικεῦσι.

Περινοεῖ. νοεῖ περισσῶς.

Περινοστοῦντας. περιερχομένους. [6] νόστος κυρίως μὲν ἡ ἀπὸ ἀλλοδαπῆς οἴκαδε ἄφιξις. καταχρηστικῶς δέ, καὶ ἡ ἀπὸ [7] τόπου εἰς τόπον. Ἀριστοφάνης Πλούτῳ·

Ὅστις σε προσπταίοντα περινοστεῖν ἐᾷ.

Περίνοια. ὑπερηφάνεια. ἡ μηχανή. ἡ τέχνη.

Περιοδεία. ἡ περιόδευσις.

Περίοδος. περιέλευσις. κύκλος. [8] Ἡρόδοτος· Οἱ δὲ Σπαρτιᾶται μαθόντες ἐκ τῶν αὐτομόλων τῶν Περσέων τὴν περίοδον, ἐβουλεύοντο, καὶ ἐσχίζοντο αὐτῶν αἱ γνῶμαι.

Περίοδος.[9] Δημοσθένης Φιλιππικοῖς. Περιοδικὰ

& artem. Sic enim definimus artem. Rhetorica eſt ars de propoſitis quæſtionibus bene dicendi. Quare ars? Quia eſt ſyſtema notionum, quas exercitio acquiſivimus.

Περιλέποντες. Delibrantes. Corticem detrahentes. Herodotus: *Et corticem arboribus detractum comedentes.*

Περιλιχμώμενος. Circumlingens. Circumlambens. Blandiens. *Ille vero longo tempore mulieri blandiens, pedibuſque pedes implicans, ei perſuaſit, ut ſe virum duceret.*

Περίλλος. Perillus. Nomen proprium. Demoſthenes in oratione pro Cteſiphonte.

Πέριλος. Per unum λ. Pudendum [virile]

Περὶ λύχνων ἁφάς. Circa tempus illud, quo lucernæ ſolent accendi. Serius. *Paulo poſt accenſas lucernas, cum ad cœnam modo iviſſent, irruentes ex improviſo, multos hoſtium interfecerunt.*

Περίμανος, καὶ μαν. Perimanos, & Maneros, nomina cantionum. Eubulus *Campylione.*

Περιμένω. Accuſativo jungitur. Expecto.

Περίνεως. Superfluos in nave vectores: veluti ſervos.

Περίνεως. Superfluos in nave vectores, & qui nullum miniſterium præſtant: ut λειπόνεως, navium deſertores. Thucydides: *Vectores autem (multi enim ſcaphis naufragio pereuntibus enataverant) quos inter nautas ad paucitatem redactos retulerat.* † *Nautas autem & vectores hoc non paſſuros eſſe manifeſtum erat.*

Περήνη. Perene. Urbs.

Περινήσαντες. Qui coacervarunt. *Barbari autem, cum multum ignem coacervaſſent, omnes combuſſerunt.*

Περινθίοις. Perinthiis. His Byzantium, cum captum eſſet, a Severo Imperatore Romanorum dono datum & parere juſſum eſt: ſicut & Antiochia Laodicenſibus.

Περινοεῖ. Plurima mente cogitat & comminiſcitur.

Περινοστοῦντας. Circumeuntes. Oberrantes. Νόστος proprie dicitur reditus ejus, qui ex peregrina regione domum revertitur. Abuſive vero ſic dicitur quævis de loco in locum profectio. Ariſtophanes *Pluto*: *Qui te pedes offendentem oberrare ſinit.*

Περίνοια. Superbia. Vel, machinatio. Callidum commentum. Ars.

Περιοδεία. Circuitio. Circuitus. Ambitus.

Περίοδος. Circuitio. Circuitus. Ambitus. Herodotus: *Cum autem Spartani circuitum Perſarum ex transfugis cognoviſſent, conſultare cœperunt, aliis aliud ſentientibus.*

Περίοδος. Periodus. Circuitus. Demoſthe-

1 Ἡρόδοτος] Lib. VIII. pag. 316. ut Portus monuit.
2 Περίλλος. Δημοσθένης ἐν τ.] Ex Harpocratione.
3 Περίμανος, καὶ μαν.] Vide ſupra v. Ἀνακαλεῖς.
4 Περίνεως. τοὺς περιττοὺς ἐν τῇ ν.] Ex Schol. Thucyd. ad lib. I. cap. X.
5 Τούτοις ἁλωθὲν τὸ Βυζάντιον δῶρον ἐδ.] Hæc ſunt verba Herodiani in *Severo*.
6 Νόστος κυρίως μὲν ἡ ἀπὸ ἀλλ.] Ex Enarratore Comici ad *Plutum*, pag. 13. (7. Ed. Baſ. P.)
7 Ἀπὸ τόπου εἰς τόπον] Adde ex Scholiaſta Ariſtoph. μετανάστασις καὶ πορεία.
8 Ἡρόδοτος] Lib. VII. pag. 288.
9 Περίοδος. Δημοσθένης Φιλιππ.] Ex Harpocratione.

νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα, καὶ αὖθις ἐπιγινόμενα· οἷον τριταῖα, τεταρταῖα, καὶ τὰ ὅμοια. καὶ γὰρ ἐπὶ τούτων οἱ κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.

Περιών. περιβάλλων. Τὰ δὲ καὶ περίοικα πολλαχῆ τοῖς ἑαυτοῦ τέλεσι περιοίκους πεπορισμένας ἔχοντες ἐκ τοῦ περιόντος χρημάτων.

Περὶ ὄνου σκιᾶς. παροιμιακόν. περὶ τῶν ἐνδιαλεγομένων τοῖς μηδενὸς ἀξίοις.

Περὶ τῆς [1] ἐν Δελφοῖς σκιᾶς. Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι, τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος, λεγομένης περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. λέγεσθαι δὲ αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιόντας. ζῶντας. [2] Ἀγαθίας· Καὶ ἔλεγον παρέξειν αὐτῷ ἐς ὅ, τι βούλοιτο χρῆσθαι, εἴγε τοὺς ὁμήρους ἴδοιεν περιόντας.

Περίοπτον. περιθέατον. μέγα, ὑψηλόν. περίβλεπτον.

Περιορᾶσθαι. καραδοκεῖν. ἀποθεωρεῖν. περισκέπτεσθαι. φροντίζειν. Θουκυδίδης, Καὶ τοὺς Μεγαρέας περιορωμένους τὸν πόλεμον, λέγει. καὶ, Ὁ Βρασίδας τῆς μάχης περιορώμενος. † Οἱ δὲ πρὸς τῷ ποταμῷ κατέμειναν περιορώμενοι τὸ γενησόμενον. τουτέστι, καραδοκοῦντες. προσδοκῶντες.

Περιοργής. ὠργισμένος. Ὁ δὲ Καῖσαρ περιοργὴς ἐπὶ τούτοις γενόμενος, ἐκίνει τὸ στράτευμα.

Περιορίσαι. περινοῆσαι.

Περιορισθῆναι. γνωρισθῆναι. ἢ ὑπὸ ὅρον γενέσθαι.

Περιορισμός. ἐξορισμός.

Περιορῶ. αἰτιατικῇ.

Περιουσία. ἡ περιττὴ οὐσία. οὐσία δὲ, ἡ σύμμετρος. [3] Ἐκ περιουσίας γὰρ τοῦ ἀναγκαίου διαφέρει. Ἀναγκαῖα μὲν γάρ εἰσιν, ὧν χωρὶς ἀδύνατον εἶναι. Ἐκ περιουσίας δὲ, ὧν ἡ παρουσία οὐκ ἔστιν ἀναγκαία, καὶ, ὡς Ἀριστοτέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων, ἄλλα τινὰ προσκαλλωπίζηται τῶν καλῶν. οἷον, τὸ μὲν ζῆν ἀναγκαῖον· ἐκ περιουσίας δὲ, τὸ εὖ ζῆν. τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν, ἀναγκαῖον ὄν.

Περιουσίας. πλήθους. πλούτου.

Περιουσιασμός. πλοῦτος. ὕπαρξις φυσική.

Περιούσιος [4] λαός. ὁ ἔγκτητος. Καὶ [5] Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ. ἀντὶ τοῦ, εἰς κτῆμα, καὶ εἰς κτῆσιν. οὐσίαν γὰρ, τὴν ὕπαρξιν.

Περιοχή. περιπέτεια. καὶ ὑπόθεσις. θλίψις. συνοχή. [6] καὶ ὁ Δαβὶδ ἐν πόλει περιοχῆς. τουτέστι περιβόλῳ.

nes *Philippicis*. Periodicos morbos medici vocant eos, qui certo tempore remittunt, & redeunt; ut tertiani, quartani, & ſimiles. Nam qui ſic ægrotant, per intervalla morbi ne ægrotare quidem, ſed ſani eſſe videntur.

Περιών. Superans. Abundans. Abundantia. Copia. * * * * * *

Περὶ ὄνου σκιᾶς. De aſini umbra. Proverbium, quod dicitur de illis, qui in rebus frivolis & nullius momenti tempus terunt.

Περὶ τῆς ἐν Δελφ. De umbra Delphica. Demoſthenes in *Philippicis*. Didymus ait, proverbium de aſini umbra confictum eſſe ab oratore per alluſionem ad alterum proverbium, quod de umbra Delphica loquitur: dicique de illis, qui de rebus nullius pretii digladiantur.

Περιόντας. Superſtites. Viventes. Agathias: *Dicebant arbitrio ipſius totos ſe permiſſuros eſſe, ſi modo obſides ſuos viventes viderent.*

Περίοπτον. Quod undique cerni poteſt. Conſpicuum. Magnum. Excelſum. Illuſtre.

Περιορᾶσθαι. Anxie expectare. Contemplari. Circumſpicere. Conſiderare. Sollicitum eſſe. Thucydides: *Megarenſes de bello ſollicitos eſſe*. Et, *Braſidas de pugna ſollicitus.* † *Illi vero ad flumen remanſerunt, expectantes rei eventum.*

Περιοργής. Vehementer iratus. Iratus. *Cæſar autem ob iſta iratus, caſtra movit.*

Περιορίσαι. [Definire.] Mente cogitare vel concipere.

Περιορισθῆναι. Declaratū eſſe. Vel, definitū eſſe.

Περιορισμός. Ex finibus expulſio. Exilium.

Περιορῶ. Circumſpicio. Accuſativo jungitur.

Περιουσία. Magna & ſuperflua facultatum copia. Οὐσία vero, mediocres facultates. Id quod eſt ἐκ περιουσίας, ſive ſuperfluum, differt a neceſſario. Neceſſaria enim ſunt, ſine quibus eſſe non poſſumus. Superflua vero, quorum præſentia non eſt neceſſaria, &, ut Ariſtoteles ait, cum neceſſaria nobis ſuppetunt, iiſque alia quædam pulchra adjiciuntur. Ut, vivere, eſt neceſſarium: at bene vivere, ſuperfluum. Nam præſentia bene vivendi, quæ non eſt neceſſaria ad id, ut ſimus, exornat τὸ vivere, quod eſt neceſſarium.

Περιουσίας. Abundantiæ. Copiæ divitiarum.

Περιουσιασμός. Copia. Bona nobis propria.

Περιούσιος λαός. Populus, quem quis ſibi ut peculium elegit. *Et Iſraelem ſibi* [*elegit*] *peculium.* Εἰς περιουσιασμὸν enim hic idem ſignificat, quod εἰς κτῆμα, vel εἰς κτῆσιν. Et οὐσίαν, ſubſtantiam, facultates, bona.

Περιοχή. Calamitas. Argumentum. Res adverſæ. Anguſtiæ. *Et David erat in urbe munita.* Vel, intra murorum ambitum.

1 Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς. Δημοσθ.] Ex Harpocratione.
2 Ἀγαθίας] Lib. 1. pag. 24.
3 Ἐκ περιουσίας γὰρ τοῦ ἀναγκαίου διαφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alexandri Aphrod. in *Topica* Ariſtotelis, pag. 134. quæ etiam leguntur ſupra v. Ἐκ περιουσίας.

4 Περιούσιος λαός] Eſt phraſis τῶν LXX familiaris: ut *Exod.* XIX. *Deuteron.* VII. & alibi.
5 Καὶ Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ] Pſalm. CXXXIV. 4.
6 Καὶ ὁ Δαβὶδ ἐν πόλει περιοχῆς] II Reg. XXIII. 14. Καὶ Δαβὶδ ἦν τότε ἐν τῇ περιοχῇ. Hunc locum Suidas in animo habuiſſe videtur

Περιόψεται. περιίδοι. καταφρονήσει.

Περιόψεται. Negliget. Contemnet.

Περιωδυνίαν. ἀλγηδόνα. καὶ περιττὴν ὀδύνην.

Περιωδυνίαν. Dolorem vehementem & ſummum.

Περιωπή. ἀκρώρεια. ὑψηλὸς τόπος.

Περιωπή. Summum montis cacumen. Excelſus locus, [unde facilis eſt in varias partes proſpectus.]

Περιωπὴ, καὶ πίσυνοι, καὶ [1] πύστεις. πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ. [2] καλεῖ δὲ περιωπὴν, τὴν φροντίδα, καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον, ὡς Ὅμηρος. καὶ [3] Ἀγαθίας δὲ τὴν περίσκεψιν λέγει. Ὁ δὲ Ναρσῆς ἦστο ἐς ὑπερῷόν τι δωμάτιον, ἐν περιωπῇ τοῦ πεδίου. τουτέστιν, ἐν περισκέψει. καὶ [4] Σιμόκαττος· Καὶ οἳ ἄττουσι πρὸς τὰ ὑψηλὰ, καὶ περισκοποῦσιν ἔκ τινος μεγίστης περιωπῆς, καὶ τὸ πολέμιον ἀφανές.

Περιωπὴ, & πίσυνοι, & πύστεις. Sunt vocabula poetica & minus uſitata, quibus uſus eſt Thucydides. Et περιωπὴν quidem vocat curam, & proſpectum; non locum [excelſum,] ut Homerus. Et Agathias περιωπὴν itidem proſpectum vocat. *Narſes vero in ſuperiore parte domus ſedebat, unde in campum proſpectus erat.* Et Simocattus: *Celeriter in ſummum evadunt, & ex loco quodam altiore, unde longiſſime patebat proſpectus, circumſpiciunt: ſed hoſtes nuſquam cernunt.*

Περιωρίσθαι.

Περιωρίσθαι. Certis finibus circumſcriptum eſſe.

Περιώσας. ὠθήσας.

Περιώσας. Qui pepulit. Qui pulſavit.

Περιώσιον.

Περιώσιον. Nimium. Magnopere.

Περιπαθῶς. συμπαθῶς. λυπηρῶς. [5] Πολύβιος· Μήθ' ἑαυτὸν ῥίψαι κατὰ κρημνοῦ περιπαθὴς γενόμενος.

Περιπαθῶς. Præ dolore. Ex impatientia doloris. Polybius: *Nec ſe præ doloris impatientia de rupe præcipitem dedit.*

Περὶ παντὸς ἐποιεῖτο. ἀντὶ τοῦ, ἐσπούδαζεν. Ὁ δὲ Κῦρος τοὺς δικαίους περὶ παντὸς ἐποιεῖτο πλουσίους ποιεῖν.

Περὶ παντὸς ἐπ. Plurimi faciebat. Maxime ſtudebat. *Cyrus autem viros juſtos ditare maxime ſtudebat.*

Περιπαρῆναι. περικεντηθῆναι. Οἱ δὲ Ῥωμαῖοι κοντοὺς ἔπηξαν ὑποβρυχίους, ὥστε τὰ σκάφη τῶν βαρβάρων ἐλθόντα περιπαρῆναι.

Περιπαρῆναι. Transfigi. *Romani vero contos ſub aquis defixerunt, ut ſcaphæ Barbarorum accedentes iis transfigerentur.*

Περιπεζίας. πορευτῆς. ἐπιβατῆς. καταληπτῆς.

Περιπεζίας. Regionis, quæ obiri, tranſiri, vel occupari poteſt.

Περιπέλαστον, [6] καὶ ἐπιμανδαλωτόν. εἴδη φιλημάτων ἐρωτικῶν, ἐν ᾧ δεῖ τὴν γλῶτταν τῶν καταφιλούντων λείχειν.

Περιπέλαστον, & ἐπιμανδαλωτόν. Sunt oſculorum amatoriorum genera, in quibus deoſculantium linguam lingere oportet.

Περιπετές. [7] περιπεπηγὸς αὐτῷ.

Πηκτὸν τόδ' ἔγχος περιπετὲς κατηγορεῖ.

ἥγουν, ᾧ περιέπεσεν ὁ Αἴας.

Περιπετές. In quod quis incidit, vel incubuit. *Enſis hic, terræ infixus, & in quem ipſe incubuit, [auctorem cædis] arguit.*

Περιπέτεια. προπέτεια. ἢ σύμπτωμα. ἢ σύμβασις. [8] Πάντα δ' ἦν πλήρη κεχυμένης φαρμακείας τῶν ῥιπτούντων ἑαυτοὺς εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν ὥστε, κατὰ τὴν παροιμίαν, κἂν ἐχθρὸν ἐλεῆσαι θεασάμενον τὴν τότε περιπέτειαν [9] τοῦ ἀνθρώπου. † Τῶν [10] καθ' αὐτὸν δυναστειῶν ἐφάμιλλον ἐποίησε τὴν ἀρχὴν, οὐ τύχῃ τὸ πλεῖον συνεργῷ χρώμενος, οὐδὲ ἐκ περιπετείας, ἀλλ' ἀγχινοίας, καὶ φιλοπονίας, ἔτι δὲ καὶ πράξεως τῆς αὐτοῦ. τὸ [11] δὲ περιπέττειν, ἤτοι ἀπὸ τοῦ περιπετάσματος εἴρηται· ἢ ἀπὸ τῆς ζύμης τὰ

Περιπέτεια. Temeritas. Vel, fortuitus ac repentinus caſus. Vel, eventus. *Hominibus quaſi malo carmine incantatis, plena erant omnia eorum, qui ſe in puteos ac per ſcopulos præcipitabant: prorſus ut hoſtis etiam, quod proverbio dicitur, caſum Græciæ tunc miſeratus fuiſſet.* † *[Eumenes] regnum ſuum ampliſſimis temporis ſui imperiis exæquavit, non tam fortunæ auxilio & caſu quodam, quam ſolertia & induſtria ſua.* At περιπέττειν, involvere, circumtegere; vel dictum eſt a περιπέτασμα: vel ab iis, qui fermento farinam miſcent, &

1 Πύστεις] Portus recte monuit, legendum eſſe πύστις; a recto ſingulari πύστις. Ea enim voce Thucydides aliquoties uſus eſt: ut lib. I. cap. V. Καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, &c.

2 Καλεῖ δὲ περιωπὴν τὴν φροντίδα] Hoc ſenſu vox περιωπὴ apud Thucydidem accipitur lib. IV. cap. LXXXVI.

3 Ἀγαθίας] Lib. I. pag. 33.

4 Σιμόκαττος] Lib. II. cap. V. in fine.

5 Πολύβιος] Libro VIII. cap. XV.

6 Περιπέλαστον, καὶ ἐπιμανδαλωτόν. εἴδη φιλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 427. (307. Ed. Baſ. *P.*)

7 Περιπετές. περιπεπηγ.] Compilator notam hanc male & ἀκρίτως confarcinavit, & duarum vocum interpretationes confudit. Nam τὸ περιπεπηγὸς αὐτῷ, apud Scholiaſtam Sophoclis ad *Ajacem*, pag. 54. (unde hæc deſcripta ſunt) pertinet ad vocem πηκτὸν, quæ ibi proxime præcedit; non vero ad περιπετές. Hujus enim vocis interpretatio ſunt ea, quæ ſequuntur, ᾧ περιέπεσεν Αἴας. Adi ipſum Scholiaſtam Sophoclis.

8 Πάντα δ' ἦν πλήρη κεχ.] Hæc ſunt verba Polybii, quæ leguntur in Excerptis a Valeſio editis. pag. 185. ubi locum integrum vide. Confer etiam Noſtrum infra v. Φαρμακεία.

9 Τοῦ ἀνθρώπου] Scribe τῆς Ἑλλάδος, ut legitur apud Polybium loco laudato.

10 Τῶν καθ' αὐτὸν δυναστειῶν ——— ἔτι δὲ καὶ πράξεως τῆς αὐτοῦ] Et hæc ſunt verba Polybii, quæ leguntur in iiſdem Excerptis, pag. 169. Vide etiam Noſtrum ſupra v. Εὐμένης, ubi hunc ipſum locum auctiorem habes. Initium autem fragmenti hujus ſic ſcribendum eſt, Τοῖς μεγέθεσι τῶν καθ' αὐτὸν δυναστειῶν, &c. Sic enim recte legitur in modo laudatis Excerptis; itemque apud ipſum Suidam ſupra v. Εὐμένης.

11 Τὸ δὲ περιπέττειν, ἤτοι ἀπὸ τοῦ περ.] Hæc, & quæ ſequuntur, deprompta ſunt ex Enarratore Comici ad *Plutum*, pag. 17. (9. Ed. Baſ. *P.*)

ἄλφιτα

ἄλφιτα περιλαμβανόντων, καὶ τούτοις περικαλυπτόντων τινά. εἰώθασι γὰρ τὰ καταλιμπανόμενα ἀφ' ἑκάστου ἄρτου μιγνύντες, ποιεῖν ἄρτον.

Περιπετεῖς. περιπίπτοντες. Ἀλλήλοις περιπετεῖς γινόμενοι ἀπώλλυντο. καὶ αὖθις· Περιπετεῖς γίνονται βοτάνῃ τινὶ θανασίμῳ. ἀντὶ τοῦ, ἀκουσίως περιπίπτοντες.

Περιπετῆ γενέσθαι. [1] περιπεπτωκέναι.

Περιπέττουσι. περικαλύπτουσιν. [2] Ἀριστοφάνης Πλούτῳ·

Ὀνόματι περιπέττουσι τὴν μοχθηρίαν.

τουτέστιν, εἰώθασι τῷ τοῦ ἵππου ὀνόματι καταχρῆσθαι εἰς μοχθηρίαν. καὶ Μένανδρος· Δεδιότες καὶ διανοούμενοι μηχανᾶσθαί τι Ῥωμαίους, καὶ προκαλύμματι ἀποδράσεως περιπέττειν, ὅ, τι ἂν εἴη αὐτοῖς τὸ πανούργημα. τουτέστι, περικαλύπτειν.

Περιπεφθείς. [3] Τούτοις τοῖς ῥήμασι περιπεφθείς, ἀρχὴν αἱρῇ σαυτοῦ.

Περιπείρει. περικεντεῖ.

Περιπηχύναντες. περιπλεξάμενοι. παρὰ Καλλιμάχῳ.

Περιπίπτω. δοτικῇ.

Περιπλακῆναι.

Περιπλακῆναι, [4] καλὸν εἰς ὄναρ τόδε.
Εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ·
Πᾶσαί τε μίξεις προξένοι μακρῶν [5] πόθων.

Περιπλεγνύμενος, καὶ Φιλῶν. ἀντὶ τοῦ, περιπλεκόμενος.

Περίπλεων. πλήρη. καὶ περίπλεον.

Περιπλεῖν [6] καὶ διεκπλεῖν διαφέρει παρὰ Θουκυδίδῃ. τὸ μὲν γὰρ περιπλεῖν, ἐν τῇ εὐρυχωρίᾳ καθίστασθαι, οἷον χορευούσης καὶ ἀναστρεφομένης ἐφ' ὅσον βούλεται τῆς νεώς. καὶ ἡ περὶ πρόθεσις αὐτὸ τοῦτο δηλοῖ, τὸ ἐν κύκλῳ περιθέειν. τὸ δὲ διεκπλεῖν, τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω γενέσθαι.

Περιπλείονος. ἐπίρρημα. καὶ περιπλείστου. [7] Περιπλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλείφειν τε αὐτὰς, καὶ διατιθέναι κατὰ βοστρύχους.

Περὶ πλήθουσαν ἀγοράν. περὶ ὥραν τετάρτην, ἢ πέμπτην, καὶ ἕκτην. τότε γὰρ μάλιστα πλήθει ἡ ἀγορά. Πεδίον ἦν ἀχανές· ἔνθα περὶ πλήθουσαν ἀγορὰν ἠγείροντο μέν τινες καὶ πρότερον θόρυβοι τῶν πολεμίων, ἐπιφερόμενοι ἄριστον αἱρουμένοις.

Περιπνευμονία. πάθος τι.

Περιπνέω. Λεπτὴ δέ τις αὔρα περιέπνει τούτους.

Περὶ [8] πόδα. οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί. Πλάτων· Ὡς ἐστί μοι τὸ χρῆμα

ea aliquid obtegunt. Solent enim piſtores reliquias panum miſcere, & unum panem ex iis conficere.

Περιπετεῖς. Incidentes. *Alii in alios incidentes perierunt.* Et iterum: *In herbam quandam letiferam inciderunt.*

Περιπετῆ γενέσθαι. In aliquid incidere.

Περιπέττουσι. Circumtegunt. Obtegunt. Velant. Ariſtophanes *Pluto: Nomine turpitudinem velant.* Id eſt, equi nomine ad fœditatem rei tegendam abuti ſolent. Et Menander: *Timentes vero & ſuſpicantes Romanos aliquid moliri, & fugæ prætextu fraudem aliquam, quæcunque ea tandem eſſet, occultare.*

Περιπεφθείς. Deceptus. *Imperio illorum ipſe te ſubjicis, verbis hiſce deceptus.*

Περιπείρει. Perforat. Trajicit. Transfigit.

Περιπηχύναντες. Complexi. Cubitis vel ulnis amplexi. Apud Callimachum.

Περιπίπτω. Incido. Dativo jungitur.

Περιπλακῆναι. Arcte amplecti. *Aliquem amplecti, bonum eſt ſomnium.* † *Utile eſt, virum chariſſimum complecti.* † *Omnes congreſſus amores conciliant diuturnos.*

Περιπλεγνύμενος. Pro περιπλεκόμενος. Qui aliquem amplectitur.

Περίπλεων, & περίπλεον. Plenum.

Περιπλεῖν, & διεκπλεῖν, apud Thucydidem differt. Nam περιπλεῖν ſignificat, circumnavigare, ſive, in amplo & aperto mari verſari, ita ut libere, quocunque lubet, navigare nobis liceat. Nam præpoſitio περὶ hoc ipſum ſignificat, ſcilicet in orbem currere. At διεκπλεῖν ſignificat, perrupta acie hoſtium in apertum mare evadere.

Περιπλείονος. Adverbium. Pluris. Et περιπλείστου, plurimi. *Capillos plurimi faciens, eoſque ungens, & in cincinnos digerens.*

Περὶ πλήθουσαν ἀγ. Circa tempus illud, quo forum hominibus frequens eſt. Id eſt, circa horam quartam, quintam, & ſextam. Tunc enim plurima in foro turba eſſe ſolet. *Planities erat vaſta, ubi circa tempus, quo forum frequens eſſe ſolet, prius etiam inter hoſtes prandentes tumultus oriebantur.*

Περιπνευμονία. Morbus quidam pulmonis.

Περιπνέω. Undique ſpiro, vel afflo. *Aura quædam tenuis eos afflabat.*

Περὶ πόδα. Dicitur de re, quæ eſt valde conveniens, vel apta, ut pedibus calceamenta.

1 Περιπεπτωκέναι] Sic reſcripſi ex Lexico Photii inedito. Nam priores Editt. ut & libri ſcripti male habent περιπεπτωκέναι.

2 Ἀριστοφάνης Πλούτῳ] Pag. 17. [9. Ed. Baſ. P.]

3 Τούτοις τοῖς ῥήμασι περιπ.] Ariſtophanes *Veſpis*, pag. 477. [334. Ed. Baſ. P.]

——Σὺ γὰρ, ὦ πάτερ, αὐτοὺς
Ἀρχὴν αἱρῇ σαυτοῦ. τούτοις τοῖς ῥηματίοις περιπεφθείς.

Scholiaſta: Περιπεφθείς. ἀπατηθείς.

4 Περιπλακῆναι, καλ.] Hic, & duo ſequentes ſenarii ad ſomniorum interpretationem pertinent; quorum duo poſteriores apud Aſtrampſychum quoque leguntur.

5 Πόθων] Aſtrampſychus habet πόνων. Utrum melius, ſomniorum conjectores dicant.

6 Περιπλεῖν & διεκπλεῖν διαφέρει παρὰ Θουκ.] Ex Scholiaſta Thucydidis ad lib. VII. cap. XXXVI.

7 Περιπλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλ.] Hæc ſunt verba Syneſii in *Encom. Calvit.* pag. 85. unde ſenſus hujus loci ſupplendus eſt. Confer etiam Noſtrum ſupra v. Βόστρυχος.

8 Περὶ πόδα. οἷον ἁρμόττ.] Vide Caſaub. ad *Charact.* Theophr. p. 39.

τοῦτο περὶ πόδα. † Καὶ ἐν σκευαῖς, καὶ τοῖς τρόποις ἁρμόττον ὡς περὶ πόδα.

Περίπολος.[1] Ἀριστοτέλης ἐν τῇ τῶν Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων οὕτω φησί· Τὸν δεύτερον ἐνιαυτὸν, ἐκκλησίας ἐν τῷ θεάτρῳ γενομένης, λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιπολοῦσι τὴν χώραν, καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις. παρατηρητέον δὲ, ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους· ὁ δὲ Αἰσχίνης, δύο.

Περὶ πολλοῦ ποιοῦ. τίμα, θεράπευε.

Περιπόλους. τοὺς φύλακας, ἢ ζητητάς. ἀπὸ τοῦ περιπολεῖν. [2] Ἀριστοφάνης Ὄρνισιν· Οὐκοῦν δῆτα περιπόλους ἐχρῆν πέμψαι; τὸ ἑξῆς, Οὐκ ἐχρῆν περιπόλους πέμψαι; Θουκυδίδης· Οἱ δὲ καὶ οἱ περίπολοι ἐνήδρευσαν.

Περιπόλων. φυλάκων. ζητητῶν. Τῶν δὲ περιπόλων τις περιθέων ἀποβάλλει χαλκῆν ἀσπίδα ὕπερθεν τοῦ ὀρύγματος. ἡ δὲ [3] οὖσα μὲν πλατεῖα, ἀλλὰ κυρτὴ, οὐ στερεὸν ἐνεκτύπησεν, [4] κοῖλον καὶ διάκοιλον· τάχα [5] διάκενον.

Περιπολῶν. περιτρέχων. [6] Ὁ δὲ σταυρὸς προηγεῖτο τοῦ βασιλέως, καὶ τῆς περιπόλου δυνάμεως. φησὶ Σιμόκαττος.

Περίπτερα. οἱ ἀποσπινθηρισμοί.

Περίπτερον. πανταχόθεν ἐξέχον.

Περιπτώσεις. συμφοράς.

Περιπτύσσεται. αἰτιατικῇ. περιβάλλεται. [7] Εἶτα τὴν Θεοδοσίου πόλιν περιπτύσσεται, καὶ ἀναμίγνυται τοῖς περὶ Φιλιππικόν.

Περιπτυχής. περικεκυλισμένος.

[8] Κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής.

περὶ τοῦ Αἴαντός φησι.

Περιποιήσει. κτήσεται. καὶ, Περιποιουμένους τῆς σωτηρίας τῶν παίδων. ἀντὶ τοῦ, φροντίζοντας. κηδομένους. Διονύσιος ὁ Ἁλικαρνασσεύς.

Περιποίησιν. κτῆσιν.

Περίπυστον. ἐξάκουστον. διαβόητον.

Περιρραντήρια. σκεύη. Κατὰ δὲ τὸ μέσον τοῦ διαστήματος κάλπεις τε χρυσαῖ, καὶ περιρραντήρια, ἔτι τε πίθοι χρυσοῖ.

Περιρραντίσαι.

Περιρρέω. αἰτιατικῇ.

Περιρρηδεῖς.[9] οἱ ἐπὶ ὀχημάτων. ἢ ἐπικείμενοι. ἢ οἱ ἐρριμμένοι.

Plato: *Res hæc mihi valde eſt apta.* † *Et cultu corporis & moribus erat aptiſſimis, & [tempori] maxime accommodatis.*

Περίπολος. Circuitor. Ariſtoteles in Athenienſium Republ. de ephebis ita loquitur: *Altero anno, concione in Theatro convocata, accepto clypeo & haſta a populo, regionem circumeunt, & caſtella cuſtodiunt.* Obſervandum autem eſt, Ariſtotelem dicere, ephebos unum tantum annum circuitores fuiſſe; Æſchinem vero, duos.

Περὶ πολλ. Magni fac. Honora. Cole.

Περιπόλους. Cuſtodes. Circuitores. Excubitores. A περιπολεῖν, circumire. Ariſtophanes *Avibus*: *Nonne igitur circuitores mittere oportebat?* Ordo conſtructionis hic eſt, Οὐκ ἐχρῆν περιπόλους πέμψαι. Thucydides: *Et illi, & circuitores hoſtibus inſidias ſtruxerunt.*

Περιπόλων. Excubitorum. Cuſtodum. Circuitorum. *Quidam autem circuitorum excubias circumiens, æreum clypeum ſupra foſſam abjecit. Is autem cum non eſſet planus, ſed gibbus, non ſolidum ſed inanem crepitum edidit.* Pro διάκοιλον enim forte ſcribendum eſt, διάκενον.

Περιπολῶν. Circumiens. *Crux autem præcedebat Imperatorem & comitatum ejus.* Simocattus inquit.

Περίπτερα. Scintillæ. Stricturæ.

Περίπτερον. Undique habens prominentias.

Περιπτώσεις. Caſus. Calamitates.

Περιπτύσσεται. Accuſativo jungitur. Circumdat. Circumplectitur. *Deinde Theodoſii urbem circumdat, & cum Philippico ſocietatem init.*

Περιπτυχής. Circumvolutus. [Transfixus.] *Jacet occulto transfixus gladio.* De Ajace [hæc Sophocles] dicit.

Περιποιήσει. Quæret. Acquiret. Et περιποιουμένους. Curantes. Solicitos. Dionyſius Halicarnaſſeus: *De liberorum ſalute ſolicitos.*

Περιποίησιν. Acquiſitionem. Poſſeſſionem.

Περίπυστον. Cujus fama longe lateque pervagata eſt. Celebre.

Περιρραντήρια. Vaſa luſtralia, ſive, vaſa, ex quibus adſtantes adſperguntur. *In medio vero conclavi erant urnæ aureæ, & vaſa luſtralia, & præterea dolia aurea.*

Περιρραντίσαι. Perſpergere. Adſpergere.

Περιρρέω. Accuſativo jungitur. Circumfluo.

Περιρρηδεῖς. Qui vehiculis vehuntur. Vel, qui alicui rei incumbunt. Vel, qui proſtrati ſunt.

1 Περίπολος. Ἀριστοτέλης ἐν τῇ Ἀθ.] Ex Harpocratione: ad quem vide Mauſſacum, qui locum hunc fuſe explicat. Confer etiam Petitum ad *Leges Attic.* pag. 547. & Noſtrum infra v. Τεχνεία.

2 Ἀριστοφάνης Ὄρνισιν] Pag. 597. (413. Ed. Baſ. *P.*)

3 Οὖσα μὲν πλ.] Excidit hic particula negativa οὐ. Scribendum enim eſſe, οὐκ οὖσα μὲν πλατεῖα, &c. ſenſus clamat.

4 Κοῖλον] Scribe, ἀλλὰ κοῖλον.

5 Τάχα, διάκενον] Hæc emendatio certa eſt. Τὸ διάκοιλον enim poſt κοῖλον ſtare non poteſt.

6 Ὁ δὲ σταυρὸς προηγ.] Fragmentum hoc legitur apud Theophyl. Simoc. lib. v. cap. xvi. in fine.

7 Εἶτα τὴν Θεοδοσίου π.] Et hoc fragmentum legitur apud Simocattam lib. ii. cap. x.

8 Κεῖται κρυφαίῳ φασγ.] Senarius hic eſt Sophoclis in *Ajace*, pag. 53. ut Portus monuit.

9 Περιρρηδεῖς] Photius in Lexico MS. rectius περιρρηδεῖς, per duplex ρ. Scholiaſta Homeri ad Odyſſ. X. v. 84. Περιρρηδής. περικλασθείς. ἢ περιρραγείς. ἢ περιστρεφόμενος, ἢ περιρρυείς. ἢ περιφερής. Enarrator Apollonii Rhodii ad lib. I. v. 431. Περιρρηδὴς κεχρῆσθαι. ἐπὶ σφάγιον μετ' ὁρμῆς καταπεσοῦσα. ἀπορραγεὶς εἰς τὴν σφαγὴν, ἢ ἐπικλιθεὶς ὡς τὸ παρὰ τῷ ποιητῇ, Περιρρηδὴς δὲ τραπέζῃ Κάππεσεν. ἀντὶ τοῦ, περιφερόμενος. τὸ κατὰ κύκλον πεσεῖν οὕτω λέγεται. Confer Heſychium, qui male habet περιρηδής, per ι.

Περιρ-

Περιῤῥῶγος. ἐπὶ ὄχθου τινὸς ἀποτόμου καὶ περιῤῥῶγος ἐπετείχιζον αὐτοῖς Φρούριον, ἱκανὸν φυλάττεσθαι τοσαύτῃ στρατιᾷ.

Περιττά. τὰ ἐν τῇ ἀριθμητικῇ καλούμενα ἄζυγα· οἷον, ἓν, τρία, καὶ τὰ ὅμοια. Ἄρτια δὲ, τὰ ζυγά· οἷον, δύο, τέσσαρα.

[1] Τὰ μὲν περισσεύοντα τῶν λόγων ἄφες,
Καὶ μήτε μήτηρ ὡς κακὴ δίδασκέ με,
Μήθ' ὡς πατρῴαν κτῆσιν Αἴγισθος δόμων
Ἀντλεῖ, τὰ δ' ἐκχεῖ, τὰ δὲ διασπείρει μάτην.
Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

Ἀφαιρεῖται γάρ, φησὶ, τὴν εὐχειρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία. Ὀρέστης φησὶ πρὸς Ἠλέκτραν.

Περίσημα. διαβόητα.

Περισκελές. σκληρόν. δυσχερές. Αἴας φησίν·

[2] Ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος
Φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται·
Κοὐκ ἔστ' ἄελπτον οὐδὲν, ἀλλ' ἁλίσκεται
Χ' ὁ δεινὸς ὅρκος, καὶ περισκελεῖς φρένες.
Κἀγὼ γὰρ, ὃς τὰ δείν' ἐκαρτέρουν τότε,
Βαφῇ σίδηρος ὡς ἐθηλύνθην στόμα
Πρὸς τῆσδε τῆς γυναικός.

Περισκελῆ. βρακία. φημινάλια.

Περισκέλια. ἃ ἐφόρουν οἱ Ῥωμαῖοι περὶ τὰ σκέλη. ἦσαν δὲ κροκοβαφῆ. Περικαταθέμενοι δὲ περισκέλια τοῖς αὐτῶν ποσί.

Περισκεπές. περικεκαλυμμένον.

Περίσκεπτον. ἀφ' οὗ ἐστι περισκοπῆσαι καὶ ἰδεῖν.

Περισκυθίσαντες. σπαράξαντες.

Περισκυθίσαι.[3] κυρίως, τὸ ἀποτεμεῖν τὸ [4] ἐπὶ τὴν κεφαλὴν δέρμα σὺν ταῖς θριξί.

Περισκυτίζοντος. ἐκδερματίζοντος.

Περισσοεπῆσαι. περισσολογῆσαι.

Περισσῶς ποιοῦσιν ὑπερηφάνειαν. τουτέστιν, ἀλαζονείᾳ χρωμένοις περισσότερον.

Περισπᾶν. ἐξαπατᾶν. καὶ τὸ μετὰ βίας ἀφαιρεῖσθαί τι. [5] Περισπᾷ δὲ, παρὰ Σοφοκλεῖ, ἀντὶ τοῦ, φυλαξάμενος αὐτοῖς συμπεσοῦσιν ἐμπεσεῖν, ἔξω ἀπ' αὐτῶν περισπᾷ. τουτέστι, τοῖς ἡνιόχοις. [6] Πολύβιος·

Περιῤῥῶγος. Prærupti. *In quodam præfracto & prærupto colle caſtellum ipſis exſtruxerunt, quod a tanto exercitu ſatis commode cuſtodiri poterat.*

Περιττά. Sic in Arithmetica dicuntur numeri impares: ut, unum, tria, & ſimilia. Ἄρτια vero numeri pares, ut duo, quatuor. [Et περισσεύοντα, ſuperflua. Sophocles:] *Supervacanea verba omitte, nec quam mala ſit mater me doce, nec quomodo Ægiſthus patrimonium noſtrum exhauriat, aliaque profundat, & alia temere diſpergat. Temporis enim opportunitatem oratio tibi excluſerit.* Oratio enim prolixa, inquit, occaſionem rei gerendæ eximit. Oreſtes ad Electram hæc dicit.

Περίσημα. Clara. Inſignia. Celebrata.

Περισκελές. Durum. Difficile. Ajax [apud Sophoclem] inquit: *Longum & infinitum tempus omnia, quæ ſunt occulta, in lucem profert, & quæ apparuerunt, viciſſim abſcondit: nec quicquam eſt, quod ſperari non poſſit, ſed & graviſſimi jurisjurandi religio vincitur, & præfractæ mentes molliuntur. Nam & ego, cui animus in tolerandis malis ante obſtinatus erat, ab hac fœmina ita emollitus ſum, ut ferrum tinctura.*

Περισκελῆ. Braccæ. Feminalia.

Περισκέλια. Feminalia, ſive ea, quæ Romani cruribus inducebant. Erant autem croco tincta. *Cum autem pedibus feminalia induxiſſent.*

Περισκεπές. Circumtectum. Undique tectum.

Περίσκεπτον. [Epithetum loci,] unde in omnes partes proſpectus patet.

Περισκυθίσαντες. Qui dilaniarunt. Qui pellem undique detraxerunt.

Περισκυθίσαι. Proprie ſignificat, pellem capitis cum pilis reſecare.

Περισκυτίζοντος. Excoriantis. Pellem detrahentis.

Περισσοεπῆσαι. Supervacanea verba facere. Nimis prolixa oratione uti.

Περισσῶς ποιοῦσιν ὑπ. Nimis ſuperbe ſe gerentibus.

Περισπᾶν. Decipere. Item, vi aliquid auferre. At apud Sophoclem ἔξω περισπᾷ ſignificat, ad latus deflectit, cavens ſcilicet, ne in aurigas obvios incurrat. Et Polybius: *Ro-*

1 Τὰ μὲν περισσεύοντα τῶν λ.] Quinque hi ſenarii leguntur apud Sophoclem *Electra*, ut Portus monuit.

2 Ἅπανθ' ὁ μακρὸς χρόνος.] Et hi ſenarii ſunt Sophoclis, qui leguntur in *Ajace*, pag. 39. ut itidem Portus monuit.

3 Περισκυθίσαι. κυρίως τὸ ἀποτ.] Eadem etiam tradit Suidas ſupra v. Ἀποσκυθίσαι, & v. Ἀπεσκύθιζον: ſed qui τὸ ἀποσκυθίσαι & περισκυθίσαι, per θ, male confundit cum ἀποσκυτίσαι & περισκυτίσαι, per τ. Prius enim non ſignificat, cutem capitis cum capillis reſecare; ſed notat ignominioſæ tonſuræ genus, quali Scythæ in populos devictos uti ſolebant. Athenæus lib. XII. cap. v. pag. 524. *Διὰ τὸ πλῆθος οὖν τῶν κατασχουσῶν αὐτοὺς συμφορῶν, ἐπεὶ διὰ τὸ πένθος ἅμα τόν τε τῶν βίων ὄλβον, καὶ τὰς κόμας περιεσπάσθησαν παντὸς ἔθνους, οἱ ἔξω τὴν ἐφ' ὕβρει κουρὰν ἀποσκυθίσαι προσηγόρευσαν.* Id eſt: *Igitur propter multitudinem calamitatum quas perpeſſi ſunt, quando ſimul cum opibus ſuis, etiam comis univerſi per luctum fuerunt ſpoliati: alii populi tonſuram, quæ contumeliæ cauſa fit, vocarunt ἀποσκυθίσαι.* Stephanus Byzantius v. Σκύθαι: Ὅθεν ἀποσκυθίσαι, τὸ τῷ σιδήρῳ τὰς τρίχας τεμεῖν. *Unde ἀποσκυθίσαι dicitur, ferro capillos reſecare.* Heſychius: Ἐσκυθισμένης. κεκαρμένης. Idem, Ἀπεσκύθισται. κέκαρται. Apud Euripidem *Electra*, v. 241. πλόκαμος ἐσκυθισμένος ξυρῷ, eſt cincinnus novacula tonſus. At ἀποσκυτίζειν, vel περισκυτίζειν, per τ, ſignificat, cutem vel pellem alicui detrahere: quæ verba eodem modo formata ſunt, quo ἀπολεπίζω, veſte exuo, περιλεπίζω, decortico, & ſimilia. Σκῦτος enim corium vel pellem ſignificare notum eſt. Hinc ipſe Suidas voce ſequenti, τὸ περισκυτίζοντος recte exponit, ἐκδερματίζοντος: quamvis Stephanus in Theſauro ſuo, περισκυθίζοντος, per θ, ibi ſcribendum eſſe cenſeat. Sed falli virum doctiſſimum, ex iis, quæ diximus, liquere poteſt. Confer Reineſ. *Var. Lect.* pag. 458.

4 Ἐπὶ τὴν κεφαλὴν] Supra v. Ἀπεσκύθιζον rectius legitur, ἐπὶ τῆς κεφαλῆς.

5 Περισπᾷ δὲ παρὰ Σοφ.] Apud Sophoclem *Electra*, pag. 114. hodie legitur παρασπᾷ, ut & Portus monuit.

6 Πολύβιος.] Lib. I. cap. XXVI.

Hy

Ἦν δὲ τοῖς Ῥωμαίοις πρόθεσις ἐς Λιβύην πλεῖν, καὶ τὸν πόλεμον ἐκεῖ περισπᾷν.

Περισπασμός.[1] ἐκ δυοῖν ἐπιστροφῶν τοῦ τάγματος κίνησις, ὥστε μεταλαμβάνειν τὸν ὀπίσω τόπον. Ἐκπερισπασμὸς δέ ἐστιν, ἐκ τριῶν ἐπιστροφῶν συνεχῶν τοῦ τάγματος κίνησις· ὥστε μεταλαμβάνειν, ἐὰν μὲν ἐπὶ δόρυ γίγνηται, τὴν ἐξ ἀριστερῶν ἐπιφάνειαν· ἐὰν δὲ ἐπ' ἀσπίδα, τὴν ἐκ δεξιῶν.

Περισπερχές. βαρύ. Ὡς[2] περισπερχὲς πάθος.

Περισπειραθείς. περιπλακείς. περιελιχθείς. [3] Ὁ δὲ εὐνοῦχος κατεκράτει τῶν βασιλείων, καὶ περισπειρασάμενος τὰς αὐλὰς, συνέσφιγγεν ἅπαντα, καθάπερ τις γενναῖος ὄφις, καθελίττων εἰς τὴν ἑαυτοῦ χρείαν. περὶ Εὐτροπίου λέγει.

Περισταδόν. περιεστῶτες.

Περίστασις. [4] Πολύβιος· Συνέβαινε δὲ μεγαλομερῆ τὴν περίστασιν ἔχειν ἐν ταῖς γυναικείαις ἐξόδοις. καὶ αὖθις· [5] Ὁ δὲ κατὰ μὲν τὴν δόξαν, καὶ τὴν τοῦ βίου περίστασιν οὐδενὸς δεύτερος Ἰβήρων· κατὰ δὲ τὴν πρὸς Καρχηδόνα εὔνοιαν καὶ πίστιν, πολύ τι διαφέρειν δοκῶν τῶν ἄλλων. [6] ἀντὶ τοῦ, ἐπίστασιν. καὶ [7] αὖθις Πολύβιος· Τάχα δὲ διὰ τὴν περίστασιν τῶν τοῦ Ξανθίππου λόγων διαδοθέντων εἰς τὰ πλήθη καὶ τοὺς στρατηγοὺς, ἔγνωσαν οἱ στρατηγοὶ ἀνακαλεῖσθαι, καὶ πεῖραν αὐτοῦ λαμβάνειν. Καὶ ἀλλαχοῦ· Διὰ δὲ τὴν περίστασιν τοῦ κήρυκος φωνήσαντος ἀνέστη. ἀντὶ τοῦ, ἐπίστασιν.

Περίστασιν. [8] Δείναρχος Τυῤῥηνικῷ· Μετὰ ταῦτα τοῦ Δαίμονος ἤδη περὶ ἀπαγωγὴν ὄντος, περίστασιν ποιήσουσιν· οὗ καὶ μαρτυρεῖν ἀξιοῦντος, καὶ τὰ ἑξῆς. μὴ ποτε τοιοῦτόν ἐστι τὸ λεγόμενον, ἐν κύκλῳ [9] περιέστη μὲν αὐτὸς, καὶ οἱ συμπαρόντες αὐτῷ, καὶ μαρτυρεῖν ἠνάγκαζον· ἵνα τὴν αὐτὴν ἔννοιαν ἔχῃ τῷ, [10] περίστατόν με ἐποίησαν. ἐνίοις δὲ προΐστασιν, ἀντὶ τοῦ περίστασιν, γράφεται.

Περίστατοι. [11] Ἰσοκράτης ἐν τῷ περὶ Ἀντιδόσεως· Θαυματοποιΐαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ δὲ τῶν ἀνοήτων περιστάτοις γενομέναις. ἀντὶ τοῦ, περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι.

Περιστένεται. [12] περιτείνεται. στενοχωρεῖται.

Περίστερος. οὕτως δράκων καλεῖται.

Περιστερὰς [13] βλέπειν τι, προξενεῖ βλάβην.

mani autem decreverant in Libyam navigare, & bellum illuc transferre.

Περισπασμός. [Sic in Tacticis dicitur] aciei motio poſt duas converſiones, ita ut locum, qui a tergo erat, occupet. Ἐκπερισπασμὸς vero eſt aciei motio, quæ ex tribus converſionibus conſtat; ita ut, ſi fuerit facta haſtam verſus, fronte vergat ad lævam: ſin clypeum verſus, fronte vergat ad dextram.

Περισπερχές. Grave. [Sophocles:] *O gravem calamitatem!*

Περισπειραθείς. Circumplicatus. Circumvolutus. Spiris circumdatus. *Eunuchus vero obtinebat regiam, cumque aulam ſpiris quaſi circumdediſſet, omnia conſtringebat, tanquam robuſtus ſerpens, in ſuum uſum omnia contorquens.* De Eutropio hæc dicuntur.

Περισταδόν. Circumſtando.

Περίστασις. Corona hominum circumſtantium. Comitatus. Apparatus. *Inſolennibus matronarum pompis magnifico apparatu & comitatu uti ſolebat.* Et iterum: *Celebritate nominis & opibus nemini ſecundus: benevolentia vero & fide in populum Carthaginenſem omnes creditus ſuperare.* Et iterum Polybius: *Sparſis ſtatim in vulgus, atque inter ipſos etiam duces, ut fit in adverſis, Xanthippi ſermonibus: placuit principibus civitatis hominem ad ſe accerſitum experiri.* Et alibi: *Præcone autem intenta voce loquente, ſurrexit.* [Περίστασιν enim, vel potius ἐπίστασιν hic poſitum eſt] pro ἐπίστασιν.

Περίστασιν. Dinarchus *Tyrrhenico*: *Poſtea vero, cum Damon jam diſceſſurus eſſet,* [ἐμὲ] περίστασιν ποιήσουσιν: *eoque etiam teſtimonium perhibere volente,* &c. Videndum autem eſt, an verborum illorum, ἐμὲ περίστασιν ποιήσουσιν, (vel potius ἐποίησαν) hic ſit ſenſus, Circumſteterunt me & ipſe, & qui cum eo erant, & ad teſtimonium perhibendum adegerunt: ut idem ſignificet quod, περίστατόν με ἐποίησαν. In quibuſdam vero exemplaribus προΐστασιν ſcriptum eſt pro περίστασιν.

Περίστατοι. Circumſtantium corona cincti. Iſocrates in oratione de Permutatione facultatum: *Præſtigiis inutilibus prorſus & vanis: quas ſtulti* [*ſpectandi gratia*] *circumſtant.*

Περιστένεται. Diſtenditur. Coarctatur.

Περίστερος. Ita Draco vocatur.

Περιστερὰς βλ. *Columbas* [*in ſomnis*] *videre, damnum conciliat.*

1 Περισπασμός. ἐκ δυοῖν ἐπιστ.] Eadem leguntur apud Ælianum in *Tact.* cap. XXV.

2 Ὡς περισπερχὲς π.] Apud Sophoclem in *Ajace*, pag. 57. unde fragmentum hoc depromptum eſt. legitur, Ὦ περισπερχὲς πάθος.

3 Ὁ δὲ εὐνοῦχος κατεκράτει τῶν β.] Fragmentum hoc ex hiſtoria deperdita Eunapii depromptum eſſe puto.

4 Πολύβιος· Συνέβαινε δὲ μεγαλ.] Locus integer Polybii, ex quo fragmentum hoc decerptum eſt, legitur in Collectaneis Conſtantini a Valeſio editis, pag. 154. itemque apud Noſtrum ſupra v. Αἰμιλία.

5 Ὁ δὲ κατὰ μὲν τὴν δόξ.] Et hæc ſunt verba Polybii, quæ leguntur lib. III. cap. XCVIII.

6 Ἀντὶ τοῦ ἐπίστασιν] Inepte. Interpretatio enim hæc nihil facit ad vocem περίστασιν. Exiſtimo autem compilatorem de voce περίστασις, non περίστασις, cogitaſſe, cum interpretationem iſtam loco huic allineret.

7 Καὶ αὖθις Πολύβιος] Lib. I. cap. XXXII.

8 Περίστασιν. Δείναρχος Τυῤῥην.] Ex Harpocratione: apud quem rectius legitur, Δάμωνος, & ἀπαγωγήν. Deinde pro ποιήσουσιν, tam apud Harpocrationem, quam Suidam, ſcribendum eſt, ἐποίησαν.

9 Περιέστη μὲν] Scribe, περιέστη μοι: ut habet Photius in Lexico MS.

10 Περίστατόν με ἐποίησαν] Priores Editt. male, περίστατον μεταποίησαν.

11 Περίστατοι. Ἰσοκρ.] Ex Harpocratione. Confer nos ſupra ad v. Εὐπερίστατος.

12 Περιστένεται] Homerus Il. Π. v. 163.
———Περιστένεται δέ τε γαστήρ.
Scholiaſta: Περιστένεται. περιτείνεται. περισσῶς στενοῦται. Confer etiam Etymologum v. Στένεται.

13 Περιστερὰς βλέπειν τι, προξ.] Sic etiam habet Aſtrampſychus. At contra Nicephorus:
Περιστερὰς βλέπων τις μάλιστα χαρήσεται.

Περιστεριδεῖς. [1] ὥσπερ ἀπὸ τοῦ Χαίριδος, Χαιριδεῖς· οὕτω καὶ ἀπὸ τῆς περιστερᾶς, περιστεριδεῖς.

Περιστεῖλαι. περικαλύψαι. Ὁ δὲ τὸ σῶμα τούτου περιστείλας πέπλοις σηρικοῖς, καὶ τεκτηνάμενος σῆμα, ἐν αὐτῷ κατέθετο. † Ὅσα ἡμαρτῆσθαι τοῖς γεναμένοις ξυμβαίνει, περιστέλλειν τε, καὶ κρατύνεσθαι. ἀντὶ τοῦ, περικαλύπτειν.

Περιστείλας. [2] διαχειρισάμενος. περισφίγξας ἐν τῇ γῇ. Σοφοκλῆς·

Ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ.

Περιστεφανωσάντων. κυκλωσάντων. Περιστεφανωσάντων τοῖς ὅπλοις τὸ τεῖχος.

Περιστίαρχος. [3] ὁ περικαθαίρων τὴν ἑστίαν, καὶ τὴν ἐκκλησίαν, καὶ τὴν πόλιν. ἀπὸ τῆς ἑστίας· ἢ τοῦ περιστείχειν. Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστια, φησὶ, προσαγορεύεται τὰ καθάρσια· καὶ οἱ τὰ ἱερὰ καθαίροντες, περιστίαρχοι. ἔξωθεν γὰρ περιέρχονται, [4] μαχαιροφοροῦντος ἑκάστου τῶν ἱερῶν, οἰκίαις περιειλημμένοι δημοσίαις, καὶ περίδρομον ἔχοντες.

Περιστίαρχος. [5] ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις. περίστια γὰρ, τὰ καθάρσια.

Περιστίξαι. [6] περικυκλῶσαι. περιελθεῖν. περιελάσαι. ἀπὸ τοῦ στίχου.

Περιστολή. περιβολή. ἐπαγωγή.

Περίστωον. περίστυλον. στοὰς ἔχον.

Περιστοιχίζεται. [7] Δημοσθένης ἐν Φιλιππικοῖς· Μέλλοντας ἡμᾶς, φησὶ, καὶ καθημένους περιστοιχίζεται. ἐκ μεταφορᾶς τῶν κυνηγετῶν. κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι στίχους, ἤγουν στοίχους, καταπετάννυντες αὐτῶν δίκτυα, ἵνα, εἰ αὐτοὺς ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. ἔνια μέντοι τῶν ἀντιγράφων, περιστοιχίζεται ἔχει· ἄλλα δὲ, περισχοινίζεται.

Περιστοιχίσαντος. περιλαβόντος.

Περιστοίχων. [8] Δημοσθένης [9] ἐν τῷ πρὸς Νικόστρατον· Φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασε. Δίδυμος δέ τι γένος ἐλαῶν περιστοίχους καλεῖ· ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. μή ποτε δὲ νῦν ὁ ῥήτωρ περιστοίχους κέκληκε, [10] τῶν κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότων.

Περιστεριδεῖς. Pulli columbarum. Quemadmodum a Χαίριδος deducitur nomen Χαιριδεῖς: ſic a περιστερᾶς, περιστεριδεῖς.

Περιστεῖλαι. Contegere. Velare. *Ille vero cum corpus ejus peplis ſericis contexiſſet, & ſepulcrum extruxiſſet, in eo [mortuum] condidit.*

Περιστείλας. Qui compoſuit. Qui manu tractavit. Qui in terra defixit. Sophocles: *Defixi autem [enſem,] eumque ad uſum meum recte aptavi.*

Περιστεφανωσάντων. Illorum, qui aliquid cinxerunt, vel circumdederunt. *Cum autem armis muros cinxiſſent.*

Περιστίαρχος. [Sic vocatur,] qui domum, concionem, & urbem luſtrat. Ab ἑστία, i. e. focus, domus. Vel a περιστείχειν, i. e. a circumeundo. Iſter vero in *Atticis* dicit, victimas luſtrales appellari περίστια; & eos, qui templa luſtrabant, περιστιάρχους. Extrinſecus enim circumibant, unoquoque ſacerdotum porcellum ferente, ædibus publicis circumdati, & circuitum habentes.

Περιστίαρχος. Qui in concione luſtrationibus præeſt. Luſtrationes enim, ſive victimæ luſtrales, vocantur περίστια.

Περιστίξαι. Circumdare. Circumvenire. Circumire. A nomine στίχος.

Περιστολή. Indumentum. Amictus.

Περίστωον. Ædificium columnis, vel porticibus cinctum.

Περιστοιχίζεται. Indagine cingit. Circumdat. Demoſthenes in *Philippicis*: *Vos*, inquit, *cunctantes & ſedentes velut indagine cingit.* Metaphora ducta eſt a venatoribus, qui in venatione perticas στίχους, vel στοίχους vocatas, erigere ſolent; ſupra quas retia extendunt, ut, ſi feræ ipſos effugiant, in retia incidant. Cæterum, quædam exemplaria habent περιστοιχίζεται: alia vero, περισχοινίζεται.

Περιστοιχίσαντος. Illius, qui cinxit, vel circumdedit.

Περιστοίχων. Demoſthenes in oratione adverſus Nicoſtratum: *Olearum* περιστοίχων *plantaria confregit.* Didymus genus quoddam olearum περιστοίχους vocat, quas Philochorus στοιχάδας appellat. Videndum autem eſt, annon Orator nunc oleas περιστοίχους vocet eas, quæ ordine circa agrum in orbem diſpoſitæ ſunt.

1 Περιστεριδεῖς. ὥσπερ ἀπὸ τ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 413.

2 Περιστείλας. Διαχειρισ.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 49. ut Portus monuit.

3 Περιστίαρχος] Potius περιεστίαρχος, ut habet Mich. Apoſtolius Centur. XVI. 1. Compoſita enim eſt hæc vox ex περὶ, & ἑστίαρχος: ut vel ex Polluce patet, qui ἑστιάρχους appellat, quos Suidas & alii Grammatici περιστιάρχους vocant.

4 Μαχαιροφοροῦντος] Photius in Lexico MS. habet, χοιροφοροῦντος, quæ vera lectio eſt. Solebant enim olim conciones, fora, theatra, aliaque loca publica, porcellis, quos χοιρίδια Græci vocant, luſtrari; ut Grammatici docent. Enarrator Comici ad *Acharnenſes*, pag. 373. Ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρῳ σφαζομένῳ. καὶ ὁ ῥήτωρ φησίν· Ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κήρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. τὸ δὲ θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων, κάθαρμα ἐκαλεῖτο. ὁ δὲ περικαθαίρων, καθαρτής. Heſychius: Κάθαρμα. τὸ χοιρίδιον, ᾧ τὴν ἑστίαν ἐκάθαιρον ἐν ταῖς ἐκκλησίαις. ὁ δὲ ἐπιτελῶν δημοσίως, περιεστίαρχος ἐλέγετο. Confer eundem v. Ἀφροδίσια. Pollux lib. VIII. cap. IX. Οἱ ἑστίαρχοι ἐκάθαιρον χοιριδίοις μικροῖς τὴν ἐκκλησίαν, καὶ τὸ θέατρον. καθάρσιον δὲ τοῦτο καὶ χοιρίδιον ἐκαλεῖτο. Apud Pollucem hodie male legitur, χοιριδίοις, & χοιρίδιον. Confer Noſtrum ſupra v. Καθάρσιον, ubi idem clare traditur.

5 Περιεστίαρχος. ὁ τῶν καθαρσίων πρ.] Eadem habet Scholiaſtes Ariſtophanis ad *Ecclesiaz.* pag. 728.

6 Περιστίξαι] Malim, περιστοιχίσαι, a περιστοιχίζω.

7 Περιστοιχίζεται. Δημοσθένης Φιλιππ.] Ex Harpocratione. Etymologus: Περιστοιχίζεται. Δημοσθένης ἐν δευτέρῳ Φιλιππικῶν. ἔστι δὲ οἷον αἱρεῖ, λαμβάνει. ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν. οἵτινες στοίχους περιβάλλουσι τοῖς ὄρεσι. στοῖχοι δέ εἰσιν αἱ λεγόμεναι στάλικες. ἀφ' ὧν τὰ δίκτυα καθίεται. ταύταις οὖν περιβάλλοντες, αἱροῦσι τὰ θηρία.

8 Περιστοίχων. Δημοσθ.] Ex Harpocratione.

9 Δημοσθένης ἐν τῷ πρὸς Νικόστρ.] Pag. 725.

10 Τῶν κύκλῳ π.] Potius, τὰς κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότας.

Περισυλᾷ. ἀφαιρεῖται. Ὁ δὲ ἀπέκτεινε αὐτοὺς, καὶ περισυλᾷ, ὅσα ἐπηγάγοντο. ἦν δὲ κόσμος, καὶ σκεύη περὶ τὴν τέχνην τὴν ἑκατέρου, οὐδαμῇ εὐκαταφρόνητα.

Περισφίγγω. αἰτιατικῇ.

Περισφύριον. Καὶ[1] τὸ διθύρσιον τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον.

Περισχέσθαι. ἀγαπῆσαι.

Περισχών. κατασχών. περιβαλών.

Περιτελλομένων. περιερχομένων.

Περιτεύξεται. συντύχῃ. περιπεσεῖται.

Περιτεχνᾶσθαι. δολιεύεσθαι. κακὰ μηχανᾶσθαι. Τὴν γὰρ διάνοιαν αὐτοῦ σαφῶς εἰδότες, καὶ περιτεχνᾶσθαί τι τοῦτον νομίσαντες, οὐχ οἷς ἐκεῖνος εἶπε, προσέσχον, ἀλλ' οἷς αὐτοὶ ὑπώπτευον.

Περίτιος μήν. ὁ Φεβρουάριος κατὰ Μακεδόνας.

Περιτομή. Ἡ[2] περιτομὴ τοῖς Ἰουδαίοις διὰ τρεῖς αἰτίας ἐδόθη· ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὸν, καὶ σύμβολον, καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος. ὥστε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ σφραγὶς καὶ σημεῖον τῆς ἐκ πίστεως δικαιοσύνης τοῦ Ἀβραάμ.

Περιττός. ἀντὶ τοῦ, πολύς. [3]Σαλούστιος, ὁ τῆς αὐλῆς ἔπαρχος, ἀνὴρ ἦν διαφερόντως περιττὸς εἰς φιλανθρωπίαν.

Περιττότερα. μείζονα. Τὰ δὲ λεγόμενα χρυσᾶ μῆλα τῶν Ἑσπερίδων, οὐ χρυσᾶ ἦσαν, ἀλλὰ περιττότερα τῶν ἄλλων.

Περιτράγῃ. περικόψῃ. περιφάγῃ. ἀντὶ τοῦ, κλέψῃ. Ἀριστοφάνης·

— Ἐν τ' ὄχλῳ φυλάττεσθαι σφόδρα,
Μή τις [4]λαθών σου περιτράγῃ τὰ χρυσία.

Περιτροπῇ. ἐν περιόδῳ. [5]Τῆς νυκτὸς τὸν καιρὸν, εἰς ὃν τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ τείχους, ὕπνον ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων, [6]ἐπέβαλε.

Πίστις. ἀδήλου πράγματος ἐλπίς. † [8]Ἁμαρτάνουσι δὲ οἱ λέγοντες τῆς πίστεως τὴν ὑπόληψιν γένος. ἀκολουθεῖ μὲν γὰρ τῇ πίστει ἡ ὑπόληψις. ἡ γὰρ πίστις, ὑπόληψις. ἀδύνατον γὰρ χωρὶς ὑπολήψεως πίστιν γίνεσθαι. οὐ μὴν γένος οἷόν τε τῆς πίστεως τὴν ὑπόληψιν εἶναι. ἐνδέχεται γὰρ τὴν αὐτὴν ὑπόληψιν ἔχοντα, ποτὲ μὲν πιστεύειν, ποτὲ δὲ, οὔ. ὃ ἀδύνατον ἐπὶ τοῦ γένους. ἀδύνατον γὰρ τὸ αὐτὸ ζῶον, ποτὲ μὲν ἄνθρωπον εἶναι, ποτὲ δὲ, μή. μεταβάλλων γὰρ ὁ ἄνθρωπος, οὐδὲ ζῶόν ἐστιν. ὥστε οὐδὲ ἡ ὑπόληψις ἡ αὐτὴ μένοι ἂν, οὐ μετὰ πίστεως οὖσα. καὶ πιστευομένη γὰρ ἔτι ἡ ὑπόληψις μένει. οὐ γὰρ κεκώλυταί τις τὴν αὐτὴν περί τινος ὑπόληψιν ἔχων, ποτὲ μὲν πιστεύειν αὐτῇ, ποτὲ δὲ, μή. οἷον, ὑπόληψιν ἔχων περὶ ψυχῆς, ὅτι ἀθάνατος, οὐ κεκώλυται ὕστερον διά τινας λόγους μὴ πιστεύειν.

Πίστις. Fides. Ea eſt ſpes rei non apparentis. † Errant autem, qui dicunt, opinionem eſſe fidei genus. Sequitur enim fidem opinio: & fides eſt opinio. Fieri enim non poteſt, ut fides ſit ſine opinione. Non tamen opinio fidei genus eſſe poterit. Contingit enim interdum, ut, qui eandem opinionem habet, modo quidem credat, modo vero non: quod de genere dici non poteſt. Nam fieri non poteſt, ut idem animal modo quidem ſit homo, modo vero, non. Homo enim, ſi mutetur, nec animal eſt. Quare ne opinio quidem eadem manebit, ſi cum fide non ſit conjuncta. Nam opinio, dum adhuc creditur, manet. Nihil enim obſtat, quominus is, qui eandem de re aliqua opinionem habet, interdum quidem ei credat, interdum vero, non. Ut, ſi quis animam credat eſſe immortalem, nihil obſtat, quo minus idem poſtea propter quaſdam rationes id non credat.

Πίστιν μόνην ὁριζόμεθα εἶναι ἀληθῆ καὶ καθαρὰν ταύτην, τὴν εἰς Πατέρα, καὶ Υἱὸν, καὶ ἅγιον Πνεῦμα, τὴν μίαν θεότητά τε καὶ κυριότητα, πάντων ὁρατῶν τε καὶ ἀοράτων δημιουργὸν, καὶ βασιλίδα πάσης φαινομένης καὶ νοουμένης κτίσεως. καθ' ἣν ἓν τὰ τρία νοούμενα σέβομεν, καὶ τὸ ἓν ἐν τοῖς τρισὶ θεωρούμενον προσκυνοῦμεν· ὧν τὸ μὲν τῇ οὐσίᾳ γνωρίζεται· τὸ δὲ, ταῖς ὑποστάσεσι καταγγέλλεται· μηδὲν τούτων ἐλαττοῦντες, μηδὲ ὑπερτιθέντες, ἀλλ' ἑνοῦντες μὲν τῇ οὐσίᾳ, ὥσπερ δὴ καὶ ἀξίᾳ, καὶ ὁμοτιμίᾳ, καὶ δόξῃ· διαιροῦντες δὲ ταῖς ὑποστάσεσιν, εἴτουν προσώποις, καὶ ἰδιότησιν, ἑκάστης τούτων οὐσιωδῶς ὑφεστώσης, ἐν ὑπάρξει ἰ-

Πίστιν μόνην ὁρ. Fidem ſolam definimus eſſe veram & puram hanc, in Patrem, & Filium, & Spiritum ſanctum, unam Deitatem & dominationem, omnium viſibilium & inviſibiliū opificem, & Reginā omnis apparentis & intelligibilis creaturæ; per quam [fidem] tria in uno colimus, & unum in tribus adoramus: (quorum unum quidem per eſſentiam indicatur; alterum vero per hypoſtaſes declaratur) nihil horū imminuentes, neque honore præponentes; ſed eādem quidem eſſentiam ſingulis tribuentes, eoſque dignitate & honore & gloria exæquantes; at diſtinguentes perſonis & proprietatibus: ſingulis harum exiſtentibus ſubſtantia propria, &

1 Ὄνομα πόλεως] Sed tunc ſcribendum eſt Πίσσα, per ſimplex σ. Conſule Geographos.

2 Φησὶν Ἀριστοφάνης] Imo, Cratinus. Vide Scholiaſtam Ariſtophanis ad *Aves*, pag. 577. unde Suidas hæc deſcripſit.

3 Πισίας] De hoc vide Scholiaſtam Ariſtophanis loco laudato.

4 Πισινοῦς] Scribe, Πεσσινοῦς, & Πεσσινοῦντα, & Πεσσινουντιαῖος. Vide Stephanum Byzantium v. Πεσσινοῦς.

5 Θηλυκόν] Inepte. Eſt enim accuſativus ſingularis, a recto Πισινοῦς.

6 Πισός] Portus vocem hanc male interpretabatur *piſum*. Significat enim apud Græcos recentiores *pilam*, cui ædificium innititur. Vide Dufrenium in Gloſſario Græco.

7 Παρὰ Προκοπίῳ] Lib. I. *de Ædif. Juſtin.* cap. I. ubi verba ejus hæc ſunt: *Κατὰ δὲ τὰ τοῦ νεὼ μέσα λόφοι χειροποίητοι ἀνεστήκασι τέσσαρες, οὓς καλοῦσι πεσούς.*

8 *Ἁμαρτάνουσι δὲ οἱ λέγοντες τῆς πίστεως τὴν ὑπ.*] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Alex. Aphrodiſ. in lib. IV. *Topic.* pag. 176.

διὰ

δίᾳ ἀμερίστως νοουμένης· ὅπερ παράδοξον. καὶ εἰδότες τὸν μὲν αἴτιον καὶ γεννήτορα καὶ προβολέα, τὸν Πατέρα, ἄναρχον, καὶ ἀναίτιον, καὶ ἄχρονον, καὶ ἀΐδιον. τὸ δὲ γέννημα, καὶ Υἱὸν, τῷ Πατρὶ συνάναρχον, καὶ συναίτιον, ἀναλλοίωτον, καὶ ἀπαθῆ, καὶ ἄρρευν, ἐκ Πατρὸς τὴν γένεσιν ἔχοντα, πρὸς αἴτιον δὲ καὶ ἀρχὴν τὸν Πατέρα ἀναφερόμενον. τὸ δὲ ἐκπόρευμα, ἤτοι ἐκπορευτὸν, καὶ ἁγιαστικὴν δύναμιν, τὸ Πνεῦμα τὸ ἅγιον, ἀχρόνως ἀεὶ ἐκ πατρὸς προϊὸν, οὐ γεννητῶς, ἀλλ' ἐκπορευτῶς ἔχον τὴν πρόοδον, Πατρὶ καὶ Υἱῷ συνυπάρχον ἀϊδίως, συμπροσκυνούμενόν τε ὡς σύνθρονον, καὶ ὁμότιμον, καὶ ὁμόδοξον, καὶ ὁμόθεον· δι' οὗ καὶ Ἀγγέλοις, καὶ ἀνθρώποις, καὶ πάσῃ λογικῇ φύσει τὰ θεῖα παρέχεται χαρίσματα. καὶ οὕτω τῆς τρισσοφαοῦς θεαρχίας τὸ ἀπρόσιτον ἡμῖν καὶ ἀειλαμπὲς ἐναστράπτει σέλας. ἐξ ὧν καὶ τὸ ταυτὸν καὶ ἑνιαῖον τῆς οὐσίας πιστεύεται, καὶ τὸ τρισσὸν τῶν προσώπων δοξάζεται. τῶν συγχεόντων δὲ καὶ διαιρούντων τὰ συγχύσεως καὶ διαιρέσεως ἀνεπίδεκτα ἡ ἀθεΐα καὶ ἀτοπία καταβέβληται καὶ κατήρειπται.

ab aliis prorſus diſtincta: quod eſt admirabile. Et Patrem quidem cognoſcimus [omnium rerum] cauſam, & genitorem, & productorem, principio carentem, a nemine factum, ſine tempore exiſtentem, & ſempiternum. Filium vero, Patris progeniem, una cum ipſo principio carentem, & ſimul cum illo [omnium rerum] cauſam, eundemque immutabilem, & corruptionis expertem, & a Patre ortum habentem: quippe qui ad Patrem ut cauſam & principium referatur. Spiritum vero S. ut [a Patre] egreſſum, & ſanctificandi vim habentem, & abſque tempore ex Patre procedentem, non per modum generationis, ſed proceſſionis: qui cum Patre & filio perpetuo exiſtit, & una cum illis adoratur, ut ejuſdem throni, honoris, gloriæ, & Deitatis particeps: per quem & cum Angelis, & hominibus, & omni natura rationis participe, gratiæ divinæ dona largiter communicantur. Sic triplicis Deitatis, quæ omnia gubernat, inacceſſum & ſemper coruſcans lumen nobis affulget: unde & unitas eſſentiæ creditur, & triplicitas perſonarum a nobis glorificatur. Illorum vero, qui confundunt & dividunt ea, quæ confuſionem & diviſionem non admittunt, impietas & abſurditas penitus proſtrata eſt.

Πίστις.[1] ὅτι ἁμάρτημά ἐστι τὸ τὴν πίστιν ἀποδοῦναι σφοδρότητα ὑπολήψεως. καὶ γὰρ οὕτως ὁριζόμενος, γένος μὲν λαμβάνει τὴν σφοδρότητα, διαφορὰν δὲ τὴν ὑπόληψιν. ἔχει δὲ ἔμπαλιν. τῆς γὰρ ὑπολήψεως γένος οὔσης, ἡ σφοδρότης ἐστὶ διαφορά. τῶν γὰρ ὑπολήψεων αἱ μέν εἰσι σφοδραὶ, αἱ δὲ, μέτριαι. αὗται γὰρ ὑπολήψεων διαφοραί. καὶ ἔστιν ἡ πίστις ὑπόληψις σφοδρά.

Πίστις. Fides. Error eſt, fidem definire vehementiam perſuaſionis, vel opinionis. Qui enim ſic definit, genus ponit *vehementiam*; differentiam vero *opinionem*: cum res contra ſe habeat. Opinio enim eſt genus; vehementia vero, differentia. Opinionum enim aliæ ſunt vehementes, aliæ vero, moderatæ. Et hæ ſunt opinionum differentiæ. Fides autem [a quibuſdam, ut dictum eſt, definitur,] vehemens opinio.

Πιστός. ὁ εὐσεβής.

Πιστός. Fidelis. Pius.

Πιστότης. Τοσοῦτον αὐτοῖς ἐνεποίει τῆς βεβαίας ἐλπίδος ἡ τοῦ Μαρκελλίνου περὶ τὰ θεῖα πιστότης. καὶ πιστεύοντες, ἀντὶ τοῦ, θαρροῦντες. ὅτι λέγεται καὶ πιστότης. πάντως δὲ ἐπιτηδεία ἐξ αὐτῆς συμβάσεως τὴν πιστότητα.

Πιστότης. Fidelitas. Fides. *Tantum fiduciæ ipſis attulit Marcellini erga religionem fides.* Et πιστεύοντες, freti, confiſi.

Πιστωσάμενος. πίστεις καὶ συνθήκας ποιησάμενος. [2] Τὸν δὲ ὁ Σωσίβιος διὰ πλειόνων λόγων πιστωσάμενος, καὶ παρασκευάσας εὔνουν ἑαυτῷ.

Πιστωσάμενος. Qui fidem alicui dedit, vel data fide promiſit. *Cum autem Soſibius ei pluribus verbis fidem dediſſet, ejuſque benevolentiam ſibi conciliaſſet,* [*diſceſſit.*]

Πιστώσαντες αὐτὸν τοῖς ὅρκοις. ἀντὶ τοῦ, ὅρκους ἐξ αὐτοῦ λαβόντες. ὅταν γὰρ λέγωμεν, πιστῶ σε ὅρκῳ, ἀντὶ τοῦ, ὅρκον ἐκ σοῦ λαμβάνω. πιστοῦμαί σε ὅρκῳ· ἀντὶ τοῦ, ὅρκον σοι δίδωμι.

Πιστώσαντες αὐτὸν τοῖς ὅρκ. Cum jurejurando eum obſtrinxiſſent. Nam πιστῶ σε ὅρκῳ, ſignificat, jurisjurandi fide te obſtringo. At, πιστοῦμαί σε ὅρκῳ, jurejurando interpoſito fidem tibi do.

Πίστρα.[3] ἡ ποτίστρα.

Πίστρα. Poculum, ex quo bibitur. Vel, canalis, ex quo pecudes aquam bibunt.

Πίσυνος. πεπιστευκώς. τεθαρρηκώς.

Πίσυνος. Confiſus. Fretus.

Πίττα.[4] Τήν τε πίτταν τῶν βαλανείων ἐξαιροῦντας, καὶ τὰς παρατιλτρίας ἐξελαύνοντας, ἐς τὸ ἀρχαῖόν τε καθισταμένους πάντα. ὅθεν παλαῖστραί τε ἀνήβησαν, καὶ σπουδαὶ, καὶ τὰ φιλίτια ἐπανῆλθε, καὶ ἐγένετο ἡ Λακεδαίμων ἑαυτῇ ὁμοία.

Πίττα. Pix. *Cum picem ex balneis ſuſtuliſſent, & mulieres depilatrices ex urbe ejeciſſent, in priſtinum ſtatum omnia redegerunt. Quamobrem & palæſtræ refloruerunt, ſtudiaque & philitia in uſum redierunt, & Lacedæmon ſui ſimilis rurſus facta eſt.*

Πιττάκειον. μετουσιαστικόν. τὸ τοῦ Πιττακοῦ. καὶ [5] Σί-

Πιττάκειον. Eſt adjectivum poſſeſſivum. Quod

1 Ὅτι ἁμάρτημά ἐστι τὸ τὴν πίστιν ἀποδ.] Et hæc ſumpta ſunt ex Alexandro Aphrodiſ. ad *Topic.* lib. IV. pag. 177.

2 Τὸν δὲ ὁ Σωσίβιος διὰ κτλ.] Fragmentum hoc legitur apud Polybium lib. VIII. cap. XIII.

3 Πίστρα] Confer Heſychium v. Πιστήριον.

4 Τήν τε πίτταν τῶν βαλανείων ἐξαιρ.] Fragmentum hoc ampliari poteſt ex ipſo Suida ſupra v. Ἔφοροι.

5 Σίμων] Legendum eſſe Σιμωνίδης, recte monuit Leo Allatius in Diatriba de Simeonum ſcriptis, pag. 210. Laertius in *Pittaco*, ſegm. LXXVI. Εἶπέ τε, Χαλεπὸν ἐσθλὸν ἔμμεναι· οὗ καὶ Σιμωνίδης μέμνηται. Vide ibi Menagium.

μων

μων φησί· Ἄνδρ' ἀγαθὸν [1] ἀλαθέα γενέσθαι χαλεπὸν, τὸ Πιττάκειον. εἴρηκε γὰρ ὁ Πιττακός· Χαλεπὸν ἐσθλὸν ἔμμεναι.

Πιττακὸς, Μιτυληναῖος, υἱὸς Καΐκου, [2] καὶ Ὑῤῥαδίου Θρᾳκὸς, μητρὸς δὲ Λεσβίας. οὗτος γέγονε κατὰ τὴν λβ'. ὀλυμπιάδα, εἷς καὶ αὐτὸς τῶν ἑπτὰ Σοφῶν ὤν. ἔγραψε νόμους, καὶ τῇ μθ'. ὀλυμπιάδι Μέλαγχρον τὸν τύραννον Μιτυλήνης ἀνεῖλε, καὶ Φρύνωνα στρατηγὸν Ἀθηναίων [3] πολεμοῦντα ὑπὲρ τοῦ Σιγείου μονομαχῶν ἀπέκτεινε, δικτύῳ περιβαλὼν αὐτόν. γηραιὸς δὲ ἀναγκαζόμενος στρατηγεῖν, ἔφη· Ὡς χαλεπὸν ἐσθλὸν ἔμμεναι. τούτου ἀπόφθεγμα, Καιρὸν γνῶθι. ἐποίησε δὲ καὶ ἐλεγεῖα ἔπη χ'. καὶ ὑπὲρ νόμων καταλογάδην.

Πιττάλακος.
[4] Καλλείψω δὲ νέους ἄφρονι Πιτταλάκῳ.

Πιτανοῖος.

Πιτηροῦμ. ὄνομα κύριον.

Πιτθεὺς, [5] Πιτθέως. δῆμος τῆς Κεκροπίδος ἡ Πιτθίς.

Πιτθείδης. πατρωνυμικόν. καὶ Πιτθῆος.

Πίτνα. [6] ἐξέτεινε.

Πιττουμένων· τὰ σκέλη ἀλειφομένων.

Πιττοῦν. [7] κυρίως τὸ τὰς πλατείας νῆας πίττῃ χρίειν.

Πιτυάνη. ἀσκὸς μικρός. [8] Πιτυάνη εἰμί. αὕτη παρ' Ἀλκαίῳ κεῖται. λέγεται δὲ καὶ κατὰ τῶν πυκναῖς συμφοραῖς χρωμένων, ἅμα καὶ εὐπραξίαις· παρόσον καὶ τῇ [9] Πιτάνῃ τοιαῦτα συνέβη πράγματα, ὧν καὶ Ἑλλάνικος μέμνηται. φησὶ γὰρ αὐτὴν ὑπὸ Πελασγῶν ἀνδραποδισθῆναι, καὶ πάλιν ὑπὸ [10] Ἐρυθραίων ἐλευθερωθῆναι.

Πίτυλος. κτυπητής. [11] Φαντασιοσκόπος. καὶ πιτυλεύσας, [12] παρ' Ἀριστοφάνει. καὶ πιτυλίζω, ῥῆμα. ὡς τὸ, Οἷόν ἐστιν ἰχθύων γένεσιν ἰδεῖν ἐν κολύμβοις πιτυλίζουσαν.

Πιτυοῦς. [13] πολίχνιον ἐν πέρασι μὲν θαλάσσης τῆς Ποντικῆς κατὰ δεξιὸν κείμενον, τέλος δὲ καὶ τῆς Ῥωμαίων ἀρχῆς γινόμενον, βαρβάροις καὶ ὠμοῖς ἔθνεσι συνάπτον.

est Pittaci. Et Simonides inquit: *Virum bonum eſſe difficile ſane eſt; ſecundum dictum Pittaci.* Pittacus enim dixit: Χαλεπὸν ἐσθλὸν ἔμμεναι. *Difficile eſt bonum eſſe.*

Πιττακός. Pittacus, Mitylenæus, filius Caici, vel Hyrrhadii Thracis; matris vero Leſbiæ. Hic natus eſt Olympiade XXXII. unus & ipſe ſeptem Sapientum. Scripſit leges, & Olympiade XLIX. Melanchrum tyrannum Mitylenes occidit, & Phrynonem imperatorem Athenienſium, pro Sigeo bellum gerentem, ſingulari certamine interfecit, poſtquam reti eum implicuiſſet. Cum autem jam ſenex belli imperator eſſe cogeretur, dixit: *Quam difficile eſt bonum eſſe!* Hujus apophthegma eſt, *Tempus noſce.* Scripſit etiam verſus elegiacos DC: itemque de Legibus, oratione ſoluta.

Πιττάλακος. Pittalacus. [In Epigrammate:] *Relinquam autem juvenes amenti Pittalaco.*

Πιτανοῖος. Pitanæus.

Πιτηροῦμ. Piterum. Nomen proprium.

Πιτθεύς. Pittheus, vel Pitthenſis. Pitthis erat populus tribus Cecropiæ.

Πιτθείδης. Pitthides. Patronymicum. Pitthei filius.

Πίτνα. Effudit. Extendit.

Πιττουμένων, Illorum, qui crura ſua pice illinunt.

Πιττοῦν. Proprie ſignificat, naves latiores pice oblinere.

Πιτυάνη. Parvus uter. Utriculus. [Item, nomen urbis Æolicæ.] *Ego ſum Pityane.* Proverbium hoc apud Alcæum legitur. Dicitur hoc de illis, qui fortuna & adverſa & proſpera crebro utuntur. Talia enim & Pitanæ evenerunt, quorum & Hellanicus meminit. Dicit enim eam a Pelaſgis in ſervitutem redactam, & ab Erythræis deinde priſtinæ libertati reſtitutam fuiſſe.

Πίτυλος. Strepitum edens. Crepans. Jactabundus. Et πιτυλεύσας, qui ſtrepitum edidit, vel turbas movit: apud Ariſtophanem. Et πιτυλίζω, verbum. Geſticulor. Agiliter me moveo. Ludo. *Ut videre eſt piſcium ſobolem in piſcinis ludentem.*

Πιτυοῦς. Pityus. Oppidulum, in finibus Pontici maris ad dextram ſitum, & imperii Romani terminus, Barbariſque & feris gentibus finitimum.

1 Ἀλαθέα] Potius, ἀλαθέως.

2 Καὶ Ὑῤῥαδίου] Menagius ad Laertium in *Pittaco*, ſegm. 74. legendum cenſet, ἢ Ὑῤῥαδίου: quod probo.

3 Πολεμοῦντα] Sic rectius MSS. Pariſ. quam priores Editt. quæ habent, πολιορκοῦντα.

4 Καλλείψω δὲ νέους ἄφρ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. VII. pag. 602. Priores autem Editt pro καλλείψω habent καλύψω: quod & ſenſus & metrum repudiat.

5 Πιτθεύς] Harpocratio, ex quo Suidas, habet Πιθεύς.

6 Πίτνα. ἐξέτεινε] Homerus Il. Φ. v. 6. 7.
———Ἠέρα δ' Ἥρη
Πίτνα πρόσθε βαθεῖαν———
Scholiaſta: Πίτνα. ἐξέτεινεν. ἐπέβαλε. Huc Suidas reſpexit.

7 Πιττοῦν. κυρίως τὸ τὰς πλ.] Ex Enarratore Comici ad *Plutum*, pag. 104.

8 Πιτυάνη εἰμί. αὕτη παρ' Ἀλκ.] Ex Zenobio: apud quem pro Πιτυάνη rectius legitur Πιτάνη.

9 Πιτάνῃ] Sic MSS. Pariſ. At priores Editt. minus recte, Πιτυάνῃ.

10 Ἐρυθραίων] Hanc lectionem ex MStis Pariſ. & Zenobio revocavi: cujus loco priores Editt. exhibent, Ἐρετριέων.

11 Φαντασιοσκόπος] Forſan legendum eſt, φαντασιοκόπος, i. e. qui oſtentationem amat; quemadmodum δοξοκόπος dicitur ille, qui gloriæ ſtudet; δημοκόπος, qui auram popularem captat, & ſimilia. Φαντασία autem apud Græcos interdum notare, *pompam* ſive *ſpeciem*, jamdudum viri docti monuerunt.

12 Παρ' Ἀριστοφάνει] In *Veſpis*, pag. 479. (335. Ed. Baſ. P.)

13 Πιτυοῦς. πολίχνιον ἐν π.] Idem plane de Pityunte oppido tradit Theodoretus Hiſtor. Eccleſ. lib. v. cap. 34. Καὶ κεῖθεν δὲ ἐξαγαγόντες, εἰς Πιτυοῦντα μετῴκισαν. πέρας δὲ τοῦτο καὶ τοῦ Πόντου καὶ τῆς Ῥωμαίων ἡγεμονίας, τοῖς ὠμοτάτοις γειτονοῦν βαρβάροις. Ad hunc locum Suidam reſpexiſſe puto.

Πίτυς. εἶδος δένδρου κωνοφόρου, ἣ παρ' ἡμῖν στροβίλα. Ξενοφῶν· Χωρίον πίτυσι διαλειπούσαις μεγάλαις. ἀνθ' ὧν ἑστηκότες ἄνδρες τί ἂν πάθοιεν. καὶ, πιτυόστεπτος, ὁ Πάν.

[1] Πανὸς [2] τειχήεσσα πιτυστέπτοιο καλιή.

ὅθεν καὶ [3] Πιτυκάμπτης, ὁ Κένταυρος.

Πίτυς. Pinus. Arboris coniferæ genus, quæ apud nos στροβίλα vocatur. Xenophon: *Ager erat pinis majoribus per intervalla conſitus.* * * * * Et πιτυόστεπτος, pineis frondibus redimitus. Epithetum Panis. [In Epigrammate:] *Et Panis frondibus pini redimiti reſonans antrum.* Hinc etiam Centaurus quidam dictus eſt Πιτυκάμπτης, i. e. pinus curvans.

Πλαγάς. Ἠλέκτρα·

[4] Πολλὰς δ' ἀντήρεις ᾔσθου
Στέρνων πλαγὰς αἱμασσομένων.

θρηνοῦσα γὰρ ἔτυπτε τὸ στῆθος πρὸς ἕκαστον Ἠλέκτρα.

Πλαγάς. Plagas. Verbera. [Sophocles] *Electra: Multis etiam ictibus adverſum pectus percuſſiſti, donec id cruentares.* Lamentans enim Electra ad ſingula [verba] pectus pugnis tundebat.

Πλαγία φάλαγξ. ἥτις ἔχει τὸ μῆκος τοῦ βάθους πολλαπλάσιον.

Πλαγία φάλαγξ. Obliqua phalanx. Id eſt, phalanx, quæ longitudinem profunditate longe majorem habet.

Πλαγίως. δολίως.

Πλαγίως. Oblique. Doloſe.

Πλαγγόνων. Τὰ μειράκια θρυπτόμενα περὶ ταῖς τίτθαις στωμύλλεσθαι καὶ λέγειν περὶ κρόκης καὶ στημόνων καὶ πλαγγόνων ἐάσωμεν.

Πλαγγόνων. Puparum. *Puellas delicatulas apud nutrices de trama & ſtaminibus & pupis verba facere ſinamus.*

Πλαγκτή. ἡ πλανωμένη.

Πλαγκτή. Vagans. Errans. Errabunda.

Πλαδαρόν. [5] χαῦνον. ὑγρόν. πλάδας γὰρ, καὶ πλαδῶσις, καὶ πλαδαρώματα. καὶ πλαδῶσιν, ὑγροῖς, χαύνοις, ἀσθενέσι. Οὐ γὰρ ἔτι ὀρέγεσθαι τροφῆς, πλαδῶντος αὐτοῦ τοῦ στομάχου. τουτέστιν, ὑγροῦ καὶ ἀσθενοῦς ὄντος. οὕτω φησὶ Δαμάσκιος. καὶ αὖθις Πολύβιος· Τὰ μὲν ἄλλα καλῶς ἔχειν αὐτοῦ πρὸς τὴν χρείαν· τὸ δὲ δόρυ [6] πλαδαρὸν εἶναι. καὶ πλαδόωσαν.

Πλαδαρόν. Laxum. Humidum. Præ humore flaccidum. Πλάδας enim, & πλαδῶσις, & πλαδαρώματα, vocamus uliginem, madorem, humiditatem. Et πλαδῶσιν, humidis, flaccidis, infirmis. *Non enim amplius cibos eum appetere dicebat, quod ſtomachus ejus languidus eſſet.* Vel, ob ſuperfluam humorum copiam infirmus. Sic Damaſcius inquit. Et iterum Polybius: *Et cætera quidem recte ab eo ad uſum parata eſſe. Haſtam vero infirmam eſſe & tremulam.* Et πλαδόωσαν, humidam, madentem.

Πλαδιεῖν. [7] παραφρονεῖν. πολεμεῖν. πλησιάζειν.

Πλαδιεῖν. Deſipere. Delirare. Pugnare. Accedere.

Πλάζοντος. ἀποπλανῶντος. Πλάζοντος τοῦ δέους τὰς ὄψεις.

Πλάζοντος. In errorem inducentis. Fallentis. *Metu oculos fallente.*

Πλάθειν. πλησιάζειν.

Τὰ [8] δὲ τοῖς δυνατοῖς
Οὐκ ἐριστὰ πλάθειν.

προσπελάζειν. τουτέστιν, οὐχ οἷόν τε σε ἐρίζειν τοῖς δυνατοῖς.

Πλάθειν. Accedere. Appropinquare. [Sophocles:] *At cum potentioribus non eſt contendendum.* Vel, non potes cum potentioribus contendere, [quin tibi res male cedat.]

Πλακιάδαι. [9] δῆμος τῆς Ἀττικῆς· ἔνθα ῥαφανίδες μεγάλαι γίνονται.

Πλακιάδαι. Placiadæ. Populus Atticæ: ubi magni raphani naſcuntur.

Πλακίδας. ὄνομα κύριον.

Πλακίδας. Placidas. Nomen proprium.

1 Πανὸς πιχήεσσα πιτυς.] Hexameter hic eſt pars Epigrammatis, nondum, quod ſciam, editi, quod in gratiam curioſi Lectoris integrum hic ex codice MS. exhibebo. Κεναγόρου.

Σπήλυγγες Νυμφῶν εὐπίδακες, αἳ τόσον ὕδωρ
Εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεῶνος·
Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιή,
Τὴν ὑπὸ Κασπίης ποσσὶ λέλογχε πέτρης·
Ἱερά δ' ἀγρευτῇσι γεραιδρύου ἀρκεύθοιο
Πρέμνα, λιθηλογέες θ' Ἑρμείω ἱδρύσιες·
Αὐταί θ' ἵληκοιτε, καὶ εὐθήρου δέχεσθε
Σωσάνδρου ταχινῆς σκῦλ' ἐλαφηβολίης.

Speluncæ Nympharum fontibus abundantes, quæ tantum aquæ
Funditis de curva hac rupe:
Et Panis frondibus pinus coronati reſonans antrum,
Quod ſub Caſpiæ petræ radicibus ſortitus eſt:
Et venatoribus ſacri veteris juniperi
Stipites; & lapidum acervi Mercurio dicati:
Et ipſi propitii ſitis, & venandi periti accipite
Soſandri prædam celeri venatione partam.

Confer Suidam infra v. Πρεών, & v. Σπήλυγγες, ubi fragmenta ex hoc Epigrammate decerpta leguntur.

2 Τειχήεσσα] Scribe, τ' ἠχήεσσα: ut recte legitur in Epigrammate citato.

3 Πιτυκάμπτης] Potius, πιτυοκάμπτης. Vide Lucianum in *Prometheo* ſub finem; & ibi Græviun.

4 Πολλὰς δ' ἀντήρεις ᾔσθου στέρ.] Hæc ſunt verba Sophoclis *Electra*, pag. 84. ut Portus monuit.

5 Πλαδαρόν] Scholiaſta Nicandri ad *Theriaca*, p. 15. Πλαδόωσι. ὑγραίνονται. ἢ οἰδοῦσι. καταπηλύνονται. πλαδᾶν γὰρ καὶ πλαδαρὸν σῶμα, τὸ ὑγρὸν φαμέν. κἂν μὴ ἀντίτυπον· ὃ δηλαδὴ πλήσσομενον τῷ δακτύλῳ ἐνδίδωσί τε καὶ κοιλαίνεται. Confer etiam alios Lexicographos.

6 Δόρυ πλαδαρόν] An potius, δόρυ κλαδαρόν? Idem enim Polybius lib. VI. cap. XXIII. de haſtis loquens, epitheto κλαδαρά utitur: quod Caſaubonus vertit, *tremulas*. Quare videndum, num & hic forte κλαδαρὸν ſcribi debeat.

7 Πλαδιεῖν] Potius, παλαδδιεῖν, per duplex δδ. Conſule Technicos.

8 Τὰ δὲ τοῖς δυνατοῖς οὐκ ἐρ.] Hæc ſunt verba Sophoclis *Electra*, pag. 92. ut Portus monuit.

9 Πλακιάδαι] Imo Λακιάδαι, ut habent Heſychius & Stephanus Byzantius.

Πλακίλλα,[1] γαμετὴ Θεοδοσίου τοῦ μεγάλου· ἥτις εὐσεβὴς καὶ φιλόπτωχος ἦν, καὶ δι' ἑαυτῆς τοῖς νοσοῦσι καὶ τοῖς λελωβημένοις ὑπηρέτει. προτέρα δὲ τοῦ ἀνδρὸς ἐτελεύτησεν. ἔδειξε δὲ μάλιστα τὸ περὶ αὐτὴν τοῦ βασιλέως φιλόστοργον ἡ ὀργὴ τοῦ βασιλέως, ἣν κατ' Ἀντιοχέων ὠργίσθη, δι' ἣν κατέαξαν σύραντες τὴν στήλην, ἀγανακτοῦντες, δι' ὧν ἐπέθηκε τέλη δημόσια ὁ βασιλεὺς ταῖς πόλεσι προφάσει τῶν συνεχῶν πολέμων. [2] ὅτε καὶ ὁ Χρυσόστομος τοὺς ἀνδριάντας ἔγραψε.

Πλακίλλα. Placilla, uxor Theodoſii Magni: quæ pia, & pauperum amans erat, ægrotiſque & aliqua corporis parte mutilatis ipſamet miniſtrabat. Obiit ante maritum. Inſignem autem Imperatoris erga eam amorem maxime demonſtravit ira ejus, qua in Antiochenſes excanduit, quod ſtatuam [uxoris ſuæ] confregiſſent & per urbem raptaſſent, iniquo animo ferentes tributa, quæ Imperator civitatibus impoſuerat, cauſam continuorum bellorum prætexens. Eo tempore & Chryſoſtomus orationes de ſtatuis ſcripſit.

Πλακοῦς.[3] ἐν Ἐπιγράμματι· Καὶ τὸν πλακοῦντα πίονα τυροφόρον.

Πλακοῦς. Placenta. In Epigrammate: *Et placentam pinguem, caſeoque conditam.*

Πλάνη. ἡ τοῦ σκοποῦ ἀπότευξις.

Πλάνη. Error. A ſcopo aberratio.

Πλάνης, πλάνητος. Ὥσπερ πλάνης ἄνθρωπος κατὰ βίου πρόφασιν περιδινούμενος. ἀντὶ τοῦ, πλανήτης.

Πλάνης. Erro. Vagus. Vagabundus. *Erronis inſtar ſub prætextu victus conquirendi huc illuc vagans.*

Πλανήτης. ξένος. καὶ πλανῆται, οἱ τῇδε κἀκεῖσε περινοστοῦντες. [4] Ὁ Ἡράκλειος ὁ βασιλεὺς λειποταξίου ποινὰς τοὺς πλανήτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο· καὶ ὅσοι τῷ πόνῳ χαίρειν εἰπόντες τηνάλλως δεῦρο κἀκεῖσε περιενόστουν, βασάνοις ἐπὶ σωφροσύνην μετήγαγε. Πλανῆτις δὲ, θηλυκῶς.

Πλανήτης. Peregrinus. Hoſpes. Et πλανῆται, errones, ſive, qui huc illuc vagantur. *Heraclius Imperator in errones exercitus Romani, tanquam deſertores ordinum, animadvertebat: & omnes, qui labori valedixerant, & temere huc illuc vagabantur, ſuppliciis ad officium redire cogebantur.*

Πλανῶ. αἰτιατικῇ.

Πλανῶ. Accuſativo jungitur. In errorem induco. Fallo. Decipio

Πλανύττομεν. πλανώμεθα. κωμικῶς παρῆκται. Ἀριστοφάνης Ὄρνισι.

Πλανύττομεν. Erramus. Vagamur. Verbum hoc Comice formatum eſt. Ariſtophanes *Avibus.*

Πλαξίν. ὅτι ἐν ταῖς θεογράφοις πλαξὶ ταῦτα ἦν γεγραμμένα· Ἐγώ εἰμι Κύριος ὁ Θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. Οὐκ ἔσονταί σοι Θεοὶ ἕτεροι πλὴν ἐμοῦ. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς. οὐ προσκυνήσεις αὐτοῖς, οὐδ' οὐ μὴ λατρεύσεις αὐτοῖς. Οὐ λήψῃ τὸ ὄνομα Κυρίου τοῦ Θεοῦ σου ἐπὶ ματαίῳ. Μνήσθητι τὴν ἡμέραν τῶν Σαββάτων ἁγιάζειν αὐτήν. Τίμα τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἔσῃ μακροχρόνιος ἐπὶ τῆς γῆς. Οὐ μοιχεύσεις. Οὐ κλέψεις. Οὐ φονεύσεις. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου ψευδομαρτυρίαν. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου· οὐκ ἐπιθυμήσεις τὴν οἰκίαν τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν τοῦ πλησίον σου, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὸν βοῦν αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὔτε τὸ ὑποζύγιον αὐτοῦ, οὔθ' ὅσα τῷ πλησίον σου ἐστίν.

Πλαξίν. Tabulis. In tabulis a Deo ſcriptis hæc erant ſcripta: *Ego ſum Dominus Deus tuus, qui eduxi te ex terra Ægypti, ex domo ſervitutis. Non erunt tibi Dii alii præter me. Non facies tibi ſimulacrum, nec effigiem rerum, quæ ſunt in cœlo ſupra, & in terra infra, & earum, quæ ſunt in aquis ſub terra. Non adorabis ea, neque coles ea. Non abuteris nomine Domini Dei tui ad rem vanam. Memineris diei Sabbati, ut ſanctifices ipſum. Honora patrem tuum, & matrem tuam, ut bene tibi ſit, & ſis longævus in terra. Non mœchaberis. Non furaberis. Non occides. Non dices falſum teſtimonium contra proximum tuum. Non concupiſces uxorem proximi tui. Non concupiſces domum proximi tui, neque agrum proximi tui, neque ſervum ejus, neque bovem ejus, neque ancillam ejus, neque jumentum ejus, neque quicquam eorum, quæ ſunt proximi tui.*

Πλάσις. ἀνάμιξις. ἐκτύπωμα. μάλθαξις. καὶ παροιμία· Κηροῦ εὐπλαστότερος. ἐπὶ τῶν εὐχερῶς τι ἀντιλαμβανομένων.

Πλάσις. Formatio. Effictio. Mixtio. Mollitio. Et proverbium: *Cera tractabilior.* Dicitur de iis, qui facile aliquid capiunt & diſcunt.

Πλάστιγξ. τοῦ ζυγοῦ τὸ ἀντίρροπον. [5] καὶ τὸ κατηρτημένον τοῦ ζυγοῦ μέρος, ᾧ ἐπιτίθενται τὰ ζυ-

Πλάστιγξ. Lanx libræ. Vel, pars libræ ex jugo ſuſpenſa, cui imponuntur lances. *Una*

1 Πλακίλλα, γαμετὴ Θεοδοσ.] Eadem habet Cedrenus pag. 325.

2 Ὅτε δὲ ὁ Χρυσόστομος τ.] Clarius Cedrenus loco laudato: Τότε δὲ Ἰωάννης ὁ Χρυσόστομος λόγους περὶ τούτου θαυμαστοὺς ἐξέθετο, οὓς Ἀνδριάντας ἐπέγραψε.

3 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XXII.
Αἰχμηταὶ δ' ἐπέθυσεν ἀλέκτορα, καὶ πλακόεντα
Παῖς Ἡγησιδίκου πίονα τυροφόρον.

4 Ὁ Ἡράκλειος ὁ βασιλεὺς λειποτ.] Fragmentum hoc legitur apud Theophylactum Simocatt. lib II. cap. ult. in fine. Confer etiam Noſtrum ſupra v. Λειποταξίου.

5 Καὶ τὸ κατηρτημένον τοῦ ζυγ.] Ex Enarratore Comici ad *Ranas*, pag. 276. (183. Ed. Baſ. P.)

γά. Ἅμα τοῖς τῶν πλαστίγγων ἐπιστάταις, ἀποκατέστησε τοῖς Πέρσαις τὰ χρήματα.

Πλάστιγξ. τὸ κοῖλον τοῦ κοττάβου, καὶ τοῦ ζυγοῦ. ὅτι Ὅμηρος εἰς τὴν αὐτὴν τίθησι πλάστιγγα τῇ μανίᾳ τὴν μέθην.

[1] Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ,
Ἃς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων;

Πλαταγή.[2] εἶδος ὀργάνου, ἦχον καὶ ψόφον ἀποτελοῦντος. Ὁ δὲ πλαταγὴν χαλκευσάμενος ἐπλατάγει.

Πλαταγώνιον. τὸ μηδέν. κυρίως δὲ τὸ τῆς μήκωνος φύλλον, καὶ τὸ τῆς ἀνεμώνης. ἀπὸ τοῦ πλατάσσειν, ἠχεῖν. καταχρηστικῶς δὲ, [3] ὁπηνοῦν πλάτος ἔχοντι. ὅθεν καὶ ἡ πλαταγή. [4] ἐσημειοῦντο δὲ ἀπ' αὐτοῦ τὴν τῶν ἐρωμένων στοργὴν, τιθέντες ἐπί τε τοῦ ἀντίχειρος καὶ τοῦ λιχανοῦ, καὶ ἀντικόπτοντες· καὶ εἰ μὲν ἤχησεν, ἐστέργοντο· εἰ δὲ μὴ, τὸ ἀνάπαλιν.

Πλαταμών. ὄνομα [5] ποταμοῦ. καὶ ὁ αἰγιαλός. καὶ λέγεται μὲν ἁπλῶς ἐπὶ γῆς πλάτους ὁ πλαταμών· κυρίως δὲ ἐπὶ θαλάσσης, ἐχούσης καὶ πέτρας ὑποκειμένας.

Πλαταιαί. πόλις. καὶ Πλάταια, ὄνομα πόλεως.

Πλαταιεύς. καὶ Πλαταιαία ναῦς. καὶ Πλαταιεῖς, ἐθνικόν.

Πλάταιον.[6] τὸ ἔκπτωμα.

Πλάτη. κώπη. πλάτη, καὶ εἶδος πλοίου. [7] Ὥσπερ Παλαμήδης τὰς πλάτας ῥίψω γράφων Ναυπλίῳ.

Πλάτη. πλοῖον. Πλάτην μυριοφόρον, πύργοις τε καὶ περιφράγμασι παντοίοις κοσμήσας ἄνωθεν, κατὰ ῥεῦμα ἀφίησι.

Πλατιάζειν.[8] ἀλαζονεύεσθαι.

Πλάτις. ἡ γυνή. παρὰ τὸ πελάζειν τῷ ἀνδρὶ κατὰ τὴν κοίτην. [9] Ἀριστοφάνης Ἀχαρνεῦσι·
Καὶ τοῖσι παιδίοισι, καὶ τῇ πλάτιδι.

Πλάτων, Ἀρίστωνος, τοῦ Ἀριστοκλέους, καὶ Περικτιόνης, ἢ Ποτώνης, τὸ γένος ἑλκούσης ἀπὸ Σόλωνος. ἕκτη γὰρ ἦν ἀπ' ἐκείνου, παῖς γενομένη Δρωπίδου ποιητοῦ, τοῦ ἀδελφοῦ Σόλωνος. ὁ δὲ Σόλων εἰς Νηλέα ἀναφέρει τὸ γένος. καὶ Ἀρίστων δὲ, ὁ Πλάτωνος πατὴρ, ἐκ τοῦ Κόδρου γένους κατήγετο, τοῦ Μελάνθου υἱοῦ. ἱστόρηται δὲ, ὡς ἔκ τινος θείας ὄψεως ἡ μήτηρ Πλάτωνος [10] ἔγκυος ἐγένετο, ἐπιφανέντος αὐ-

cum lancium epiſtatis pecuniam Perſis reſtituit.

Πλάστιγξ. Concava cottabi jugique pars. Homerus inſaniam & ebrietatem in eadem lance ponit. *Ænea, Trojanorum dux conſilio pollens, ubinam eſt gloriatio illa, quâ magnifica quæque Trojanorum Regibus promiſiſti, cum mero incaluiſſes?*

Πλαταγή. Genus inſtrumenti, ſonum & ſtrepitum edentis. Platage. *Cum platagen fabricaſſet, ea pulſata ſtrepitum edidit.*

Πλαταγώνιον. Platagonium. Id eſt, res vana & nihili. Proprie vero ſic vocatur folium papaveris & anemones. A πλατάσσειν: ſtrepere, vel ſonum edere. Abuſive vero dicitur de quavis re lata. Unde & platage ſic appellata eſt. Ex hoc autem platagonio, pollici & digito indici impoſito, & adverſa manu percuſſo, conjiciebant [amantes,] an ab amaſiis amarentur. Si enim clarum ſonum edidiſſet, amari ſe putabant: ſin ſecus, contra.

Πλαταμών. Nomen fluvii. Item, littus. Et πλαταμὼν ſimpliciter quidem dicitur de terræ planitie. Proprie vero de mari, quod & ſaxa ſub aquis latentia habet.

Πλαταιαί. Platææ. Urbs. Et Platæa, [itidem] nomen urbis.

Πλαταιεύς. Platæenſis. Et Πλαταιαία ναῦς, navis Platææa. Et Πλαταιεῖς, Platæenſes. Nomen gentile.

Πλάταιον. Caſus. Lapſus.

Πλάτη. Palmula. Lata remi pars. Remus. Item, genus navigii. *Tanquam Palamedes remis in mare projectis Nauplio ſcribam.*

Πλάτη. Navigium. Navis. *Navem decem millium capacem, turribuſque & omnigenis manimentis ornatam, ſecundo flumine deſcendere ſivit.*

Πλατιάζειν. Arroganter ſe jactare. Gloriari.

Πλάτις. Conjux. Uxor. Sic dicta a πελάζειν, accedere: quaſi dicas πλάτις. In lecto enim cum viro conjungitur. Ariſtophanes *Acharnenſibus: Et liberis & uxori.*

Πλάτων. Plato, filius Ariſtonis, (qui fuit Ariſtoclis filius) & Perictiones, aut Potones, genus a Solone trahentis. Sexta enim fuit ab illo, filia Dropidis poetæ, fratris Solonis. Solon autem a Neleo genus ducit: & Ariſto, Platonis pater, a Codro, Melanthi filio. Memoriæ autem proditum eſt, matrem Platonis ex viſione quadam divina gravidam factam fuiſſe, cum ei Apollo apparuiſſet: &

1 Αἰνεία, Τρώων βουλ.] Hi duo Hexametri leguntur apud Homerum Iliad. Υ. v. 84, 85. ſed qui nihil ad rem faciunt.

2 Πλαταγή. εἶδος ὀργ.] Vide Brodæum ad Anthol. lib. VI. pag. 573.

3 Ὁπηνοῦν πλάτος ἔχοντι] Legerim, ἐφ' ὁτουοῦν πλάτος ἔχοντος λέγεται.

4 Ἐσημειοῦντο δὲ ἀπ' αὐτοῦ τὴν τῶν ἐρωμ.] Hunc morem luculenter deſcribit Scholiaſta Theocriti ad Idyll. III. v. 29. Τηλέφιλον δέ ἐστι τὸ φύλλον τῆς μήκωνος. ἄλλοι δὲ βοτάνην ἑτέραν λέγουσιν. εἴτε δὲ τοῦτο, εἴτε ἐκεῖνό ἐστι, ἀναλαμβάνεται παρὰ τῶν ἐρώντων τὸ τηλέφιλον, καὶ πλητταόμενον. εἰ ψόφον ἀποτελεῖ, ἐδόκει αὐτοῖς σημειοῦσθαι, ὅτι ἀντερῶνται ὑπὸ τῶν ἐρωμένων· εἰ δὲ οὐκ ἀποτελεῖ, ὅτι μισοῦνται. Confer etiam Pollucem lib. IX. cap. VII. ſub finem: & Meurſium *de Lud. Græc.* p. 55.

5 Ὄνομα ποταμοῦ] MS. A. rectius habet, ὄνομα τόπου.

6 Πλάταιον. τὸ ἔκπτωμα] Quid hoc? An legendum eſt τὸ ἔκπωμα, i. e. poculum. Sed non liquet. MSS. Pariſ. hæc non agnoſcunt.

7 Ὥσπερ Παλαμήδης τὰς πλ.] Ariſtophanes *Theſmophoriaz.* p. 807. (529. Ed. Baſ. P.)

———Οἶδ' ἐγὼ καὶ δὴ πόρον
Ἐκ τοῦ Παλαμήδους, ὡς ἐκεῖνος, τὰς πλάτας
Ῥίψω γράφων.———

Hunc locum Suidas in animo habuit. Vide etiam ſupra v. Παλαμήδης.

8 Πλατιάζειν] Sic MSS. Pariſ. At priores Editt. πλατίζειν. Heſychius habet, πλατειάζειν. Sed malim, πλατειάζειν.

9 Ἀριστοφάνης Ἀχαρνεῦσι] Pag. 377. (266. Ed. Baſ. P.)

10 Ἔγκυος] Hanc vocem ex MS. Pariſ. A. revocavi, quæ in præcedentibus Editt. deeſt.

τῇ τοῦ Ἀπόλλωνος. καὶ ἡνίκα ἔτεκε τὸν Πλάτωνα, τότε αὐτῇ ὁ ἀνὴρ συνεγένετο. ἐτέχθη δ' ἐν Αἰγίνῃ, ἐν τῇ πη. ὀλυμπιάδι, μετὰ τὰ προοίμια τοῦ Πελοποννησιακοῦ πολέμου· καὶ ἐβίω ἔτη β' καὶ π'. τελευτᾷ δὲ ἐπὶ τῆς ρη. ὀλυμπιάδος, οὐδὲ γάμον τινὰ, οὐδὲ ὁμιλίαν καθάπαξ σωματικῶς εἰς πεῖραν δεξάμενος. εὐωχήθη δ' ἐν ἑορτῇ, καὶ ὑπνῶν ἀπεβίω. καὶ ἕτεροι δὲ ἐγένοντο μετ' αὐτὸν υἱοὶ τοῦ Ἀρίστωνι, Ἀδείμαντος, καὶ Γλαῦκος, καὶ Ποτώνη θυγάτηρ. καὶ τὰ μὲν πρῶτα γράμματα διδάσκεται παρά τινι Διονυσίῳ. ἐγυμνάσθη δὲ τὰ εἰς παλαίστραν παρ' Ἀρίστωνι τοῦ Ἀργείῳ. εἶτα μαθὼν ποιητικὴν, γράφει διθυράμβους καὶ τραγῳδίας. ἀπογνοὺς δὲ τούτων, ἐφιλοσόφησε παρὰ Σωκράτει ἐπὶ ἔτη κ'. καὶ λόγος, ἰδεῖν Σωκράτην, καθ' ἣν ἡμέραν αὐτῷ παρεδόθη Πλάτων, κύκνον αὐτοῦ τοῖς γόνασιν ἐπικαθήμενον. προσηγορεύετο δὲ Ἀριστοκλῆς. διὰ δὲ τὸ πλάτος εἶναι τὸ στέρνον, Πλάτων ἐπωνομάσθη. ἄλλοι δὲ ὡς πλατὺν ἐν λόγοις, Πλάτωνα κληθῆναι. τρὶς δὲ εἰς Σικελίαν Πλάτων ἦλθε πρὸς τοὺς τυράννους Διονυσίους· καὶ ἐπράθη ὑπὸ τοῦ τυράννου. ἐπρίατο δὲ αὐτὸν Ἀννίκερίς τις Λίβυς, καὶ ἀφῆκε. διέτριβε δὲ ἐν τῇ Ἀκαδημίᾳ παιδεύων· καὶ διεδέξαντο τὴν σχολὴν αὐτοῦ καθ' ἕνα οἵδε· Σπεύσιππος, Ξενοκράτης, Πολέμων, Κράντωρ, Κράτης. [1]οἱ δὲ Σωκράτους, Ἀρκεσίλαος, Λακύδης, Εὔανδρος Φωκαεὺς, Δάμων, Λεοντεὺς, Μοσχίων, Εὔανδρος Ἀθηναῖος, Ἡγησῖνος, Καρνεάδης, Ἁρμάδας. εἰσὶ δὲ οἱ γνήσιοι αὐτοῦ διάλογοι πάντες, νϛ'· ὧν οἱ μὲν φυσιολογικοὶ, οἱ δὲ ἠθικοὶ, οἱ δὲ διαλεκτικοί. καὶ ἡ μὲν Πολιτεία διαιρεῖται εἰς βιβλία ι. οἱ δὲ Νόμοι, εἰς ιβ'. τετραλογίαι δὲ λοιπαὶ θ'.

Πλάτων Ἀθηναῖος, κωμικὸς, γεγονὼς τοῖς χρόνοις κατὰ Ἀριστοφάνην, Φρύνιχον, Εὔπολιν, καὶ Φερεκράτην. [2]δράματα δὲ αὐτοῦ κη'· Ἄδωνις, [3]Ἀφιέρων, Γρῦπες, Δαίδαλος, Ἑορταὶ, Ἑλλὰς, ἢ Νῆσοι, Εὐρώπη, Ζεὺς κακούμενος, Ἰὼ, Κλεοφῶν, Λάϊος, Λάκωνες, ἢ Ποιηταὶ, Μέτοικοι, Μύρμηκες, Μαμμάκυθος, Μενέλεως, Νῖκαι, Νὺξ μακρὰ, Ξάντραι, ἢ Κέρκωπες, [4]Περιαλγὴς, Ποιητὴς, Πείσανδρος, Πρέσβεις, Παιδίον, Σοφισταὶ, Συμμαχία, Σκευαὶ, Σύρφαξ, Ὑπέρβολος, Φάων. ἔστι δὲ λαμπρὸς τὸν χαρακτῆρα, ὥς φησιν Ἀθηναῖος ἐν τοῖς Δειπνοσοφισταῖς. ὅτι καὶ Ἀνδροφόνος ἐστὶ δρᾶμα Πλάτωνος, καὶ Συνεξαπατῶν, καὶ Πανηγυρισταὶ, καὶ ἄλλα πλεῖστα.

Πλάτων [5]ὁ φιλόσοφος πένης ἦν, καὶ μόνον τὸν ἐν Ἀκαδημίᾳ ἐκέκτητο κῆπον, ὃς μέρος ἐλάχιστον ἦν τῆς διαδοχικῶν. ὁ μὲν γὰρ κῆπος ἐγγύς τι χρυσῶν τριῶν νομισμάτων ἀπεδίδου. ἡ δὲ ὅλη πρόσοδος ὕστερον χιλίων, ἢ καὶ πλειόνων ὀλίγον. ηὐξήθη δὲ αὕτη κατὰ τοὺς νεωτέρους χρόνους, ἀνθρώπων ἱερῶν τε καὶ

cum Platonem in lucem edidiſſet, tum demum maritus cum ea concubuit. Natus eſt autem Æginæ, Olympiade LXXXVIII. poſt initia belli Peloponneſiaci: vixitque annos LXXXII. Obiit Olympiade CVIII. nuptiarum & coitus venerei prorſus expers. Dormiens autem vita exceſſit, poſtquam in feſto epulatus fuiſſet. Etiam alii poſt eum filii Ariſtoni nati ſunt, Adimantus, & Glaucus, & Potone filia. Prima literarum rudimenta a Dionyſio quodam didicit: in palæſtra vero ſe exercuit apud Ariſtonem Argivum. Deinde, cum artem poeticam didiciſſet, Dithyrambos & Tragœdias ſcripſit. His vero ſpretis, apud Socratem circiter annos xx. philoſophatus eſt. Et fertur Socrates, quo die Plato in diſciplinam ipſi traditus fuit, in ſomnis vidiſſe cygnum genibus ſuis inſidentem. Ariſtocles autem primo eſt dictus: ſed ob latitudinem pectoris Plato poſtea cognominatus eſt. Alii ob amplitudinem orationis Platonem dictum ajunt. Ter in Siciliam profectus eſt ad tyrannos Dionyſios. Venditum autem a tyranno Anniceris quidam Afer emit, & manumiſit. Docuit in Academia, ſcholamque ejus hi ordine exceperunt, Speuſippus, Xenocrates, Polemo, Crantor, Crates. Socratici autem fuerunt & hi, Arceſilaus, Lacydes, Evander Phocæenſis, Damon, Leonteus, Moſchion, Evander Athenienſis, Heseſinus, Carneades, Harmadas. Dialogi ejus genuini omnes ſunt LVI. quorum alii ſunt Phyſiologici; alii, Ethici; alii, Dialectici. *Reſpublica* ejus in libros x. dividitur: *Leges* vero in libros XII. Reliquæ Tetralogiæ ſunt novem.

Πλάτων. Plato Athenienſis, Comicus: qui fuit temporibus Ariſtophanis, Phrynichi, Eupolidis, & Pherecratis. Fabulæ ejus ſunt XXVIII. Adonis, Mulieres a ſacris redeuntes, Gryphes, Dædalus, Feſta, Græcia, vel Inſulæ, Europa, Jupiter afflictus, Io, Cleophon, Lajus, Lacones, vel Poetæ, Inquilini, Formicæ, Mammacuthus, Menelaus, Victoriæ, Nox longa, Xantæ, ſive Cercopes, Vehementer dolens, Poeta, Piſander, Senes, Puerulus, Sophiſtæ, Symmachia, Sceuæ, Syrphax, Hyperbolus, Phaon. Genere dicendi uſus eſt perſpicuo & claro, ut ait Athenæus in *Dipnoſophiſtis*. Platonis fabulæ etiam ſunt, Homicida, Una decipiens, Panegyriſtæ, & aliæ plurimæ.

Πλάτων. Plato philoſophus pauper fuit, & ſolum in Academia poſſedit hortum, qui fuit minima pars bonorum, quæ ſucceſſores ejus habuerunt. Ex horto enim trium circiter aureorum nummorum proventus quotannis redibat. Poſtea vero totus reditus mille, vel etiam plurium [aureorum nummorum] fuit:

1 Οἱ δὲ Σωκράτους] Duo MSS. Pariſ. Σωκρατίδαι. At unus Σωκρατίδαι.

2 Δράματα δὲ αὐτοῦ κη'] Imo plures Platonis Comici fabulæ fuerunt. Vide Meurſium in *Bibliotheca Attica*.

3 Ἀφιέρων] Lege, Αἱ ἀφ' ἱερῶν. Sic enim fabula hæc appellatur ab Heſychio, Polluce, & Athenæo. Vide Reineſ. *Var. Lect.* lib. III. cap. VII. pag. 470.

4 Περιαλγὴς] Sic rectius MSS. Pariſ. quam priores Editt. in quibus legitur Περίαλγος. Nam fabula hæc appellatur etiam Περιαλγὴς a Scholiaſta Ariſtophanis, & Athenæo.

5 Πλάτων ὁ φιλόσοφος π.] Totum hunc locum Suidas ex Damaſcio deſcripſit, ut patet ex Photio, apud quem in Excerptis ex Damaſcio pag. 1057. hæc omnia fere totidem verbis leguntur. Confer etiam Valeſium ad Euſeb. *Hiſt. Eccleſ.* lib. VII. cap. XXXII.

Φιλο-

φιλολόγων ἄλλοτε ἄλλων ἀποθνησκόντων, καὶ κατὰ διαθήκας ἀπολειπόντων τοῖς φιλοσοφοῦσιν ἀφορμὴν τῆς ἐπὶ τῷ φιλοσόφῳ βίῳ σχολῆς καὶ γαλήνης.

qui & ipſe poſterioribus ſeculis auctus eſt liberalitate hominum ſanctorum & eruditionis amantium, qui diverſis temporibus morientes, philoſophiæ ſtudioſis in teſtamentis relinquebant bona, quorum ope vitam philoſophicam quiete & tranquille agere poſſent.

Πλάτων[1] ἐν Νόμοις[2] φησὶν, ἐλευθέραν εἶναι τὴν ψυχὴν, καὶ δέσποιναν τῶν παθῶν. τὸ[3] μὲν νικᾶν αὐτὸν ἑαυτὸν, πασῶν νικῶν πρώτη, καὶ ἀρίστη· τὸ δὲ ἡττᾶσθαι αὐτὸν ὑφ' ἑαυτοῦ, αἴσχιστόν τε καὶ κάκιστον. ἴσμεν γὰρ, ὅτι τὰ πάθη ἐν ἡμῖν οἷον νεῦρα, ἢ μήρινθοί τινες ἐνοῦσαι, σπῶσί τε ἡμᾶς, καὶ ἀλλήλαις ἀνθέλκουσιν, ἐναντίαι γε οὖσαι, ἐπ' ἐναντίας πράξεις.[4] οὐ δὴ διωρισμένη ἀρετὴ καὶ κακία κεῖται. μιᾷ γάρ φησιν ὁ λόγος δεῖν τῶν[5] ἕλξεων ἑπόμενον ἀεὶ, καὶ μηδαμῇ ἀπολειπόμενον ἐκείνης, ἀνθέλκειν τοῖς ἄλλοις[6] νεύροις ἕκαστον. ταύτην δὲ εἶναι τὴν τοῦ λογισμοῦ ἀγωγήν. ἀπέδειξεν οὖν ὁ σοφὸς, ὡς τῇ βουλῇ τῆς ψυχῆς ἀπένειμε τὴν τῶν κρειττόνων καὶ χειρόνων[7] διαίρεσιν. ὁ αὐτὸς Πλάτων φησὶ θεολογῶν·[8] Τί τὸ ὂν μὲν ἀεὶ, γένεσιν δὲ οὐκ ἔχον; καὶ τί τὸ γινόμενον μὲν, ὂν δὲ οὐδέποτε; τὸ μὲν δὴ νοήσει τοῦ λόγου[9] περιληπτὸν ἀεὶ κατὰ τὸ αὐτὸ ὄν· τὸ δὲ αἰσθήσει ἀλόγῳ δοξαστὸν, γινόμενον μὲν, καὶ ἀπογινόμενον, ὄντως δὲ οὐδέποτε ὄν. ταῦτα δὲ πάντα μέρος χρόνου, τὸ ἦν, καὶ ἔσται· ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον οὐσίαν. οὐκ ὀρθῶς γὰρ λέγομεν δὴ, ὡς ἦν, ἔστι τε, καὶ ἔσται. τὸ δὲ Ἔστι μόνον κατὰ τὸν ἀληθινὸν λόγον προσήκει τῷ Θεῷ. τὸ δὲ Ἦν, καὶ Ἔσται, περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι. τὸ δὲ ἀεὶ κατὰ ταυτὸ ὂν ἀκινήτως, οὔτε νεώτερον, οὔτε πρεσβύτερον χρὴ λέγεσθαι. καὶ γὰρ τὸ ἀεὶ ὂν,[10] καὶ προὸν, γενέσεώς ἐστιν ἁπάσης ὑπέρτερον. τὸ δὲ γινόμενον, καὶ ἀλλοιώσεις πολλὰς ὑποδεχόμενον, εἰκότως ἔφησε μηδέποτε εἶναι. καὶ πάλιν ὁ αὐτὸς Πλάτων φησίν· Ἀγαθὸς μὲν ὁ Θεὸς τῷ ὄντι, καί γε λεκτέος αἴτιος τῶν ἀγαθῶν· τῶν δὲ κακῶν πάντων ἀναίτιος. ὁ αὐτὸς ἐν τοῖς Νόμοις δείκνυσιν ἡμῖν τὸν τῶν ὅλων πρύτανιν, τῶν τοῦ παντὸς οἰάκων ἐπειλημμένον, καί φησιν· Ὁ[11] μὲν δὴ Θεὸς ἀρχὴν, καὶ τελευτὴν, καὶ μέσα τῶν πάντων ἔχων, εὐθείᾳ περαίνει, κατὰ φύσιν περιπορευόμενος. τῷ δὲ ἀεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρὸς, ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς, καὶ κεκοσμημένος. εἰ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος, ἢ τιμαῖς, καὶ σωμάτων εὐμορφίαις, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται μεθ' ὑ-

Πλάτων. Plato in *Legibus* dicit, animam eſſe liberam, & dominam affectionum: & ſe ipſum vincere, omnium victoriarum primam & optimam eſſe; vinci vero a ſe ipſo, turpiſſimum & peſſimum. Scimus enim affectiones, quæ ſunt in nobis tanquam nervi vel funes, nos attrahere, &, cum inter ſe ſint contrariæ, nos ad contrarias actiones retrahere: in quo virtus & vitium diſtinguuntur. Nam ratio dicit, oportere ſemper unumquemque unam tantum attractionem ſequi, nuſquam ab eo recedentem: reliquis vero nervis reniti. Hanc autem eſſe rationis ductum. Oſtendit igitur ſapiens ille, ſe conſilio animæ meliorum & deteriorum optionem & delectum attribuiſſe. Idem Plato de rebus divinis verba faciens, ſic ait: *Quid eſt, quod ſemper quidem eſt, ortum vero non habet? Et, quid eſt, quod ſit quidem, nunquam tamen eſt? Horum duorum alterum intelligentia rationis comprehendi poteſt, ſemper eodem modo ſe habens: alterum vero, ſenſu bruto opinabile, oritur quidem, & occidit, ſed revera nunquam eſt. Hæc autem omnia pars ſunt temporis*, Fuit *& Erit: quæ per imprudentiam ad æternam eſſentiam referimus. Nec enim recte dicimus, [Deum] fuiſſe, & eſſe, & fore. Nam* τὸ *Eſt vera ratione Deo tantum convenit. At* τὸ *Fuit, & Erit, de ortu, qui eſt in tempore, dici convenit. Quod vero ſemper eodem modo immobiliter ſe habet, neque recentius, neque vetuſtius eſt dicendum. Quod enim ſemper eſt, & ante eſt, omni ortu eſt ſuperius. Id vero, quod oritur, & multas alterationes recipit, merito nunquam eſſe dixit.* Idem Plato alibi ait: *Bonus eſt Deus, omniumque bonorum cauſa ipſe dicendus, at nullius mali auctor.* Idem in *Legibus* oſtendit nobis rerum omnium rectorem, mundi totius gubernacula tenentem, ſic inquiens: *Deus enim initium, & finem, & medium rerum omnium habens, recta progreditur, ſecundum naturam circumiens. Illum vero ſemper comitatur Juſtitia, illorum, qui divinam legem deſeruerant, vindex; cui, qui beatus eſſe vult, adhæret, eamque comitatur humilis & modeſtus. Si quis vero jactantia elatus, & inflatus opibus, vel honoribus, & corporis pulchritudine; & ſi-*

1 *Πλάτων ἐν Νόμοις φ.*] In hoc articulo verſionem Porti magna ex parte retinui, non quod ea mihi placeret, ſed quia omnia de integro vertere per temporis anguſtias non licebat. Quare Lector mihi ignoſcet. Cæterum, quæ Suidas hic habet, magna ex parte etiam leguntur apud Cedrenum, pag. 159. 160. ut ſatis appareat, utrumque ex eodem auctore ſua ſumpſiſſe.

2 Ἐν Νόμοις φησίν] *Legum* lib. I.

3 Τὸ μὲν νικᾶν αὐτὸν ἑαυτὸν ———— τὴν τοῦ λογισμοῦ ἀγωγήν] Hæc omnia etiam leguntur apud Euſebium *de Præp. Euang.* lib. XII. cap. XVII.

4 Οὐ δὴ] Legendum puto, οὗ δὴ, vel, ἐν ᾧ δὴ.

5 Ἕλξεων] Sic MS. Pariſ. A. cujus loco in reliquis MSS. legitur λέξεων; at in prioribus Editt. ἕξεων. Sed ἕλξεων eſſe veram lectionem, ex iis, quæ præcedunt, ſatis patet.

6 Νεύροις] Sic recte Plato & Euſebius. At priores Editt. male, μέτροις.

7 Διαίρεσιν] Scribendum eſt αἵρεσιν, ut & Wolfius recte conjecerat.

8 Τί τὸ ὂν μὲν ἀεὶ ———— οὔτε πρεσβύτερον χρὴ λέγεσθαι] Hæc omnia ex Platone etiam repetunt Euſeb. de *Præp. Euang.* lib. XI. cap. IX. & Theodoretus *Therap.* II. pag. 491.

9 Περιληπτὸν] Quædam Editt. antea male habebant, περιβλεπτόν.

10 Καὶ προὸν] Has duas voces, ut ſupervacaneas, delendas puto. Non enim eas agnoſcit Theodoretus loco laudato.

11 Ὁ μὲν δὴ Θεὸς ἀρχ. ———— ἄρδην ἀνάστατον ἐποίησε] Hæc leguntur apud Platonem lib. IV. *de Leg.* pag. 600. quæ ex parte etiam ex eo repetit Cedrenus, pag. 159.

βερίως, ὡς δὴ οὔτ' ἄρχοντος, οὔτ' αὖ ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ἂν ἡγεῖσθαι, καταλείπεται ἔρημος Θεοῦ. καταλειφθεὶς δὲ, καὶ ἔτι τοιούτους ἄλλους λαβὼν, σκιρτᾷ ταράττων πάντα, ἅμα καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις. μετὰ δὲ χρόνον ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε, καὶ οἶκον, καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε. διὰ τούτων ὁ Φιλόσοφος καὶ τὸν τοῦ παντὸς ἔδειξε κηδεμόνα, καὶ τὴν ἐπί τινων μακροθυμίαν, καὶ τὴν ἐντεῦθεν τοῖς ἀνοήτοις προσγινομένην λώβην, καὶ τὴν ἐς ὕστερον ἐπιφερομένην αὐτοῖς πανωλεθρίαν. ὁ αὐτὸς ἐν [1] τῷ Γοργίᾳ τῆς τιμωρίας δηλοῖ τὰς αἰτίας, λέγων ὡδί· Προσήκει δὲ παντὶ τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς τιμωρουμένῳ, ἢ βελτίονι γενέσθαι, καί τι τῷ ὄντι ὀνίνασθαι, ἢ παράδειγμα ἄλλοις γίγνεσθαι· ἵν' ἐκεῖνοι ὁρῶντες πάσχοντα, ἃ πάσχει, φοβούμενοι, βελτίους γίγνωνται. εἰσὶ δὲ οἱ ὠφελούμενοι μὲν, καὶ δίκην διδόντες ὑπὸ Θεοῦ καὶ ἀνθρώπων, οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμαρτάνωσιν. ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίνεται αὐτοῖς ὠφέλεια, κἀνθένδε, καὶ ἐν ᾅδου. οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι πάμπαν γίγνωνται, ἐκ τούτων τὰ παραδείγματα γίνονται. καὶ οὗτοι μὲν οὐκέτι ὀνίνανται οὐδὲν, ἅτε ἀνίατοι ὄντες· ἄλλοι δὲ ὀνίνανται, οἱ τούτους ὁρῶντες διὰ τὰς τοιαύτας ἁμαρτίας ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας, καὶ τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ἀνηρτημένους. ταῦτα ἔοικε σεσυληκέναι ἐκ τῶν θείων γραφῶν, διὰ Μωσέως ὑπὸ τοῦ Θεοῦ πρὸς τὸν Φαραὼ λεχθέντα· Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου· ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ. παμπονήρῳ γὰρ γεγενημένῳ ἐκείνῳ παντοδαπὰς κολάσεις ἐπήνεγκεν ὁ Θεός· οὐχ ὥστε ἀποφῆναι βελτίονα, (ᾔδει γὰρ αὐτοῦ καὶ τὸν νοῦν ἀντίτυπον, καὶ τὸ πάθος ἀνήκεστον) ἀλλ' ὅπως τὰ περὶ ἐκείνου διηγήματα πᾶσιν ὠφελείας γένωνται παραδείγματα. καθάπερ αἱ πόλεις τρέφουσι τοὺς δημίους, οὐκ ἐπαινοῦσαι μὲν αὐτῶν τὴν προαίρεσιν, ἀνεχόμεναι δὲ τῆς τούτων ὑπηρεσίας διὰ τὴν χρείαν· καὶ τὰ λοιπὰ δῆλα. ὁ αὐτὸς [2] περὶ τῆς λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν ἐν τῷ Φαίδωνί φησιν· Ὁ [3] μὲν ἀτέλεστος καὶ ἀκάθαρτος, εἰς ᾅδου ἀφικόμενος, ἐν βορβόρῳ κείσεται· ὁ δὲ τετελεσμένος, καὶ κεκαθαρμένος, ἐκεῖ μεταχωρήσας, μετὰ Θεῶν οἰκήσει. καὶ αὖθις· Τὸν μὲν γὰρ δικαίως τὸν βίον διεληλυθότα, καὶ ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους οἰκεῖν, ἐν πάσῃ εὐδαιμονίᾳ, κακῶν ἐκτός. τὸν δὲ ἀδίκως καὶ ἀθέως, εἰς τὸ κρίσεώς τε καὶ δίκης δεσμωτήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι. ταῦτα ἐκ τῶν Αἰγυπτίων μεμάθηκε.

Πλάτωνος. καὶ Πλατώνειος λόγος. ὁ τοῦ Πλάτωνος.

mul juvenili quadam amentia & inſolentia abreptus, ita ſe gerat, quaſi nec principe nec duce indigeat, ſed ipſe aliorum dux eſſe queat; is derelinquitur a Deo. Derelictus autem, & alios præterea nactus, ruit perturbans omnia, & multis videtur aliquid eſſe. Poſtea vero pœnas non reprehendendas Juſtitiæ dans, & ſe & familiam & urbem funditus evertit. Per hæc Philoſophus etiam univerſitatis hujus moderatorem oſtendit, & patientiam ejus, qua nonnullorum peccata tolerat, & malum ad ſtultos inde redundans, & exitium ipſos poſtea excipiens. Idem in *Gorgia* pœnæ cauſas explicat his verbis: *Convenit autem omni, qui pœnam patitur, & ab alio recte punitur, aut meliorem fieri, & aliquem fructum ex pœna percipere; aut exemplo aliis eſſe, ut illi videntes ipſum ea perpetientem, quæ patitur, earum pœnarum metu meliores fiant. Quibus vero pœnæ, quas Deo & hominibus dant, proſunt, hi ſunt illi, qui ſanabilia peccata peccarunt: ſed tamen per dolores & cruciatus utilitas ad eos pervenit, & hic, & apud Inferos. Haud enim fieri poteſt ut aliter ab injuſtitia recedant. Qui vero extrema peccata commiſerunt, & propter hujuſmodi injuſta facinora prorſus inſanabiles ſunt; illi exempla fiunt aliis: nec ipſi meliores unquam evadunt, quippe qui ſint inſanabiles. Alii vero utilitatem capiunt [ex illorum exemplo,] qui vident iſtos propter talia peccata dolores acerbiſſimos & atrociſſimos perpeti, & in æternum tempus cæteris mortalibus exempli loco propoſitos eſſe.* Hæc Plato ex libris ſacris ſumpſiſſe videtur, in quibus Deus per Moſem ad Pharaonem dicit: *Ad hoc ipſum excitavi te, ut in te meam potentiam oſtendam; ut meum nomen per omnem terram celebretur.* Illi enim, qui improbiſſimus erat, omnigenas pœnas Deus intulit: non ut meliorem eum redderet, (noverat enim ipſius & animum refractarium, & malum immedicabile) ſed ut hiſtoria ejus aliis documento eſſet. Quemadmodum urbes alunt carnifices, non quidem probantes ipſorum inſtitutum, ſed miniſterium propter neceſſitatem tolerantes: & reliqua ſunt clara. Idem de ſtatu & conditione animarum poſt hanc vitam in *Phædone* ſic ait: *Profanus & impurus, quum ad Inferos pervenerit, in cœno jacebit: initiatus vero, & purus, quum eo migrarit, cum Diis deget.* Et alibi, illum, qui juſte ſanctéque vitam tranſegerit, poſt mortem in Beatorum inſulis omni beatitudine gaudentem, malorumque expertem habitare dicit. Illum vero, qui injuſte & impie vixerit, in Judicii & pœnarum carcerem, quem Tartarum vocant, deſcendere. Hæc ab Ægyptiis didicit.

Πλάτωνος. Platonis. [Genitivus.] Et Πλατώνειος λόγος, oratio Platonis.

1 Ἐν τῷ Γοργίᾳ] Pag. 313.

2 Περὶ τῆς λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν] Portus locum hunc ſic verterat, *de ſortitionibus & collationibus animarum.* Nos ineptiis illis valere juſſis, verum ſenſum in verſione expreſſimus.

3 Ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος ἐν βορβόρῳ κ.] Vide Meurſ. *Eleuſin.* cap. XVIII.

Πλατυγίζει. τοῖς πτεροῖς κρούει. [1]Πλατυγίζῃ καὶ θαλαττοκοπεῖς. ἄμφω μεγαλοῤῥημοσύνης ῥήματα. ἀντὶ τοῦ, πλαδιᾷς, καὶ ἀλαζονεύῃ. ἀπὸ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει, καὶ τύπτον τὸ ὕδωρ τῇ εἰρεσίᾳ κτύπον ἀπεργάζεται, ἡ μεταφορά. κυρίως δὲ πλατυγίζειν ἐστὶ, τὸ ἐπιτιθέναι τὸ πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ, καὶ παίειν τῇ δεξιᾷ, καὶ ἦχον ἀποτελεῖν.

Πλατύνω. αἰτιατικῇ. Πλάτυνον τὸ στόμα σου. δοτικῇ δέ· [2]Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ.

Πλατύπιλος. [3] κυνῆ Θετταλίς. περὶ πίλου λέγει.

Πλαίσιον. [4] τετράγωνος τάξις στρατεύματος. καὶ τὸ ἐκ ξύλων τετραγώνων πῆγμα· ὅ τινες πλινθίον καλοῦσιν, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλαίσια [5] σύμπηκτα. τὰ τῶν ξύλων τετράγωνα, ὥσπερ πλινθία, ἐν οἷς πλινθεύουσι σύμμικτα πρὸς οὐδὲν, ἀλλ' οἷον περιττὰ, καὶ σοφά.

Πλέα. πλήρης. πεπληρωμένη.

Ταύτην μὲν ἄν τις εὐθὺς ἡσθείη λαβών.

περὶ κύλικός φησιν· ἐπεὶ μεγάλη ἦν, καὶ πλέα.

Πλέας. πλείους. πεπληρωμένας.

Πλέθρα. μέτρα γῆς. ἤγουν αἱ [6] ἄρουραι. ἢ τοὺς διύγρους τόπους καὶ βοτανώδεις φασίν. ἔχει δὲ τὸ πλέθρον [7] πήχεις ξη. διμοιρον.

Πλέθρον. τὸ τοῦ σταδίου ἕκτον μέρος, [8] ὅπερ ἐστὶ πηχῶν ξη. ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. ἢ πανταχόθεν ἔχον πόδας λη. καὶ πλεθριαῖον διάστημα. ἔχει δὲ τὸ πλέθρον πόδας ρ. [9] Ξενοφῶν φησι, πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι, ἢ καὶ μείζονας σταδίου· πηχῶν υ. † Ἐξέδωκεν ἡ πόλις Ἀθηναίων τὰς θυγατέρας Ἀριστείδου· καὶ Λυσιμάχῳ τῷ παιδὶ δύο δραχμὰς τῆς ἡμέρας ἔδωκε, καὶ γῆς πεφυτευμένης ἐδωρήσατο [10] ὀκτὼ πλέθρα· χερσίμης ἑκατόν.

Πλέκος. τὸ πλέγμα. τὸ πεπλεγμένον σπυρί-

Πλατυγίζει. Alis verberat, vel alas quatit. *Quid ſtrepitas & inania crepas?* Utrumque verbum ſonorum eſt, & magniloquentiæ aptum. Senſus autem eſt, Quid magnificis verbis te jactas? Metaphora ducta eſt a latiore remi parte, quæ aquam maris inter remigandum verberans, ſtrepitum edit. Proprie vero Πλατυγίζειν ſignificat, platagonium ſiniſtræ manui impoſitum dextra ferire, & ſic ſtrepitum edere.

Πλατύνω. Accuſativo jungitur. Dilato. *Dilata os tuum.* Item, dativo: *Dilatet Deus Japheto* [*poſteritatem.*]

Πλατύπιλος. Latus pileus. Sive, galerus Theſſalicus.

Πλαίσιον. Acies quadrata, a quibuſdam etiam πλινθίον, i. e. *laterculus*, dicta: quando milites ad omnia latera ita collocantur, ut longitudo ſuperet latitudinem. Item, pegma quadratum, ex ligno confectum.

Πλαίσια σύμπηκτα. Ligna quadrata compacta, & laterculi formam habentia.

Πλέα. Plena. Repleta. Referta. *Hoc accepto ſtatim aliquis lætetur.* De calice loquitur. Magnus is enim erat, & plenus.

Πλέας. Plures. Plenas.

Πλέθρα. Menſuræ terræ. Plethra. Vel, humida & herboſa loca ſic appellantur. Plethrum autem continet cubitos LXVIII. & duos trientes.

Πλέθρον. Plethrum, ſive ſtadii ſexta pars; quæ eſt cubitorum LXVIII. (Integrum enim ſtadium continet cubitos CDVIII.) quoquoverſum habens pedes XXXVIII. Et πλεθριαῖον διάστ. Intervallum, vel ſpatium plethri. Plethrum autem habet pedes C. Xenophon ait, palmas magnitudine jugeri Babylone naſci, vel etiam majores ſtadio, i. e. cubitis CD. † *Civitas Athenienſium Ariſtidis filias elocavit, & Lyſimacho ejus filio binas drachmas in ſingulos dies dedit, & agri arboribus conſiti octo jugera; arvi vero, centum.*

Πλέκος. Vas ex viminibus, vel alia mate-

1 Πλατυγίζῃ καὶ θαλαττοκοπ.] Ariſtophanes *Equit.* pag. 338. (237. Ed. Baſ. P.)

Τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις;

Sic etiam apud Suidam ſcribendum eſt. Conſule Scholia ad illum locum, in quibus pro ῥήματα legitur διήγματα. & προσερείδεται pro προσερείδει. Confer etiam Noſtrum ſupra v. Μετεωροκοπεῖς.

2 Πλατύναι ὁ Θεὸς τῷ Ἰάφ.] *Geneſ.* IX. 27.

3 Πλατύπιλος. κυνῆ Θεσσ.] Nota hæc inverſa eſt. Nam vox πλατύπιλος, quæ hic gloſſæ locum obtinet, interpretatio eſt τῆς κυνῆ Θεσσαλὶς, apud Scholiaſtam Sophoclis ad *Oedip. Colon.* pag. 282. unde hæc Suidas ſumpſit. Confer nos ſupra ad v. Περιβαλλεῖν, ubi ſimilem compilatoris ἀκρισίαν redarguimus.

Πολύστρατος. Polyſtratus. Hic accuſatus, quod Mercurii ſtatuas mutilaſſet, ab Athenienſibus occiſus eſt; cujus meminit Lyſias. Alius vero eſt ille, pro quo idem Lyſias orationem ſcripſit. Alius etiam fuerit ille, cujus meminit Demoſthenes in *Philippicis*, quem aliquando peregrinum exercitum Corinthi aluiſſe dicit. Sed vide, ne forte illic ſcribendum ſit Polytropus, pro Polyſtratus. Didymus enim ait, ſe apud neminem reperiſſe Polyſtratum fuiſſe ducem exercitus peregrini, [quem aluerit] Corinthi. Polytropum vero dicit Athenienſem fuiſſe. *Port.*

1 Πολυπίδακα] Homer. Il. Θ. v. 47.

2 Ὁ σπουδαῖος οὐκ ἔστι πολυπράγμων. τοῦτο βουλ.] Hæc, & quæ ſequuntur, ſumpta ſunt ex Alex. Aphrod. in lib. II. *Topic.* pag. 84.

3 Πολυπτύχου] Eſt epithetum montis Olympi apud Homerum Il. Θ. v. 411. & alibi.

4 Ἀποκλείσεις] Potius, ἀποκλίσεις, per ι: ab ἀποκλίνω. Scholiaſta enim Homeri & Heſychius in exponenda voce πολυπτύχου adhibent vocabulum ἀποκλίμασι; quod ejuſdem eſt ſignificationis ac originis cum voce ἀποκλίσεις.

5 Πολυποίτης] Erat filius Pirithoi: cujus meminit Homerus Il. M. v. 182. & alibi.

6 Πολύρρηνες] Eſt vox Homerica Il. I. v. 154.

7 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. VIII. Epigr. X. ut Portus monuit.

8 Πολυσπερέας] Voce hac uſus eſt Homerus Odyſſ. Λ. v. 364.

9 Πολύστρατος. οὗτος αἰτίαν ἔχων τοὺς Ἑρμ.] Ex Harpocratione: ad quem vide Mauſſacum.

Π Ο

Πολυσχιδής. πολυμερής. καὶ [1] πολυσχιδῆ ζῶα, ἄνθρωπος, κύων, λέων, καὶ εἴ τι ἄλλο, οἷς συμβέβηκε πολυτοκεῖν.

Πολυτελές. δαπανηρόν. Θουκυδίδης· Τὸ γὰρ ἔχειν αὐτοὺς περὶ τὸν ἐκ Δεκελείας πόλεμον, πολυτελὲς ἐφαίνετο. καὶ [2] πολυτελέσι, πολυδαπάνοις. τέλος γάρ, τὸ δαπάνημα. καὶ πολυτέλεια.

Πολυτελῆ. τὰ πολυδάπανα. ὡς ἀτελῆ, τὰ ἀδάπανα.

Πολυτιμητιζόμενος. θεραπευόμενος.

Πολυτίμητος· Ἐξέκλεψαν τοὺς ὑπομνηματισμούς, οὓς ὁ πολυτίμητος Ἡρακλείδης ἧκεν ἔχων. ὁ πολυτιμώρητος.

Πολύτλας. πολλὰ ὑπομείνας.

Πολυφασίας. πολυλογίας.

Πολυφλοίσβοιο. [3] πολυταράχου.

Πολυφόρβη [4] γῆ. ἡ πολλοὺς τρέφουσα.

Πολυφόρῳ. [5] Ἀριστοφάνης·

Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι.

ἀντὶ τοῦ, πολλά μοι κακὰ ὑφ' ἕνα καιρὸν φέροντι. ἢ ποικίλῳ. ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου τοῦ οἴνου. τουτέστιν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. πολυφόρον γὰρ ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον· ὀλιγοφόρον δέ, τὸν ὀλίγην. ἢ μεταφορικῶς ἀπὸ [6] τῶν ἀνθέων τῶν δένδρων.

Πολυφραδέστερον. συνετὸν ἐν λόγοις.

Πολύφρονος.

Πολύχουν. πολυφόρητον. ἢ πολυειδῆ.

Πολύχους. πεπληθυσμένος. [7] Ὁ δὲ Εὐνόμιος ὀλιγομαθῶς μὲν εἶχε περὶ τὰ μαθήματα· πολύχους δὲ ἦν περὶ τὴν λέξιν, καὶ τὰ αὐτὰ στρέφων ἀεί, καὶ μὴ δυνάμενος περιγενέσθαι τοῦ προτεθέντος σκοποῦ· ὡς δεικνύουσιν οἱ τέσσαρες τόμοι, οὓς ἐματαιοπόνησεν εἰς [8] τὰς ἐπιστολάς. πολλοὺς γὰρ λόγους ἐς αὐτὰς ἀναλώσας, τῶν ἐπιστολῶν τὸν σκοπὸν ἑλεῖν οὐ δεδύνηται.

Πόμα [9] κεκραμένον δύο καὶ τρία. τρία μέρη ὕδατος ἐπιδεχόμενον, οἴνου δὲ δύο. ἀρίστη κρᾶσις, οἴνου δύο μέρη, καὶ ὕδατος τρία. [10] Ἀριστοφάνης· Ἔχε πιεῖν κεκραμένον τρία καὶ δύο. ἡ Τριτογενὴς αὐτὸν ἐνετριτώνισε. βούλεται δὲ εἰπεῖν, ὅτι ἡ Ἀθηνᾶ τοιοῦτον αὐτὸν ἐποίησεν, ὡς δύνασθαι τρία μέρη φέρειν ὕδατος.

Πολυσχιδής. Multifidus. In multas partes fiſſus. Et animalia multifida ſunt, homo, canis, leo, & ſi quod aliud plures fœtus parit.

Πολυτελές. Sumptuoſum. Thucydides: *Ipſos enim ad bellum Deceliacum adhibere, ſumptuoſum videbatur.* Et πολυτελέσι, ſumptuoſis. Τέλος enim eſt ſumptus. Et πολυτέλεια, luxus, magnificentia.

Πολυτελῆ. Sumptuoſa. Ut ἀτελῆ, quæ non ſunt ſumptuoſa.

Πολυτιμητιζόμενος. Qui a multis honoratur, vel colitur.

Πολυτίμητος. Valde honoratus. Pretioſus. *Tractabant commentarios, quos honoratiſſimus Heraclides ſecum attulerat.* Vel ſignificat idem quod πολυτιμώρητος, i. e. qui multis pœnis plectitur.

Πολύτλας. Multa paſſus. Qui multa tulit.

Πολυφασίας. Multiloquia.

Πολυφλοίσβοιο. Multũ ſtrepentis. Multiſtrepi.

Πολυφόρβη. Multos alens. Epithetum terræ.

Πολυφόρῳ. Ariſtophanes: *Tam multiplici premor infortunio.* Πολυφόρῳ hic ſignificat, multa mala ſimul & eodem tempore invehente: vel, vario. Vel metaphora ducta eſt a vino forti, quod multum aquæ pati poteſt. Quaſi dicat, fato mere malo, & ad vexandum forti. Πολυφόρον enim vocabant vinum forte, ſive, quod multum aquæ ferre poteſt: at ὀλιγοφόρον, quod non niſi parum aquæ ferre poteſt. Vel, metaphora ducta eſt ab arboribus multos flores ferentibus.

Πολυφραδέστερον. Diſertiorem. Eloquentiorem.

Πολύφρονος. Valde prudentis.

Πολύχουν. Copioſum. Copioſe fundentem. Vel, multiplicem, & varium.

Πολύχους. Copioſus. Copia abundans. Dives. *Eunomius vero literarum parum quidem peritus erat, ſed verborum copia abundabat: eademque aſſidue repetens, nunquam propoſitum ſibi ſcopum attingere valuit: ſicut manifeſte declarant libri ſeptem, quos in epiſtolam Pauli ad Romanos incaſſum elaboravit. Quamvis enim in ejus interpretatione multa conſumpſerit verba, ſcopum tamen nullatenus attingere potuit.*

Πόμα κεκρ. Potio ita temperata, ut tribus partibus aquæ tres vini admixtæ ſint: quæ eſt optima temperandi ratio. Ariſtophanes: *Bibe potionem hanc, quæ tribus partibus aquæ & duabus vini conſtat. Ipſa enim Tritogenia eam temperavit.* Significare vult, Minervam tale vinum feciſſe, quod tres aquæ partes ferre poſſit.

1 Πολυσχιδῆ ζῶα] Confer Ariſtot. *Hiſt. Anim.* lib. II. cap. I.
2 Καὶ πολυτελέσι, πολυδαπ.] Ex Scholiaſta Thucydidis, ad lib. I. cap. I.
3 Πολυφλοίσβοιο] Homerus Il. A. v. 34. & alibi.
4 Πολυφόρβη γῆ, ἡ πολ.] Ex Scholiaſta Homeri ad Il. Ι. v. 564.
5 Ἀριστοφάνης] *Pluto*, pag. 86. (42. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam, cujus verba Suidas hic deſcripſit.
6 Ἀπὸ τῶν ἀνθέων τῶν δ.] Scholiaſta Ariſtophanis rectius, ἀπὸ πολυανθῶν δένδρων.
7 Ὁ δὲ Εὐνόμιος ὀλιγομαθῶς μὲν εἶχε π.] Hæc ſumpta ſunt ex Socratis *Hiſt. Eccleſ.* l. IV. c. VII. eademque leguntur ſupra v. Εὐνόμιος.
8 Εἰς τὰς ἐπιστολάς] Socrates habet, εἰς τὴν πρὸς Ῥωμαίους τοῦ Ἀποστόλου ἐπιστολήν. Et ſic apud Suidam ſcribendum eſt.
9 Πόμα κεκραμένον δύο καὶ τρία. τρία μέρη ὕδ.] Ex Enarratore Comici ad *Equit.* pag. 356. (151. Ed. Baſ. *P.*) Confer Noſtrum ſupra v. Κεκραμένον, & Brodæum ad Antholog. Epigram. lib. II. pag. 264.
10 Ἀριστοφάνης] *Equit.* pag. 355. ubi ſic legitur:

Ἔχε καὶ πιεῖν κεκραμένον τρία καὶ δύο.
Ὡς ἡδύς, ὦ Ζεῦ, καὶ τὰ τρία φέρων καλῶς.
Ἡ Τριτογενὴς γὰρ αὐτὸν ἐνετριτώνισεν.

Sic etiam apud Suidam ſcribendum eſt.

Πομα-

Πομαπίας. ὁ κοχλίας.

Πομπαῖος.[1] ὁ ἀπὸ τῶν γηΐνων εἰς τὰ οὐράνια πέμπων. καὶ Πομπαῖος Ἑρμῆς, ὁ τὰς ψυχὰς εἰς τὸν ᾅδην καταπέμπων τε, καὶ παραπέμπων.

Πομπεύει. ὡς νενικηκὼς μεγαληγορεῖ.

Πομπεία. λοιδορία. καὶ οἱ δικανικοὶ χρῶνται τῷ ὀνόματι. [2] λέγεται πομπεῖα, καὶ τὰ εἰς πομπὰς κατασκευαζόμενα σκεύη, ὡς ὁ αὐτὸς ῥήτωρ ἐν τοῖς κατ' Ἀνδροτίωνος ὑποσημαίνει. Φιλόχορος δὲ φησιν, ὡς πρότερον ἐχρῶντο οἱ Ἀθηναῖοι τοῖς ἐκ τῆς οὐσίας τῶν τριάκοντα κατασκευασθεῖσιν. ὀψὲ δὲ καὶ Ἀνδροτίων ἄλλα κατεσκεύασε.

Πομπείας,[3] καὶ πομπεύειν. ἀντὶ τοῦ λοιδορίας, καὶ λοιδορεῖν. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. ἡ μεταφορὰ ἀπὸ τῶν ἐν ταῖς Διονυσιακαῖς πομπαῖς ἐπὶ τῶν ἁμαξῶν λοιδορουμένων ἀλλήλοις. Μένανδρος δὲ Περινθίᾳ·

Ἐπὶ τῶν ἁμαξῶν εἰσὶ πομπεῖαί τινες
Σφόδρα λοίδοροι.

Πομπήϊος. Ὅτι Πομπήϊος ὁ Μέγας ἐπικληθεὶς, ὕπατος καὶ στρατηγὸς Ῥωμαίων, τὸν πρὸς Μιθριδάτην καὶ Τιγράνην πόλεμον ἀνεδέξατο. καὶ τὸν μὲν Μιθριδάτην καὶ τὴν μικρὰν Ἀρμενίαν νυκτομαχίᾳ κατηγωνίσατο· ὡς τὸ στρατόπεδον αὐτοῦ διαρπάσαι, καὶ τρεῖς μυριάδας ὁπλιτῶν καταβαλεῖν. ὁ οὖν Μιθριδάτης γυμνωθεὶς παντάπασι τῆς δυνάμεως, διαφεύγειν ἀγαπητῶς ἅμα τῇ γαμετῇ καὶ δύο τισὶν ἀκολούθοις ἱκανὸς γέγονεν. εἶτα καταστασιασθεὶς ὑπὸ τοῦ παιδὸς Φαρνάκου παρὰ τοῖς οἰκείοις στρατιώταις, καὶ πρὸς θάνατον ἀναγκαῖον ἐλαθεὶς, φάρμακον δηλητήριον ἐκπιὼν τελευτᾷ περὶ τὸν Βόσπορον. ὁ δὲ παῖς αὐτοῦ Φαρνάκης γίνεται διάδοχος τῆς ἀρχῆς. ὁ δὲ Πομπήϊος ἐπὶ Τιγράνην ἄγει τὴν στρατιάν. ὁ δὲ Ἀρμένιος διὰ μάχης ἐλθεῖν τοῖς Ῥωμαίοις οὐ λυσιτελὲς ἡγησάμενος, ἐνδιδοὺς ἑαυτὸν ἀφίκετο πρὸς Πομπήϊον. καὶ πρὸς τοῖς γόνασιν αὐτοῦ πεσὼν, καὶ τὸ διάδημα τῆς κεφαλῆς ἀνελόμενος, ἐν ταῖς ἐκείνου χερσὶ κατέθετο. οἷς δὴ καμφθεὶς ὁ Πομπήϊος, ἀνίστησί τε αὐτὸν, καὶ τὸ διάδημα πάλιν ἀποδίδωσιν, αὐτὸς τῇ τοῦ Ἀρμενίου τοῦτο περιθεὶς κεφαλῇ, τά τε ἄλλα διὰ τιμῆς τὸν ἄνδρα ἦγεν. ἀφαιρέσει δὲ ὅμως μέρους τινὸς τῆς ἀρχῆς, καὶ χρήμασι πολλοῖς ἐζημίωσε τὸν Ἀρμένιον. Συρίαν τε γὰρ καὶ Φοινίκην ἀπετέμετο, καὶ πεντακισχίλια τάλαντα [4] ἀργυρίου τῷ Ῥωμαίων δικαίῳ, ἅτε χειρῶν ἀδίκων ἀρξάμενον, προσηνάγκασε. μετὰ ταῦτα Ἀλβανοὺς ὑπέταξε, καὶ τὸν βασιλέα τῶν Ἰβήρων Ἀρσάκην φεύγειν ἠνάγκασε, καὶ τὴν μικρὰν Ἀρμενίαν Δηϊοτάρῳ τῷ δυνάστῃ τῆς Γαλατίας ἐδωρήσατο· Ἄτταλόν τε, καὶ Πυλαιμένεα ἐπὶ τὴν οἰκείαν ἀρχὴν τῆς Παφλαγονίας

1 Πομπαῖος.] Eſt epithetum Mercurii. Sophocles *Ajace*, pag. 50.

——————Καλῶ δ' ἅμα
Πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι.

Scholiaſta ibi πομπαῖον exponit, ψυχοπομπόν. Laertius in *Pythagora*, ſegm. XXXI. Τὸν δὲ Ἑρμῆν ταμίαν εἶναι τῶν ψυχῶν· καὶ διὰ τοῦτο Πομπέα λέγεσθαι, καὶ Πυλαῖον, καὶ Χθόνιον, ἐπειδήπερ οὗτος εἰσπέμπει ἀπὸ τῶν σωμάτων τὰς ψυχὰς, ἀπό τε γῆς, καὶ ἐκ θαλάττης.

2 Λέγεται πομπεῖα, καὶ τὰ εἰς π.] Ex Harpocratione.

3 Πομπείας. καὶ πομπ.] Et hæc ex Harpocratione ſumpta ſunt.

4 Ἀργυρίου τῷ Ῥωμαίων δικαίῳ] Wolfius locum hunc ſic legit: Ἀργυρίου καταβαλεῖν τῷ Ῥωμαίων δήμῳ. Hanc conjecturam probo.

Πομαπίας. Cochlea.

Πομπαῖος. [Ductor. Deductor. Sive,] qui à terreſtribus ad cæleſtia [animas] deducit. Et Mercurius dicitur Πομπαῖος, quod animas mortuorum ad Orcum mittat & deducat.

Πομπεύει. Tanquam victor magnifice loquitur. Se oſtentat.

Πομπεία. Convitium. Hoc nomine & cauſidici utuntur. At πομπεῖα, [in plurali,] dicuntur vaſa ad uſum pomparum comparata; quemadmodum idem orator in oratione contra Androtionem indicat. Philochorus vero dicit, Athenienſes prius ad ſolennia pomparum uſos fuiſſe vaſis, quæ ex ſupellectile xxx. Tyrannorum confecta fuerint. Poſtea vero Androtionem alia feciſſe.

Πομπείας. Convitia. Et Πομπεύειν, convitiari. Demoſthenes in oratione pro Cteſiphonte. Metaphora ducta eſt ab illis, qui in pompis Bacchi curru vecti ſe mutuis conviciis inſectabantur. Et Menander *Perinthia: In curribus ſunt quidam, qui acerbis admodum maledictis alios inſectantur.*

Πομπήϊος. Pompeius, cognomento Magnus, Conſul & Imperator Romanorum, bellum adverſus Mithridatem & Tigranem ſuſcepit. Ac Mithridatem quidem in minore Armenia nocturno prælio devicit, ut & ejus caſtra diriperet, & triginta millia hominum armatorum proſterneret. Mithridates igitur copiis omnino nudatus præclare ſecum agi putavit, quod cum uxore & duobus pediſſequis effugere potuiſſet. Deinde ſeditione Pharnacis filii apud ſuos milites oppreſſus, & ad neceſſariam mortem compulſus, hauſto veneno letifero apud Boſphorum moritur. Ei filius Pharnaces in regno ſucceſſit. Pompeio vero copias adverſus Tigranem ducente, Armenius haud e re ſua fore ratus, cum Romanis prælio certare, ſupplex Pompeium adiit, & ad ejus genua ſe proſternens, diadema capiti ſuo detractum in illius manibus depoſuit. Quibus rebus motus Pompeius, eum erigit, & diadema ei reſtituit, idque ipſe Armenii capiti impoſuit, ac virum illum cæteris etiam in rebus honorifice tractavit. Quadam tamen regni parte, & grandi inſuper pecunia Armenium mulctavit. Nam & Syriam & Phœniciam illi ademit, & præterea quinque millia talentorum argenti perſolvere eum juſſit, quod Romanos injuſto bello laceſſiviſſet. Poſthæc Albanos ſubegit, & Iberum Regem Arſacem fugere coegit, & minorem Armeniam Dejotaro Galatiæ Principi donavit, & Attalum, Pylæmenemque in Paphlagoniæ regnum reduxit, a Mithridate expulſos; Colchiſque præfectum dedit. Poſtea Syros & Arabes ſubegit, & Judæos tertio menſe ad deditionem compu-

κατη-

[illegible], ἐξεληλαμένους πρὸς τοῦ Μιθριδάτου Κόλχους τε ἐφίστησιν ἡγεμόνα. ἐφ' οἷς Σύρους τε καὶ Ἄραβας κατεστρέψατο, καὶ Ἰουδαίους τρίτῳ μηνὶ παρεστήσατο. ἐκ δὲ τῶν ἱερῶν ἀναθημάτων οὐδὲν διήρπασεν, ἀλλὰ πάντα ὑπὸ ἀναγραφὴν ποιησάμενος, Ἀριστοβούλῳ παρέδωκεν. Ὑρκανὸν γὰρ εἰς τὴν Ῥωμαίων ἐξέπεμψε δέσμιον.

Πομπήϊος, Ῥωμαίων στρατηγός· [1] περὶ οὗ φασι, μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν Καίσαρα καὶ Ἀντώνιον παρὰ Πομπηΐῳ τῷ παιδὶ τοῦ Πομπηΐου, ἐν τῇ στρατηγίδι νηῒ παρεσκευασμένῳ τὸ δεῖπνον. ταύτην γὰρ ἔφη μόνον αὐτῷ καταλελεῖφθαι πατρῷον οἶκον. ἤδη δὲ ὄντων ἔνδον, καὶ τῆς συνουσίας ἀκμαζούσης, Μηνᾶν τὸν πειρατὴν, τὰ πλεῖστα ἄξια τῷ Πομπηΐῳ ὑπηρετοῦντα, καὶ τότε προσελθεῖν αὐτῷ ἡσυχῇ, καὶ Βούλει, φάναι, τὰς ἀγκύρας τῆς νεὼς ὑποτεμὼν, ποιήσω σε μὴ Σικελίας καὶ Σαρδοῦς, ἀλλὰ τῆς Ῥωμαίων ἡγεμονίας κύριον; τὸν δὲ Πομπήϊον ἀποκρίνεσθαι· Ἔδει σε, ὦ Μηνᾶ, τοῦτο πεποιηκέναι, μὴ προειπόντα ἐμοὶ τὴν ἐπιχείρησιν. [2] νῦν δὲ, (οὐ πρὸς ἡμῶν γὰρ ἐπιορκεῖν) τὰ παρόντα στέργωμεν.

Πομπήν. πέμψιν. ἀποστολήν. Θουκυδίδης δ'. Ξύλων τε ναυπηγησίμων πομπῇ. καὶ Αἰλιανός· Καὶ τὸν δράκοντα τὸν ἐκ τῆς θείας πομπῆς ἥκοντα. † Καὶ ἅμα τῇ κόρῃ παρεσκεύασε πομπὴν ἐπιφανῆ, ἁρμάμαξάν τε λαμπρὰν, καὶ ἐσθῆτα σοβαρὰν, καὶ θεραπείαν συχνήν.

Πομπίλιος. [3] ὄνομα κύριον. καὶ πομπίλος, ἰχθύς.

Πομπόν. συνοδοιπόρον, καὶ προπέμποντα.

Πομποστολεῖ. ἐκπέμπει τῇ νηῒ τὸν στόλον.

Πομπένιος. [4] ὄνομα κύριον.

Πομφόλυγες. αἱ ἐκ τῶν ὄμβρων, ἢ ἄλλως καταφερόμεναι. Ὁ δὲ δίκην πομφολύγων ἐκ φύσεως διαλύει τὸ ὕπουλον.

Πομφόλυξ. ἐκβρασμὸς ὕδατος.

Πομφολυγοπαφλάσμασιν. [5] ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ, αἱ φλυκταινώδεις δῖναι. ἀπὸ τοῦ παφλάζειν. † Ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου ὄλλυται μετὰ θάνατον.

Πονούμενον. ἐνεργοῦντα.

Πονεῖν. ἐνεργεῖν.

Πονεῖσθαι. ἐνεργεῖν. Τραϊανὸς ὁ βασιλεὺς δίκαιος ἦν, καὶ τῷ σώματι ἐῤῥωμένος· τεσσαρακοστὸν ἄγων ἔτος ἦρξε, καὶ ἐβούλετο ἐξίσου πάντα τοῖς ἄλλοις τρόπον τινὰ πονεῖσθαι.

Πονηρὰ κατὰ τρυγόνα ψάλλεις. ἐπὶ τῶν μοχθηρῶς καὶ ἐπιπόνως ζώντων. καὶ γὰρ ἡ τρυγὼν, ἐπειδὰν πεινᾷ, τότε μάλιστα ψάλλει.

Πονηρία. [6] ὁ ἐκ παρασκευῆς εἴς τινα παρά τινος

lit. Nihil autem de ſacris vaſis & donariis templi auferri juſſit, ſed omnia deſcripta Ariſtobulo tradidit. Hyrcanum enim vinctum Romam miſit.

Πομπήϊος. Pompejus, Romanorum Imperator. De hoc tradunt, poſt pacem factam Cæſarem & Antonium apud Pompejum Pompeji F. in prætoria nave parato convivio exceptos fuiſſe. Hanc enim ſolam paternam domum ſibi relictam fuiſſe ajebat. Cum autem jam intus eſſent, & compotatio ferveret; ajunt Menam piratam, Pompeji in maximis quibuſque rebus fideliſſimum miniſtrũ, cum ſilentio ad eum acceſſiſſe, & dixiſſe: *Viſne ſuccisis navis ancoris, non Siciliæ & Sardiniæ, ſed Imperii Romani te dominum faciam?* Pompejum vero reſpondiſſe: *Oportebat, o Mena, te hoc feciſſe, iſto conſilio mihi non prius indicato. Nunc vero, (non enim noſtrum eſt pejerare) in præſenti rerum ſtatu acquieſcamus.* Port.

Πομπήν. Miſſionem. Pompam. Thucydides libro IV. *Lignorumque ad naves fabricandas aptorum miſſione.* Et Ælianus: *Et draconem divinitus miſſum.* † *Simul etiam illi puellæ pompam inſignem paravit, & currum ſplendidum, & veſtem ſuperbam, & frequens famulitium.*

Πομπίλιος. Pompilius. Nomen proprium. Et πομπίλος, pompilus, piſcis ita dictus.

Πομπόν. Comitem. Eum qui nos deducit & comitatur.

Πομποστολεῖ. Claſſem emittit.

Πομπένιος. Pomponius. Nomen proprium.

Πομφόλυγες. Bullæ aquarum. *Ille vero bullarum inſtar ingenium ſubdolum diſſolvit.*

Πομφόλυξ. Aquæ ebullitio. Vel, bulla aquæ.

Πομφολυγοπαφλάσμασιν. Bullis enaſcentibus in aquarum vorticibus & ſtrepitum quendam edentibus, dum rumpuntur. Πομφόλυγες enim ſunt bullæ veſicis ſimiles. A παφλάζειν, æſtuare, ebullire. † *Ut bulla rupta ſtatim evaneſcit, ſic ſuperbi memoria poſt mortem perit.*

Πονούμενον. Laborantem. Operantem.

Πονεῖν. Operari. Laborare.

Πονεῖσθαι. Operari. Labores ſuſcipere. *Trajanus Imperator juſtus erat, & corpore robuſtus: qui quadrageſimum ætatis annum agens imperio potitus eſt, & omnes quodammodo labores ex æquo cum aliis ſubire non detrectavit.*

Πονηρὰ κατὰ τρυγ. *Miſere cantas more turturis.* Dicitur de iis, qui miſeram & ærumnoſam vitam agunt. Turtur enim tunc maxime cantat, cum eſt famelicus.

Πονηρία. Apud Apoſtolum ita vocatur mo-

1 Περὶ οὗ φασι, μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν K.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 801.
2 Νῦν δὲ οὐ πρὸς ἡμ.] Hæc repetuntur infra v. Στέρξω.
3 Πομπίλιος] Erat cognomen Numæ Regis.

4 Πομπώνιος] Potius, Πομπώνιος, per ω, in ſyllaba ſecunda.
5 Πομφολυγοπαφλάσμασιν. ἐν ταῖς δ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 224. (140. Ed. Baſ. P.)
6 Πονηρία. ὁ ἐκ παρασκ.] Vide paulo poſt v. Πόνηρος.

πόνος

πόνος γινόμενος, παρὰ τῷ Ἀποστόλῳ.

leſtia, quæ alicui de induſtria creatur. [Alias, improbitas.]

Πονηρόπολις. [1] ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας, καὶ τοὺς συνηγόρους. καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους· ὡς Θεόπομπος ἐν ιγ΄. τῶν Φιλιππικῶν.

Πόνηρος. ἐπίπονος. ἡ πρώτη ὀξεῖα. ἐπὶ σώματος προπαροξύνεται. καὶ ἕλκει πονήρῳ. ἐπὶ δὲ ψυχῆς, ὀξυτόνως. λέγεται δὲ καὶ πονηρὸν ὕδωρ.

Πονηρόπολις. Poneropolis. Urbs Thraciæ. Hanc Philippum condidiſſe ajunt, habitare ibi juſſis hominibus, qui ob improbitatem infames eſſent, ut ſycophantis, falſis teſtibus, cauſidicis, & aliis improbis hominibus, ad duo millia: ut Theopompus libro XIII. *Philippicorum* tradit.

Πόνηρος. Laborioſus. Ærumnoſus. Malignus. Acutum habet in antepenultima, cum de corpore dicitur: ut, ἕλκει πονήρῳ, ulcere maligno. De anima vero cum dicitur, *improbum* ſignificat, & notatur acuto in ultima. Dicitur vero etiam πονηρὸν ὕδωρ, i. e. mala aqua.

Πονηροῖς, [2] κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ᾽ ἄν. τουτέστι, τοῖς λεγομένοις καθάρμασι πόλεως.

Οὐδὲν [3] πονηρὸν, ἀλλ᾽ ὅπερ καὶ [4] Καλλιφῶν.

ὁ Καλλιφῶν οὗτος προὔδωκε Σάμον. οἱ δὲ, Μίλητον. ὡσεὶ εἶπεν, οὐδὲν κακὸν ποιῶ, ἀλλ᾽ ἱεροσυλῶ. ἐπὶ πονηρίᾳ γὰρ τεθρύλληται ὁ Καλλιφῶν οὗτος, ὃς προὔδωκε Μίλητον Πριηνεῦσι. πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε, πάντα ἀγαθά. Πάντα οὖν ἀγαθὰ, φησὶ, ποιῶ, ὡς ἔλεγε Καλλιφῶν. ὕστερον μέν τοι παρὰ Θεαγένους τινὸς εἰσῆλθεν ὠνησόμενος κρέας. κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε, πόθεν κόψαι θέλει. προτείναντος δὲ τὴν χεῖρα, ἀπέκοψε, καὶ εἶπε· Ταύτῃ τῇ χειρὶ οὐ προδώσεις πόλιν ἑτέραν. μέμνηται δὲ καὶ Καλλίμαχος·

Μὴ σύγε, Θειάγενες, κόψαις χέρα [5] Καλλιφῶντος.

προδοὺς δὲ Μίλητον τοῖς πολεμίοις, πυνθανομένου τινὸς, ὅτι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι, ἀγαθὰ Καλλιφῶν. καὶ [6] Ἀριστοφάνης φησὶ, τοῦ πονηροῦ κόμματος. ἀπὸ τοῦ παρακεκομμένου ἀργυρείου.

Πονηροῖς. Malis. [Ariſtophanes:] *Et improbis, & ex improbis parentibus natis ad omnia utimur, quibus civitas ante victimarum piacularium loco vix uſa fuiſſet.* Φάρμακοι enim hic vocantur piacula, ſive victimæ piaculares.

† *Nihil mali facio, ſed quod olim Calliphon.* Hic Calliphon Samum prodidit; vel, ut alii tradunt, Miletum. Perinde autem eſt, ac ſi dixiſſet: *Nihil mali facio, ſed templa expilo.* Calliphon enim ob improbitatem infamis erat: qui Miletum Prienenſibus prodidit. Quibuſdam autem ex eo quærentibus, quid facturus eſſet, reſpondit: *Omnia bona.* Omnia igitur bona, inquit, facio, ut ajebat Calliphon. Tandem vero, cum Theagenis cujuſdam ædes carnis emendæ gratia ingreſſus eſſet, iſque monſtrare juſſiſſet, unde fruſtum præcidi ſibi vellet; manum extendit, quam Theagenes amputavit, dicens: *Hac manu aliam urbem poſthac non prodes.* Meminit ejus & Callimachus, dicens: *Ne tu, Theagenes, manum Calliphontis amputes,* Hic Calliphon, cum Miletum hoſtibus prodidiſſet, interroganti cuidam, cur hoc feciſſet, reſpondit, *Bona Calliphon.* Et Ariſtophanes inquit: *Malæ notæ.* Tranſlatio ducta eſt a moneta adulterina & falſa nota ſignata.

Πόνηρος. ἔστι [7] παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ· Πονήρους γ᾽ εἶπας ἡμῖν ξυμμάχους. ἀντὶ τοῦ μοχθηροὺς, καὶ ἐπιπόνους, ἀσθενεῖς, ἀπράκτους. ὡς φαμὲν, πονήρως ἔχει ἡμῖν τὰ πράγματα. ἢ ἀτυχὴς, ἄθλιος. Ἐπὶ ὄνου πονήρας ὀχούμενος. Πονηρὸν δὲ λέγει ὁ Ἀπόστολος, τὸν ἐκ κατασκευῆς εἴς τινα παρά του πόνον γινόμενον. λέγεται δὲ καὶ πονηρὸν ὕδωρ, τὸ νοσοποιόν. πονηροὶ λέγονται καὶ ἐπίπονοι. καὶ [8] παροιμία· Πόνῳ πονηρός. μοχθηρὸς, σφόδρα πονηρός. διὰ τὸν πόνον κατ᾽ ἐνέργειαν ὁ ἐπίπονος.

Πόνηρος. [Cum accentu in antepenultima.] Ariſtophanes *Pluto: Miſeros dixiſti nobis ſocios.* Vel, malis confectos, infirmos, & inutiles. Sic dicere ſolemus, πονήρως ἔχ. i. e. Res noſtræ malo ſunt loco. Vel, miſer, infelix. *Aſina debili vectus.* Apoſtolus vero τὸ πονηρὸν vocat moleſtiam, quæ de induſtria alicui creatur. Dicitur vero etiam πονηρὸν ὕδωρ, aqua, quæ pota morbos conciliat. Πόνηροι vero, [cum accentu in antepenultima,] dicuntur ærumnoſi, & miſeri. Et proverbium: Πόνῳ πονηρός. Id eſt, Valde malus, vel improbus. Sive, qui plurimum moleſtiæ aliis creat.

Πονήσαντα. ἀντὶ τοῦ, παλαιωθέντα. Ἀρριανός· Τὰ δὲ πονήσαντα αὐταῖς οὐ χαλεπῶς ἐπεσκευάσθη. καὶ αὖθις· Πονουμένῳ αὐτῷ περὶ βασιλείας τῶν Πάρθων ξυμβάλλουσι δύο τινές.

Πονήσαντα. Vetuſtate corrupta. Arrianus: *Ea vero, quæ vetuſtate corrupta erant, haud difficulter ab iis inſtaurata fuerunt,* Et iterum: *Cum de Parthorum regno ſollicitus eſſet, duo quidam ei occurrunt.*

1 Πονηρόπολις. ἔστι δέ τις καὶ π.] Confer Noſtrum ſupra v. Δούλων πόλις, ubi eadem leguntur.

2 Πονηροῖς, κἀκ πονηρῶν εἰς ἅπ.] Ariſtophanes *Ranis*, pag. 246. (159. Ed. Baſ. *P.*)

Καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα,
Ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις πρὸ τοῦ
Οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ᾽ ἄν.

Hinc Suidas ſupplendus eſt.

3 Οὐδὲν πονηρὸν, ἀλλ᾽ ὅπ.] Senarius hic legitur apud Ariſtophanem in *Pace*, pag. 646. (446. Ed. Baſ. *P.*)

4 Καλλιφῶν] Ariſtophanes loco laudato habet, Κιλλικῶν: & ſic ipſe Suidas ſupra v. Κιλλικῶν.

5 Καλλιφῶντος] Metri gratia ſcribendum eſt, Καλλιφόωντος.

6 Καὶ Ἀριστοφάνης φ.] *Pluto*, pag. 86. (43. Ed. Baſ. *P.*)

7 Παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ] Pag. 24. (12. Ed. Baſ. *P.*)

8 Παροιμία. Πόνῳ πονηρός] Confer Vatic. Append. Centur. III. Adag. LVI.

Πόνος

Πόνον. Ὅμηρος ἐπὶ τῆς ἐνεργείας τίθησι. καὶ πονεῖν, τὸ ἐνεργεῖν.

Πόνον σπείρειν. παροιμία ἐπὶ τῶν μάτην πονούντων.

Πόνος. σπουδή. ἐπίτασις. Καὶ ἦν πόνος μυρίος ἑκάστοις ἐπειγομένοις δρᾶσαι τὸ προσταχθέν. καὶ ἀγώνισμα ἐπέθετο ἕκαστος ἑαυτῷ τῆς Περσῶν προθυμίας τε καὶ σπουδῆς.

Πόνος πόνῳ πόνον φέρει. λείπει ἡ πρὸς ἵν᾽ ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. καὶ ἔστι τὸ μὲν πόνος πόνῳ, ἀρχαϊκόν· ὡς ἔργον ἐπ᾽ ἔργῳ. τὸ δὲ δεύτερον πόνον, κοινῶς· οἷον κάματον. καὶ [1] Ὅμηρος·

—— Πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.

Σοφοκλῆς [2] ἐν Τραχινίαις·

—— Νὺξ γὰρ εἰσάγει,

Καὶ νὺξ ἀπωθεῖται δεδεγμένον πόνον.

Ποντίφιξ. ὁ μέγας παρὰ Ῥωμαίοις ἱερεύς, ὃν Νουμᾶς ὁ Ῥωμαίων νομοθέτης κατέστησεν, ἡνίκα βιαίῳ ῥεύματι φερόμενος ὁ Θύβρις τὸ πρεσβύτατον ζεῦγμα ἐλάμβανε. εὐχὰς γὰρ οὗτος μειλικτηρίους πρὸς τῷ ποταμῷ ποιησάμενος, μὴ διαρρῆξαι τὴν γέφυραν, ἔπεισε τὸν ποταμὸν ἡσυχῇ καὶ εὐτάκτως ἀναχέεσθαι τοῦ ζεύγματος. καὶ τοὺς λεγομένους Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε.

Ποντοβρόχους. ὑπὸ θαλάσσης βρεχομένους.

Πόντος. κυρίως μὲν ὁ ἔνδον τῆς Χεῤῥονήσου καὶ τοῦ Εὐξείνου καλούμενος. καταχρηστικῶς δὲ, πᾶσα ἡ θάλασσα. καὶ παροιμία· Πόντος ἀγαθῶν. ἐπὶ τῶν πολλῶν ἀγαθῶν, καὶ μεγάλων· ὥσπερ, Ἀγαθῶν θάλασσα. Ἀριστοφάνης· Ὦ Ποντοπόσειδον. ἀντὶ τοῦ, μέγιστε Πόσειδον. ἀπὸ τοῦ Πόντου μεταφορικῶς.

Ποπάδες.

—— Ἡ [3] δὲ μελιστῶν

Ἀμβροσίη, πυκναί τ᾽ [4] ἰτρεῖαι ποπάδες.

Πόπανα. πλακούντια πλατέα, καὶ λεπτὰ, καὶ περιφερῆ. καὶ ἐπὶ τέσσαρσι ποπάνοις ἔθυον βοῦν, [5] καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν.

Πόπανα. [6] εἰδικόν. προθύματα, γενικόν.

Πόνον. Laborem. Homerus vocabulum hoc pro *actione* ponit. Et πονεῖν, laborare, agere.

Πόνον σπείρειν. Laborem ſerere. Dicitur de iis, qui fruſtra laborant.

Πόνος. Labor. Studium. Contentio. *Et ſinguli ſumma contentione imperata exequi nitebantur, & unuſquiſque alacritatem & ſtudium Perſarum certatim imitandum ſibi proponebat.*

Πόνος πόνῳ πόν. *Labor labori laborem affert.* Deeſt hic præpoſitio πρός: ut ſit, πόνος πρὸς τῷ πόνῳ, &c. Et illud quidem πόνος πόνῳ, antiquum eſt; ut ἔργον ἐπ᾽ ἔργῳ i. e. opus poſt opus. At alterum πόνον, commune. Simile huic eſt illud Homericum: *Malum ubique malo junctum erat.* Et Sophocles *Trachiniis: Nox inducit, & nox trudit malum malo ſuccedens.*

Ποντίφιξ. Pontifex. Apud Romanos [ſic vocatur] magnus ſacerdos: quem Numa Legiſlator Romanorum conſtituit, cum Tiberis rapido fluens impetu antiquiſſimum pontem corripuit. Tunc enim Pontifex blandis precibus amni adhibitis, ne pontem revelleret, adeo eum mitigavit, ut intra alveum ſuum leniter & placide fluens, pontem ſibi impoſitum ferret. Eos quoque, qui Pontifices & Flamines dicuntur, ſacerdotibus præfecit.

Ποντοβρόχους. Mari rigatos. Fluctibus marinis obrutos.

Πόντος. Pontus. Proprie ſic vocatur mare, quod eſt intra Cherſoneſum & Pontum Euxinum. Abuſive vero, quodvis mare. Et proverbium: *Pontus bonorum.* Dicitur hoc de multis & magnis bonis: velut, *Mare bonorum.* Et Ariſtophanes: *O Neptune Pontice.* Id eſt, o maxime Neptune. Tranſlatio ducta eſt a Ponto.

Ποπάδες. Placentulæ. [In Epigrammate:] *Apumque ambroſia, & plures placentulæ tenues, itria dictæ.*

Πόπανα. Placentulæ latæ, & tenues, & rotundæ. Poſt quatuor popana immolabant bovem, eumque vocabant quintum bovem.

Πόπανα. Placentæ. Placentulæ. Nomen hoc eſt ſpeciale. At προθύματα, generale.

1 Ὅμηρος] Il. Π. v. 111.

2 Σοφοκλῆς ἐν Τραχινίαις] Pag. 332. ut Portus monuit.

3 Ἡ δὲ μελιστῶν ἀμβρ.] Fragmentum hoc depromptum eſt ex Anthologia inedita, ex qua integrum Epigramma publici juris fecimus ſupra v. Γέλγηθες. Ἰτρεῖαι ποπάδες autem hic ſunt placentæ tenues, ex ſeſamo & melle confectæ; quæ alias ἴτρια dicebantur. Vide Grammaticos. Ποπὰς ſignificat placentulam: unde Latinorum *Popa*. Gloſſæ veteres: *Popa.* πλακοῦς. κὴξ πόπανον.

4 Ἰτρεῖαι ποπάδες] In Codice MS. Anthologiæ, ex quo Epigrammata inedita, quæ paſſim in notis noſtris citamus, Pariſiis deſcripſi, hanc viri docti in hunc locum annotationem repери: *Ποπάδες legit Suidas; ſed mendoſe. Legendum omnino videtur κοπάδες. i. e. τόμοι vel τεμάχη. τὰ κατακεκομμένα. Heſychius: Κοπάδες. τὰ ἀποκεκομμένα δένδρα.* Ἰτρεῖαι κοπάδες, *ſeu potius* ἠτριαῖαι: *i. e.* ἦτρον, ὅπερ ὑπογάστριον ὅσον, ὁ ϑηλείας ὑλαστικῶν τεμάχη. *Ab* ἦτρον, ἠτρεῖος, ut ab ἄρθρον, ἀρθρεῖος. *Ab* ἠτρεῖος, ἠτρεαῖος, *ut a* κενὸς κεναῖος. Hæc vir doctus: qui ſcilicet locum hunc de fruſto abdominis, vel ventris ſuilli ſaliti accipit, mutando ποπάδες in κοπάδες, & ἰτρεῖαι in ἠτριαῖαι ab ἦτρον, abdomen, ſumen. Certe κοπὰς ſignificat idem quod τέμαχος, i. e. *fruſtum*; eamque vocem Latini recentiores ſuam fecerunt, ut ex Gloſſis veteribus liquet, in quibus Τέμαχος redditur, *Copadium, Fruſtum.* At nihilominus conjecturam viri docti probare non poſſum. Nam in toto hoc Epigrammate, quod, ut diximus, integrum dedimus ſupra v. Γέλγηθες, agitur de rebus viliſſimis, & minimi pretii, quales ſunt fructus arborei & placentulæ; & ipſe Philoxenides munera ſua, quæ Pani offert, λιτὰ δῶρα vocat. At ſumen ſuillum tam apud Græcos quam Romanos olim in deliciis habebatur, eique inter dapes lautiores locus erat: quod proinde in numero rerum vilium, & quæ λιτὰ δῶρα conſtituunt, poni non poteſt. Huc accedit, quod Græci genus illud edulii non ſoleant vocare ἠτριαῖον, ſed ἠτριαῖον: ut ex veteribus ſcriptoribus conſtat. Vide præter alios Pollucem lib. II. cap. IV. ſect. 35. ſed ubi pro ἠτρίδια, legendum eſt ἠτριαῖα. Τὸ Λ enim & Δ frequenter & facile inter ſe confunduntur. Sic apud eundem Pollucem lib. IX. cap. VI. pag. 431. δραχμιδίων male legitur pro δραχμιαίων: & apud Scholiaſtam Ariſtophanis ad *Aves* pag. 574. ἀνεμίδων pro ἀνεμιαίων, ut monuimus etiam ſupra v. Ἀνεμος, ubi nos vide.

5 Καὶ ἐκάλουν αὐτὸν πέμπτον βοῦν] Confer Noſtrū ſupra v. Βοῦς ἕβδομος.

6 Πόπανα. εἰδικόν. προθύματα. γενικόν] Hæc referenda ſunt ad locum illum Ariſtophanis in *Pluto*, pag. 71.

Ἐπεὶ δὲ βωμῷ πόπανα καὶ προθύματα

Καθωσιώθη.

Vide ibi Scholiaſtam.

Ποπλι-

Ποπλικόλας. ὄνομα κύριον παρὰ Ῥωμαίοις.

Πόπλιος.[1] οὗτος φιλοδοξήσας ἐν ἀριστοκρατικῷ πολιτεύματι, τηλικαύτην περιεποιήσατο παρὰ μὲν τοῖς ὄχλοις εὔνοιαν, παρὰ δὲ τῷ συνεδρίῳ πίστιν, ὥστε ἐν τῷ δήμῳ κρίνειν τινὸς ἐπιβαλλομένου κατὰ τὰ Ῥωμαίων ἔθη, καὶ πολλὰ κατηγορήσαντος, καὶ πικρῶς ἄλλος μὲν οὐθὲν εἶπε προελθών· αὐτὸς δὲ οὐκ ἔφη πρέπον εἶναι τῷ Ῥωμαίων δήμῳ, οὐθενὸς ἀκούειν κατηγοροῦντος Ποπλίου Κορνηλίου Σκιπίωνος, δι' ὃν αὐτὴν τοῦ τοῦ λέγειν ἐξουσίαν ἔχουσιν οἱ κατηγοροῦντες. ὧν ἀκούσαντες οἱ πολλοὶ, παραχρῆμα διελύθησαν πάντες ἐκ τῆς ἐκκλησίας, ἀπολιπόντες τὸν κατηγοροῦντα μόνον.

Πόπλιος. [2] περὶ τούτου τοῦ στρατηγοῦ ζητοῦσί τινες, τίνι τρόπῳ ἐγένετο ἐπιφανέστατος, ἀπὸ ποίας φύσεως ἢ τριβῆς ὁρμηθείς. καὶ οἱ μὲν ἄλλοι πάντες ἐπιτυχῆ τινα, καὶ τὸ πλεῖον ἀεὶ παραλόγως καὶ τῷ αὐτομάτῳ κατορθοῦντα τὰς ἐπιβολὰς παρεισάγουσι, νομίζοντες ὡσανεὶ θειοτέρους εἶναι καὶ θαυμαστοτέρους τοὺς τοιούτους ἄνδρας τῶν κατὰ λόγον ἐν ἑκάστοις πραττόντων, ἀγνοοῦντες, ὅτι τὸ μὲν ἐπαινετὸν, τὸ δὲ μακαριστὸν εἶναι συμβαίνει τῶν προειρημένων. καὶ τὸ μὲν κοινόν ἐστι καὶ τοῖς τυχοῦσι· τὸ δὲ ἐπαινετὸν μόνον ἴδιον ὑπάρχον τῶν εὐλογίστων καὶ φρένας ἐχόντων ἀνδρῶν· οὓς καὶ θειοτάτους εἶναι καὶ προσφιλεστάτους τοῖς θεοῖς νομιστέον. Ἐμοὶ δοκεῖ Πόπλιος, φησὶν ὁ Πολύβιος, Λυκούργῳ τῷ τῶν Λακεδαιμονίων νομοθέτῃ παραπλησίαν ἐσχηκέναι φύσιν καὶ προαίρεσιν. οὔτε γὰρ Λυκοῦργον ἡγητέον δεισιδαιμονοῦντα, καὶ πάντα προσέχοντα τῇ Πυθίᾳ συστήσασθαι τὸ Λακεδαιμονίων πολίτευμα· οὔτε Πόπλιον ἐξ ἐνυπνίων ὁρμώμενον καὶ κληδόνων, τηλικαύτην τῇ πατρίδι περιποιῆσαι δυναστείαν· ἀλλ' ὁρῶντες ἑκάτεροι τοὺς πολλοὺς τῶν ἀνθρώπων οὔτε παράδοξα προσδεχομένους ῥᾳδίως, οὔτε τοῖς δεινοῖς τολμῶντας παραβάλλεσθαι χωρὶς τῆς τῶν θεῶν ἐλπίδος· Λυκοῦργος μὲν ἀεὶ προσλαμβανόμενος ταῖς ἰδίαις ἐπιβολαῖς τὴν ἐκ τῆς Πυθίας φήμην, εὐπαραδεκτοτέρας καὶ πιστοτέρας ἐποίει τὰς ἰδίας ἐπινοίας. Πόπλιος δὲ παραπλησίως ὡς μετὰ τῆς θείας ἐπιπνοίας ποιούμενος τὰς ἐπιβολὰς, εὐθαρσεστέρους παρεσκεύαζε τοὺς ὑποταττομένους πρὸς τὰ δεινὰ τῶν ἔργων. καὶ μετὰ λογισμοῦ καὶ προνοίας ἔπραττε, καὶ πάντα κατὰ λόγον ἐξέβαινε τὰ τέλη τῶν πράξεων αὐτῷ. ἐκεῖνος γὰρ ὅτι μὲν ἦν εὐεργετικὸς καὶ μεγαλόψυχος, ὁμολογεῖται· διότι δ' ἀγχίνους καὶ νήπτης τῇ διανοίᾳ, καὶ περὶ τὸ προτεθὲν ἐντεταμένος, οὐδεὶς ἂν συγχωρήσειε, πλὴν τῶν συμβεβιωκότων καὶ τεθεαμένων [3] ὑποστὰς αὐτοῦ τὴν φύσιν· ὧν εἷς ἦν Γάϊος Λαίλιος, ἀπὸ νέου μετεσχηκὼς αὐτῷ παντὸς ἔργου καὶ λόγου μέχρι τελευτῆς, ὁ ταύτην περὶ αὐτοῦ [4] δόξαν ἐργασάμενος, διὰ τὸ δοκεῖν εἰκότα λέγειν καὶ σύμφωνα τοῖς ὑπ' ἐκείνου πεπραγμένοις. † Ὅτι πρώτῳ Ποπλίῳ ἐλλογίμῳ, ἀ-

Ποπλικόλας. Publicola. Nomen proprium apud Romanos.

Πόπλιος. Publius. Hic cum Optimatum partes in Republ. eſſet amplexus, tantam apud populum benevolentiam, & tantam auctoritatem apud Senatum ſibi conciliavit, ut, cum quidam apud populum ei diem dixiſſet, ut Romani moris eſt, multaque acerbe ei objeciſſet; ipſe vero nihil aliud reſpondiſſet, ſed id tantum dixiſſet, non decere populum Romanum accuſatoribus P. Corn. Scipionis auſcultare, per quem ipſa accuſandi facultas accuſatoribus parta ſit: populus his auditis ſtatim e concione univerſus diſceſſerit, accuſatore ſolo relicto.

Πόπλιος. Publius. De hoc Imperatore nonnulli quærunt, quo modo clariſſimus evaſerit, quo ingenio præditus, aut qua experientia ad res gerendas acceſſerit. Et ſcriptores quidem alii omnes eum inducunt virum quendam fortunatum, & qui pleraque ſua incepta præter rationem, caſu quodam fortuito ad finem optatum perduceret. Putant enim eos, qui tales ſunt, magis eſſe quaſi divinos, & majore admiratione dignos illis, qui ſingulas ſuas actiones ratione certa dirigunt. Nimirum ignorant iſti, ejuſmodi eſſe illa, quæ diximus, ut propter eorum alterum homines laudentur; propter alterum prædicentur felices: quorum hoc commune eſt, & cuivis ex plebe poteſt contingere; laude vero dignum eſſe, proprium eſt duntaxat prudentium & cordatorum virorum; qui etiam maxime divini & Diis chariſſimi debent cenſeri. Enimvero mihi, inquit Polybius, videtur Scipio & natura & genere inſtitutorum ſimilitudinem aliquam cum Lycurgo Lacedæmoniorum legumlatore habuiſſe. Nam neque de Lycurgo par eſt exiſtimare, ipſum adeo fuiſſe ſuperſtitioſum, ut in conſtituenda Spartanorum Republ. Pythiæ per omnia adhæreret: neque Scipio exiſtimari debet, cum patriæ ſuæ tantum imperium pararet, e ſomniis quibuſdam aut ominibus pependiſſe. Sed quod viderent ambo, pleroſque mortalium neque ea temere admittere, quæ abhorrent a communibus opinionibus, neque res arduas & periculo junctas audere aggredi, niſi ſpes aliqua læti exitus ab aliquo Deorum fuerit oſtenſa: & Lycurgus, quoties aliquid aggrediebatur, auctoritatem oraculi a Pythia editi ſententiæ ſuæ adjiciendo, efficiebat, ut conſilia ſua facilius reciperentur, & plus fidei invenirent: & Publius item Scipio in multitudinis animis hanc perſuaſionem alens, quaſi divinitus mota mente ageret cuncta, eos, quibus imperabat, confidentiores atque paratiores adverſus omnia formidoloſa & terribilia incepta reddebat. Cæterum, ſingula ipſum judicio & prudentia egiſſe, omniaque ejus conſilia rationi convenientem exitum ſolita fuiſſe for-

1 Πόπλιος. οὗτος φιλοδοξήσας ἐν ἀριστοκρ.] Hæc omnia ſunt verba Polybii, quæ leguntur in Excerptis a Valeſio editis, pag. 121.

2 Πόπλιος. περὶ τούτου τοῦ στρατηγοῦ ζητ. ——— καὶ σύμφωνα τοῖς ὑπ' ἐκείνου πεπραγμένοις] Hæc leguntur apud Polybium l. x. c. 2.

3 Ὑποστὰς] Polybius habet ὑπ' αὐγὰς, uti etiam hic apud Suidam ſcribendum eſt.

4 Δόξαν ἐργασάμενος] Polybius rectius, δόξαν ἡμῖν ἐνεργασάμενος.

μοιβῆς δεξιᾶς γενομένης, ὑπὸ Ῥωμαίων ἐδόθη στέφανος ἀγρώστεως χλωρᾶς. Ποτὲ νεανίσκοι τινὲς τῶν Ῥωμαίων ἐπιτυχόντες παρθένῳ κατὰ τὴν ἀκμὴν καὶ τὸ κάλλος διαφερούσῃ τῶν ἄλλων γυναικῶν, καὶ συνιδόντες φιλογύναιον ὄντα τὸν Πόπλιον, ἧκον αὐτὴν ἄγοντες, καὶ παραστήσαντες ἔφασκον αὐτῷ δωρεῖσθαι τὴν κόρην. ὁ δὲ καταπλαγεὶς, καὶ θαυμάσας τὸ κάλλος, ἰδιώτης μὲν ὤν, οὐδεμίαν ἂν ἥδιον ἔφη δέξασθαι ταύτης δωρεάν· στρατηγὸς δ' ὑπάρχων, οὐδ' ὁποιανοῦν ἧττον· τοῦτ' αἰνιττόμενος διὰ τῆς ἀποφάσεως, διότι κατὰ μὲν τὰς ἀναπαύσεις ἐνίοτε καὶ ῥᾳθυμίας ἐν τῷ ζῆν ἡδίστας τοῖς νέοις ἀπολαύσεις τὰ τοιαῦτα παρέχεται καὶ διατριβάς· ἐν δὲ τοῖς τοῦ πράττειν καιροῖς μέγιστα γίνεται καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα ἐμπόδια τοῖς χρωμένοις. τοῖς μὲν οὖν νεανίσκοις ἔφη χάριν ἔχειν· τὸν δὲ τῆς παρθένου πατέρα καλέσας, καὶ δοὺς αὐτῷ ταύτην ἐκ χειρὸς, ἐκέλευσε συνοικίζειν, ᾧ ποτ' ἂν προαιρῆται τῶν πολιτῶν. δι' ὧν καὶ τὰ τῆς ἐγκρατείας καὶ τὰ τῆς μετριότητος ἐμφαίνων, μεγάλην ἀποδοχὴν εἰργάζετο τοῖς ὑποτεταγμένοις.

tiri, clarum erit ex iis, quæ ſumus dicturi. Et quidem fuiſſe ipſum liberalem ac munificum, & magnanimum, nemo homo negat: quod autem eſſet idem ſagax & ſobrius, quique in iis, quæ propoſuiſſet, mentis nervos contenderet, hoc vero vix aliquis conceſſerit, præter eos, qui cum eo vixerunt, & in clara, ut ajunt, luce ejus indolem ſunt contemplati. Ex eo hominum fuit numero C. Lælius, a puero omnium, quæ fecit ille aut dixit, ad ultimum uſque diem particeps: qui etiam mihi opinionis hujus de Scipione concipiendæ auctor exſtitit; cum & ſimilia veri mihi videretur loqui, & rebus geſtis ipſius congruentia. [*Hucuſque verſionem Caſauboni adhibui. Quæ vero ſequuntur, a Porto verſa ſunt.*] Primo Publio ex claris viris, dextra virtutis ejus remuneratione facta, corona graminea a Romanis eſt data. Aliquando quidam adoleſcentes Romani, cum incidiſſent in virginem ætate florente præditam, & forma cæteris mulieribus præſtantiorem; cumque Publium animadvertiſſent mulierum amori addictum eſſe, eam ad ipſum adduxerunt, & adductam ſe ipſi donare dixerunt. Ille vero obſtupefactus, & formam illius admiratus, reſpondit, ſi privatus quidem eſſet, ſe nullum iſto gratius donum accepturum eſſe: ſed, cum eſſet Imperator, ſe quodvis aliud donum potius accepturum dixit: illud hoc reſponſo obſcure ſignificans, in otio quidem & animorum remiſſionibus nonnunquam hujuſmodi voluptates & occupationes adoleſcentibus eſſe jucundiſſimas: ſed in ipſis rerum gerendarum temporibus maximum eas & animis & corporibus impedimentum eſſe, quum quis his uteretur. Ac illis quidem adoleſcentibus ſe gratias agere dixit. Virginis vero patre vocato, eaque ipſi in manum tradita, juſſit ipſam collocare cuicunque civium vellet. Quibus rebus & continentia & moderatione ſua declarata, magnum populorum ſubjectorum ſtudium ſibi conciliavit. *Port.*

Πόπλιος [1] Σκιπίων, Λευκίου κατὰ φύσιν υἱὸς, Ποπλίου δὲ τοῦ μεγάλου κληθέντος κατὰ θέσιν υἱωνὸς, κύριος γενόμενος τῆς Καρχηδόνος, ἥτις ἐδόκει πολυχρημονεστάτη τῶν κατὰ τὴν οἰκουμένην εἶναι πόλεων, ἁπλῶς τῶν ἐξ ἐκείνης οὐδὲν εἰς τὸν ἴδιον βίον μετήγαγεν, οὔτ' ὠνησάμενος, οὔτ' ἄλλῳ τρόπῳ κτησάμενος οὐδὲν, καίπερ οὐχ ὅλως εὐπορούμενος κατὰ τὸν βίον· ἀλλὰ μέτριος ὢν κατὰ τὴν ὕπαρξιν ὡς Ῥωμαῖος, οὐχ οἷον δὲ τῶν ἐξ αὐτῆς τῆς Καρχηδόνος [2] νομισμάτων ἀπέσχετο μόνον, ἀλλὰ καὶ καθόλου τῶν ἐκ τῆς Λιβύης οὐδὲν ἐπιμιχθῆναι πρὸς τὸν ἴδιον εἴασε βίον. τοῦτο ἀναμφισβήτητον παρὰ Ῥωμαίοις.

Πόπλιος. P. Scipio, Lucii natura filius, Publii vero, qui Magnus cognominatus eſt, adoptione nepos, potitus Carthagine, quæ totius orbis terrarum urbs locupletiſſima credebatur, nihil prorſus ex ea in uſum privatum tranſtulit, quod vel emiſſet, vel alia ratione ſibi comparaſſet; quamvis non admodum dives eſſet, ſed modicis facultatibus inſtructus, ut Romanus. Non ſolum autem a pecunia Carthagine reperta abſtinuit; ſed etiam in univerſum nihil ex Africæ divitiis cum ſuis bonis commiſceri paſſus eſt. Et hoc quidem apud Romanos indubitatum eſt.

Πόπλιος Σκιπίων Ἀφρικανὸς, τὴν στρατιὰν εὑρὼν διεφθαρμένην, ἐπανώρθωσεν. ὃς καὶ τὴν Καρχηδόνα εἰς ἔδαφος καθεῖλε. προσημαῖναι δὲ αὐτῷ τοῦ πολέμου τὸ πέρας τὴν τοῦ ξίφους λαβὴν, αἵματι πολλῷ ῥεομένην, καὶ πολλάκις μὲν ἀποματτομένην, πλέον δὲ ἀνιεῖσαν ἀεὶ τοῦ αἵματος. τοὺς γὰρ μάντεις φόνον πολὺν τῶν ἐναντίων σημαίνειν τὸ πέρας ἀποκρίνασθαι.

Πόπλιος. P. Scipio Africanus, cum exercitum corruptum & diſſolutum nactus eſſet, [eum ſeveriore diſciplina] correxit. Hic & Carthaginem ſolo æquavit. Tradunt autem gladii capulum, multo ſanguine manantem, ipſi belli exitum portendiſſe; & ſæpe quidem abſterſum, ſemper majorem ſanguinis copiam fudiſſe. Vates enim magnam hoſtium cædem hoc prodigio portendi reſponderunt.

Πόπλιος Οὐαλέριος, ὁ συνύπατος Βρούτου, [3] ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτηδευμάτων χάριν ἐ-

Πόπλιος. P. Valerius, Bruti in Conſulatu collega, cum multis aliis nominibus laude &

[1] Πόπλιος Σκιπίων, *Λευκίου κατ.*] Et hæc ſunt verba Polybii, quæ exſtant in Collectaneis Conſtantini a Valeſio editis, pag. 101.

[2] Νομισμάτων] Hæc vox & in MS. Pariſ. A. & in Collectaneis Conſtantini loco laudato recte deeſt.

[3] Ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτ.] Hæc excerpta ſunt ex Dionyſii Halic. *Antiq. Rom.* lib. v. pag. 287. ut Pearſonius monuit. Vide etiam ſupra v. *Αὐτάρκεια.*

παινεῖσθαί τε καὶ θαυμάζεσθαι· μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου. ἡ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτὸν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασι.

admiratione dignus, tum præcipue ob frugalitatem. Inerat enim ei innatum quoddam ſapientiæ ſtudium, ut ex multis ejus factis apparuit.

Πόππυζε. ἐν [1] Ἐπιγράμματι·

Παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ.

ἀντὶ τοῦ, κολάκευε, καὶ τὰ λ.

Πόππυζε. Poppyſmo demulce. Blande attrecta. Blandire. In Epigrammate: *Sola te baſia, & ipſa tibi fruſtra blandire.*

Ποππύσματα. κολακεῖαι εἰς τοὺς ἀδαμάστους ἵππους.

Ποππύσματα. Poppyſmata, ſive blanditiæ, quibus equi indomiti demulcentur.

Πόρδαλις. [2] τὸ ζῶον ἄρσεν. Πάρδαλις, τὸ θηλυκόν.

Πόρδαλις. Pardus animal, mas. Πάρδαλις vero, fœmina. Panthera.

Πορεῖα. τὰ εἰς πορείαν χρήσιμα.

Πορεῖα. Viatica. Res ad iter neceſſariæ.

Πόριες. νέοι βόες. μόσχοι.

Πόριες. Juvenci. Vituli.

Πορίζω. δοτικῇ.

Πορίζω. Præbeo. Dativo jungitur.

Πορίμῳ. ἀνύσιν καὶ ἐπίνοιαν ἔχοντι. [3] Ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.

Πορίμῳ. Viro, qui rei expediendæ vel conficiendæ viam & rationem novit. Vel, rei, quæ confici & ad exitum perduci poteſt. *Oportet aggredi rem, quæ ad exitum perduci poſſit.*

Ποριμώτατος. Ταύτην ἔδοξεν εἶναι πορίμωτάτην ἐπιβολήν. ἀντὶ τοῦ, ἐπικερδῆ. καὶ ποριοῦνται, ἀντὶ τοῦ, κερδήσουσι.

Ποριμώτατος. Paratu facillimus. Expeditiſſimus. Qui facile exitum habet. *Hoc inceptum facillime exitum habiturum videbatur.* Vel, maxime lucroſum & quæſtuoſum. Et ποριοῦνται, lucrabuntur.

Ποριςταί. [4] οἱ τοὺς πόρους εἰσηγούμενοι δημαγωγοὶ ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ.

Ποριςταί. Demagogi, vel oratores, qui ſui commodi cauſa parandæ pecuniæ vias & rationes populo proponunt.

Πορθήσειας. ἕλοις. λάβοις.

Πορθήσειας. Ceperis. Occuparis. Expugnaris.

Πόρθησις. ἐρήμωσις.

Πόρθησις. Expugnatio. Vaſtatio.

Πορθμεύει. Εὑρίσκει Νέσσον πορθμεύοντα μισθοῦ, καὶ πείθει αὐτὸν, ὡς πορθμεύσειεν Ἀλκμήνην καὶ Δηϊάνειραν.

Πορθμεύει. Trajicit. *Invenit* [*Hercules*] *Neſſum, qui mercede flumen homines trajiciebat, eique perſuadet, ut Alcmenam & Deianiram trajiciat.*

Πορθμεῖον. [5] τὸ πλοῖον. Πορθμίον δὲ, τὸ ναῦλον.

Πορθμεῖον. Navigium, quo trajiciuntur homines. Ponto. At πορθμίον, naulum.

Πορθμεῖς. οἱ περάται. [6] Ἀριστοφάνης·

Χαλεποί γ' ἂν ἦτε γενόμενοι πορθμεῖς. τί ή;
Ἕλκοντες τοὺς πλωτῆρας ἂν ἀπεκναίετε.

Ἐπειδὴ οἱ πορθμεῖς τοὺς παριόντας ἀναγκάζουσιν εἰς τὰ ἴδια πλοῖα ἐμβαίνειν.

Πορθμεῖς. Portitores. Ariſtophanes: *Moleſtæ profecto portitores foretis. Quare? Vectores enim trahendo enecaretis.* Portitores enim & nautæ prætereuntes navigia ſua intrare cogunt.

Πορθμήϊον. ὁ μισθὸς τοῦ ναύτου. [7] Καλλίμαχος·

Τοὔνεκα καὶ νέκυες πορθμήϊον οὐ τι φέρονται.

Ἐν Αἰγιαλῷ γὰρ καταβάσιόν ἐστιν ᾅδου, ἐς ὃ ἀπελθοῦσα ἡ Δημήτηρ ἔμαθε παρὰ τῶν περιοίκων περὶ τῆς Κόρης, καὶ ἐδωρήσατο αὐτοῖς, ὥς λέγει, ἄφεσιν τοῦ πορθμηΐου.

Πορθμήϊον. Naulum. Callimachus: *Ideo etiam mortui nullum naulum ſecum ferunt.* Ægiali enim eſt deſcenſus ad Inferos: ad quem cum Ceres perveniſſet, ex accolis cognovit, ubi Proſerpina eſſet. Quare, ut ait [Callimachus,] naulum ipſis remiſit.

Πορθμὶς, καὶ πορθμίδιον.

Ἀΐδεω λυπηρὲ διηκόνε, τοῦτ' Ἀχέροντος
Ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ.

Πορθμὶς, & πορθμίδιον. Navicula, qua maria vel fluvii trajiciuntur. [In Epigrammate:] *Orci moleſte miniſter, hanc Acherontis aquam qui navigas navicula cærulea.*

Πορθμός. [8] Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. πόλις ἐστὶ τῆς Εὐβοίας.

Πορθμός. Porthmus. Demoſthenes in oratione pro Cteſiphonte. Urbs eſt Eubœæ.

1 Ἐν Ἐπιγράμματι] Anthol. lib. VII. pag. 598.

2 Πόρδαλις. τὸ ζῶον ἄρσεν. Πάρδαλις, τὸ θηλ.] Diſcrimen, quod Suidas hic inter πόρδαλις & πάρδαλις ſtatuit, eſt tantum imaginarium, ut monuit etiam Stephanus in *Theſauro*: quem vide.

3 Ἐγχειρεῖν χρὴ ἔργ.] Hæc ſunt verba Ariſtophanis *Theſmophor.* pag. 807.

4 Ποριςταί] Voce hac uſus eſt Ariſtophanes in *Ranis*, pag. 282. (188. Ed. Baſ. P) ubi Scholiaſta: Ποριςταῖς. τοῖς φροντίζουσι. τούτους λέγει τοὺς περὶ πόρου χρημάτων εἰσηγουμένους. Huc Suidas reſpexit.

5 Πορθμεῖον. τὸ πλ.] Imo contra potius, πορθμεῖον, τὸ ναῦλον, πορθμίον δὲ, τὸ πλοῖον. Vide Stephanum in Theſauro.

6 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 756. (509. Ed. Baſ. P.)

7 Καλλίμαχος] Confer Etymologum v. Δανάκης, ubi fragmentum hoc Callimachi auctius legitur, ſed corruptum; quod emendat Caſaubonus *Lect. Theocr.* cap. IV.

8 Πορθμός, Δημοσθ.] Ex Harpocratione.

Πορθμός. πέραμα. ἀμφίγειος θάλασσα. Ἰσθμὸς γάρ ἐστι γῆ στενή, ἑκατέρωθεν ἔχουσα θάλασσαν. Πορθμὸς δέ, θάλασσα ἑκατέρωθεν ἤπειρον ἔχουσα ἐπικειμένην. [1] Πορθμὼ δύω ἐστόν. ὁ μὲν ἐφ' Ἑλλησπόντου ἀμφὶ Σηστόν τε καὶ Ἄβυδον· ὁ δὲ δὴ ἕτερος ἐπὶ τοῦ στόματος τοῦ Εὐξείνου Πόντου, οὗ τὸ ἱερὸν ὀνομάζεται. ἐν μὲν οὖν τῷ Ἑλλησπόντῳ τελωνεῖον ἥκιστα ἦν. ἄρχων δέ τις ἐκ βασιλέως στελλόμενος ἐν Ἀβύδῳ καθῆστο, διερευνώμενος ἕκαστα. ὁ δὲ ἐπὶ πορθμοῦ τοῦ ἑτέρου στελλόμενος, μισθὸν ἀεὶ πρὸς βασιλέως κεκομισμένος ἦν, οὐδὲν πρὸς τῶν τῇδε ναυτιλλομένων κομιζόμενος.

Πορθμός. Fretum, ſive mare utrinque terram habens. Ἰσθμὸς enim eſt terra anguſta, utrinque habens mare: πορθμὸς vero, ſive fretum, mare, utrinque habens terram. *Freta vero duo ſunt; unum in Helleſponto, juxta Seſtum & Abydum: alterum vero in oſtio maris Euxini, cujus templum eſt celebre. In Helleſponto autem telonium nequaquam erat: ſed magiſtratus quidam a Rege miſſus, Abydi ſedem figebat, ſingula perſcrutans. Qui vero ad alterum fretum mittebatur, mercedem a Rege ſemper accipiens, nihil exigebat ab illis, qui illac præternavigabant.*

Πόρκης. [2] ὁ δακτύλιος τῆς ἐπιδορατίδος, ὁ περιειργνύων αὐτὴν πρὸς τὸ ξύλον. καὶ κλίνεται, πόρκης.

Πόρκης. Annulus, quo cuſpis haſtæ circumdatur, & cum ligno conſtringitur.

Πόρκος. κύρτος θαλάσσιος, ὁ εἰς ἄγραν ἰχθύων.

Πόρκος. Naſſa, qua piſces capiuntur.

Πόρκος. [3] οἱ μὲν τὸ δίκτυον ἀπέδοσαν. ἔστι δὲ σχοινίου πλέγμα. οἱ δέ, κύρτον· οὐδὲ οὗτοι ὑγιῶς. [4] ὁ γὰρ Πλάτων ἕτερόν φησι τὸν πόρκον τοῦ κύρτου. λέγει γὰρ οὕτω· Κύρτους, καὶ δίκτυα, καὶ βρόχους, καὶ πόρκους, καὶ τὰ τοιαῦτα, οὐκ ἄλλο τι πλὴν ἕρκη δεῖ προσαγορεύειν. μνημονεύει δὲ καὶ [5] Δίφιλος τοῦ πόρκου· Θᾶττον πλέκειν κέλευε τῶν πόρκων πυκνοτέρους. ἔλεγον δὲ πόρκον διὰ τὸ περιλαμβάνειν καὶ ἀμπίσχειν τὸν εἰσδύοντα ἰχθύν. ἢ ἀπὸ τοῦ οἱονεὶ περικεῖσθαι. καὶ ὁ Ποιητὴς [6] πόρκην τὸν περὶ τῷ δόρατι κρίκον φησίν. ὁ [7] συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος. διὰ τὸ περιέχειν.

[8] Αἰχμὴ χαλκείη. περὶ δὲ χρύσεος θέε πόρκος. ὁ δὲ Ὠρίων παρὰ τὸ πείρω.

Πόρκος. Alii vocabulum hoc interpretantur, *rete*. Eſt autem vas piſcatorium ex juncis contextum. Alii, *naſſam*. Sed nec illi recte. Plato enim τὸν πόρκον a κύρτος diſtinguit, ſic inquiens: *Naſſas, & retia, & laqueos, &* πόρκους, *& alia hujuſmodi, nihil aliud quam ſepta appellare oportet.* Meminit & Diphilus τοῦ πόρκου, dicens: *Ocius jube contexi vaſa piſcatoria, denſiora illis, quæ* πόρκοι *appellantur.* Πόρκος autem inde dictus eſt, quod circumdet & concludat piſcem intrantem. Vel a περικεῖσθαι, quod piſcis eo quaſi induatur. Et Poeta πόρκον appellat annulum, qui cuſpidem haſtæ ambit, eamque cum ligno conſtringit. A περιέχειν, quod continere ſignificat. *Cuſpis ærea, quam aureus ambibat annulus.* Orion vero [vocabulum hoc deducit] a verbo πείρω, i. e. trajicio, perforo.

Πορνεῖα. τόπος, ἔνθα αἱ πόρναι διάγουσιν.
Ἐς [9] τὰ πορνεῖα ἐσιόνθ' ἑκάστοτε.
Ἀριστοφάνης.

Πορνεῖα. Lupanaria, ſive loca, ubi meretrices degunt. *In lupanaria frequenter ingredientes.* Ariſtophanes.

Πορνεία. ἡ εἰδωλολατρεία. καὶ πόρνος, ὁ εἰδωλολάτρης. παρὰ τὸ πόρρω νεύειν. [10] Ἐξωλόθρευσας πάντα τὸν πορνεύοντα ἀπὸ σοῦ· ἐμοὶ δὲ τὸ προσκολλᾶσθαι τῷ Θεῷ ἀγαθόν ἐστι. Πορνεία, καὶ ἡ ἀκολασία. παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

Πορνεία. Scortatio. [Sic etiam in S. Scriptura vocatur] cultus idolorum: & πόρνος, cultor idolorum. Dicta eſt autem vox iſta a πόρρω νεύειν, quod eminus innuere ſignificat. *Perdidiſti penitus omnem, qui a te ad Idola deficit. Mihi vero bonum eſt adhærere Deo.*

Πορνεία etiam dicitur impudicitia, vel libido. A πεπωρωμένος & νοῦς: quod nimirum homines impudici mentem habeant callo quaſi obductam.

Πορνεύω.

Πορνεύω. Scortor. Pudicitiam proſtituo.

Πορνίδιον. ἡ μικρὰ παῖς ἐπὶ πορνείᾳ.

Πορνίδιον. Parvum ſcortum. Meretricula.

Πόρον. διέξοδον. τρίβον. καὶ περαίωσιν ποταμοῦ.

Πόρον. Meatum. Tranſitum. Iter. Item, fluminis trajectum.

Πόρος. πέρας, ἢ ποταμός, ἢ ὁδός, ἢ φυσήματα ὑδάτων, ἢ μηχανή, ἢ τεχνάσματα, ἢ διάβασις. [11] Ἀριστοφάνης·
Τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται.

Πόρος. Meatus, vel fluvius, vel via, vel aquarum inflationes, vel machina, vel ars & commentum, vel tranſitus. Ariſtophanes: *Qua ratione iter hoc emetiri poteris?* Et

1 Πορθμὼ δύω ἐστόν. ὁ μὲν ἐφ' Ἑλλησπ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, excerpta ſunt ex Procopii *Hiſt. Arc.* cap. xxv.
2 Πόρκης] Eſt vox Homerica. Vide paulo poſt.
3 Πόρκος. οἱ μὲν τὸ δίκτ.] Hæc omnia totidem pene verbis leguntur etiam apud Etymologum.
4 Ὁ γὰρ Πλάτων] Locus Platonis exſtat in *Sophiſta*, haud procul ab initio.
5 Δίφιλος] Etymologus habet, Φίλων.
6 Πόρκον] Imo, πόρκην: a recto πόρκης.
7 Ὁ συνέχων τὸν σίδηρον πρὸς τὸ ξύλον τοῦ δόρατος] Hæc verba apud Etymologum rectius collocata ſunt poſt locum Homericum, qui hic ſubjungitur.
8 Αἰχμὴ χαλκ.] Homerus Il. Z. v. 320. ſed ubi legitur πόρκης, uti etiam hic, apud Suidam ſcribendum eſt.
9 Ἐς τὰ πορν.] Metri gratia ſcribendum eſt,
——Ἐς τὰ πορνεῖ' ἐσιόνθ' ἑκάστοτε.
10 Ἐξωλόθρευσας πάντα τὸν πορν.] Pſalm. LXXII. 27.
11 Ἀριστοφάνης] In *Pace*, pag. 632.

ἀντὶ

ἀντὶ τοῦ, διάβασις. καὶ, Πόροι ἀλίρροθοι,[1] παρὰ Σοφοκλεῖ· ἤγουν, ποταμοὶ εἰς τὴν θάλασσαν ῥέοντες.[2] Πόρος δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. καὶ εὔπορος, ὁ ἔχων ἀεὶ ἐπιρρέοντα πλοῦτον. ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου.

Πόρος.[3] Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. δῆμός ἐστι τῆς Ἀκαμαντίδος ὁ Πόρος. καὶ ὁ δημότης, Πόριος.

Πόῤῥω. ἐπὶ χρόνου τάσσεται. Ὡς δὲ πόῤῥω ἦσαν τοῦ πίνειν, τότε δὴ μύρον μέν τις περιήνεγκεν. οἱ δὲ ἐχρίοντο.

Πόῤῥω[4] Διός τε καὶ κεραυνοῦ. διὰ τοὺς ἐπιβούλως τοῖς συνοῦσι χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδυνευόντων.

ditione illorum, quos dignitatis ſuæ faſtigium

Πόῤῥωτέρω, καὶ πόῤῥωτάτω. ἐπὶ συγκρίσεως, καὶ ὑπερθέσεως. ἀντὶ τοῦ πάνυ μακρῶν. καὶ ἁπλῶς, ἀντὶ τοῦ πάνυ.

Πόῤῥω τῶν νυκτῶν. περὶ τὸ μεσονύκτιον.[5] Τινὲς δὲ τῶν αὐτῷ παρόντων πόῤῥω που τῶν νυκτῶν δηλονότι, οἷσπερ ἐν καθαρῷ ἦν ἡ ψυχὴ, φάσμα θεάσασθαι δαιμόνιον.

Πόρπαξ.[6] Σοφοκλῆς·

> Ἀλλ' αὐτό μοι σὺ, παῖ, λαβὼν ἐπώνυμον,
> Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων
> Πόρπακος ἑπταβόειον ἄῤῥηκτον σάκος.

Καὶ[7] Ἀριστοφάνης· Ἀλλ' ἐμός γε, κἂν ἐκ τῆς τάξεως ἔλθῃ ποκα, πορπακισάμενος. ὁ ἐμὸς, φησὶν, ἀνὴρ, οἷον περονησάμενος, ἀντὶ τοῦ[8] ἀπολαβὼν τὴν ἀσπίδα, ἅμα τῷ παρεῖναι ἄπεισιν εἰς τὸν πόλεμον.

Πόρπαξ.[9] ᾧ τὴν ἀσπίδα κατέχουσιν· ὁ λεγόμενος ὄχανος.[10] ἀνετίθεσαν γὰρ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ ὀχάνων, ἵνα μὴ ἑτοίμως αὐτοῖς ἔχωσι χρῆσθαι.

> Οὐ[11] γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας
> Ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.

Πόρπαξ.[12] κατὰ μέν τινας ὁ ἀναφορεὺς τῆς ἀσπίδος. ὡς δέ τινες, τὸ δίηκον μέσον τῆς ἀσπίδος σιδήρειον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

Πόρπη. ἡ παρὰ Ῥωμαίοις φίβλα. Ὁ δὲ τὴν πόρπην αὐτοῦ σπάσας, ἀεὶ, φησὶν, ὑμεῖς οἱ περὶ τὸν

πόροι ἀλίῤῥοθοι apud Sophoclem ſunt fluvii in mare fluentes. Πόρος vero proprie de aqua dicitur. Et εὔπορος vocatur ille, cui divitiæ ſemper affluunt. Per metaphoram ductam a fluxu aquæ.

Πόρος. Portus. Demoſthenes in oratione adverſus Eubulidem. Πόρος eſt populus tribus Acamantiæ, cujus popularis dicitur Πόριος.

Πόῤῥω. Procul. Longe. Dicitur etiam de tempore. *Cum vero potatio jam longius proceſſiſſet, aliquis unguentum circumtulit, quo ſe unxerunt.*

Πραγματευτικός. Qui mercaturæ & negotiationi operam dat. Idem etiam ἐμπολαῖος dicitur.

Πραγματεία. οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, ὅπου καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας τινὰς μεταχειριζομένων, ἀλλ᾽ ἐπὶ τῶν πράγματα συνίστασθαι ἐπιχειρούντων. ὡς Δείναρχος ἐν τῷ κατὰ Μεναίχμου· Αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἴτιαι τῶν ἰδίων διαφορῶν καθεστήκασι.

Πραγματεία. Nomen hoc non, ut vulgari conſuetudine pro ſtudio & opera ponitur, ſic etiam apud Oratores dicitur de illis, qui in aliqua re elaborant, & in eo operam ponunt; ſed de illis, qui alicui moleſtias exhibere conantur. Sic Dinarchus in oratione contra Menæchmum: *Nam inimicitiæ & moleſtiæ, quæ a Republ. oriuntur, privatorum diſſidiorum cauſæ ſunt.*

Πραγματεία. πολυπραγμοσύνη. κακοπάθεια. Πόλιν πολυάνθρωπον καὶ στρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ βασιλεύς.

Πραγματεία. Studium. Occupatio. Moleſtia. Labor. *Urbem ingenti hominum numero abundantem, validoque exercitu munitam, Rex ſine labore cepit.*

Πραγματικώτατον. ἐνεργητικώτατον. Ὃ δὴ καὶ πραγματικώτατον γεγονέναι τὸ διαβούλιον. καὶ αὖθις· Τοῦτο δὲ ἐποίει νουνεχῶς ἅμα καὶ πραγματικῶς.

Πραγματικώτατον. Efficaciſſimum. *Quod conſilium efficaciſſimum fuiſſe* [*videbatur.*] Et iterum: *Hoc autem prudenter ſimul & ſtrenue faciebat.*

1 Πωρύτης] Tranſpoſitis literis ſcribendum eſt, πηρυτύς. Vide Heſychium h. v.

2 Παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις] Pag. 175. (105. Ed. Baſ. *P.*)

3 Καὶ πῶς ἔγωγ.] Ariſtoph. *Avibus*, pag. 571. 572. (394. Ed. Baſ. *P.*) Ubi verſus ultimus rectius ſic legitur:

Ὃ διατραγόντ᾽, ἔσεσθον ἐπτερωμένω.

4 Πώϋγξ] Vide Etymologum h. v.

5 Πράγματα. ἐπὶ κακοῦ λε.] Ex Enarratore Comici ad *Plutum*, pag. 70. (35. Ed. Baſ. *P.*)

6 Καὶ δή ποτε εἷς πορφ.] Ariſtoph. *Avib.* p. 599. (415. Ed. Baſ. *P.*)

7 Ἀλλά σοι παρ.] Ariſtoph. *Pluto*, pag. 4. (3. Ed. Baſ. *P.*)

8 Ἀνδρὶ Λυδῷ πρ.] Vide ſupra v. Ἀνδρὶ Λυδ.

9 Πράγματ᾽ ἐξ ἀπρ.] Vide Cauſabonum ad Athen. pag. 100.

Πραγ-

Πραγματοδίφης. ὁ δικολόγος. Καὶ [1] πραγματοδίφης. Ὦ μακάριε τῆς τέχνης.

Πραγματοδίφης. Cauſidicus. Rabula. Qui id ſtudet, ut aliis negotia faceſſat. [Ariſtophanes:] *Et litium conſutor. O te felicem ob artem tuam!*

Πραγματομαθής, καὶ πραγματομαθεῖς. Ὁ δὲ ὢν ἀγχίνους, καὶ τριβῇ κινδύνων πραγματομαθής. καὶ πραγματομαθεῖς, οἱ τῶν πραγμάτων εἰδήμονες. Διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες, ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα.

Πραγματομαθής. Magnum in rebus uſum habens. Negotiorum peritus. Et πραγματομαθεῖς, uſu rerum præditi. *Ille vero cum eſſet ſolers, & ob crebram periculorum experientiam magnum in rebus uſum haberet.* † *Quare & Romani, utpote longo rerum uſu edocti, incertos fortunæ caſus pertimeſcebant.*

Πραγματωδεστέρα τάξις. ἡ δυστυχεστέρα.

Πραγματωδεστέρα τάξις. Status, vel conditio infelix, & multis moleſtiis obnoxia.

Πραγμάτων.
[2] Πραγμάτων τε, καὶ μαχῶν,
Καὶ Λαμάχων ἀπαλλαγείς.
Λάμαχος, στρατηγὸς Ἀθηναίων ῥιψοκίνδυνος.

Πραγμάτων. Moleſtiarum. Turbarum. [Ariſtophanes:] *A turbis, & bellis, & Lamachis liberatus.* Lamachus fuit dux Athenienſium valde temerarius.

Πρᾶγος. ἡ πρᾶξις.
[3] Πρᾶγος δ' ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών.
Ἄνθρωπον ὄντα, φησὶν, οὐ δεῖ πρᾶγμα κακίζειν.

Πρᾶγος. Res. Negotium. Actio. [Sophocles:] *Nullum autem factum humanum quiſquam vituperare debet.* Vel, Homo cum ſis, nihil humani contemnere te oportet.

Πραέων γῆ.

Πραέων γῆ. Manſuetorum terra.

Πρακτέα. Καὶ τὰ πρακτέα ὀρθῶς διατάττων.

Πρακτέα. Gerenda. Facienda. *Et res gerendas recte ordinans.*

Πρακτέον. δεῖ πράττειν.

Πρακτέον. Faciendum eſt.

Πρακτικαί. Οὔτε αἱ πρακτικαὶ νοήσεις ἄπειροι, οὔτε αἱ θεωρητικαί, ἐπεὶ μηδὲ οἱ τούτων λόγοι ἄπειροι. ἄγγελοι δὲ εἰσὶ τῶν νοημάτων οἱ λόγοι· οἵτινες κἂν ὕστεροί εἰσι τῶν πρακτικῶν νοήσεων, καὶ θεωρητικῶν, ἀλλ' ἡμῖν γε ἐμφανέστεροι καὶ γνωριμώτεροί εἰσιν. ὡς οὖν ἔχουσιν οἱ πρότεροι, λείπει.

Πρακτικαί. In actione conſiſtentes. Nec activæ intellectiones ſunt infinitæ, neque contemplativæ, quia ne orationes quidem harum ſunt infinitæ. Sermones autem ſunt cogitationum nuncii, qui quamvis ſint activis & contemplativis intellectionibus poſteriores, nobis tamen ſunt evidentiores & notiores. Cætera deſunt. *Port.*

Πρακτικόν. ἀνυστικόν.

Πρακτικόν. Efficax. Induſtrium.

Πράκτορα. ἔκδικον.
[4] Φόνου ποτ' αὐτὸν πράκτορ' ἥξεσθαι πατρός.

Πράκτορα. Vindicem. Ultorem. [Sophocles: *Sperabam,*] *eum aliquando venturum eſſe paternæ necis vindicem.*

Πράκτωρ. ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον.

Πράκτωρ. Exactor tributi.

Πράμνιος οἶνος. [5] Ἀρίσταρχος ἐπιμελῶς [6] τὸν ἡδὺν οἶνον Πράμνιον ἔλεγε. τινὲς τὸν ὤνιον, ἢ παραμόνιμον. τινὲς ἀπὸ ἀμπέλου Πραμνίας ὀνομαζομένης. οἱ δὲ ἰδίως τὸν μέλανα. ἔνιοι δὲ, τὸν πραΰνοντα τὸ μένος· ὃν καὶ φαρμακίτην φασί. Σῆμος ὁ Δήλιος ἐν τρίτῃ, ἐν [7] Νικίᾳ Πράμνιον εἶναι πέτραν, ἀφ' ἧς τὸν οἶνον εἶναι.

Πράμνιος οἶνος. Pramnium vinum. Ariſtarchus vinum ſuave recte vocabat Pramnium. Quidam, vinum venale: vel, diu durans. Nonnulli a vite, quæ Pramnia dicatur, [vinum hoc appellatum eſſe tradunt.] Alii peculiariter vinum nigrum [ſic vocant.] Alii vinum hoc ſic dictum putant, tanquam πραΰνον τὸ μένος, i. e. animum deliniens: quod & pharmaciten vocant. Semus Delius vero libro III. auctor eſt, in Icaro eſſe petram Pramniam, a qua vinum [Pramnium] appellationem traxerit.

Πρανές. κάταντες.

Πρανές. Pronum. Declive.

Πρανής. ὁδὸς κατωφερής. Ἐν δέ τινι πρανεῖ, στενῷ, καὶ ἐπιμήκει, καὶ ὀλίσθου γέμοντι, πολλοὶ παρεφέροντο.

Πρανής. Pronus. Declivis. *In loco declivi, anguſto, oblongo, & valde lubrico, multi præcipites ferebantur.*

Πραξάμενος. ἀπαιτήσας. λαβών. Μάλλιος ὁ ἀνθύπατος τριακόσια τάλαντα πραξάμενος παρὰ Ἀριαράθου, φίλον αὐτὸν ἐποιήσατο Ῥωμαίων.

Πραξάμενος. Qui exegit. Qui accepit. *Manlius Proconſul* CCC. *talentis ab Ariarathe acceptis, ipſum Romanorum amicum fecit.*

1 Καὶ πραγματοδ.] Ariſtoph. *Avibus* p. 607. (412. Ed. Baſ. *P.*)
——— Ὦ μακάριε τῆς τέχνης,
Καὶ πραγματοδίφης.

2 Πραγμάτων τε καὶ μαχ.] Ariſtophanes *Acharnenſ.* pag. 384. (273. Ed. Baſ. *P.*)

3 Πρᾶγος δ' ἀτίζειν οὐδ.] Senarius hic legitur apud Sophoclem *Oedip. Colon.* pag. 309. ut Portus monuit.

4 Φόνου ποτ' αὐτὸν πρ.] Sophocles *Electra,* pag. 122. ut itidem Portus monuit.

5 Πράμνιος οἶνος. Ἀρίστ.] Notam hanc excerpſit Suidas ex Athenæi lib. I. cap. XXIV. ut Pearſonius etiam obſervaverat. Confer Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 294.

6 Τὸν ἡδὺν] Imo contra potius, τὸν μὴ ἡδύν. Vinum Pramnium enim minime erat dulce & ſuave, ſed auſterum & durum, ut tum Athenæus loco laudato, tum etiam alii ſcriptores teſtantur.

7 Ἐν Νικίᾳ] Peſſime. Scribendum enim eſt ἐν Ἰκάρῳ, ut recte legitur apud Athenæum loco laudato.

Πρα-

Πραξάντες. Θουκυδίδης· Οἱ δὲ μετ' Ἀθηναίων πράξαντες, (τουτέστι βουλευθέντες) ἔφασαν δεῖν αἱ ἀνοίγειν τὰς πύλας. ἔμελλον δὲ ἀνοιχθεισῶν [1] εἰσπίπτειν τοῖς Ἀθηναίοις.

Πραξιδίκη. Θεός, ἧς κεφαλὴν μόνην ἱδρύοντο. Μνασέας δὲ ἐν τῷ περὶ Εὐρώπης, Σωτῆρος καὶ τῆς ἀδελφῆς Πραξιδίκης γενέσθαι Κτήσιον υἱὸν καὶ θυγατέρας, Ὁμόνοιαν καὶ Ἀρετήν· ἃς ἀπὸ τῆς μητρὸς Πραξιδίκας κληθῆναι. Διονύσιος δὲ ἐν Κτίσεσιν, Ὠγύγου θυγατέρας, Ἀλαλκομένειαν, Θελξίνειαν, Αὐλίδα· ἃς ὕστερον Πραξιδίκας ὀνομασθῆναι.

Πραξίλλη. [2] ὄνομα κύριον.

Πραξικοπήσας. [3] ἐξ ἐπιβουλῆς βουλευσάμενος. δολευσάμενος. [4] Πολύβιος· Ὁ δὲ στρατηγὸς πρῶτον μὲν πραξικοπήσας κατέσχε τὴν τῶν Ἐρεβησσέων πόλιν, καὶ παρείλετο τὰς ἀγοράς.

Πραξικοπήσας. δωροδοκηθείς. Ὁ δὲ Οὔρβιος πραξικοπήσας νυκτός, κατέλαβε τὸ μέρος τῆς ἀκροπόλεως, καὶ τοὺς Ῥωμαίους εἰσήγαγε. † Πολλὰς πόλεις ἠνδραποδίσατο, πραξικοπήσας μετὰ δόλου καὶ βίας.

Πρᾶξις. [5] κοινότερον μὲν πᾶσα λογικὴ ἐνέργεια· ἰδίως δέ, καὶ κυριώτερον, ἡ κατὰ προαίρεσιν, τουτέστιν, ἡ κατ' ἀρετὴν ἢ κακίαν ἐνέργεια γινομένη. ὧν οὖν αἱ πράξεις αἱρετώτεραι, ταῦτα αἱρετώτερα· οἷον, εἰ τὸ τὰ δίκαια πράσσειν τοῦ τὰ ἀνδρεῖα πράσσειν αἱρετώτερον, καὶ ἡ δικαιοσύνη τῆς ἀνδρείας αἱρετωτέρα. ἔστι δὲ πρᾶξις μέν, ἡ πρὸς τὸ τέλος τείνουσα ἐνέργεια. ἔργον δέ, τὸ τέλος.

Πρᾶξις. ἡ προδοσία. Πολύβιος· Μετὰ τῶν ἐν τῇ πατρίδι φίλων τρίτην πρᾶξιν κατασκευασάμενος, καὶ προσενεγκόντος τοῦ Φαβίου τὸν λόγον. καὶ αὖθις [6] Πολύβιος· Ὁ δὲ συνεστήσατο πρᾶξιν ἐπὶ τοὺς Αἰτωλοὺς διά τινος Ἰάσονος· ὃς διαπεμψάμενος πρὸς Ἄγητα τὸν τῶν Αἰτωλῶν στρατηγόν, ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι.

Πραξιτέλης, Πραξιτέλους. ὄνομα κύριον.

Πρᾴως. [7] Ἀριστοφάνης·

Σὺ δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλ', ἀλλὰ πρᾴως
Ἔλεγχ', ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει
Ἄνδρας ποιητάς, ὥσπερ ἀρτοπώλιδας.

Πρᾶος. Ὅτι τὸν πρᾶον εἰς τὸ ἀργὸν καὶ ἀκίνητον με-

Πραξάντες. Thucydides: *Qui autem urbis Athenienſibus prodendæ conſilium ceperant, portas aperiendas eſſe dicebant. Statuerant autem portis apertis, una cum Athenienſibus in urbem irrumpere.*

Πραξιδίκη. Praxidice, Dea, cujus caput ſolum [in templis, aliisſve locis publicis] collocare ſolebant. Mnaſeas vero in opere *de Europa* ait, Soteris & ſororis Praxidices filium fuiſſe Cteſium; filias vero, Concordiam & Virtutem; quæ a matre Praxidicæ vocatæ fuerint. Dionyſius vero in *Originibus* ait, Ogygis filias fuiſſe Alalcomeniam, Thelxiniam, & Aulidem, quæ poſtea Praxidicæ vocatæ fuerint.

Πραξίλλη. Praxille. Nomen proprium.

Πραξικοπήσας. Qui occulte & per inſidias aliquid molitus eſt. Qui fraude & dolo uſus eſt. Polybius: *Dux vero ante omnia urbem Erebeſſum proditorum opera uſus occupat, & [hoſtibus] commeatum adimit.*

Πραξικοπήσας. Muneribus corruptus. [Vel potius, dolo & proditorum opera uſus.] *Urbius autem proditorum opera uſus partem arcis noctu occupavit, & Romanos in eam introduxit. † Multas urbes in ſervitutem redegit, quas partim proditorum opera, partim vi occupaverat.*

Πρᾶξις. Generaliter quidem omnis actio, quæ cum ratione fit, ita vocatur: ſpecialiter vero, & magis proprie, ea, quæ fit ex deliberato conſilio; hoc eſt, quæ cum virtute vel vitio conjuncta eſt. Quarum igitur rerum actiones ſunt magis expetendæ, illæ res & ipſæ ſunt magis expetendæ. Ut, ſi juſte facere eſt magis expetendum, quam fortem eſſe; juſtitia etiam magis expetenda erit, quam fortitudo. Πρᾶξις autem eſt actio tendens ad finem. Opus vero, eſt ipſe finis.

Πρᾶξις. Proditio. Polybius: *Cum amicis, qui erant in patria, tertiam proditionem eſt molitus, & Fabio conditionem obtulit.* Et iterum Polybius: *Ille vero dolum molitus eſt in Ætolos opera Jaſonis cujuſdam: qui miſſis ad Agetem Ætolorum Prætorem internuntiis, arcem Phanotenſium ſe ei traditurum pollicetur.*

Πραξιτέλης. Praxiteles. Nomen proprium.

Πρᾴως. Leniter. Manſuete. Placide. Ariſtophanes: *Tu vero, Æſchyle, ne irato animo, ſed leniter refelle objecta. Non enim convitiis inſectari decet poetas, tanquam mulieres, quæ panes vendunt.*

Πρᾶος. Manſuetus. Placidus. Lenis.

1 Εἰσπίπτειν] Portus legit, συνεισπίπτειν, quod probo.

2 Πραξίλλη] Fuit Poetria, cujus plures ſcriptores mentionem faciunt. Zenobius Centur. IV. Adag. XXI. Πράξιλλα Σικυωνία μελοποιὸς ἐγένετο, ὥς φησι Πολέμων. αὕτη ἡ Πράξιλλα τὸν Ἄδωνιν ἐν τοῖς μέλεσιν εἰσάγει ἐρωτώμενον ὑπὸ τῶν κάτω, τί κάλλιστον καταλιπὼν ἥκει, ἀποκρίνασθαι, Ἥλιον καὶ σελήνην καὶ σικύους καὶ μῆλα. ὅθεν εἰς παροιμίαν περιήχθη τό, Ἠλιθιώτερος τοῦ Πραξίλλης Ἀδώνιδος. Ἠλίθιος γὰρ τὸ τῷ ἡλίῳ παραβάλλειν τοὺς σικύους. Athenæus lib. XIII. pag. 603. Πράξιλλα δὲ ἡ Σικυωνία ὑπὸ Διός φησιν ἁρπασθῆναι τὸν Χρύσιππον. Pauſanias in *Laconicis*, pag. 184. Πραξίλλῃ μὲν δὴ πεποιημένα ἐστίν, ὡς Εὐρώπης εἴη Καρνεῖος, καὶ αὐτὸν ἀνεθρέψατο Ἀπόλλων καὶ Λητώ. Scripſerat *Dithyrambos*. Hephæſtio in *Enchirid*. pag. 9. Καὶ παρὰ Πραξίλλῃ ἐν Διθυράμβοις, ἐν ᾠδῇ ἐπιγραφομένῃ Ἀχιλλεύς. Item, *Scolia*, ſive carmina παροίνια. Scholiaſta Ariſtophanis ad *Equit*. pag. 519. Καλακικὸν τὸ Σκολιόν. ἐν τοῖς Πραξίλλης δὲ φέρεται Παροινίοις. Euſtathius ad Il. B. pag. 326. ex Pauſania Lexicographo initium Scolii cujuſdam refert, quod nonnullos olim Praxillæ Sicyoniæ tribuiſſe ait. Præterea, ejus meminit Antipater Theſſalus in Epigrammate in novem poetrias Lyricas, quod legitur Anthol. lib. I. cap. LXVII.

3 Πραξικοπήσας] De ſignificatione hujus vocis conſulendus eſt Caſaub. in Comment. ad Polybium, pag. 185.

4 Πολύβιος] Lib. I. cap. XIX.

5 Πρᾶξις. κοινότερον μὲν π.] Totum hunc articulum Suidas ſumpſit ex Alex. Aphrod. in lib. III. *Topic*. pag. 137.

6 Πολύβιος] Lib. V. cap. XCVI.

7 Ἀριστοφάνης] *Ranis*, pag. 252. (164. Ed. Baſ. P.)

παλαμ-

παλαμβάνουσι. καὶ ζήτει ἐν τῷ Ἐγκράτεια.

Πρᾳότης. ἀοργησία. Ἂν[1] δέ τις τῆς πρᾳότητος γένος ἀποδῷ τὴν ἐγκράτειαν, καὶ ὁρίσηται αὐτὴν, ἐγκράτειαν ὀργῆς, οὐκ ὀρθῶς ἀποδίδωσιν. οὐ γὰρ τὸ ἐξ ὑποθέσεώς τινι ἀκολουθοῦν εἴη ἂν καὶ γένος. τὸ γὰρ γένος ἀχώριστον.

Πρᾳότης.[2] ἐπὶ Θεοῦ, ἡ μικρὰ τιμωρία. Δαβίδ. Ὅτι ἐπῆλθε πρᾳότης ἐφ' ἡμᾶς, καὶ παιδευθησόμεθα. Πρᾶος δὲ, ἀπὸ τοῦ ῥᾷον, ῥᾷος, καὶ πρᾶος.

Πραπίς. ἡ φρήν. [3]Ὅμηρος· Εἰδυίῃσι πραπίδεσσι.

Πρασιανός. ὅτι Πρασιανὸς λέγεται, καὶ Βενετιανὸς, καὶ Παλμουλάριος, καὶ Σκουτάριος, [4]παρὰ Μάρκῳ Ἀντωνίνῳ.

Πρασιαί. πόλις Λακωνική. [5]Ἀριστοφάνης·

Ἰὼ Πρασιαὶ τρισάθλιαι, καὶ πεντάκις,
Καὶ πολλοδεκάκις ὡς ἀπολεῖσθε σήμερον.

Πρασιαί. αἱ τοῦ κήπου λαχανίαι. καὶ πράσιον, λάχανον.

Πράσινον χρῶμα. [6]Ἄλλοις στάσεως ἀφορμὴν, ἢ μέρους Πρασίνου στοργὴν Ἰουστινιανὸς ἐπενεγκὼν, ἀνῄρει.

Πράσον.[7] κακόχυμον. ἔστι δὲ δριμύ. ὡς δέ φησι Διοσκορίδης, δυσόνειρον, εὐκοίλιον, διουρητικὸν, λεπτυντικόν. ἔχει δέ τι καὶ ῥυπτικόν.

Πράσου φύλλῳ τὸ τῶν [8]ἐρώτων δέδεται βαλάντιον. ἐπὶ τῶν δι' ἔρωτα πολλὰ ἀναλισκόντων, καὶ ἀσωτευομένων.

Πράττεσθαι. ἀπαιτεῖσθαι. Τῶν δὲ Ἰταλικῶν μηδένα πράττεσθαι τέλος.

Πρατίνας,[9] Πυρρωνίδου, ἢ Ἐγκωμίου, Φλιάσιος, ποιητὴς τραγῳδίας. ἀντηγωνίζετο δὲ Αἰσχύλῳ τε καὶ Χοιρίλῳ, ἐπὶ τῆς ἑβδομηκοστῆς Ὀλυμπιάδος, καὶ πρῶτος ἔγραψε Σατύρους. ἐπιδεικνυμένου δὲ τούτου,[10] συνέβη τὰ ἰκρία, ἐφ' ὧν ἑστήκεσαν οἱ θεαταὶ, πεσεῖν. καὶ ἐκ τούτου θέατρον ᾠκοδομήθη Ἀθηναίοις. καὶ δράματα μὲν ἐπεδείξατο ν'. ὧν Σατυρικὰ λβ'. ἐνίκησε δὲ ἅπαξ.

Πραττόμενοι. δοτικῇ. Μηδὲν αἴσχιστον τῇ πόλει πραττόμενοι. αἰτιατικῇ δέ· Καὶ φόρους καὶ ἀρχὰς πραττόμενοι.

[aliquando,] ſignificatione vocis in deteriorem ſenſum detorta, pro ſegni & ſtupido accipitur. Quære in v. Ἐγκράτεια.

Πρᾳότης. Lenitas. Manſuetudo. Si quis lenitatis genus continentiam ſtatuat, eamque definiat, iræ continentiam; non recte eam definit. Non enim, quod rem aliquam ex hypotheſi tantum ſequitur, id etiam genus ejus fuerit. Genus enim a re eſt inſeparabile.

Πρᾳότης. Cum de Deo dicitur, ſignificat lenitatem in puniendo. David: *Lenitas Divina ſuper nos venit, & caſtigabimur.* Πρᾶος vero ſic formatur. A ῥᾷον, fit ῥᾷος, & [præfixo π,] πρᾶος.

Πραπίς. Præcordia. Mens. Homerus: *Perita mente.*

Πρασιανός. Praſianus. Nomina hæc, Πρασιανὸς, Βενετιανὸς, Παλμουλάριος, & Σκουτάριος, reperiuntur apud M. Antoninum.

Πρασιαί. Praſiæ. Urbs Laconica. Ariſtophanes: *Heu Praſiæ, ter miſeræ, & quinquies, & centies! Ut peribitis hodie.*

Πρασιαί. Horti areolæ, in quibus olera ſeruntur. Et πράσιον, genus oleris. Porrum.

Πράσινον χρῶμα. Color praſinus. *Juſtinianus alios ob crimen ſeditionis, alios ob ſtudium factionis Praſinæ e medio tollebat.*

Πράσον. Porrum. Hoc malum habet ſuccum, eſtque acre. Ut autem ait Dioſcorides, moleſta ſomnia gignit, ventriculo prodeſt, urinam ciet, [craſſoſque & viſcoſos humores] attenuat. Habet etiam abſtergendi vim.

Πράσου Φ. *Porri folio amantium conſtricta eſt crumena.* Dicitur de iis, qui propter amorem multos ſumptus faciunt, & bona ſua dilapidant.

Πράττεσθαι. Exigi. *A nullo autem Italorum vectigal exigi juſſit.*

Πρατίνας. Pratinas, Pyrrhonidæ, vel Encomii F. Phliaſius, poeta tragicus: qui cum Æſchylo & Chœrilo certavit, Olympiade LXX. & primus Satyros ſcripſit. Illo autem fabulas docente, tabulata, in quibus ſpectatores ſtabant, ceciderunt: unde Athenienſes Theatrum extruxerunt. Fabulas edidit L. quarum XXXII. ſunt Satyricæ. Semel vero vicit.

Πραττόμενοι Dativo jungitur. *Nihil turpe in civitatem ſtatuentes.* Item, accuſativo. Ut; *Et tributa ab ipſis magiſtratibus exigentes.*

1 Ἂν δέ τις τῆς πρᾳότητος γένος ἀποδ.] Ex Alexandro Aphrodiſ. in lib. IV. *Topic.* pag. 176.

2 Πρᾳότης. ἐπὶ Θεοῦ ἡ μικρὰ τιμ.] Ex Theodoreto ad Pſalm. LXXXIX. pag. 762.

3 Ὅμηρος] Il. A. v. 608.

4 Παρὰ Μάρκῳ Ἀντωνίνῳ] Lib. I. §. 5. ubi verba ejus hæc ſunt: Παρὰ τοῦ τροφέως, τὸ μήτε Πρασιανὸς, μήτε Βενετιανὸς, μήτε παλμουλάριος, ἢ σκουτάριος γενέσθαι. Id eſt, interprete Gatakero: *Ab educatore [didici,] ne in certamine equeſtri factioni Praſinæ aut Venetæ, neve in gladiatorio, Thraci aut Scutori fautor fierem.* Vide ad eum locum notas Gatakeri. Cæterum, pro Σκουτάριος Lipſius *Saturnal.* lib. II. cap. XXIV. legit Σεκούτωρ: quem vide.

5 Ἀριστοφάνης] In *Pace*, pag. 638. (442. Ed. Baſ. *P.*)

6 Ἄλλοις στάσεως ἀφορμὴν, ἢ μέρους Πρ.] Fragmentum hoc excerptum eſt ex Procopii *Hiſt. Arc.* cap. XIX. De diverſis autem factionibus aurigarum Circenſium, inter quas una erat, quæ a colore veſtium *Praſina* dicebatur, vide præter alios Onuphrium *de Lud. Circenſ.* cap. X. Cæterum, Portus in loco hoc interpretando turpiter ſe dedit, ut ex verſione ejus cuilibet patebit, quæ ſic ſe habet: Πράσινον χρῶμα. *Porraceus color, [i. e. viridis, qualis eſſe ſolet porri color, ſignificat] aliis ſeditionis occaſionem. Manſuetos homines* (ἠμέρους nempe legit pro ἢ μέρους) *objecto Praſii amore Juſtinianus de medio tollebat.* Hæc ſane non aliter niſi litura ſanari poterant.

7 Πράσον. κακόχυμον. ἔστι δὲ δρ.] Hæc ſunt verba Pauli Æginetæ lib. VII. pag. 251.

8 Τῶν ἐρώτων] Sic etiam legitur in Vatic. Prov. Appendice. At ego cum Scaligero in *Stromat. Proverb.* potius legerim ἐρώντων.

9 Πρατίνας] Ejus aliquoties meminit Athenæus.

10 Συνέβη τὰ ἰκρία —— πεσεῖν] Confer Noſtrum ſupra v. Αἰσχύλος, & v. Ἰκρία.

Πραττομένους. ἀπαιτουμένους. Ἰσοκράτης· Καὶ τοὺς μαθητὰς μικρὸν πραττομένους. † Πραττόμενος δὲ τοὺς τῶν πλοίων κυρίους τέλους δὲ οὐδενὶ αἴσθησιν παρεχόμενος.

Πράττω. τὸ ἐνεργῶ. Ἔπραττε κακῶς, καὶ πᾶσα ἡ οἰκία αὐτοῦ ἐνόσει.

Πραινεστός. ὄνομα τόπου.

Πραιπόσιτος. εἶδος ἀξιώματος.

Πραιπόσιτος. ζήτει ἐν τῷ Σαλούστιος.

Πραίσιοι.[1] ζῶα.

Πραιτούρα.

Πραίτωρ. Μετὰ τοὺς χιλιάρχους καὶ αὖθις ἐπὶ τοὺς Ὑπάτους ἐπανῆλθον οἱ Ῥωμαῖοι, καὶ πρῶτος στρατηγὸς ἀπεδείχθη Φούριος Κάμιλλος, παῖς Καμίλλου, τοῦ πολλάκις μοναρχήσαντος· ὃν Πραίτωρα τῇ ἰδίᾳ γλώττῃ οἱ Ῥωμαῖοι ὠνόμαζον· ἤγουν στρατηγόν.

Πραιτώριον.

Πραίφεκτος. ναύαρχος.

Πραίφεκτοι.[2] δώδεκα ἄρχοντες προβεβλημένοι ὑπὸ τῶν Ὑπάτων, οἳ τοῖς Ὑπάτοις τοὺς ἐπιτηδειοτάτους πρὸς τὴν ἀληθινὴν χρείαν ἐκ τῶν παραγεγονότων συμμάχων ἱππεῖς τε καὶ πεζοὺς ἐξέλεγον, τοὺς ἐπικαλουμένους Ἐξτραορδιναρίους, ὃ μεθερμηνευόμενον, ἐπιλέκτους.

Πρέμνον. στέλεχος δένδρου. [3]Ἀριστοφάνης· Ἥκεις ἔχων πρέμνον πράγματος πελώριον. ὅ ἐστι, χρήσιμόν τι εἰσηγούμενος. † Οἱ [4]Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν ἔχοι πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου. καὶ ζήτει ἐν τῷ Χάραξ.

Πρεών, πρεόνος. ὡς πρών, πρωνός.

——————— Αἱ[5] τόσον ὕδωρ
Εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος.

Πρέσβα. ἐντιμοτάτη.

Πρεσβεύεσθε. πρέσβεις πέμπετε. καὶ πρεσβεύω, [6]παρὰ Σοφοκλεῖ.

Ὦ παῖ, γενοῦ μοι παῖς ἐτήτυμος γεγώς,
Καὶ μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον.

Ὁ Ἡρακλῆς φησι ψυχορραγῶν.

Πρεσβεύω. δοτικῇ. αἰτιατικῇ δέ· Καὶ πρὸς αὐτῆς τῆς ὀργάδος, ἣν πρεσβεύεις.

Πρεσβεῖα. τιμάς. γέρα. Καὶ χρηστὰ πρεσβεῖα τούτῳ τῆς μνήμης νῦν τε καὶ ἀεὶ νέμει.

Πρεσβεῖον. Ὁ δὲ Περίανδρος, ὁ Κυψέλου υἱός, τοῦ βασιλέως Κορίνθου, τὴν βασιλείαν κατὰ πρεσβεῖον λαμβάνει.

Πραττομένους. Illos, a quibus aliquid exigitur. Vel, eos, qui aliquid ab altero exigunt. Iſocrates: *Et exiguam mercedem a diſcipulis exigentes.* † *A navium Dominis vectigal exigens; vectigalis vero nullam cuiquam ſuſpicionem præbens.*

Πράττω. Ago. Facio. Rem gero. *Male rem gerebat, & tota ipſius familia ægrotabat.*

Πραινεστός. Præneſte. Nomen loci.

Πραιπόσιτος. Præpoſitus. [Apud Romanos eſt] dignitatis genus.

Πραιπόσιτος. Præpoſitus. Quære in voce Σαλούστιος.

Πραίσιοι. Animalia [ſic dicta.]

Πραιτούρα. [Nomen Latinum.] Prætura.

Πραίτωρ. Prætor. Poſt Tribunos Militares Romani Conſulibus iterum Remp. commiſerunt. Primus autem Prætor creatus eſt Furius Camillus, filius illius Camilli, qui ſæpius Dictator fuit. Qui autem lingua Romanorum *Prætor* appellatur, Græcis dicitur στρατηγός.

Πραιτώριον. Prætorium.

Πραίφεκτος. Præfectus. Nauarchus.

Πραίφεκτοι. Præfecti. Duodecim viri a Conſulibus conſtituti, qui ex univerſo cœtu ſociorum, qui adſunt, Conſulibus maxime idoneos ad rem ſtrenue gerendam, equites peditesque ſeligunt, quos vocant *Extraordinarios*; id eſt, ſi Græce vertas, Ἐπιλέκτους.

Πρέμνον. Truncus, vel, ſtipes arboris. *Venis habens molem rei ingentis.* Id eſt, venis, utile aliquod conſilium daturus. [Et Polybius:] *Græci vallum illum optimum eſſe putant, qui plurimos & maximos circa ipſum ſtipitem habeat ſurculos erumpentes.* Quære in v. Χάραξ.

Πρεών, πρεόνος, & πρών, πρωνός. Rupes. Cacumen montis. [In Epigrammate:] *Quæ tantum aquæ funditis de curva hac rupe.*

Πρέσβα. Veneranda. Honoranda.

Πρεσβεύεσθε. Legatos mittite. Et Πρεσβεύω, pluris facio, honoro, colo: apud Sophoclem. *O puer ſis mihi verus & germanus filius, neque matris nomen potius ducas, quam patris.* Hæc Hercules moribundus dicit.

Πρεσβεύω. Dativo jungitur. Item, accuſativo. *Per terram hanc ſacram, quam colis.*

Πρεσβεῖα. Honores. Prærogativæ. Privilegia. *Et præclara privilegia memoriæ nunc & ſemper illi tribuit.*

Πρεσβεῖον. Jus, quo quis gaudet, ut natu maximus. Ætatis privilegium. *Periander vero, Cypſeli Corinthiorum Regis filius, ætatis privilegio, utpote natu maximus, regnum accepit.*

1 Πραίσιοι ζῶα] Hæc non agnoſcunt MSS. Pariſ.

2 Πραίφεκτοι. δώδεκα ἄρχοντες προβ.] Hæc excerpta ſunt ex Polybii lib. VI. cap. XXIV.

3 Ἀριστοφάνης] *Avibus*, pag. 556. (381. Ed. Baſ.) ſed ubi legitur:

Ἥκετον δ᾽ ἔχοντε πρέμνον πράγματος πελώριον.

4 Οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χ.] Hæc ſunt verba Polybii lib. XVII. cap. XIV.

5 Αἱ τόσον ὕδωρ εἴβ.] Vide nos ſupra ad v. Πίτυς, ubi Epigramma, ex quo fragmentum hoc decerptum eſt, ex Anthologia inedita integrum cum Lectore communicavimus.

6 Παρὰ Σοφοκλεῖ] In *Trachin.* pag. 369. ut Portus monuit.

Πρέσβειρα. ἔντιμος.

Πρέσβεις.[1] ὅτι οὗτοι ἦσαν οἱ Φιλόσοφοι, οἱ ἐς Περσίδα διαπρεσβευσάμενοι σὺν Ἀρεοβίνδῳ· Δαμάσκιος ὁ Σύρος, Σιμπλίκιος ὁ Κίλιξ, [2] Εὐλάλιος ὁ Φρύξ, Πρισκιανὸς ὁ Λυδὸς, Ἑρμείας τε, καὶ Διογένης, οἱ ἐκ Φοινίκης, Ἰσίδωρος ὁ Γαζαῖος. οὗτοι πάντες οἴκαδε ἀπενόστησαν, χαίρειν εἰπόντες τῇ τοῦ βαρβάρου Φιλοξενίᾳ· καὶ ἀπώναντο δὲ ὅμως τῆς ἐκδημίας, οὐκ ἐν βραχεῖ τινι καὶ ἠμελημένῳ, ἀλλ᾽ ὅθεν αὐτοῖς ὁ ἐφεξῆς βίος ἐς τὸ θυμῆρές τε καὶ ἥδιστον ἀπετελεύτησεν. ὡς γὰρ οἱ Ῥωμαῖοι καὶ Πέρσαι σπονδὰς ἔθεντο καὶ συνθήκας, μέρος ὑπῆρχε τῶν κατ᾽ αὐτὰς ἀναγεγραμμένων, τὸ δεῖν ἐκείνους τοὺς ἄνδρας εἰς τὰ σφέτερα ἤθη κατιόντας, βιοτεύειν ἀδεῶς τολοιπὸν ἐφ᾽ ἑαυτοῖς, οὐδὲν ὅτιοῦν πέρα τῶν δοκούντων φρονεῖν, ἢ μεταβάλλειν τὴν πατρῴαν δόξαν ἀναγκαζομένους.

Πρέσβις, πρέσβεως. προπαροξυτόνως. οὐχὶ δὲ ἀπὸ τῆς πρέσβευς εὐθείας. οἱ γὰρ λέγοντες, ἁμαρτάνουσι. λέγεται δὲ καὶ πρέσβεων, καὶ πρεσβευτῶν, ἑκατέρως παρὰ τοῖς ῥήτορσιν. ἔστι δὲ τὸ μὲν καθωμιλημένον, καὶ Ἑλληνικὴν ἀναλογίαν σῶζον, ὅταν εἴπωσι πρέσβεις. εὑρίσκομεν δὲ καὶ πρεσβευτάς.

Πρεσβυγένεια. παλαιοτέρα γένεσις. καὶ συγκριτικῶς.

Πρεσβυγενής.

Πρεσβυτάτην. ἐντιμοτάτην.

Πρεσβυτερεῖον.

Πρεσβύτερος. τιμιώτερος. μείζων. Ὁ δὲ τὴν κατασκευὴν τοῦ νεὼ πρεσβυτέραν τῆς ἑαυτῶν ῥᾳστωνεύσεως ποιησάμενος. ἀντὶ τοῦ, μείζονα, καὶ τιμιωτέραν. † Καὶ τοὺς βωμοὺς κατέστρεψεν, ἐφ᾽ ὧν ὤμοσεν ἡ στρατιὰ τὰ αὐτοῦ πρεσβύτερα ποιήσασθαι.

Πρεσβύτερος Κόδρου. ἀντὶ τοῦ, παλαιότερος. παροιμία ἐπὶ τῶν πάνυ παλαιῶν. ἀπὸ τοῦ βασιλεύσαντος Ἀθήνησι Κόδρου. λέγεται δὲ καὶ πρεσβύτερα, τὰ τιμιώτερα. Ἡ δὲ στρατιὰ ἔλεγε τὰ ἑαυτῆς πρεσβύτερα ποιήσασθαι.

Πρευμενής. πρᾶος.

Πρηγορεῶνος. τοῦ λαιμοῦ.

Πρήθω. τὸ καίω.

Πρημαινούσας τε θυέλλας. [3] Ἀριστοφάνης Νεφέλαις. Θύελλα, συστροφὴ τοῦ ἀνέμου. Πρημαινούσας δὲ, μαινομένας, καὶ λάβρως φυσώσας. πρῆσαι γὰρ, τὸ φυσῆσαι. [4] Ὅμηρος·

Ἐν δ᾽ ἄνεμος πρῆσεν μέσον ἱστίον.

Πρηνᾶς. εἶδος ἰχθύος.

Πρηνές. ἐπὶ πρόσωπον. καὶ πρηνής.

Πρῆνες.[5] οἱ προνενευκότες τόποι τῶν ὀρέων. Ἢ [6] Γάργαρον ἶσον πρηῶνι Μαλείης, ᾧ ἐκυκήθη κῦμα, πο-

Πρέσβειρα. Honorata. Veneranda.

Πρέσβεις. Legati. Philoſophi, qui cum Areobindo in Perſiam iverunt legati, fuerunt iſti: Damaſcius Syrus, Simplicius Cilix, Eulalius Phryx, Priſcianus Lydus, Hermias & Diogenes Phœnices, Iſidorus Gazæus. Hi omnes domum redierunt, Barbari hoſpitalitate valere juſſa. Fructum tamen ex ea peregrinatione non exiguum, nec contemnendum perceperunt; ſed unde eis deinceps jucundiſſime per omnem vitam & ex animi ſententia vivere licuit. Cum enim [eo tempore] Romani & Perſæ pacem ac fœdus inter ſeſe pepigiſſent, hæc etiam in pactis conditio continebatur, ut viri illi in ſedes ſuas reverſi ſecure in poſterum & arbitratu ſuo viverent, neque quicquam quam quod probarent ſentire, aut patriam opinionem mutare cogerentur.

Πρέσβις. Legatus. [Genitivus eſt,] πρέσβεως, cum acuto in antepenultima. Is autem non eſt a recto πρέσβευς. Qui enim hoc dicunt, errant. Dicitur vero & πρέσβεων & πρεσβευτῶν. Utrumque enim apud Oratores in uſu eſt. Et πρέσβεις quidem vulgari ſermone tritum eſt, & analogiæ Græcæ linguæ conveniens. Reperitur vero etiam πρεσβευτάς.

Πρεσβυγένεια. Antiquior vel prior ortus.

Πρεσβυγενής. Natu major.

Πρεσβυτάτην. Præ aliis honoratam.

Πρεσβυτερεῖον. Presbyterium.

Πρεσβύτερος. Senior. Honoratior. Potior. Antiquior. *Ille vero cum templi fabricationem otio ſuo potiorem duxiſſet.* † *Et aras evertit, ſuper quas exercitus juraverat, ſe res ipſius potiores eſſe ducturum* [*ſuis.*]

Πρεσβύτερος Κόδρου. Antiquior Codro. Proverbium hoc de rebus valde vetuſtis dicitur; ductumque eſt a Codro, qui Athenis regnavit. Et πρεσβύτερα dicuntur ea, quæ ſunt honoratiora, vel potiora. *Exercitus autem dicebat, ſe ſuas res* [*alienis*] *antepoſiturum eſſe.*

Πρευμενής. Lenis. Mitis. Placidus.

Πρηγορεῶνος. Gutturis. Ingluviei.

Πρήθω. Uro. Comburo.

Πρημαινούσας τε θυέλλας. *Et vehementer ſpirantes procellas.* Ariſtophanes *Nubibus*. Θύελλα enim eſt procella, ſive turbo venti: & πρημαινούσας, furentes, ſive vehementer ſpirantes. Πρῆσαι enim eſt flare, ſpirare. Homerus: *Et ventus medium inflavit velum.*

Πρηνᾶς. Prenas. Piſcis genus.

Πρηνές. Pronum. Et πρηνής, pronus.

Πρῆνες. Promontoria. Montium eminentiæ, vel cacumina. *Vel Gargaron par promontorio*

[1] Ὅτι οὗτοι ἦσαν οἱ φιλόσοφοι, οἱ ἐς Περσ.] Totus hic locus ſumptus eſt ex Agathiæ lib. II. pag. 69. 70. ut Pearſonius recte obſervaverat.

[2] Εὐλάλιος] Apud Agathiam loco laudato hodie legitur Εὐλάμιος. Sed vide nos ſupra ad v. Δαμάσκιος.

[3] Ἀριστοφάνης Νεφέλαις] Pag. 145. (80. Ed. Baſ. P.)

[4] Ὅμηρος] Il. A. v. 481.

[5] Πρῆνες] Scribendum eſſe πρηῶνες, vel ex exemplo, quod ſubjungitur, patet.

[6] Ἢ Γάργαρον ἶσον κτ.] Et ſenſus fragmenti hujus mutilus eſt; & metrum turbatum; quod nemo in integrum reſtituat, niſi ipſum Epigramma, ex quo hæc decerpta ſunt, invenerit. Quare quærat diligens Lector.

λυψάμμους ὦσεν ἐπὶ ψαμάθους.

Πρήξινος. ὄνομα κύριον. καὶ Πρήξωνος.

Πρῆσαι. χεῦσαι. Πρῆσε δέ, ἐφύσησε.

Πρήσουσα.[1] διαπερῶσα.

Πρηστήρ. ἀστραπή. κεραυνός.

Ὤλεσε[2] γὰρ πρηστήρ σε κεραύνιος· αἱ δ' ἐπὶ μάνδραν
Ὀψὲ βόες νιφετοῦ περχόμεναι κατέβαν.

Πρηστήρ. πῦρ ἀπ' οὐρανοῦ. [3]ἢ νέφος περισχεθὲν πυρὶ μετὰ πνεύματος βιαιοτάτου. Πνεύματος μετὰ βροντῶν καὶ πρηστῆρος ἐξαναστάντος Λιβυκοῦ, καὶ ταραχὴν τοῦ κλύδωνος εἰργασμένου, κακωθῆναι τὰς ναῦς. καὶ αὖθις· Πολλὰ δὲ φυσήματα ἀπροσδόκητα ἐμπίπτει, πολλοὶ δὲ πρηστῆρες βιαιότατοι, καὶ μεγέθη κυμάτων.

Πρῆστις. εἶδος κήτους θαλασσίου. ἡ λεγομένη[4] μάλθη· ὃ καὶ δυσαγώνιστόν ἐστι.

Πριάμενος. ἀγοράσας. [5]Σοφοκλῆς·
Οὐκ ἂν πριαίμην οὐδενὸς λόγου βροτόν,
Ὅστις κενοῖσιν ἐλπίσιν θερμαίνεται.

Πριαμωθῆναι. ξυρηθῆναι. τὸ γὰρ τοῦ Πριάμου πρόσωπον ξυρίας ἐστί.

Πρίαμος. ὄνομα κύριον.

Πρίαπος.[6] ὁ αὐτός ἐστι τῷ Διονύσῳ. ἐν [7]Ἐπιγράμματι·
Ἀγροιώτῃ τῷδε μονοστόρθυγι Πριήπῳ
Θῆκεν ὁ καρποφύλαξ δενδριακὴν θυσίαν.
Καὶ αὖθις·
Αἰγιαλίτα [8]Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
Δῶρα παρακλινέης, σοί, τάδ' ἀπ' ὠφελίης.

Πρίαπος.[9] τὸ ἄγαλμα τοῦ Πριάπου, τοῦ Ὥρου παρ' Αἰγυπτίοις κεκλημένου, ἀνθρωποειδὲς ποιοῦσιν, ἐν τῇ δεξιᾷ σκῆπτρον κατέχον, [10]ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλασσαν· ἐν δὲ τῇ εὐωνύμῳ κρατοῦν τὸ αἰδοῖον αὐτοῦ ἐντεταμένον, διότι τὰ κεκρυμμένα ἐν τῇ γῇ σπέρματα φανερὰ καθίστησι. [11]τὰ δὲ πτερὰ τὴν ταχύτητα τῆς κινήσεως δηλοῖ. τὸν δὲ κύκλον, τοῦ δίσκου τὴν περιφέρειαν. ταυτὸν γὰρ τῷ ἡλίῳ δοξάζουσι.

Πρίαπος ἐκ [12]τοῦ Διὸς καὶ τῆς Ἀφροδίτης συνειλήφθη. ἡ γὰρ Ἥρα ζηλοτυπήσασα, μαγγανείᾳ τινὶ ἥψατο τῆς κοιλίας τῆς Ἀφροδίτης, καὶ παρεσκεύασεν ἄμορφον καὶ αἰσχρὸν τεχθῆναι τὸ βρέφος, καὶ περισσόσαρ-

Maleæ, ubi fluctus æſtuans eum in littus arenoſum ejecit.

Πρήξινος. Prexinus. Nomen proprium. Et Πρήξωνος, [genitivus, a recto Πρήξων.]

Πρῆσαι. Uſſiſſe. Incendiſſe. At πρῆσε, flavit, ſpiravit.

Πρήσουσα. Trajiciens. Tranſiens.

Πρηστήρ. Preſter. Fulgur. Fulmen: [In Epigrammate:] *Perdidit enim te preſter fulmineus. Boves vero nive urgente ſero tandem in caulam redierunt.*

Πρηστήρ. Preſter. Id eſt, ignis, qui de cœlo deſcendit. Vel, nubes igni circumdata cum vento vehementiſſimo. *Orto autem vento Libyco cum tonitribus & preſtere, & mari turbato, naves læſas fuiſſe.* Et iterum: *Multi autem venti improviſi ingruunt, multique preſteres violentiſſimi, & fluctus maximi.*

Πρῆστις. Preſtis. Piſtrix. Genus ceti marini: quod etiam Malthe vocatur, & difficulter capi poteſt.

Πριάμενος. Emens. Sophocles: *Ne minimo quidem pretio hominem illum emerim, qui ex inani ſpe ingentem illico fiduciam animo concipit.*

Πριαμωθῆναι. Raſum eſſe. Priami enim larva raſa erat.

Πρίαμος. Priamus. Nomen proprium.

Πρίαπος. Priapus. Idem eſt, ac Bacchus. In Epigrammate: *Ruſticano huic & unum ſpiculum habenti Priapo cuſtos horti fructus hos arboreos conſecravit.* Et iterum: *Littoralis Priape, piſcatores tibi dona hæc dedicarunt ex præda juxta littus capta.*

Πρίαπος. Priapus. Simulacrum Priapi, qui apud Ægyptios vocatur Horus, humana forma fingunt, dextra ſceptrum tenens, eo quod terra marique appareat: ſiniſtra vero penem intentum; quod occultata in terra ſemina producat. Alæ celeritatem motus ſignificant: circulus vero, diſci rotunditatem. Eundem enim Priapum atque ſolem eſſe exiſtimant.

Πρίαπος ἐκ τοῦ Δ. Priapus ex Jove & Venere natus eſt. Juno enim Veneri ſuccenſens, vi quadam malefica ventrem ejus contrectavit, & ſic effecit, ut infans deformis & fœdus & præpinguis naſceretur. Hunc a ma-

1 Πρήσουσα] Potius, διαπρήσσουσα. Homer. Il. A. v. 483.
——Διαπρήσσουσα κέλευθα.
Scholiaſta: Διαπρήσσουσα. διαπερῶσα. διερχομένη. Huc Suidas reſpexit.

2 Ὤλεσε γὰρ πρηστήρ σε κερ] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur Anthol. lib. III. cap. XXVI.

3 Ἢ νέφος περισχεθὲν πυρὶ μετὰ πν.] Laertius in *Zenone Citt.* ſegm. CLIV. Πρηστῆρα (φασὶν εἶναι) νέφος περισχεθὲν πυρὶ μετὰ πνεύματος εἰς τὰ κοιλώματα τῆς γῆς. Ad hunc locum Suidas reſpexit; ſed qui pro περισχεθὲν habet περισχεθέν. Aldobrandinus autem videtur legiſſe, περισχισθέν. Vertit enim: *Preſterem nubem eſſe undique diſciſſam.*

4 Μάλθη] MS. A. habet, μάλη.

5 Σοφοκλῆς] *Ajace*, pag. 29. ut Portus obſervaverat. Vide etiam ſupra v. Θερμόν, ubi idem fragmentum legitur.

6 Πρίαπος. ὁ αὐτός ἐστι τῷ Διονύσῳ] Ex Athen. l. I. c. XXIII. p. 30.

7 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XIV. ut Portus monuit.

8 Αἰγιαλῖτα Πρίηπε, σαγ.] Anthol. lib. VI. cap. III. Epigr. X. ut itidem Portus obſervaverat.

9 Πρίαπος. τὸ ἄγαλμα τοῦ Πριάπου, τοῦ Ὥρου παρ' Αἰγ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Codinum *de Orig. CPolit.* pag. 15.

10 Ὡσανεὶ παρ' αὐτοῦ φανεῖσαν τὴν ξηρὰν καὶ τὴν θάλ.] Hæc aliter apud Codinum; quem vide, & Lambecium ad eum locum.

11 Τὰ δὲ πτερὰ τὴν ταχύτητα τῆς κιν.] Hæc rectius & plenius apud Codinum ſic leguntur: Ἔχει δὲ καὶ πτερά. κατὰ μέσον δὲ τῶν πτερῶν δισκοειδεῖς κύκλους. τὰ μὲν πτερά, διὰ τὴν ταχύτητα τῆς κινήσεως· τοὺς δὲ κύκλους, διὰ τὴν τοῦ δίσκου περιφέρειαν.

12 Ἐκ τοῦ Διός] Imo, ἐκ τοῦ Διονύσου. Vide Etymologum v. Ἄβαρνος.

κον. ἡ δὲ μήτηρ ἔῤῥιψεν αὐτὸ εἰς ὄρος. ποιμὴν δὲ αὐτὸ ἀνεθρέψατο. εἶχε δὲ τὸ αἰδοῖον ἐπάνω εἰς τὴν πυγήν. ἐκλήθη δὲ Πρίαπος κατὰ τὴν Ἰταλῶν γλῶσσαν· καὶ τιμᾶται παρὰ ποιμέσι. τὸ δὲ ἀφίδρυμα αὐτοῦ ἐστὶ παιδίον, μόριον ἔχον μέγα καὶ ἐντεταμένον.

tre in monte expoſitum paſtor educavit. Habebat autem penem arrectum. Hic Italorum lingua vocatus eſt Priapus, eumque paſtores colunt. Simulacrum ejus repræſentat puerum, qui magnum & intentum penem habet.

Πριβάτοι. Ῥωμαία ἡ λέξις.

Πριβάτοι. Privati. Romana vox.

Πρίγκιπες.[1] οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ἀκμαιοτάτους ταῖς ἡλικίαις. τοὺς γὰρ νεωτέρους καὶ πενιχροτέρους, Γροσφομάχους καλοῦσι. εἶτα τοὺς Πρίγκιπας. τοὺς δὲ πρεσβύτας, Τριαρίους. καὶ τοὺς Ἀστάτους καλοῦσι, οἵ εἰσι πρότεροι τῶν Πριγκίπων. καὶ αὗται μὲν αἱ ὀνομασίαι. ἡ δὲ ἐξόπλισις, τοὺς μὲν Τριαρίους εἶναι χ΄. τοὺς δὲ Πρίγκιπας[2] ασ΄. ἴσους δὲ τούτοις τοὺς Ἀστάτους. τοὺς[3] δὲ Γροσφομάχους πλείους τῶν τετρακισχιλίων. Φορεῖν δὲ μάχαιραν καὶ γρόσφον.

Πρίγκιπες. Principes. Ita Romani vocant juvenes viribus & ætate florentes. Juniores enim & pauperiores *Velites* appellant. His proximi ſunt *Haſtati*: quos excipiunt *Principes*. Natu maximos vero *Triarios* appellant. Et hæ ſunt appellationes, [quibus diverſa militum genera, eorumque ætates Romani diſtinguunt.] Et Triarii quidem ſunt numero ſexcenti. Principes, mille ducenti; totidemque Haſtati. Cæteri ac natu minimi, Velites. Sin pluribus quam quatuor millibus conſtet legio, eadem proportione & cæterorum partitionem inſtituunt: niſi quod Triariorum numerus variat nunquam.

Πρίγκιψ. ὁ ἔξαρχος τῆς τάξεως παρὰ Ῥωμαίοις.

Πρίγκιψ. Princeps. Eſt vocabulum Latinum.

Πρίεται. σχίζεται.

Πρίεται. Secatur. Finditur.

Πριήνη. ὄνομα πόλεως. ὁ ἀπὸ ταύτης, Πριηνεύς.

Πριήνη. Priene. Nomen urbis. Hujus civis dicitur, Πριηνεύς, Prienenſis.

Πρίημι. ἀγοράζω.

Πρίημι. Emo.

Πρίηπος. ὁ Πρίαπος. κατὰ τροπὴν τοῦ α εἰς η.

Πρίηπος. Pro communi Πρίαπος, verſo α in η. Priapus.

Πριμιγγιλίων.[4] τιμῶν. ἤτοι βασιλικῶν δωρεῶν. ἢ προνομίων.

Πριμιγγιλίων. Honorum. Vel, munerum regiorum. Vel, privilegiorum.

Πριμμικήριος.[5] ὁ πρῶτος τάξεως τῆς τυχούσης.

Πριμμικήριος. Primicerius. Cujuſlibet ordinis princeps.

Πριμολοκάριος. ὁ τὸν ἀκρότατον βαθμὸν τῆς στρατιᾶς ἔχων, ὕστατος δὲ τῇ τιμῇ.

Πριμολοκάριος. Primolocarius. Qui in prima acie locatur, ſed honore poſtremus eſt.

Πριμοπιλάριος. ὁ τὸ μεῖζον ἀξίωμα τῶν στρατιωτῶν ἔχων παρὰ Ῥωμαίοις.

Πριμοπιλάριος. Primipilus. Apud Romanos ita vocatur, qui maximam inter milites dignitatem habet.

Πρὶν[6] ἢ πτίσαι τὰ ἄλφιτα. παροιμία. καὶ,

Πρὶν τοὺς ἰχθῦς ἑλεῖν, σὺ τὴν ἅλμην κυκᾷς.

ἐπὶ τῶν τοὺς καιροὺς προλαμβανόντων. καὶ, Πρὶν ἐσφάχθαι, δέρεις.

Πρὶν ἢ πτίσαι τὰ ἄλφιτα. *Prius quam farinam pinſueris.* Proverbium. Et, *Priuſquam piſces ceperis, muriam miſces.* Dicitur de iis, qui tempus anticipant. Et, *Priuſquam* [*victima*] *jugulata ſit, eam excorias.*

Πρίνινοι[7] ἄνθρακες. στερεοί, καὶ σκληροί. ἰσχυρὸν γὰρ τὸ τῆς πρίνου ξύλον. Ἡσίοδος· Πρίνου δὲ γύην. καὶ πάλιν· Πρῖνος γὰρ βουσὶν ὀχυρώτατός ἐστι.

Πρίνινοι ἄνθρακες. Iligni carbones. Id eſt, ſolidi & duri. Lignum enim ilicis durum eſt. Heſiodus: *Dentale vero ilignum.* Et iterum: *Ilignum enim* [*jugum*] *boum firmiſſimum eſt.*

Πρῖνος. ξύλον πυκνότατον.[8] Ἀριστοφάνης·

Σὺ δ᾽ εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.

καιομένη γὰρ ἡ πρῖνος ψόφον ποιεῖ.

Πρῖνος. Ilex. Lignum ſolidiſſimum. Ariſtophanes: *Tu vero illico, ut ilex ardens, clamitas.* Ilex enim ardens crepitat.

Πρὶν καὶ λύκος ὄϊν ποιμανεύσῃ. ἐπὶ τοῦ ἀδυνάτου. ἢ οὕτω· Πρίν κεν ὄϊν λύκος ποιμαινεύσῃ.

Πρὶν καὶ λ. *Prius vel lupus ovem paſcat.* Dicitur de eo, quod fieri nequit.

Πρὶν λαχεῖν τὰ κοινὰ κατεσθίεις. τουτέστι, πρὶν κληρωθῆναι. Πρὸ διανομῆς ἁρπάζεις. ἡ μεταφορὰ

Πρὶν λαχεῖν τὰ κ. *Communia devoras, priuſquam ſorte ea tibi obtigerint.* Vel, priuſquam ſortem jeceris. [Simile huic eſt aliud prover-

1 Πρίγκιπες. οὕτω καλοῦσι Ῥωμ.] Articulus hic mire confuſus eſt & turbatus, qui in integrum reſtitui debet ex Polybii lib. VI. cap. XIX. unde eum Suidas depromſit.

2 Ασ΄] Sic recte MSS. Pariſ. itemque Polybius loco laudato. At priores Editt. male, Θσ΄. i. e. 9200.

3 Τοὺς δὲ γροσφομάχους πλείους τῶν τετρακισχιλίων] Locum hunc peſſime mutilatum ex Polybio ſic ſupplebis: Τοὺς δὲ λοιποὺς καὶ νεωτάτους γροσφομάχους. ἐὰν δὲ πλείους τῶν τετρακισχιλίων ὦσι, κατὰ λόγον ποιοῦνται τὴν διαίρεσιν, πλὴν τῶν Τριαρίων. τούτους ἀεὶ τοὺς ἴσους. Hanc lectionem in verſione ſecutus ſum.

4 Πριμιγγιλίων] Scribendum erat, πριβιλεγίων, i. e. privilegiorum.

5 Πριμμικήριος] Vide Duſtenium in Gloſſario Græco.

6 Πρὶν ἢ πτίσαι τὰ ἄλ.] Alii, Πρὶν ὀπτῆσαι ἄλφιτα. Vide Parœmiographos.

7 Πρίνινοι ἄνθρακες. στεροί, ἢ σκλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 380. (288. Ed. Baſ. P.)

8 Ἀριστοφάνης] *Ranis*, pag. 252. (164. *Ed. Baſ. P.*)

ἀπὸ τῶν ἐν τοῖς δείπνοις ἁρπαζόντων πρὸ διανομῆς.

Πελόνωτοι.[1] ὄφεις οὕτω λεγόμενοι.

Πρίου. ἐλευθέρωσον.

Πρίω. ἀγόρασον.

Πρίων. τὸ τεκτονικὸν ἐργαλεῖον. ἐν [2] Ἐπιγράμματι·

———— Ἰθύδρομόν τε

Πρίονα, μιλτείῳ βάμματι πειθόμενον.

Καὶ αὖθις·

[3] Καὶ πεζανὸν νώτῳ καμπτόμενον πρίονα.

Καὶ Βάβριος·

Κἀκεῖνος εἶπε τὰς σιαγόνας πρίων.

ἀντὶ τοῦ, βρύχων. † Ὁ [4] πρίων ἀπῆν, οὐδ' ᾔδειν πρίω. Ἀριστοφάνης. ἀντὶ τοῦ, Οὐδὲ ἐγίνωσκον τὸ πρίω ῥῆμα. οὐδὲ γὰρ ἐδεῖτο ἀγοράσαι, οἴκοι ἔχων. ταῦτα οὖν φησι· Τοῦ ἀγροῦ φέροντος, οὐδὲν ἔδει μοι τοῦ πρίασθαι.

Πριαθείς. ἐξαφθείς. δεσμευθείς.

[5] Ζωστῆρι πριαθεὶς ἱππικῶν ἐξ ἀντύγων,

Ἐκνάμπτετ' αἰὲν, ἔς τ' ἀπέψυξεν βίον.

Πρίσκιλλα. ὄνομα κύριον.

Πρίσκος,[6] Πανίτης, σοφιστὴς, γεγονὼς ἐπὶ τῶν χρόνων Θεοδοσίου τοῦ μικροῦ. ἔγραψεν ἱστορίαν Βυζαντικὴν, καὶ [7] κατὰ Ἄτταλον, ἐν βιβλίοις ὀκτώ· Μελέτας τε ῥητορικὰς, καὶ ἐπιστολάς.

Πρίσκος, υἱὸς τοῦ μεγάλου Κωνσταντίνου. καὶ ζήτει αὐτὸν πλατύτερον ἐν τῷ [8] Πρίσκος.

Πρίσκος[9] Ἐμεσηνός· ὅσπερ ἀλλότρια γράμματα [10] ὑπερφυῶς ἐξηπίστατο μιμεῖσθαι, τεχνίτης τε ἦν περὶ τὸ κακὸν τοῦτο δεξιὸς ἄγαν. ἐτύγχανε δὲ ἡ τῶν Ἐμεσηνῶν ἐκκλησία τινὸς ἐπιφανῶν κληρονόμος γεγενημένη χρόνοις τισὶ πολλοῖς ἔμπροσθεν. ἦν δέ τις ἀνὴρ, Πατρίκιος μὲν τὸ ἀξίωμα, Μαμμιανὸς δὲ ὄνομα, γένει λαμπρὸς, καὶ περιουσίᾳ χρημάτων. ἐπὶ δὲ Ἰουστινιανοῦ ὁ Πρίσκος, [11] διαριθμησάμενος πόλεως τῆς εἰρημένης τὰς οὐσίας πάσας, εἴ τινας εὗρε πλούτῳ περιακμάζοντας, καὶ πρὸς ζημίαν μεγάλην χρημάτων διαρκῶς ἔχοντας, τούτων διερευνησάμενος εἰς τὸ ἀκριβὲς τοὺς προπάτορας, γράμμασιν αὐτῶν παλαιοῖς ἐντυχὼν, βιβλίδια πολλὰ ὡς παρ' ἐκείνων γεγραμμένα πεποίηται, ὁμολογούντων πολλὰ χρήματα τῷ Μαμμιανῷ ἀποδώσειν, ἅτε παραθήκης λόγῳ ταῦτα παρ' ἐκείνου [12] κεκομισμένοι. τό, τε ὡμολογημένον ἐν τούτοις δὴ τοῖς καταπλάστοις γραμματίοις ξυνῄει οὐχ ἧσσον ἢ ἐς ἑκατὸν κεντηνάρια. καὶ ἀνδρός δέ τινος, ὅσπερ ἐπὶ τῆς ἀγορᾶς πινακάδε χρόνου καθήμενος, ἡνίκα ὁ Μαμμιανὸς περιῆν, δόξαν τε πολ-

bium: *Ante diſtributionem rapis.* Tranſlatio ducta eſt ab illis, qui in cœnis cibos, antequam diſtribuantur, ad ſe rapiunt.

Πελόνωτοι. Sic appellantur ſerpentes quidam. Quaſi dicas, dorſum ſerratum habentes.

Πρίου. Libera. Redime.

Πρίω. Eme.

Πρίων. Serra. Fabrile inſtrumentum. In Epigrammate: *Rectaque currentem ſerram, & lineas minio ductas ſecando ſequentem.* Et Babrius: *Et ille dixit buccas inflans.* Vel, dentibus frendens. Et Ariſtophanes: *Nullus aderat emptor, neque norat verbum Eme.* Id eſt, Ei non opus erat quicquam emere, cum domi [omnia] haberet. Hoc igitur dicit: Cum ager res neceſſarias mihi ſuppeditaret, nulla re empta mihi opus erat.

Πριαθείς. Religatus. Vinctus. Conſtrictus. *Balteo alligatus currui raptabatur ſemper, donec animam efflaret.*

Πρίσκιλλα. Priſcilla. Nomen proprium.

Πρίσκος. Priſcus, Panites, Sophiſta, qui vixit temporibus Theodoſii junioris. Scripſit hiſtoriam Byzanticam, & Attalicam, libris VIII. Item, Declamationes Rhetoricas, & Epiſtolas.

Πρίσκος. Priſcus, Conſtantini Magni filius. Quære de eo fuſius in v. Κρίσκης.

Πρίσκος Ἐμεσηνός. Priſcus Emeſenus alienæ manus perquam ingenioſe mentiendæ peritus erat, ejuſque fraudis plane idoneus artifex. Emeſenorum autem Eccleſiam non paucis ante annis hæredem inſtituerat Mammianus, vir clariſſimus, dignitate Patricius, & genere divitiarumque copia illuſtris. Juſtiniano poſtea imperante, Priſcus omnium civium urbis ante dictæ facultates inveſtigans, ſi quos forte inveniſſet opibus florentes, & quibus ingens pecuniæ ſumma extorqueri poſſet; eorum majores diligenter obſervabat, literaſque quaſdam antiquas ab iis ſcriptas nactus, eorum nomine complures confecit libellos, quibus faterentur, ſe grandem pecuniam Mammiano debere, quippe quam depoſiti nomine ab eo accepiſſent. Summa autem pecuniæ debitæ in falſis illis libellis expreſſa decem millia pondo colligebat. Præterea, publici tabellionis, viri fide & virtute conſpicui, qui ſuperſtite Mammiano civibus tabulas conficiebat, ſuaque manu conſignabat, literas mira dexteritate imitatus, ſic eos libellos Emeſenorum Eccleſiæ procu-

1 Πελόνωτοι. ὄφεις οὕτω λεγ.] Philoſtratus lib. III. *de Vit. Apoll.* cap. 2. ubi de variis ſerpentum & draconum generibus agit: Οἱ δὲ ἐπὶ πυρσῶν καὶ ΠΡΙΟΝΩΤΟΙ γίνονται, οὗτοι δὲ γενειάζουσι, &c. Ad hunc locum Suidas forte reſpexit.

2 Ἐν Ἐπιγράμματι] Lib. VI. cap. ult. ut Portus monuit.

3 Καὶ πεζανὸν νώτῳ καμπτ.] Et hic Pentameter legitur eodem libro & capite Anthol.

4 Ὁ πρίων ἀπῆν. οὐδ.] Ariſtophanes *Acharnenſ.* pag. 371. (262. Ed. Baſ. *P.*)

————Οὐδ' ᾔδη πρίω·

Ἀλλ' αὐτὸς ἔφερε πάντα, χὠ πρίων ἀπῆν. c.

Vide ibi Scholiaſtam.

5 Ζωστῆρι πριαθεὶς ἱππ.] Hæc ſunt verba Sophoclis in *Ajace* p. 59. ut Portus monuit, Ibi autem pro ἐκνάμπτετ legitur ἐγνάπτετ.

6 Πρίσκος] De hoc vide Voſſium lib. IV. *de Hiſt. Gr.*

7 Κατὰ Ἄτταλον] Valeſius in fine notarum ad Excerpta ex Hiſtoria Priſci Rhetoris recte monuit, ſcribendum eſſe, τὰ καθ' Ἀττήλαν, i. e. *Hiſtoriam Attilæ.*

8 Πρίσκος] Imo, Κρίσκης. Vide Noſtrum ſupra h. v.

9 Πρίσκος Ἐμεσηνός] Totum hunc locum de Priſco Emeſeno excerpſit Suidas ex Procopii *Hiſtor. Arc.* cap. XXVIII.

10 Ὑπερφυῶς] Procopius rectius, εὐφυῶς.

11 Διαριθμησάμενος πόλεως τῆς εἰρημένης τὰς οὐσίας π.] Procopius ſic: Διερευνησάμενος πόλ. τ. εἰρ. τὰς οἰκίας πάσας.

12 Κεκομισμένοι] Procopius, κεκομισμέναι: quam lectionem conſtructio verborum requirit.

λην

λὴν ἐπί τε ἀληθείᾳ καὶ ἀρετῇ ἔχων, ἅπαντα ἐπετέλει τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον αὐτῶν ἐπισφραγίζων αὐτὸς οἰκείοις γράμμασιν, (ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι) τὰ γράμματα δαιμονίως μιμησάμενος, τοῖς διοικουμένοις τὰ πράγματα τῆς τῶν Ἐμεσηνῶν [1] Ἐκκλησίας παρέδωκεν, ὁμολογηκόσι, μοῖραν αὐτῷ τινὰ κεῖσθαι τῶν ἐνθένδε ποριζησομένων χρημάτων. ἐπεὶ δὲ ὁ νόμος ἐμποδὼν ἵστατο, τὰς μὲν ἄλλας δίκας ἁπάσας ἐς τριακοντοῦτιν παραγραφὴν ἄγων, ὀλίγας δὲ ἄττας, καὶ τὰς ὑποθηκαρίας πάσας μʹ. ἐνιαυτῶν μήκει ἐκκρούων, ἐς Βυζάντιον ἀφικόμενοι, καὶ χρήματα τῷ βασιλεῖ Ἰουστινιανῷ προέμενοι, μελλήσει οὐδεμιᾷ ἔπειθον γράψαι νόμον, οὐ χρόνοις τὰς [1] Ἐκκλήτους τοῖς καθήκουσιν, ἀλλ' ἐνιαυτῶν ἑκατὸν πλήθει δικῶν τῶν αὐταῖς προσηκουσῶν ἀποκεκλεῖσθαι. † Κεφάλαιον Ἰουστινιανοῦ [2] ρέ. τῷ πλήθει κρατυνόμενον.

ratoribus tradit, qui ſe partem pecuniæ acquirendæ ipſi debere faterentur. Verum, cum lex obſtaret, quæ reliquas omnes actiones ad tricenariam præſcriptionem prolatat, & quas hypothecarias dicunt, nonnullaſque alias, quadragenaria excludit exceptione; Byzantium ire pergunt, dataque Imperatori Juſtiniano certa auri ſumma, ei perſuaſerunt, ut legem ſcriberet, quæ actiones Eccleſiis competentes non ſtati temporis, ſed centum annorum præſcriptione excluderet. † Capitulum Juſtiniani centum annorum numero confirmatum.

Πριστηροειδὴς αἰχμή. ἐκ τοῦ πρίζω.

Πριστηροειδὴς αἰχμή. Serrata cuſpis.

Πρό. ἀντὶ τοῦ ἀντί. Φιλήμων Παγκρατιαστῇ·

Δοῦλος πρὸ δούλου, δεσπότης πρὸ δεσπότου.

[3] Ὅμηρος·

Ἀθλεύων πρὸ ἄνακτος. ———

Πρό. Pro. Philemon *Pancratiaſte: Servus pro ſervo, Dominus pro Domino.* Homerus: *Certans pro Rege.*

Προάγω. αἰτιατικῇ.

Προάγω. Accuſativo jungitur. Produco.

Προαγωγία. [4]

Προαγωγία. Lenocinium.

Προαγωγός. διδάσκαλος κακῶν.

Προαγωγός. Leno. Nequitiæ doctor.

Προαγρυπνῶ. γενικῇ.

Προαγρυπνῶ. Genitivo jungitur. Pro aliquo vigilo.

Προαλάμενος. προπηδήσας. Καὶ προαλάμενος τοῦ πλήθους, μετεχώρησεν ὡς Ναρσῆν. ὁ δὲ ἐνηγκαλίσατο αὐτόν.

Προαλάμενος. Qui proſiluit. *Cum autem ex turba proſiluiſſet, ad Narſen tranſiit; qui eum brachiis ſuis amplexus eſt.*

Προαλέστατον. προπετέστατον.

Προαλέστατον. Valde temerarium. Temere in hoſtes ruentem.

Προαλίσαντας. προαθροίσαντας. [5] Ἰώσηπος· Τὸν ἐπὶ ταῖς μελλούσαις συμφοραῖς θυμὸν προαλίσαντας, ἐναφεῖναι τοῖς δράσουσιν αὐτάς.

Προαλίσαντας. Illos, qui ante collegerunt. Joſephus: *Eos iram ob futuras clades collectam in auctores ejus effundere.*

Προαναθρώσκειν. προπηδᾶν.

Προαναθρώσκειν. Ante alios proſilire.

Προαναλώθη.

Προαναλώθη. Prius abſumptus eſt.

Προαναρπάζω. γενικῇ.

Προαναρπάζω. Genitivo jungitur. Præripio.

Προανίσχοι. προανατείλαι.

Προανίσχοι. Prius exoriatur. Ante oriatur.

Προανατάξωμαι. [6] Δαβίδ· Ἐὰν μὴ προανατάξωμαι τὴν Ἱερουσαλὴμ ὡς ἐν ἀρχῇ τῆς εὐφροσύνης μου.

Προανατάξωμαι. David: *Niſi prius conſtituero Hieroſolyma, ut in principio lætitiæ meæ.*

Προανεκρούετο. [7] Ἄπονον ὁ θεόπτης Μωϋσῆς τῷ Ἰσραὴλ προανεκρούετο. ἀντὶ τοῦ, προκατήρχετο τῆς ᾠδῆς. προανεβάλλετο.

Προανεκρούετο. Cantus initium faciebat. Præcinebat. *Moſes, qui Deum vidit, Iſraeli præcinebat.*

Προαποθνήσκω. γενικῇ.

Προαποθνήσκω. Genitivo jungitur. Pro aliquo morior.

Προασπίζομαι. γενικῇ.

Προασπίζομαι. Genitivo jungitur. Defendo. Protego.

Προάστειον, προαστείου. [8] ὁ δὲ Σοφοκλῆς προάστιον, διὰ τοῦ ι.

——— ——— Εἰσορᾷτέ του

Τὸν ἄνδρ' ἐφ' ὑμῖν; οὗτος ἐκ προαστίου

Χωρεῖ γεγηθώς. ———

Προάστειον. Suburbium. [Per ει diphthongum.] Sophocles vero ſcribit προάστιον, per ι. *Videtiſne alicubi hominem ad vos accedentem? Hic ex ſuburbio lætus venit.*

1 Ἐκκλήτους] Scribe, Ἐκκλησίας, ut habet Procopius.

2 Ῥέ. τοῦ ἑκατὸν] Peſſime. Scribendum enim eſt ρʹ. ἐτῶν: ut recte monuit Pearſonius.

3 Ὅμηρος] Ubi? Haud enim locum iſtum apud Poetam reperio.

4 Προαγωγία] Forte ſcripſerat Suidas προαγωγεία, per diphthongum ει in ſyllaba penultima.

5 Ἰώσηπος] Lib. III. *de Bello Jud.* cap. XVIII. pag. 846. ſed ubi pro προαλίσαντας legitur προαθροίσαντας.

6 Δαβίδ] Pſalm. CXXXVI. 8.

7 Ἄπονον] Hæc vox mihi ſuſpecta eſt. Forte legendum eſt, ὕμνον.

8 Ὁ δὲ Σοφοκλῆς] In *Electra*, pag. 141. ut Portus monuit.

Προ-

Προαύλιον. τὸ ἔμπροσθεν τῆς αὐλῆς.

Προβάλλεσθαι. ἀντὶ τοῦ προτείνεσθαι. Θουκυδίδης· Τὰ δὲ Μηδικὰ, καὶ ὅσα αὐτοὶ ξύνιστε, καὶ δι' ὄχλου μᾶλλον ἔσται, ἀεὶ προβαλλομένοις. καὶ [1] ὁ Ῥήτωρ· Τὴν ἀεὶ λογίαν ὁρῶ προβαλλομένους. ὑπὲρ ταυτὸν τῷ προτεινομένους.

Προβάλιθος. ὄνομα κύριον.

Προβαλλομένους.[2] ἀντὶ τοῦ, ὑποτιθεμένους. οἷον περὶ τῆς πράξεως εἰς τὸν νοῦν ἐμβαλλομένους. Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. καὶ ἐν τῷ κατ' Αἰσχίνου, Τὴν προαίρεσιν, φησὶ, τῆς πολιτείας προβεβλημένην, καὶ ἄπιστον εἰπεῖν. ἀντὶ τοῦ, ἐλαφρῶς ἔχουσαν. καὶ ἐν [3] τῷ κατὰ Μειδίου· Καὶ προὐβαλλόμην, φησὶ, τοῦτον ἀδικεῖν περὶ τὴν ἑορτήν. ἀντὶ τοῦ, προβολῇ ἐχρησάμην τῇ συνήθει καὶ νομιζομένῃ κατὰ τῶν περὶ τὴν ἑορτὴν ἀδικούντων. [4] ἐν δὲ τοῖς Φιλιππικοῖς φησι· Προβάλλεσθαι δὴ, καὶ βλέπειν ἐναντίον, οὔτε οἶδεν, οὔτε ἐθέλει. ἀντὶ τοῦ, προτεῖναι τὰς χεῖρας ὡς εἰς μάχην.

Προβαλόντες κυσὶν ἄρνας. ἐπὶ τῶν τοὺς ἀπράγμονας τοῖς συκοφάνταις παραδιδόντων.

Πρόβασις. ἡ τῶν βοσκημάτων κτῆσις. [5] Ὅμηρος·

Κειμήλιά τε, πρόβασίν τε.

καὶ παροιμία· Προβάτων οὐδὲν ὄφελος, ἐὰν ὁ ποιμὴν ἀπῇ. ἐπὶ τῶν ἀναγκαίων.

Πρόβατα. πάντα τὰ τετράποδα.

Προβατεύς. ὁ τῶν προβάτων ποιμήν. καὶ προβατέων, χωρικῶν ἀνθρώπων.

Προβατίου[6] βίον ζῆν. ἐπὶ τῶν μωρῶν καὶ ἀνοήτων. τὰ γὰρ πρόβατα οὐδὲν ἐργάζεται, καὶ ζῇ. ἢ διὰ τὸ ἀδρανές.

Προβατοπώλης.[7] ὁ Καλλίας, καὶ ἡ ἐπ' αὐτοῦ πολιτεία. ἢ [8] Λυσικλῆς, υἱὸς Ἀσπασίας. Στυππειοπώλης δὲ, ὁ Εὐκράτης, ὃς καὶ Στύππαξ ἐκαλεῖτο. Βυρσοπώλης δὲ, ὁ Κλέων. καὶ οὐκ ἐπὶ τοῦ πωλεῖν τὰς βύρσας παρείληπται, ἀλλ' ἐπὶ τοῦ τῆς πόλεως ἀποδίδοσθαι τὰ πράγματα.

Πρόβαινε. τοῦτο ὡς ἐπὶ ὄχλου τῶν πομπευόντων τινά.

Προβεβηκόσι. παλαιοτέροις. Προσήκειν τὸ φιλόθεον τοῖς ἤδη προβεβηκόσι καὶ πόρρω ἐλαύνουσι, τοῦτο μὲν ἡλικίας, τοῦτο δὲ φιλοσοφίας.

Προβέβουλα.[9] προέκρινα.

Προβήμασιν. ἀντὶ τοῦ, πηδήμασι. καὶ ζήτει ἐν τῷ Ἐμβάς.

Προαύλιον. Veſtibulum aulæ.

Προβάλλεσθαι. Prætendere. Vel, [paſſive,] prætendi, objici. Thucydides: *Medica vero, & ea, quorum ipſi conſcii eſtis, quæque [audire] moleſtum vobis erit, ſemper objicientibus.* Et Orator ait: *Semper eos ad rationes reddendas paratos eſſe video.*

Προβάλιθος. Provalithus. Nomen proprium.

Προβαλλομένους. Subjicientes. Suggerentes. Vel, ante ipſam actionem aliquid animo proponentes. Demoſthenes in oratione contra Cteſiphontem. Et in oratione adverſus Æſchinem inquit: *Studium Reip. obtentui ſumptum, & infidum.* Et in oratione adverſus Midiam: *Et feſti violati eum accuſavi.* Vel, accuſatione uſus ſum ſolita & recepta adverſus eos, qui feſtum violant. In *Philippicis* vero inquit: *Ad pugnam autem ſe componere, & [adverſarium] recta fronte intueri neque ſcit, neque vult.* Προβάλλεσθαι enim hic ſignificat, manus prætendere, more eorum, qui pugnaturi ſunt.

Προβαλόντες κυσὶν ἄρν. Canibus agnos objicientes. Dicitur in eos, qui homines modeſtos & quietos calumniatoribus objiciunt.

Πρόβασις. Pecora. Pecudum copia. Homerus: *Et cimelia, & pecora.* Et proverbium: *Ovium nullus eſt uſus, abſente paſtore.* Dicitur de rebus neceſſariis.

Πρόβατα. [Non ſolum oves, ſed etiam] quævis pecora.

Προβατεύς. Ovium, aliarumque pecudum paſtor. Et προβατέων, paſtorum, ſive hominum ruſticorum.

Προβατίου βίον ζῆν. Oviculæ vitam vivere. Dicitur in ſtolidos & ſtupidos. Oves enim vivunt, nihil prorſus agentes.

Προβατοπώλης. Ovium venditor. Sic dicebatur Callias, propter modum, quo in adminiſtranda Republ. utebatur. Vel Lyſicles, filius Aſpaſiæ. At ſtupparum venditor Eucrates indigitatur, qui etiam Στύππαξ vocabatur. Βυρσοπώλης vero, i. e. coriorum venditor, Cleon [a Comico dicitur,] non quod coria, ſed Remp. venderet.

Πρόβαινε. Procede. Progredere. Hoc dicitur ut de turba hominum aliquem cum pompa deducentium.

Προβεβηκόσι. Progreſſis. Provectis. *Amor Dei convenit iis, tam qui ætate provecti ſunt, quam qui in philoſophia multos progreſſus fecerunt.*

Προβέβουλα. Malui. Prætuli.

Προβήμασιν. Progreſſibus. Saltibus. Quære in voce Ἐμβάς.

1 Ὁ Ῥήτωρ] In orat. περὶ παραπρεσβ. initio: ſed ubi pro προβαλλομένους hodie minus recte legitur προσποιουμένους. Vox poſterior enim eſt prioris interpretatio, quæ loco genuinæ vocis in textum irrepſit.

2 Προβαλλομένους. ἀντὶ τοῦ ὑποτ.] Ex Harpocratione.

3 Ἐν τῷ κατὰ Μειδίου] Ipſo initio.

4 Ἐν δὲ τοῖς Φιλιππ.] *Philipp.* 1. ubi legitur, προβάλλεσθαι δὲ τὰς χεῖρας, ἢ βλέπειν, &c.

5 Ὅμηρος] Odyſſ. Β. v. 75.

6 Προβατίου βίον ζῆν. ἐπὶ τῶν μωρ.] Ex Enarratore Comici ad *Plutum*, pag. 91.

7 Προβατοπώλης. ὁ Καλλ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 295. (197. Ed. Baſ. *F.*)

8 Λυσικλῆς, υἱὸς Ἀσπασίας] Aliter Heſychius, qui Lyſiclem hunc Aſpaſiæ maritum fuiſſe aſſerit. Eum vide v. Προβατοπώλης.

9 Προβέβουλα] Homer. Il. Α. v. 113.

Προβιβάζεις.[1] παρακινεῖς. πείθεις. εὖ προβιβάζεις.

Προβιβάσαντες. προάξαντες.

Πρόβλημα. θεώρημα, συντεῖνον πρὸς θεωρίαν καὶ γνῶσιν. [2] Φθέγξομαι προβλήματα ἀπ' ἀρχῆς.

Πρόβλημα. καὶ ὁ παροιμιακὸς λόγος.

Πρόβλημα. ὅτι ἐπὶ παντὸς πράγματος τέσσαρά ἐστιν· Εἰ ἔστι; Τί ἐστιν; Ὁποῖον τί ἐστιν; καὶ, Διατί ἐστι; τὸ μὲν, ὅτι ἐστὶ τάδε τὰ Συμβεβηκότα, λαμβάνομεν ἐκ τῆς ἐνεργείας. καὶ τὸ, Τί ἐστι, ἐκ τοῦ ὁρισμοῦ αὐτῶν τεκμαιρόμεθα. ἐκ γὰρ ὁρισμοῦ, οὐχ ὅτι ἐστὶ τὰ συμβεβηκότα [3] γινώσκομεν, ἀλλὰ τὸ τί ἐστι, καὶ ὁποῖον, καὶ διατί. ὥστε διὰ μὲν τοῦ ὅτι ἐστὶ τὰ Συμβεβηκότα, τὸ τί ἐστι τοῦ ὁρισμοῦ γινώσκομεν. διὰ δὲ τοῦ τί ἐστι τοῦ ὁρισμοῦ, τὰ λοιπὰ προβλήματα ἐκ τῶν Συμβεβηκότων.

Προβλῆτας. ἔξω προβεβλημένας ὑπὲρ ἀσφαλείας. οἱ δὲ, τὰς πρώτας προβεβλημένας· ὃ καὶ μᾶλλον. Πρόβλημα δὴ, καὶ ἡ ἀσφάλεια. Πρόβλημα δὲ οὐδὲν ἦν τῆς στρατοπεδείας. καὶ ἔτι πρόβλημα, ὃ προβάλλεταί τις, ὥσπερ ἐνδυόμενος αὐτό. καὶ τὸ προτεινόμενον εἰς ἀπορίαν.

Προβλῆτες. [4] Φιλοκτήτης φησίν·

Ὦ λιμένες, ὦ προβλῆτες, ὦ ξυνουσία
Θηρῶν ὀρείων, ὦ καταῤῥῶγες πέτραι·
Οἷ' ἔργ' ὁ παῖς μ' ἔδρασε.

Προβολάς.[5] ἀντὶ τοῦ, ἀσφαλείας ἐκ πόλεων, ἢ τειχῶν, ἢ ἄλλων δυνάμεων, ἐπὶ σωτηρίᾳ καὶ κράτει γινομένων. οὕτω Δημοσθένης. παρὰ δὲ Αἰσχίνῃ ἡ [6] προβολὴ τὸ ὄνομα γέγονεν ἀπὸ τοῦ προβάλλεσθαί τινα ἀδικεῖν.

Προβολή. γραφὴ κατὰ τῶν συκοφαντούντων. Φέρε νῦν, ὁριζώμεθα τὴν προβολὴν αὐτοῦ αἱρέσεως, ἐφ' ᾗ τὸν παρόντα τοῦτον ἐποιήσατο βίον.

Προβόλιον.[7] εἶδός τι δόρατος, ᾧ χρῶνται οἱ κυνηγέται πρὸς τὴν τῶν συῶν θήραν.

Πρόβολον.[8] πρόμολον. πρόμαχον. καὶ πρόβολος ἐμός. ἤγουν, προβαλλόμενος. προστάτης. τεῖχος. ἀσφάλεια. [9] Ἀριστοφάνης Νεφέλαις·

——— Πρόβολος ἐμὸς,
Σωτὴρ δόμοις. ———

Προβούλευμα.[10] τὸ ὑπὸ τῆς βουλῆς ψηφισθὲν, πρὶν

Προβιβάζεις. Promoves. Mones. Suades. Perſuades.

Προβιβάσαντες. Qui produxerunt. Qui promoverunt.

Πρόβλημα. Problema, ſive, Quæſtio, ad contemplationem & cognitionem faciens. *Loquar problemata ab initio.*

Πρόβλημα. Problema. Sic & dictum proverbiale dicitur.

Πρόβλημα. Problema. De omni re quatuor quæri ſolent: *An ſit? Quid ſit? Quale ſit? Cur ſit?* Et *eſſe* quidem hæc Accidentia, ex actione cognoſcimus. *Quid* autem ſint, ex definitione illorum conjicimus. Ex definitione enim non cognoſcimus *eſſe* Accidentia, ſed *Quid ſint*, & *Quale*, & *Cur*. Quare ex eo, quod ſint Accidentia, cognoſcimus τὸ *Quid ſint*, quod in definitione continetur. Per illud vero, *Quid ſint*, quod definitio docet, & reliqua problemata de Accidentibus cognoſcimus.

Προβλῆτας. Munitionis gratia objectas. Prominentes. Secundum alios vero, primas objectas: quod & magis [probabile.] Πρόβλημα vero etiam dicitur munimentum, vel propugnaculum. *Caſtra autem nullum munimentum habebant.* Et πρόβλημα, ſcutum, vel aliud quid, cujus objectu corpus tegitur. Item, quæſtio dubia.

Προβλῆτες. Scopuli, vel promontoria. Philoctetes [apud Sophoclem] inquit: *O portus! O promontoria! O feræ montanæ, inter quas vivere conſuevi! O præruptæ petræ! Quam indignis modis me tractavit filius ille [Achillis.]*

Προβολάς. Propugnacula, vel munimenta, veluti urbes, muri, aliave præſidia, quæ ſalutis & potentiæ gratia nobis comparamus. Sic Demoſthenes. Apud Æſchinem vero προβολὴ eſt nomen actionis, qua quis ob injuriam illatam in jus vocatur.

Προβολή. Actio, quæ contra ſycophantas vel calumniatores inſtituitur. *Age nunc, definiamus rationem ſtudii & propoſiti ejus, quod in præſente hac vita ſectatus eſt.*

Προβόλιον. Venabulum, ſive genus quoddam haſtæ, quo venatores in venatione aprorum utuntur.

Πρόβολον. Propugnatorem. Defenſorem. Et Πρόβολος, propugnator. Qui alterum tuetur. Sive, propugnaculum, munimentum. Ariſtophanes: *Defenſor meus, & domus meæ ſervator.*

Προβούλευμα. Quod a Senatu decretum eſt,

1 Προβιβάζεις. παρακιν.] Nullus ſcriptorum vere ἑλληνιζόντων vocem hanc eo ſenſu accepit: ſed reſpexit Suidas ad locum illum *Deuteron.* VI. 7. Καὶ προβιβάσεις αὐτὰ (præcedit, ῥήματα ταῦτα, ὅσα ἐγὼ ἐντέλλομαί σοι) τοὺς υἱούς σου. Ibi enim τὸ προβιβάζειν ῥήματα ſignificat, verba vel præcepta alicui inculcare.

2 Φθέγξομαι προβλ.] Pſalm. LXXVII. 2.

3 Γινώσκομεν, ἀλλὰ τὸ τί ἐστι, καὶ ὅτι.———τοῦ ὁρισμοῦ γινώσκομεν] Locum hunc peſſime antea mutilatum ex optimo MS. Pariſ. A. ſupplevi. In prioribus enim Editt. deſunt verba hæc: Ἀλλὰ τὸ τί ἐστι, καὶ ὁποῖον, καὶ διατί. ὥστε διὰ μὲν τοῦ ὅτι ἐστὶ τὰ συμβεβηκότα, τὸ τί ἐστι τοῦ ὁρισμοῦ γινώσκομεν. Cauſa omiſſionis hujus manifeſta eſt. Cum enim τὸ γινώσκομεν loco hoc bis occurrat, feſtinans librarius oculorum errore vocem poſteriorem pro priori accipiens, omnia verba intermedia prætermiſit: quæ ἀβλεψία pleraſque in veteres ſcriptores lacunas invexit.

4 Φιλοκτήτης φησίν] Apud Sophoclem *Philoctete*, pag. 416. ut Portus monuit.

5 Προβολάς. ἀντὶ τοῦ, ἀσφ.] Ex Harpocratione.

6 Ἡ προβολὴ τὸ ὄνομα γέγ.] Vide paulo ante v. Προβαλλόμενος.

7 Προβόλιον. εἶδός τι δ.] Ex Harpocratione.

8 Πρόμολον] Scribe, πρόμορον. Heſychius: Πρόμοιος, πρόμαχος. Vide etiam Noſtrum infra v. Πρόμος.

9 Ἀριστοφάνης Νεφέλαις] Pag. 189. (116. Ed. Baſ. P.)

10 Προβούλευμα. τὸ ὑπὸ τῆς βουλ.] Ex Harpocratione.

εἰς τὸν δῆμον εἰσενεχθῆναι. Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου.

antequam res ad Populum relata ſit. Demoſthenes in oratione adverſus Æſchinem.

Πρόβολος.[1] τὸ τῶν σιτίων δοχεῖον.

Πρόβολος. Ciborum receptaculum. Sive, ingluvies avium.

Πρόβολος.[2] ἔξαρχος τοῦ βουλευτηρίου. Εὐνάπιος· Ὁ δὲ βασιλεὺς τούτους δεξάμενος, κτήματά τε αὐτοῖς καὶ χώραν ἀπένειμε, καὶ προβόλους τε ὑπελάμβανε γενναίους καὶ ἀδαμαντίνους ἔχειν πρὸς τὰς ἐκείνων τῶν Οὔννων ἐμβολάς.

Πρόβολος. Senatus princeps. Eunapius: *Rex autem eos recepit, iiſque pecudes & agros aſſignavit, exiſtimans, eos validiſſimi & adamantini munimenti loco ſibi fore adverſus Hunnorum irruptiones.*

Προβόλῳ.[3] προβεβλημένῃ εἰς θάλασσαν πέτρᾳ. καὶ πρόβολοι, αἱ εἰς θάλασσαν προκείμεναι πέτραι, καὶ οἷον ἀκταί τινες. Δημοσθένης ἐν Φιλιππικοῖς.

Προβόλῳ. Scopulo, vel, rupe in mare procurrente. Et πρόβολοι, ſcopuli, vel rupes in mare prominentes. Vel, promontoria & littora. Demoſthenes in *Philippicis.*

Πρόβος. ὄνομα κύριον.

Πρόβος. Probus. Nomen proprium.

Πρόβουλοι. πρὸς[4] τοῖς οὖσι διῃρέθησαν ἄλλοι κʹ. εἰσηγησόμενοι τὰ δοκοῦντα τῇ πολιτείᾳ, μετὰ τὴν ἐν Σικελίᾳ συμφοράν.

Πρόβουλοι. Probuli. Decem illis Probulis, qui jam ante erant, additi ſunt xx. alii, qui populo auctores fierent eorum, quæ Reip. conducere viderentur.

Προβοσκίς. ἡ τοῦ ἐλέφαντος προνομαία.

Προβοσκίς. Proboſcis, ſive manus Elephantis.

Πρὸ βραχέος. πρὸ ὀλίγου.

Πρὸ βραχέος. Paulo ante.

Πρὸ γῆς. Ἐγὼ δὲ φεύγω γῆν πρὸ γῆς φοβούμενος τὸν ἄγριον δεσπότην, ᾧ μᾶλλον ἵππων, ἢ ἀνθρώπων μέλει. † [5]Ὁ δὲ οὐκ ἀφῆκεν αὐτὸν διαξαίνειν, ἀλλ' εἴασε γῆν πρὸ γῆς ἀφιέναι, ἵνα μή, φησίν, ὢν ἐνθάδε, τολμήσῃ παραπλήσια πάλιν.

Πρὸ γῆς. *Ego autem ex regione in regionem fugio, metuens ſævum Dominum, cui magis equi quam homines curæ ſunt. † Ille autem non ſivit eum verberibus lacerari, ſed ſolum vertere juſſit, Ne, inquiens, hic manens, ſimilia iterum facere audeat.*

Προγράμματα. Οἷς καὶ δῶρα συνέθηκε, καὶ προγράμματα, δι' ὧν παρεκάλει ἑτοιμάζειν τὰς δυνάμεις.

Προγράμματα. Programmata, ſive tabulæ publice propoſitæ. *Quibus & dona ſe daturum promiſit, tabellaſque publice propoſuit, per quas eos hortabatur, ut copias pararent.*

Προγραφαί. Αἱ προγραφαὶ ἐκεῖναι αἱ κεκηρυγμέναι λέγονται βουλήσει Ἀντωνίου γενέσθαι. καὶ Αἰλιανὸς λέγει· Ἐπανελθόντες οὖν προγραφὰς καὶ τῆς ἐκ βουλῆς, καὶ τῶν εἰς τὴν ἱππάδα τελούντων, εἰργάσαντο, τούτους ἀποκτιννύντες. ἀντὶ τοῦ, κατηγορίας.

Προγραφαί. Proſcriptiones. *Proſcriptiones juſſu Antonii per præconem promulgatæ fuiſſe dicuntur.* Et Ælianus inquit: *Reverſi igitur & Senatorii & Equeſtris ordinis viros proſcriptos interfecerunt.*

Προδείκταις.[6] Ἔχαιρε γὰρ μίμοις, καὶ προδείκταις, καὶ καθόλου πᾶσι τοῖς θαυματοποιοῖς.

Προδείκταις. Hiſtrionibus. *Delectabatur enim mimis, & hiſtrionibus, & præſtigiatoribus denique cunctis.*

Προδήλως.[7] Φρονίμως. ἀνδρείως. Σοφοκλῆς·[8] Καλόν μοι τοῦδ' ὑπερπονουμένῳ θανεῖν προδήλως μᾶλλον.

Προδήλως. [Manifeſte.] Prudenter. Fortiter. Sophocles: *Pulchrum eſt mihi pro eo moleſtias pati & palam mortem oppetere.*

Προδικασία. οἱ τὰς ἐπὶ φόνῳ δίκας ἐγκαλούμενοι, ἐν Πρυτανείῳ πρὸ τῆς δίκης διατελοῦσιν ἐπὶ τρεῖς μῆνας· ἐν οἷς ἐξ ἑκατέρου μέρους λόγοι προάγονται. καὶ τοῦτο ἔλεγον προδικασίαν.

Προδικασία. Qui cædis accuſabantur, in Prytaneo per tres menſes ante judicium permanebant; eoque tempore ab utraque parte rationes in medium proferebantur: quod προδικασίαν vocabant.

Πρόδικος,[9] Κεῖος, ὁ ἀπὸ Κέω τῆς νήσου, πόλεως δὲ Ἰουλίδος, φιλόσοφος φυσικός, καὶ σοφιστής, σύγχρονος Δημοκρίτου τοῦ Ἀβδηρίτου, καὶ Γοργίου, μαθητὴς Πρωταγόρου τοῦ Ἀβδηρίτου. ἐν Ἀθήναις κώνειον πιὼν ἀπέθανεν, ὡς διαφθείρων τοὺς νέους.

Πρόδικος. Prodicus, Cejus, ex inſula Ceo, & urbe Julide oriundus, Philoſophus Phyſicus, & Sophiſta, æqualis Democriti Abderitæ & Gorgiæ, diſcipulus Protagoræ Abderitæ. Athenis hauſta cicuta mortuus eſt, objecto ei crimine, quod juvenes corrumperet.

1 Πρόβολος] Imo, πρόλοβος. Vide infra h. v.
2 Ἔξαρχος τοῦ βουλευτ.] Hæc interpretatio non convenit voci πρόβολος, ſed πρόβουλος.
3 Προβόλῳ. προβεβλημένῃ εἰς θάλ.] Homerus *Odyſſ.* M. v. 251.
Ὡς δ' ὅτ' ἐπὶ προβόλῳ ἁλιεύς, &c.
Scholiaſta: Προβόλῳ. προβεβλημένῃ πέτρᾳ, ἢ τόπῳ ἐξέχοντι. Huc Suidas reſpexit.
4 Πρὸς τοῖς οὖσι διῃρέθησαν] Locus eſt corruptus, quem Valeſius ad Harpocrationem v. Συγγραφεῖς ſic ſcribendum eſſe recte monuit, πρὸς τοῖς οὖσι προῃρέθησαν, &c. Hanc lectionem in verſione ſecutus ſum. Vide ipſum Valeſium, qui plura hac de re notavit.
5 Ὁ δὲ οὐκ ἀφῆκεν αὐτὸν] Confer Noſtrum ſupra v. Διαξαίνειν.

6 Ἔχαιρε γὰρ μίμοις, καὶ πρ.] Hæc ſunt verba Diodori de Antiocho Syriæ Rege, quæ leguntur in Excerptis a Valeſio editis, pag. 285. Vide ad eum locum Valeſium, qui de voce προδείκτης plura notavit.
7 Φρονίμως. ἀνδρείως] Eſt interpretatio inepta, quam nihil juvat locus Sophoclis, qui ſubjungitur. Quo minus enim in eo τὸ προδήλως ſignificatione vulgari & communi accipi poſſit pro *palam*, vel *manifeſte*, nihil obſtare video.
8 Καλόν μοι τοῦδ' ὑπερ.] Et metrum fragmenti hujus turbatum eſt, & ſenſus mutilus: in quo illuſtrando fruſtra quis elaboret, niſi integrum locum Sophoclis repererit.
9 Πρόδικος] De eo vide Philoſtratum, lib. 1. *de vit. Sophiſt.*

Πρόδι-

Πρόδικον. δικαστὴν ἐπὶ φίλων, καὶ διαιτητήν. Ἀριστοφάνης Κενταύρῳ·

[1] Ἐγὼ γὰρ, εἴ τις ἠδίκηκε, θέλω δίκην δοῦναι
πρόδικον ἕνα τῶν φίλων τῶν σῶν. Καὶ παροιμία· Προδίκου σοφώτερος. [2] Ἀριστοφάνης Νεφέλαις·

Οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν τῶν νῦν μετεωροσοφιστῶν,
Πλὴν ἢ Προδίκῳ· τῷ μὲν σοφίας καὶ γνώμης οὕνεκα· σοὶ δέ.

[3] Σοφιστὴς δὲ ἦν ὁ Πρόδικος, Κεῖος τὸ γένος. ἤκμασε δὲ κατὰ τοὺς χρόνους Σωκράτους. πρῶτος δὲ οὗτος τὴν πεντηκοντάδραχμον ἐπίδειξιν ἐποιήσατο. μνημονεύει δὲ καὶ Πλάτων αὐτοῦ ἐν Πρωταγόρᾳ, καὶ Ξενοφῶν ἐν τοῖς Ἀπομνημονεύμασιν. οὐ μὴν ἀλλὰ καὶ Ἀριστοφάνης ἐν Ταγηνισταῖς· Οὕτω[4] τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθειρεν, ἢ Πρόδικος, ἢ τῶν ἀδολέσχων εἷς γέ τις. Διαβάλλει δὲ αὐτὸν καὶ ἐν Ὄρνισι·

[5] Προδίκῳ παρ' ἐμοῦ κλάειν εἴπητε τὸ λοιπόν.

Διδάσκαλος δὲ ἦν οὗτος καὶ Θηραμένους, τοῦ ἐπικαλουμένου Κοθόρνου, ὃς ἦν τῶν λ'. τυραννίδος μετέσχε. Κόθορνος δὲ ἐκαλεῖτο, ἐπεὶ καὶ τοῖς λ'. συνέσπευδε, καὶ τῷ πλήθει. Φέρεται δὲ καὶ βιβλίον Προδίκου, ἐπιγραφόμενον Ὧραι,[6] ἐν ᾧ πεποίηκε τὸν Ἡρακλέα τῇ Ἀρετῇ καὶ τῇ Κακίᾳ συντυγχάνοντα, καὶ καλέσας ἑκατέρας ἐπὶ τὰ ἤθη αὐτῶν· καὶ προσκλῖναι τῇ Ἀρετῇ τὸν Ἡρακλέα, καὶ τοὺς ἐκείνης ἱδρῶτας προκρῖναι τῶν προσκαίρων τῆς κακίας ἡδονῶν.

Πρόδικον. Amicorum judicem & arbitrum. Vel, judicem ex amicis ſumptum. Ariſtophanes *Centauro: Si quis injuriam fecerit, ejus cauſam ab arbitro, qui unus ſit amicorum tuorum, diſceptari volo.* Et proverbium: *Prodico ſapientior.* Ariſtophanes *Nubibus: Haud enim alterum quemquam audiemus temporis noſtri Meteoroſophiſtarum, præter Prodicum: hunc quidem, propter ſapientiam & rationem; te vero,* &c. Prodicus hic erat Sophiſta, genere Cejus, qui floruit tempore Socratis, & primus L. drachmis declamitavit. Ejus meminit Plato in *Protagora*, & Xenophon in *Apomnemoneumatis*; uti & Ariſtophanes *Tageniſtis: Virum iſtum aut liber corrupit, aut Prodicus, aut nugatorum quiſpiam.* Eundem etiam in *Avibus* perſtringit, [his verbis:] *Prodicum meo nomine flere jubeatis in poſterum.* Hic etiam fuit magiſter Theramenis, unius ex xxx. Tyrannis, qui Cothurnus cognominatus fuit, quod nunc xxx. Tyrannorum, nunc populi partibus ſe adjungeret. Exſtat & liber Prodici, *Horæ* inſcriptus, in quo Herculem cum Virtute & Vitio colloquentem facit, dicitque, Herculem, cum utraque ad ſuos mores eum invitaret, Virtuti ſe adjunxiſſe, ejuſque ſudores antepoſuiſſe voluptatibus Vitii ad breve tantum tempus durantibus.

Πρόδομος. ὁ [7] νάρθηξ. ἐτύγχανε γὰρ ἐν τῷ προδόμῳ τοῦ ἱεροῦ.

Πρόδομος. Veſtibulum domus. Vel porticus, quæ erat in veſtibulo Eccleſiæ. Narthex.

Προδόμῳ. τῇ πρὸ τοῦ οἴκου [8] παστάδι.

Προδόμῳ. Porticu, quæ eſt in veſtibulo domus.

Προδότας. [9] Πολύβιος· Δυσθεώρητόν τι ὁ τόπος ἔχει καὶ δυσπαράγραφον. τίνα γὰρ ὡς ἀληθῶς χρὴ προδότην νομίζειν, οὐ ῥᾴδιον ἀποφήνασθαι. δῆλον γὰρ ὡς οὔτε τοὺς ἐξ ἀκεραίου συμπειθομένους τῶν ἀνδρῶν πρός τινας βασιλεῖς ἢ δυνάστας κοινωνεῖν πραγμάτων, εὐθέως προδότας νομιστέον· οὔτε τοὺς κατὰ περίστασιν μετατιθέντας τὰς αὐτῶν πατρίδας ἀπό τινων ὑποκειμένων πρὸς ἑτέρας φιλίας καὶ συμμαχίας. οὐδὲ τούτους, πολλοῦ γε δεῖ· ἐπεί τοι γε πολλάκις οἱ τοιοῦτοι τῶν μεγίστων ἀγαθῶν γεγόνασιν αἴτιοι ταῖς πατρίσιν. ἀλλ' ὅσοι τῶν ἀνδρῶν κατὰ τὰς δυσχερεῖς περιστάσεις, ἢ τῆς ἰδίας ἀσφαλείας καὶ λυσιτελείας χάριν, ἢ τῆς πρὸς τοὺς ἀντιπολιτευομένους διαφορᾶς, ἐγχειρίζουσι τοῖς ἐχθροῖς τὰς πόλεις· ἢ ὅσοι φρουρὰς εἰσδεχόμενοι, καὶ συγχρώμενοι ταῖς ἔξωθεν ἐπικουρίαις πρὸς τὰς ἰδίας ὁρμὰς καὶ προθέσεις, ὑποβάλλουσι τὰς πατρίδας ὑπὸ τὴν τῶν πλειόνων δυνατῶν ἐξουσίαν. τοὺς τοιούτους

Προδότας. Proditores. Polybius: *Locus hic judicatu & explicatu difficilis eſt. Qui enim revera proditor ſit exiſtimandus, definire haud facile eſt. Etenim conſtat, neque eos, qui rebus integris ſocietatis cum Regibus aut principibus ineundæ auctores ſunt; neque eos, qui ob temporum neceſſitatem cives ſuos ab amicitia ac ſocietate jam conſtituta ad nova fœdera cum aliis ferienda traducunt, proditores habendos eſſe. Multum certe abeſt. Hujuſmodi enim homines ſæpe maximorum bonorum civibus ſuis auctores fuere. At vero quotquot difficillimis Reip. temporibus, ſive incolumitatis & utilitatis propriæ cauſa, ſive ob diſſenſionem cum illis, qui contrarias in Republ. partes tuentur, patriam hoſtibus tradunt: vel quotquot admiſſo in urbem præſidio, externiſque auxiliis ad conſilia ſua & conatus ad exitum perducendos abuſi, patriam potentiorum imperio ſubjiciunt: hujuſmodi omnes prodito-*

1 Ἐγὼ γὰρ, εἴ τις ἠδ.] Fragmentum hoc Ariſtophanis ſic diſtinguo & lego:

Ἐγὼ γὰρ, εἴ τις ἠδίκηκε, θέλω δίκην
Δικάσαι πρόδικον ἕνα τῶν φίλων τῶν σῶν———

Hanc lectionem in verſione ſecutus ſum.

2 Ἀριστοφάνης Νεφέλαις] Pag. 147. (81. Ed. Baſ. P.)

3 Σοφιστὴς δὲ ἦν ὁ Πρόδ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

4 Οὕτω τὸν ἄνδρα τοῦτον ἢ βιβλ.] Fragmentum hoc Ariſtophanis ſic ſcribendum & numeris ſuis reſtituendum eſſe puto:

Τὸν ἄνδρα τοῦτον ἢ βιβλίον διέφθορεν,
Ἢ Πρόδικος, ἢ τῶν ἀδολέσχων εἷς γέ τις.

5 Προδίκῳ παρ' ἐμοῦ κλ.] Ariſtoph. *Avibus*, pag. 573. (395. Ed. Baſ. P.)

6 Ἐν ᾧ πεποίηκε τὸν Ἡρ.] Elegantem locum, huc ſpectantem, vide apud Philoſtratum lib. vi. *de Vit. Apoll.* cap. v.

7 Νάρθηξ] Vide Dufreſnium in Gloſſario Græco v. Νάρθηξ.

8 Παστάδι] Sic etiam habet Photius in Lexico MS. At Heſychius, προστάδι. Etymologus vero utramque lectionem receptam fuiſſe docet.

9 Πολύβιος] In Excerptis a Valeſio editis, pag. 89. 90. & 94.

ὑπὸ τὸ τῆς προδοσίας ὄνομα μετρίως ἄν τις ὑποπάττοι πάντας, οἷς λυσιτελὲς μὲν ἀληθῶς ἢ καλὸν οὐδὲν οὐδέποτε συνεξηκολούθησεν, [1] οὐδὲ ἐναντία πᾶσιν ὁμολογουμένως.

Προδότης. τὸ θηλυκὸν δὲ διὰ τοῦ ι.

Ὦ [2] προδότι, καὶ παράγωγε, καὶ μάχλινα σύ.

Προδοσίκομπος. ὁ ὑποσχετικός. ὁ τὰς ἑαυτοῦ ὑποσχέσεις ἐν οὐδενὶ τιθέμενος, ἀλλὰ προδιδούς.

Πρόδρομος. ὁ προτρέχων.

Πρὸ δουλείας. Ὁ δὲ κατακρημνίσας ἑαυτὸν, θάνατον πρὸ δουλείας ὑπομείνας.

Προαιρέσιος, [3] Παγκρατίου, Καππαδόκης, ἀπὸ Καισαρείας, σοφιστής, μαθητεύσας ἐν Ἀντιοχείᾳ παρὰ Οὐλπιανῷ. γέγονε δὲ μικρὸν πρὸ Λιβανίου κατὰ τὰς Ἀθήνας σοφιστεύων, καὶ τιμῶν ἔτυχε τῶν μεγίστων παρὰ τοῦ αὐτοκράτορος Κωνσταντίνου. Μελέτας ῥητορικάς. † Οὗτος ἐπὶ Ἰουλιανοῦ ἤκμαζε, σύγχρονος Λιβανίῳ τῷ σοφιστῇ· καὶ ὅπως λυποίη τοῦτον Ἰουλιανὸς, τὸν Λιβάνιον μεγάλως ἐθαύμαζε.

Προαίρεσις. [4] Ἀριστοτέλης ἐν τοῖς Τόποις λέγει· Δεῖξαι θέλοντες, ὅτι μή ἐστιν ἐν ἀλόγῳ προαίρεσις, ληψόμεθα τὸν λόγον τῆς προαιρέσεως. ἔστι δὲ οὗτος προ ἑτέρου αἵρεσις. ἀλλὰ μὴν τὸ ἄλλο πρὸ ἄλλου αἱρεῖσθαι ἐν τούτοις ἐστὶν, ἐν οἷς καὶ τὸ βουλεύεσθαι. τὸ γὰρ ἄλλο ἄλλου προκρῖναι μετὰ λόγου γίνεται. οὐδὲν δὲ τῶν ἀλόγων βουλεύεται. ὥστε οὐδὲ προαιρεῖται.

Προαίρεσίς ἐστιν ὄρεξις βουλευτικὴ τῶν ἐφ' ἡμῖν. ἢ, βούλευσις ὀρεκτικὴ τῶν ἐφ' ἡμῖν. τοῦ γὰρ προκριθέντος ἐκ τῆς βουλεύσεως ἐφιέμενος προαιρεῖται. βουλὴ δὲ ἐστὶν ὄρεξις ζητητικὴ περὶ τῶν ἐφ' ἡμῖν πρακτῶν γινομένη. βουλεύεται γάρ τις, εἰ ὤφειλε μετελθεῖν τὸ πρᾶγμα, ἢ οὔ. εἶτα κρίνει τὸ κρεῖττον, καὶ γίνεται κρίσις. εἶτα διατίθεται, καὶ ἀγαπᾷ τὸ ἐκ τῆς βουλῆς κριθὲν, καὶ λέγεται γνώμη. ἐὰν δὲ κρίνῃ, καὶ μὴ διατεθῇ πρὸς τὸ κριθὲν, ἢ ἀγαπήσῃ αὐτὸ, οὐ λέγεται γνώμη. εἶτα μετὰ τὴν διάθεσιν γίνεται προαίρεσις, ἤγουν ἐπιλογή. προαίρεσις γάρ ἐστι, δύο προκειμένων, τὸ ἐκλέγεσθαι καὶ αἱρεῖσθαι τοῦτο πρὸ τοῦ ἑτέρου. καὶ τοῦτο φανερὸν, ὅτι βουλή ἐστι μετ' ἐπικρίσεως ἡ προαίρεσις, καὶ ἐξ αὐτῆς τῆς ἐτυμολογίας. προαιρετὸν γάρ ἐστι τὸ ἕτερον πρὸ τοῦ ἑτέρου αἱρετόν. οὐδεὶς δὲ προκρίνει τι, μὴ βουλευσάμενος· οὐδὲ προαιρεῖται, μὴ προκρίνας.

Προεγχεῖσθαι. ἐπικεῖσθαι.

Πρόερμα. [5] στήριγμα.

rum nomine merito cenſeantur: quibus nullus unquam fructus, nullum operæ pretium, ſed prorſus alia omnia contigerunt, ut inter omnes conſtat.

Προδότης. Proditor. At fœmininum ſcribitur per ι, προδότις, proditrix. *O proditrix, & deceptrix, & in venerem proclivis.*

Προδοσίκομπος. Qui facile pollicetur. Qui promiſſorum ſuorum nullam rationem habet, ſed ea negligit.

Πρόδρομος. Præcurſor.

Πρὸ δουλείας. *Ille vero ſe præcipitem dedit, mortem ſervituti anteponens.*

Προαιρέσιος. Proæreſius, Pancratii F. Cæſarea Cappadociæ oriundus, Sophiſta, qui Antiochiæ apud Ulpianum diſciplinis operam dedit. Athenis docuit paulo ante Libanium, & maximis honoribus a Conſtantino ornatus eſt. Scripſit declamationes rhetoricas. † Hic Juliani tempore floruit, æqualis Libanii Sophiſtæ; cui ut Julianus ægre faceret, Libanium vehementer coluit.

Προαίρεσις. Optio. Electio. Ariſtoteles in *Locis* dicit: *Si velimus demonſtrare, non eſſe in bruto* προαίρεσιν, *ſumamus definitionem* τῆς προαιρέσεως. *Ea autem eſt, Electio rei alicujus præ altera. Facultas autem rem unam præ altera eligendi in iis tantum eſt, in quibus eſt & facultas deliberandi, ſive conſilium. Rem enim unam alteri præferre, cum ratione & conſilio fit. Atqui bruta conſilio & ratione carent. Ergo & facultate eligendi, quam* προαίρεσιν *Græci vocant.*

Προαίρεσις. Optio. Delectus. Προαίρεσις eſt appetitio deliberativa, vel deliberatio appetitiva rerum in noſtra poteſtate ſitarum. Qui enim per deliberationem appetit rem aliquam, quam alteri prætulit, is dicitur προαιρεῖσθαι. Conſilium vero eſt appetitio inquiſitiva, quæ ſuſcipitur de rebus illis, quæ poſſunt a nobis agi. Deliberat enim aliquis, utrum debeat aggredi rem aliquam, an non. Deinde judicat, utra ſit melior, & ita fit de utraque judicium. Deinde afficitur, & amat id, quod eſt conſilio judicatum, & hoc vocatur ſententia. Si vero judicarit, nec afficiatur re judicata, nec amarit ipſam, non dicitur ſententia. Poſtremo, poſt affectionem fit proæreſis, id eſt, delectus. Proæreſis enim, ſive delectus, eſt, duobus propoſitis unum præ altero eligere. Hoc autem vel ex ipſa vocis etymologia perſpicuum eſt, προαίρεσιν nimirum eſſe conſilium de re quapiam eligenda. Προαιρετὸν enim dicitur id, quod præ altero eligitur. Nemo autem ſine præcedente deliberatione rem alteram alteri præponit; nec elegit, niſi eam potiorem judicaverit. *Port.*

Προεγχεῖσθαι. Incumbere.

Πρόερμα. Firmamentum. Stabilimentum.

[1] Οὐδὲ ἐναντία] Scribe, τὰ δὲ ἐναντία: ut recte legitur in Excerptis Conſtantini, loco laudato.

[2] Ὦ προδότι, καὶ παρ.] Fragmentum hoc legitur etiam ſupra v. Μάχλινα.

[3] Προαιρέσιος] Hujus vitam prolixe deſcribit Eunapius: quem vide.

[4] Ἀριστοτέλης ἐν τοῖς Τόποις λέγει] Imo, Ἀλέξανδρος ὁ Ἀφροδισιεὺς εἰς τὰ Τοπικὰ τοῦ Ἀριστοτέλους. Quæ enim ſequuntur, non ſunt verba Ariſtotelis, ſed Alexandri Aphrodiſienſis in lib. II. *Topic.* pag. 94. ut Pearſonius recte obſervaverat.

[5] Πρόερμα. στήριγμα] Locum hunc Suidæ citat Euſtathius ad Odyſſ. E. pag. 1528. 27. ubi ſic ait: Ἔστι δὲ πρόερμα, ὡς δηλοῖ Σουΐδας, στήριγμα. ὅπερ εἴρηται ἀπὸ τοῦ ἔχω, τὸ ἔχμα, τὸ πρόερμα.

Προεδρία. διὰ τοῦ ι. Ἄλλοις περισπούδαστον ἡ προεδρία. Προσεδρεία δὲ, διὰ διφθόγγου. ἀπὸ τοῦ προσεδρεύω.

Προεδρεία. Prima ſedes. Primæ ſedis honor. Per ι ſcribitur. *Multi primæ ſedis honorem plurimi faciunt.* Προσεδρεία vero, a προσεδρεύω, per diphthongum ſcribitur.

Προεδρία.[1] τιμῆς οὗτος ὁ τρόπος. ἐξῆν δὲ τῆς τιμῆς ταύτης τυχοῦσι, καὶ ἐν βουλευτηρίῳ, καὶ ἐν ἐκκλησίᾳ, καὶ ἐν παντὶ ἄλλῳ συλλόγῳ, τοὺς προλαμβάνοντας μεταθέσθαι, ἢ ἐξεγείραντας αὐτοὺς εἰς τὸν ἐκείνων καθίσαι τόπον. πεποίηται δὲ τὸ ὄνομα ἀπὸ τοῦ τὴν πρώτην αὐτοὺς ἕδραν ἔχειν. [2]Ἀριστοφάνης· Νῦν δ' ἂν μὴ προεδρείαν φέρωσι, καὶ τὰ σιτία ἀποφέρωσι. ἀντὶ τοῦ, λάβωσι. Σιτία δὲ, ἀντὶ τοῦ τὴν ἐν Πρυτανείῳ σίτησιν.

Προεδρεία. Primæ ſedis honor. Licebat autem illis, qui honore illo gaudebant, & in curia, & in concione, & in quovis alio conventu, eos, qui primam ſedem occupaverant, excitare, & in illorum loco ſedere. Nomen autem hoc deductum eſt ab ἕδρα, ſedes: quod nempe primam ſedem tenerent. Ariſtophanes: *Nunc niſi prima eis ſedes detur, & victus.* Σιτία hic ſignificat victum, [qui] in Prytaneo [bene de Rep. meritis] dari ſolebat.

Πρόεδρος. ὁ τῆς πολιτείας ἀρχηγὸς καὶ ἡγεμών.

Πρόεδρος. Proedrus. Sive, qui principem in Republ. locum tenet.

Πρόεδροι[3] ἐκληροῦντο τῶν Πρυτανέων καθ' ἑκάστην πρυτανείαν, εἷς ἐξ ἑκάστης Φυλῆς, πλὴν τῆς πρυτανευούσης· οἵτινες τὰ περὶ τὴν ἐκκλησίαν διῴκουν. ἐκαλοῦντο δὲ Πρόεδροι, ἐπειδήπερ προήδρευον τῶν ἄλλων ἁπάντων. ὅτι δὲ ὁ καλούμενος Ἐπιστάτης κληροῖ αὐτοὺς, εἴρηκεν Ἀριστοτέλης ἐν Ἀθηναίων πολιτείᾳ.

Πρόεδροι. Proedri. Hi, quoties novi Prytanes prioribus ſuccedebant, ſorte legebantur, ex qualibet Tribu unus; (excepta ea, quæ Prytaniam gerebat) qui curabant ea, quæ ad comitia populi pertinebant. Appellabantur autem Πρόεδροι, quod primam præ reliquis ſedem tenerent. Eum autem, qui vocabatur Epiſtates, Proedros ſorte legiſſe, Ariſtoteles in *Athenienſium Rep.* dixit.

Προέηκε. προέπεμψε.

Προέηκε. Præmiſit.

Προεκαλινδοῦντο τοῦ Καίσαρος, καὶ ἱκέτευον. Προεκυλινδοῦντο δὲ, κρεῖττον. ἀντὶ τοῦ, ἔμπροσθεν τῶν ποδῶν ἐκυλίοντο. καὶ, προεκυλινδεῖτο.

Προεκαλινδοῦντο τοῦ Καίσ. *Ante Cæſarem provolvebantur, ſupplicíter eum orantes.* Præſtat vero dicere προεκυλινδοῦντο: [quod idem ſignificat;] i. e. ante pedes provolvebantur, vel, pedibus advolvebantur.

Προέμβολα. τὰ πρὸς τῇ πρώρᾳ τῆς νηός. [4]Ὥσπερ [5]ἀκροστόλια καὶ προέμβολα ἐκμεμιμησάμενοι.

Προέμβολα. Roſtra navis. *Tanquam acroſtolia & roſtra imitati.*

Προέμενον. πέμπειν.

Προέμενον. Mittere. Præmittere.

Προέμενος. ἐκδιδούς. προδούς. περιφρονήσας. παραφείς. [6]Ὁ δὲ τῶν φίλων ἐχρῆτο τοῖς βουλεύμασι, τὰ οἰκεῖα προέμενος. περὶ γὰρ οὐδεμίαν τῶν πολλῶν ἀρετῶν οὕτως [7]ἐσπουδάκει, ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν.

Προέμενος. Qui dedidit. Qui prodidit. Qui neglexit. Qui dimiſit. *Ille vero conſiliis amicorum utebatur, ſuis neglectis. Nulli enim virtuti, quæ multæ ſunt, æque ſtudebat, atque matri earum, ut cum Pythagora loquamur, ipſi amicitiæ.*

Προεμπίπτειν. Τὸν βασιλέα πάντων θεραπευόντων, αὐτὸς ἡσύχαζε, μὴ βουλόμενος προεμπίπτειν εἰς γνῶσιν.

Προεμπίπτειν. Incidere. *Omnibus Regem colentibus, ipſe quieſcebat, in notitiam ejus venire nolens.*

Προέντες. προδόντες.

Προέντες. Qui prodiderunt.

Προεξειρεσία. τοῦ πλοίου τόπος, ἐν ᾧ ἐρέττουσι. [8]Κωπητῆρας δὲ ἐφ' ἑκατέραις ταῖς πλευραῖς, καὶ οἷον προεξειρεσίας τινὰς ἐμηχανήσαντο.

Προεξειρεσία. Navis locus, in quo remiges remigant. *Utrinque autem remorum ſcalmos & proexireſias, a Græcis ita dictas, fabricarunt.*

Πρὸ ἔργου ἐτίθετο. προθυμότερον ἐτίθει. Καὶ ἅμα φίλια τὰ κατὰ νώτου ἑαυτῷ τε καὶ τῇ στρατιᾷ καταλιπεῖν περὶ ἔργου ἐτίθετο. καὶ αὖθις· Τὴν Σποράκου χώραν κατασχεῖν τοῖς ὅπλοις πρὸ ἔργου εἶναι ἔλεγε.

Πρὸ ἔργου ἐτίθετο. Studioſe dabat operam. Multi faciebat. *Simul autem operam ſtudioſe dabat, ut omnia ſibi & exercitui a tergo tuta relinqueret.* Et iterum: *Dicebat operæ pretium eſſe, Sporaci regionem armis occupare.*

Προεῤῥέθη. προελαλήθη.

Προεῤῥέθη. Prædictum eſt.

Πρόες. πρόπεμψον.

Πρόες. Projice.

Προέσθαι. προδοῦναι. [9]Λαβὼν δὲ τὸ ξίφος Πόρ-

Προέσθαι. Prodere. Abjicere. *Marcus au-*

1 Προεδρία. τιμῆς οὗτος ὁ τρόπος. ἐξῆν δὲ τ. τ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 323. (222. Ed. Baſ. *P.*)

2 Ἀριστοφάνης] *Equit.* pag. 322. (222. Ed. Baſ.. *P.*) ubi verſus hic ita legitur:

Νῦν δ' ἐὰν μὴ προεδρίαν φέρωσι, καὶ τὰ σιτία.

Sic etiam apud Suidam ſcribendum eſt.

3 Πρόεδροι ἐκληροῦντο τῶν Πρυτ.] Ex Harpocratione. Confer Petitum *de Leg. Att.* pag. 191.

4 Ὥσπερ ἀκροστόλια καὶ πρ.] Hæc ſunt verba Agathiæ, lib. v. pag. 167. Vide ſupra v. Ἀκροστόλιον, ubi fragmentū hoc auctius legitur.

5 Ἀκροστόλια] Sic recte habet MS. Pariſ. A. itemque Agathias loco laudato. At priores Editt. male, ἀκρόστομα.

6 Ὁ δὲ τῶν φίλων ἐχρ.] Fragmentum hoc ex Damaſcio depromptum eſſe exiſtimo.

7 Ἐσπουδάκει] Sic MSS. Pariſ. At priores Editt. male, ἴσασι δεῖν.

8 Κωπητῆρας δὲ ἐφ' ἑκατ.] Hæc ſunt verba Agathiæ lib. v. pag. 167.

9 Λαβὼν δὲ τὸ ξίφος Πόρκ.] Fragmentum hoc Valeſius Polybio tribuit.

κιος Μάρκος, καὶ καταληφθεὶς ὑπὸ τῶν πολεμίων, [1]ἐφονεύετο, κρεῖσσον τὴν ψυχὴν πρόεσθαι μᾶλλον, ἢ τὴν μάχαιραν, καὶ πολλὰ λαβὼν τραύματα, παραδόξως ἐσώθη.

tem Porcius gladium tenens, & ab hoſtibus deprehenſus, pugnabat, ſtatuens animam potius, quam gladium amittere; multiſque vulneribus acceptis, præter expectationem ſalvus evaſit.

Προέσθαι. [2]προϊεμήσασθαι. αἰτιατικῇ. Οὔτε γὰρ [3]πρὸ ἐμοῦ, οὔτε περὶ ἄλλου ἀνδρὸς ἀγαθοῦ, οὐδὲ ἔστι προέσθαι τι τῶν κοινῇ συμφερόντων.

Προέσθαι. Projicere. Prodere. Negligere. *Nec enim meum, nec ullius viri boni eſt, quidquam negligere eorum, quæ ad Reipub. utilitatem faciunt.*

Προεστέρνισα.[4] περιεπτυξάμην. καὶ προστερνισάμενος.

Προεστέρνισα. Ad pectus admovi. Amplexus ſum. Et προστερνισάμενος. Amplexus.

Προετικός.[5] χαριστικός.

Προετικός. Prodigus.

Προέτω. προπεμψάτω.

Προέτω. Mittat. Præmittat.

Προεφήτευσεν.

Προεφήτευσεν. Prædixit. Vaticinatus eſt.

Προεχόμεθα. ὑποβαλλόμεθα, ἢ, προβαλλόμεθα.

Προεχόμεθα. Subjiciamus. Vel, objiciamus. Prætendamus.

Προειδόμενοι. προγνῶσται, καὶ προγινώσκοντες.

Προειδόμενοι. Præſcientes. Præſcii.

Προειδῶ. γενικῇ.

Προειδῶ. Genitivo jungitur. Prævideam. Præſciam.

Πρόεισι. προπέμπει.

Πρόεισι. Mittit. Præmittit.

Προείλοντο. ἠθέλησαν. προέκριναν. καὶ προειλόμεθα.

Προείλοντο. Maluerunt. Prætulerunt. Et προειλόμεθα, maluimus.

Προήκαμεν. προεπέμψαμεν.

Προήκαμεν. Præmiſimus.

Προείμεθα. προδίδομεν.

Προείμεθα. Projecimus. Prodidimus. Neglegimus.

Πρόεισι. προπέμπει.

Πρόεισι. Præmittit.

Προεῖται. λαβὼν εἰς τὰς χεῖρας, προεῖται αὐτόν. τουτέστιν, ἀφῆκε, καταλείψει.

Προεῖται. Projicit. Deſerit. Dimittit. *Eum in manus ſumptum dimittit.*

Προηγγελκέναι. προμεμηνυκέναι.

Προηγγελκέναι. Ante nuntiaſſe. Ante ſignificaſſe.

Προηγορεῶνας.[6] τοὺς βρόγχους τῶν ὀρνέων. κυρίως, τοὺς λεγομένους [7]προλόβους· ἐπεὶ συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. λέγεται δὲ καὶ ἐπὶ ἀνθρώπων ὁ προηγορεών, [8]πάλιν ὁ βρόγχος. ἑκάτερον δὲ ἀπὸ τοῦ ἀθροίζειν ἐκεῖ τὴν τροφήν. ἢ φάρυγγας ὀρνέων.

Προηγορεῶνας. Avium guttura, ſive ingluvies, quæ proprie dicuntur πρόλοβοι, [quaſi πρόλογοι,] quod in iis colligantur cibi. Sed & de hominibus προηγορεὼν dicitur, & pro gutture ponitur. Utrumque vero dictum eſt inde, quod cibi in iis colligantur.

Προηγορεών.[9] ὁ λεγόμενος γαργαρεών. ὁ λαιμός. Προηγορεὼν δὲ κυρίως, ὁ ἐχῖνος τῶν ὀρνίθων, ὅπου προαγείρεται ἡ τροφή.

Προηγορεών. Guttur. Proprie vero προηγορεὼν dicitur ſinus in gutture avium, in quo cibus colligitur.

Προηγόρει. προηγόρευε. προέλεγε. [10]Ξενοφῶν· Ἧκον πρέσβεις ἐκ Σινώπης καὶ διὰ τοὺς Κοτυωρίτας εἰς τοὺς Ἕλληνας. προηγόρει δὲ Ἑκατώνυμος, δεινὸς νομιζόμενος εἶναι λέγειν.

Προηγόρει. Prædicebat. Pronuntiabat. Xenophon: *Legati ex urbe Sinope propter Cotyaritas ad Græcos venerunt; [qui talem orationem habuere,] pronuntiante eam Hecatonymo, qui dicendo valere putabatur.*

Προηγοῦμαι. αἰτιατικῇ. Τῇ[11] τιμῇ ἀλλήλους προηγούμενοι.

Προηγοῦμαι. Accuſativo jungitur. Præcedo. Antecedo. Præeo. *Alii alios honore præeuntes.*

Προήει. προήρχετο.

Προήει. Prodibat. Præcedebat.

Προήκατο. προδέδωκε. καὶ προήκουσιν, ἀντὶ τοῦ, αὐξηθεῖσι. προελθοῦσιν. Αἰλιανός· Καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσιν. ἀντὶ τοῦ, πλουσίοις οὖσι. καὶ προήκων, προελθών.

Προήκατο. Projecit. Prodidit. Et προήκουσιν, progredientibus. Vel, incrementum capientibus. Ælianus: *Et omnibus tyrannis, & hominibus, qui ad magnas divitias pervenerunt.* Et προήκων, progreſſus.

1 Ἐφονεύετο] Hæc vox mihi ſuſpecta eſt, utpote quæ ſenſui repugnat. Si enim Marcus ille tunc occiſus fuit, quomodo poſtea ſalvus evadere potuit? Quare cogitet Lector.

2 Προϊεμήσασθαι] Hæc interpretatio litura digna eſt, quippe quæ voci προέσθαι nullo modo convenit.

3 Πρὸ ἐμοῦ. οὔτε περὶ ἄλλου] Scribendum eſt, πρὸς ἐμοῦ, & πρὸς ἄλλου: ut & Wolfius monuit.

4 Προεστέρνισα] Potius forma Media, προεστερνισάμην.

5 Προετικός] Sic etiam Photius in Lexico MS. At Heſychius male, προετικτικός. Idem tamen alio loco recte etiam habet προετικός.

6 Προηγορεῶνας. τοὺς βρόγχους τῶν ὀρν.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 594. (411. Ed. Baſ. *P.*)

7 Προλόβους] Optimus codex MS. A. habet προλόγους: quam lectionem non ſolum confirmat Heſychius v. Πρόλογος; ſed etiam ipſa etymologia, quam Suidas hic ſubjungit, ἐπεὶ συλλέγεται ἐν αὐτοῖς τὰ σιτία. Certe etymologia iſta nihil facit ad vocem πρόλοβος: unde patere puto, vel Suidam hic ſcripſiſſe προλόγους; vel ſaltem, προλόβους, εἶτα προλόγους: quam poſteriorem lectionem in verſione ſecutus ſum.

8 Πάλιν ὁ βρόγχος] Malim, τουτέστιν, ὁ βρόγχος. Τὸ πάλιν enim hic locum habere non poteſt

9 Προηγορεών. ὁ λεγόμενος γαργ.] Scholiaſta Ariſtophanis ad *Equit.* pag. 309. *Τὸν προηγορεῶνα. τὸν λεγόμενον γαργαρεῶνα.* Et paulo poſt: *Κυρίως δὲ ἡ τῶν ὀρνέων φάρυγξ, ἐν ᾗ ἀγείρεται ἡ τροφή.* Huc Suidas reſpexiſſe videtur.

10 Ξενοφῶν] Lib. v. *de Expedit. Cyri*, pag. 355. ut Pearſonius monuit.

11 Τῇ τιμῇ ἀλλήλους προηγ.] Ad *Rom.* XII. 10.

Προΐκτης.[1] ὁ πένης. καὶ μεταίτης, καὶ οἰκτρός, οἱ αὐτοί εἰσι.

Προηρόσια.[2] ὄνομα θυσίας.

Προηροσίαι. αἱ [3] πρὸ τοῦ ἀρότου γινόμεναι. θυσίαι περὶ τῶν μελλόντων ἔσεσθαι καρπῶν, ὥστε τελεσφορεῖσθαι. [4] ἐγίνετο δὲ ὑπὸ Ἀθηναίων ὑπὲρ πάντων Ἑλλήνων, ἐ' Ὀλυμπιάδι. Λυκοῦργός φησιν ἐν τῷ κατὰ Μενεσαίχμου· Καὶ γὰρ νῦν πολλὰς καὶ μεγάλας ὑμῶν τιμὰς ὀφείλω, καὶ [5] ζητῶ παρὰ πᾶσιν Ἕλλησι μαντευομένοις [6] τὸν Δία προηροσίαν ποιήσασθαι.

Πρόησθε. πέμψητε.

Προήσομαι. προπέμψω. προδώσω.

Προήχθη. προείλκυσται. ὡς καὶ [7] ἐξήχθην, καὶ ἐξετράπην.

Προΐαψε. προέπεμψε.

Προϊαίταλος.[8] πάνυ πρότερος.

Προϊέμενος. προδιδούς. καὶ προΐενται, ἀντὶ τοῦ, ἀποῤῥιπτοῦσι, μεταδιδοῦσιν. Ὅσα ὁ στρατιώτης ὅμιλος ἐν ταῖς πορείαις προΐενται.

Προϊέναι. ῥίψαι. ἀπολέσαι. [9] Ἀριστοφάνης·

Εἶτ' ἄνδρα τοῦ αὑτοῦ τι χρὴ προϊέναι.

οὐδὲ γὰρ χειρίσασθαι ἔφη, ἢ δανεῖσαι, ἀλλὰ προϊέναι. ἀγανακτεῖ ὁ δανειστὴς ἐπὶ τῷ μὴ κεκομίσθαι, ἅπερ ἐδάνεισε χρήματα. φησὶν οὖν, ὅτι οὐ χρὴ ῥᾳδίως ἄλλοις προΐεσθαι τὰ ἑαυτοῦ χρήματα.

Προΐεσθαι. προδιδόναι. Ὁ δὲ βασιλεὺς οὔτε προΐεσθαι ἠξίου τὰ παρὰ τῶν πόλεων δῶρα.

Προΐει. ἀντὶ τοῦ, προέπεμπε.

Προΐζα. ζήτει ἐν [10] τῷ πρὸ μεγάλῳ.

Προΐξω. τὸ καταγνώσομαι.

Προΐκτης. ὁ ἐπαίτης. Προΐκτας, καὶ γόητας, καὶ βωμολόχους ἀποκαλοῦσι.

Προΐστορες. οἱ μαρτυροῦντες.

Προΐσχεται. προβάλλεται.

Προϊσχομένου. [11] προεινόντος.

Προθανόντα. ἡ πρὸ ἀντὶ τοῦ ὑπέρ.

[12] Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα.

Προθέλυμνα. συνεχῆ. ἄλλα ἐπ' ἄλλοις. παρὰ τὸ τέλος, τέλυμνος, [13] καὶ θήλυμνος. ὁ πρόῤῥιζος.

Προθελύμνους.[14] ἄλλας ἐπ' ἄλλαις.

Προθέλυμνα.[15] τὰ ἐπαλλήλους κλάδους ἔχοντα δένδρα. ἀπὸ τοῦ θηλυμανεῖν.

Προΐκτης. Pauper. Mendicus. Προΐκτης, & μεταίτης, & οἰκτρός, idem ſignificant.

Προηρόσια. Proeroſia. Nomen ſacrificii.

Προηροσίαι. Proeroſiæ. Sacrificia, quæ fiebant ante arationem; pro futuris frugibus, ut ad juſtam maturitatem perducerentur. Hoc autem ſacrificium ab Athenienſibus factum eſt Olympiade v. pro univerſis Græcis. Lycurgus in oratione contra Meneſæchmum inquit: *Nunc enim multos & magnos honores vobis debeo apud omnes Græcos, quos Oraculum juſſit pro felici frugum proventu Cereri ſacrificium facere.*

Πρόησθε. Mittatis. Præmittatis.

Προήσομαι. Projiciam. Prodam. Præmittam.

Προήχθη. Impulſus eſt. Inductus eſt. Ut ἐξήχθη, ſeductus, vel abductus eſt.

Προΐαψε. Præmiſit.

Προϊαίταλος. Maxime præcox.

Προϊέμενος. Projiciens. Deferens. Prodens. Et προΐενται, abjiciunt. *Quæcunque militaris turba in itinere abjicit.*

Προϊέναι. Projicere. Abjicere. Amittere. Ariſtophanes: *Ergone quenquam ſua projicere oportet.* Non dixit, in manus tradere, vel fœnerari: ſed projicere. Fœnerator autem indignatur, quod non recepiſſet pecuniam, quam fœnori dederat. Dicit igitur, Non oportet aliis facile pecuniam ſuam projicere.

Προΐεσθαι. Projicere. Negligere. Spernere. *Rex autem dona a civitatibus miſſa ſpernere nolebat.*

Προΐει. Præmittebat.

Προΐζα. Nuper. Quære in Πρώϊζα, per ω magnum.

Προΐξω. Condemnabo.

Προΐκτης. Mendicus. Προΐκτας etiam vocant præſtigiatores, & ſcurras.

Προΐστορες. Teſtes.

Προΐσχεται. Prætendit. Objicit.

Προϊσχομένου. Prætendentis. Objicientis.

Προθανόντα. Pro aliquo mortuum. Præpoſitio πρὸ hic ponitur pro ὑπέρ. *Pro Abderis mortuum Agathonem bellicoſum.*

Προθέλυμνα. Crebra. Frequentia. Denſa. A τέλος fit τέλυμνος, &, [mutato τ in θ,] θέλυμνος. Et προθέλυμνος, radicitus evulſus.

Προθελύμνους. Denſas. Frequentes.

Προθέλυμνα δένδρα. Arbores, quæ denſos habent ramos. A θηλυμανεῖν, quod proprie ſignificat, immodico fœminarum amore flagrare.

1 Προΐκτης] Eſt vox Homerica *Odyſſ.* P.

2 Προηρόσια] Dicitur etiam fœminino genere & ſingulari numero ἡ προηροσία. Vide Noſtrum v. ſequenti, & Harpocrat. v. Προηρόσια.

3 Πρὸ τοῦ ἀρότου] Scribendum eſt, πρὸ τοῦ ἀρότου, ut jamdudum monuit *Meurſ. Lect. Att.* lib. II. cap. I. quem vide.

4 Ἐγίνετο δὲ ὑπὸ Ἀθηναίων ὑπὲρ πάντων Ἑλλ.] Confer Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 331. itemque Noſtrum ſupra v. Ἄβαρις, & v. Εἰρεσιώνη.

5 Ζητῶ] MS. A. habet ζηλῶ. Sed utrovis modo legas, ſenſus, ut in brevi & lacero fragmento, obſcurus eſt.

6 Τὸν Δία] Scribendum puto, τῇ Δηοῖ, i. e. Cereri. Sacrificio enim, quod προηρόσια dicebatur, colebatur Ceres; ut Noſter expreſſe teſtatur ſupra v. Εἰρεσιώνη: quem locum confer.

6 Ἐξήχθην] Sic reſcripſi, non ſolum flagitante ſenſu, ſed etiam auctoritate Photii in Lexico inedito. Ante enim male legebatur, ἐξεχύθην.

8 Προϊαίταλος] Sic habent MSS. Pariſ. At priores Editt. minus recte, προϊάσπετος.

9 Ἀριστοφάνης] *Nubibus*, pag. 192. (118. Ed. Baſ. *P.*)

10 Ἐν τῷ πρὸ μεγάλῳ] Cum Porto legendum puto, ἐν τῷ πρώϊζα, διὰ τοῦ ω μεγάλου.

11 Προεινόντος] Portus, προτείνοντος; quod non diſplicet.

12 Ἀβδήρων προθαν.] Integrum Epigramma, ex quo Hexameter hic decerptus eſt, legitur Anthol. lib. III. cap. v. pag. 287.

13 Καὶ θήλυμνος] Scribo, & ſuppleo, καὶ θέλυμνος, καὶ προθέλυμνος.

14 Προθελύμνους] Homerus Il. K. 15.

15 Προθέλυμνα] Homerus Il. I. 537.

Προθέ-

Προθέματα. προγραφάς. Καὶ ἔθηκεν Οὐαλεντινιανὸς ὁ βασιλεὺς προθέματα, ἵνα, εἴ τις ἠδίκηται παρὰ Σαλουστίου τοῦ ἐπάρχου, προσέλθῃ τῷ βασιλεῖ. οὗτος ὁ βασιλεὺς καὶ τὸν Πραιπόσιτον ἔκαυσε Χρυσάφιον.

Πρόθεσις. προαίρεσις. Ἀλλ᾽ οὐδὲ ἠδίκησέ τινα κατὰ πρόθεσιν, οὐδὲ προσποιηθεὶς, οὐδὲ πολυπραγμονήσας ἁπλῶς οὐδὲν περὶ τῶν γεγονότων.

Πρόθεσις. βουλή. γνώμη. Πολύβιος· Οὐδὲ τοῖς Ῥωμαίοις πρόθεσις ναυμαχῆσαι. σημαίνει δὲ καὶ προθεσμίαν.

Προθεσμία. ἀπὸ τοῦ προθεῖναι τὴν ἡμέραν, ἐν ᾗ τόδε γενέσθαι δεῖ, οὐκ ἀπὸ τοῦ προθεσπίζειν· ἐὰν ἡμεῖς προτιθῶμεν προθεσμίαν τινά. εἰ δὲ ὁ Θεὸς ὁ προτιθεὶς, ἀπὸ τοῦ προθεσπίζειν εἴρηται τὸ ὄνομα· προθεσπίζοντος τοῦ Θεοῦ, καὶ [2] πράττοντος, καὶ προνομοθετοῦντος περὶ τῆς ἡμέρας, ἐν ᾗ τυχὸν τόνδε δεῖ τῆς ζωῆς ταύτης ὑπεξελθεῖν, ἢ τόνδε καταλυθῆναι τὸν σύμπαντα κόσμον. καὶ θεσπίζειν μὲν ἐπὶ Θεοῦ κυρίως· καταχρηστικῶς δὲ, καὶ ἐπὶ βασιλέως.

Προθεσμίας [3] νόμος. Δημοσθένης ὑπὲρ Φορμίωνος τὴν τῶν πέντε ἐτῶν ἂν λέγοι προθεσμίαν.

Προθεῖναι. προεργάσασθαι. Διὰ τὸ προθεῖναι καὶ ἄλλους τὴν ἑρμηνείαν τῶν Ψαλμῶν.

Προθοήνωρ. [4] ὄνομα κύριον. καὶ συστέλλει.

Προθύματα. [5] αἱ ὀλύραι. παρὰ τὸ προθύεσθαι τῶν ἱερείων. ἢ αἱ κριθαί. ἢ ὁ λιβανωτός.

Πρόθυμος. ἐπιθυμῶν. ὀρεγόμενος.
[6] Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ᾽ ἀεί.

Πρόκα. εὐθύς. παραχρῆμα. Ἡρόδοτος· Καὶ πρόκα τε Φρίκης αὐτὸν ἐπελθούσης, ὀπίσω τὴν αὐτὴν ὁδὸν ἴεσθαι.

Πρόκας. Ἢ αἶγας κεραοὺς, ἢ δὲ πρόκας. Πρὸξ ἐστὶ ζῶον μικρὸν, ἐλάφῳ ὅμοιον.

Προκαθέζομαι. γενικῇ.

Προκαθεὶς. προπέμψας. Προκαθεὶς δέ τινας τῶν στρατιωτῶν, ἐς ἐλπίδας τῶν σπονδῶν ὑπηγάγετο.

Προκαθήμενον. ἐξάρχοντα. Μενεκλέα τὸν προκαθήμενον τῶν τόπων. τουτέστι, τὸν φυλάττοντα τοὺς τόπους.

Προκαλεῖσθαι. οὐ τὸ εἰς ἀγῶνα καὶ μάχην, ἀλλὰ τὸ εἰς συμβάσεις καὶ συνθήκας. Θουκυδίδης. οἱ δὲ δικανικοὶ ἐπὶ πάσης προκλήσεως. Ἀρχέλαος παρεκάλει τὸν Σύλλαν διαλλαγῆναι πρὸς τὸν Μιθρι-

Προθέματα. Tabellas publice propoſitas. Edicta. *Valentinianus autem Imperator edi propoſuit, ut, ſi quis a Saluſtio Præfecto Præ torii injuria affectus fuiſſet, is Imperatorem adiret. Idem Imperator & Chryſaphium Præpoſitum cremavit.*

Πρόθεσις. Propoſitum. *Nemini de induſtria injuriam fecit, nec ſimulatione uſus eſt, nec curioſe quidquam eorum, quæ facta fuerant, inquiſivit.*

Πρόθεσις. Propoſitum. Conſilium. Sententia. Polybius: *Romani vero non ſtatuerant navale prælium committere.* Significat vero etiam diem præfinitum.

Προθεσμία. Dies præſtitutus. Tempus præfinitum. Dictum hoc eſt a προθεῖναι, proponere; non vero a προθεσπίζειν, prædicere, vel edicere: ſi nempe nos ipſi diem aliquem ſtatuamus. At ſi Deus tempus aliquod præfiniat, dictum eſt [hoc vocabulum] a προθεσπίζειν. Veluti ſi Deus pronuntiet vel ſtatuat & præfiniat diem, quo huic vel illi ex vita migrandum ſit, vel quo totum hunc Mundum perire oporteat. Et θεσπίζειν proprie quidem de Deo dicitur: abuſive vero etiam de Rege.

Προθεσμίας νόμος. Lex præfiniti temporis. Demoſthenes in oratione pro Phormione de quinque annorum tempore præſcripto loqui videtur.

Προθεῖναι. Proponere. Ante elaboraſſe. *Cum & alii Pſalmorum interpretationem ante elaboraverint.*

Προθοήνωρ. Prothoenor. Nomen proprium. Corripit [genitivum.]

Προθύματα. Res, quæ ante ſacrificium Deo offeruntur. Olyræ. Vel, hordeum. Vel, thus. A προθύεσθαι: quod nempe ante victimas Deo offerantur.

Πρόθυμος. Cupiens. Cupidus. [Sophocles:] [*Nunc illa licet tibi*] *præſenti videre, quorum cupidus ſemper fuiſti.*

Πρόκα. Statim. Extemplo. Repente. Subito. Herodotus: *Et cum ſubito horror eum invaſiſſet,* [*ajunt*] *eum eadem via rediiſſe.*

Πρόκας. Hinnulos. Damas. *Vel capras cornutas, vel damas.* Πρὸξ eſt animal parvum cervo ſimile.

Προκαθέζομαι. Genitivo jungitur. Præſideo.

Προκαθεὶς. Qui præmiſit. *Cum autem quoſdam milites præmiſiſſet, iis ſpem pacis fecit.*

Προκαθήμενον. Præſidem. Cuſtodem. *Meneclem, locorum illorum præſidem.*

Προκαλεῖσθαι. Non [ſemper ſignificat] ad certamen & pugnam aliquem provocare, ſed [interdum etiam] ad fœdus & pacem faciendam invitare. [Sic] Thucydides. Juris periti autem vocabulum hoc de quavis provo-

1 Καὶ ἔθηκεν Οὐαλεντινιανὸς ὁ βασ.] Confer Noſtrum infra v. Σαλοῦστιος.

2 Πράττοντος] Legendum puto, πάττοντος.

3 Προθεσμίας νόμος. Δημοσθ.] Ex Harpocratione.

4 Προθοήνωρ] Ejus meminit Homerus Il. Β. v. 495. & alibi.

5 Προθύματα. αἱ ὀλύραι. παρὰ τὸ πρ.] Ex Scholiaſta Ariſtoph. ad *Plutum*, pag. 71.

6 Παρόντι λεύσσειν, ὧν πρ.] Sophocles in *Electra* initio:
——————Νῦν δ᾽ ἐκεῖν᾽ ἔξεστί σοι
Παρόντι λεύσσειν, ὧν πρόθυμος ἦσθ᾽ ἀεί.
Hinc Suidas ſupplendus eſt.

δάτην.

διατὴν. δεξαμένου δὲ τούτου τὴν πρόκλησιν, ἐγένοντο συνθῆκαι.

Προκαλινδοῦμαι. γενικῇ.

Προκαλίζετο. προεκαλεῖτο.

Προκάρηνος. ἐπὶ κεφαλήν. ἐν Μύθοις·

Ἠχήεις ἐτάνυσσε βαλὼν προκάρηνον ἀήτης.

Προκαταβολὴ,[1] καὶ προσκαταβόλημα. τῶν τελῶν πιπρασκομένων, δύο προθέσμους ἐδίδοντο τοῖς ὠνουμένοις, ἐν αἷς ἐχρῆν εἰσενεχθῆναι τὸ ἀργύριον. ὅσον οὖν μέρος χρημάτων, πρὶν ἄρξασθαι τοῦ ἔργου, εἰσφέρουσιν εἰς τὸ δημόσιον, τοῦτο προκαταβολὴ καλεῖται· τὸ δὲ τῇ δευτέρᾳ προθεσμίᾳ διδόμενον, προσκαταβόλημα.

Προκατεύχομαί σου.

Πρόκευσον.

Προκέφαλος. [2] Προκέφαλος ἦν ὁ Φιλοκλῆς, ὡς ἔποψ. ἦν δὲ κωμῳδίας ποιητής. εἴρηται ἐπὶ τῶν ὀξυκεφάλων.

Προκεχωρηκότος. προεληλυθότος. Θουκυδίδης.

Προκείμενον. τὸ ἐνεστηκός. Ὁ δὲ τοιούτοις χρώμενος λογισμοῖς, μένειν ἠξίου τὸν Τιβέριον ἐπὶ τῶν προκειμένων. καὶ αὖθις· Ἐμοὶ δὲ τὸ προκείμενον ἤνυστο.

Προκινδυνεύω. γενικῇ.

Προκλητί.

Πρόκλησις.[3] εἰώθεσαν, ὁπότε δικάζοιντό τινες, ἐξαιτεῖν ἐνίοτε θεραπαίνας, ἢ θεράποντας εἰς βάσανον, ἢ εἰς μαρτυρίαν τοῦ πράγματος. καὶ τοῦτο ἐκαλεῖτο προκαλεῖσθαι. τὸ δὲ γραμματεῖον τὸ περὶ τούτου γραφόμενον, ὠνομάζετο πρόκλησις.

Πρόκλος[4] Μαλλώτης, ἐκ Κιλικίας, Φιλόσοφος Στωϊκός. ἔγραψεν ὑπόμνημα τῶν Διογένους σοφισμάτων· καὶ πρὸς Ἐπίκουρον.

Πρόκλος δεύτερος, Μαλλώτης, Φιλόσοφος καὶ αὐτὸς Στωϊκός.

Πρόκλος, ὁ Προκλήϊος χρηματίσας, Θεμιστίωνος, Λαοδικείας τῆς Συρίας ἱεροφάντης. ἔγραψε Θεολογίαν. Εἰς τὸν παρ' Ἡσιόδῳ τῆς Πανδώρας μῦθον. Εἰς τὰ χρυσᾶ ἔπη. Εἰς τὴν Νικομάχου Εἰσαγωγὴν τῆς ἀριθμητικῆς· καὶ ἄλλα τινὰ Γεωμετρικά.

Πρόκλος ὁ Λύκιος, μαθητὴς Συριανοῦ, ἀκουστὴς δὲ καὶ Πλουτάρχου τοῦ Νεστορίου, τοῦ Φιλοσόφου, καὶ αὐτὸς Φιλόσοφος Πλατωνικός. οὗτος προέστη τῆς ἐν Ἀθήναις Φιλοσόφου σχολῆς· καὶ αὐτοῦ μαθητὴς καὶ διάδοχος χρηματίζει Μαρῖνος ὁ Νεαπολίτης.[5] ἔγραψε πάνυ πολλὰ, Φιλόσοφά τε καὶ γραμματικά. Ὑ-

cationè dicunt. *Archelaus Syllam hortabatur, ut cum Mithridate pacem faceret. Cum igitur ille hortanti aſſenſus eſſet, pax facta eſt.*

Προκαλινδοῦμαι. Genitivo jungitur. Ante pedes alicujus provolvor.

Προκαλίζετο. Provocabat.

Προκάρηνος. Præceps. In caput cadens. Pronus. In *Fabulis: Valde ſtrepens ventus eum pronum proſtravit.*

Προκαταβολὴ, & προσκαταβόλημα. Quum vectigalia [Athenis] vendebantur, duo temporis termini redemptoribus eorum præfiniebantur, intra quos pecunia ab ipſis perſolvenda erat. Pars igitur pecuniæ, quæ ab ipſis in ærarium inferebatur, antequam vectigalia exigere incepiſſent, προκαταβολὴ vocabatur. At penſio altera dicebatur προσκαταβόλημα.

Προκατεύχομαί σου. Pro te precor.

Πρόκευσον. Prius occulta.

Προκέφαλος. Acuto capite præditus. Philocles erat acuto capite præditus, ut upupa. Erat autem Poeta Comicus. Dicitur hoc de iis, qui acutum & oblongum caput habent.

Προκεχωρηκότος. Illius, qui progreſſus eſt. Thucydides.

Προκείμενον. Propoſitum. Inſtitutum. *Ille vero talibus utens rationibus, Tiberium hortabatur, ut in conſilio ſemel ſuſcepto perſeveraret.* Et iterum: *Quod vero mihi propoſitum erat, id confectum eſt.*

Προκινδυνεύω. Genitivo jungitur. Pro aliquo periculum ſubeo.

Προκλητί. Per provocationem.

Πρόκλησις. Provocatio. Poſtulatio. Cum aliqui judicio inter ſe contendebant, ſervas interdum aut ſervos ad quæſtionem vel teſtimonium rei poſtulare ſolebant: quod προκαλεῖσθαι dicebatur. Et libellus, qui hac de re ſcribebatur, πρόκλησις vocabatur.

Πρόκλος Μαλλ. Proclus Mallotes, Cilix, Philoſophus Stoicus. Scripſit commentarium in Diogenis Sophiſmata. Item, adverſus Epicurum.

Πρόκλος δεύτ. Proclus alter, Mallotes, Philoſophus & ipſe Stoicus.

Πρόκλος. Proclus, Proculejus dictus, Themiſtionis F. Laodiceæ Syriæ ſacerdos. Scripſit Theologiam. In Pandoræ fabulam, quæ eſt apud Heſiodum. In Aurea carmina. In Nicomachi Iſagogen Arithmeticæ: & alia quædam Geometrica.

Πρόκλος ὁ Λύκ. Proclus Lycius, diſcipulus Syriani, & auditor Plutarchi Philoſophi, Neſtorii filii, Platonicus & ipſe Philoſophus. Hic Philoſophicæ Scholæ Athenis præfuit. Ejus vero diſcipulus & ſucceſſor fuit Marinus Neapolitanus. Permulta ſcripſit & Philoſophica, & Grammatica. Commentarium

1 Προκαταβολὴ, καὶ προσκαταβ.] Vide Petitum *de Leg. Att.* pag. 380.

2 Προκέφαλος ἦν ὁ Φιλοκλῆς, ὡς ἔπ.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 554. Confer etiam Noſtrum infra v. Φιλοκλῆς.

3 Πρόκλησις. εἰώθεσαν, ὁπότε δικ.] Ex Harpocratione: ad quem vide Valeſium. Confer etiam Petitum *de Leg. Att.* pag. 380.

4 Μαλλώτης] Sic habent MSS. Pariſ. At priores Edit. minus recte, Μαλλότης, per ο.

5 Ἔγραψε πάνυ πολλὰ] Scriptorum Procli Lycii, tam exſtantium adhuc, quam perditorum, accuratum & amplum catalogum poſt Marini *Proclum* exhibet vir eximiæ eruditionis Joannes Albertus Fabritius, Hamburgenſis; quem publice hic hortor, ut *Biblio-*

πόμνημα εἰς ὅλον τὸν Ὅμηρον. Ὑπόμνημα εἰς τὰ Ἡσιόδου Ἔργα καὶ Ἡμέρας. Περὶ Χρηστομαθίας βιβλία γ΄. Περὶ ἀγωγῆς β΄. Εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ΄. Εἰς τὴν Ὀρφέως Θεολογίαν. Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, καὶ Πλάτωνος. Περὶ τὰ Λόγια, βιβλία ι΄. Περὶ τῶν παρ' Ὁμήρῳ Θεῶν. Ἐπιχειρήματα κατὰ Χριστιανῶν ιη΄. οὗτός ἐστι Πρόκλος, ὁ δεύτερος μετὰ Πορφύριον κατὰ Χριστιανῶν τὴν μιαρὰν καὶ ἐφύβριστον αὐτοῦ γλῶσσαν κινήσας· [1] πρὸς ὃν ἔγραψεν Ἰωάννης, ὁ ἐπικληθεὶς Φιλόπονος, πάνυ θαυμασίως ὑπαντήσας κατὰ τῶν ιη΄ Ἐπιχειρημάτων αὐτοῦ, καὶ δείξας αὐτὸν κἀν τοῖς Ἑλληνικοῖς, ἐφ' οἷς μέγα ἐφρόνει, ἀμαθῆ καὶ ἀνόητον. [2] ἔγραψε Πρόκλος Μητρωακὴν βίβλον, ἣν εἴ τις κατὰ χεῖρας λάβοι, ὄψεται, ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν περὶ τὴν Θεὸν Θεολογίαν ἐξέφηνεν ἅπασαν· ὥστε μηκέτι θρέττεσθαι τὴν ἀκοὴν ἐκ τῶν ἀπεμφαινόντων θρήνων.

in totum Homerum. Commentarium in Heſiodi Opera & Dies. De Chreſtomathia libros III. De diſciplina Theurgica libros II. In Rempublicam Platonis libros IV. In Orphei Theologiam. Orphei, Pythagoræ, & Platonis conſenſum. In Oracula libros X. De Diis Homericis. Argumenta XVIII. contra Chriſtianos. Hic eſt Proclus ille, qui ſecundus a Porphyrio impuram & petulantem linguam in Chriſtianos ſtrinxit. Adverſus hunc Joannes cognomento Philoponus ſcripſit, qui argumenta ejus XVIII. admirabili dexteritate refutavit, eumque vel in Græcis diſciplinis, quarum peritia ſeſe jactabat, indoctum & exiguo judicio præditum oſtendit. Scripſit etiam Proclus librum de Matre Deorum; quem ſi quis in manus ſumat, ex eo intelliget, [Philoſophum] non abſque divino afflatu omnem Deæ illius Theologiam in lucem protraxiſſe; ita ut aures non amplius turbentur lamentationibus, quæ [in ſacris illis] audiuntur.

Πρόκλος, [3] τοῦ βασιλέως Ἰουστίνου Κοιαίστωρ, ἀνὴρ δίκαιος, καὶ χρημάτων διαφανῶς ἀδωρότατος. διὸ δὴ οὔτε νόμον τινὰ εὐπετῶς ἔγραφεν, οὐδέ τι τῶν καθεστώτων κινεῖν ἤθελε.

Πρόκλος. Proclus, Imperatoris Juſtini Quæſtor, vir juſtus, & qui nullis omnino muneribus ſe corrumpi pateretur. Idem nec ullam legem temere ſcripſit, nec quicquam ex iis, quæ moribus recepta erant, mutavit.

Πρόκνη. ὄνομα κύριον.

Πρόκνη. Procne. Nomen proprium.

Προκόλπιον. τὸ πρὸ τοῦ κόλπου. λαμβάνεται δὲ καὶ ἐπὶ δωροδόκου.

Προκόλπιον. Anterior ſinus pars. Dicitur vero etiam de eo, qui muneribus ſe corrumpi ſinit.

Προκόμιον. [4] κόμην.

Προκόμιον. Coma anterior. Coma appoſititia.

Προκόννησος. ὄνομα νήσου.

Προκόννησος. Proconeſus. Inſulæ nomen.

Προκόπιος [5] Ἰλλούστριος, Καισαρεὺς, ἐκ Παλαιστίνης, ῥήτωρ καὶ σοφιστής. ἔγραψεν Ἱστορίαν Ῥωμαϊκὴν, ἤγουν τοὺς πολέμους Βελισαρίου. Τὰ κατὰ Ῥώμην καὶ Λιβύην πραχθέντα. γέγονεν ἐπὶ τῶν χρόνων Ἰουστινιανοῦ τοῦ βασιλέως, ὑπογραφεὺς χρηματίσας Βελισαρίου, καὶ ἀκόλουθος κατὰ πάντας τοὺς συμβάντας πολέμους τε καὶ πράξεις, τὰς ὑπ' αὐτοῦ συγγραφείσας. ἔγραψε καὶ ἕτερον βιβλίον, τὰ καλούμενα Ἀνέκδοτα, τῶν αὐτῶν πράξεων· ὡς εἶναι ἀμφότερα τὰ βιβλία θ΄. τὸ βιβλίον Προκοπίου τὸ καλούμενον Ἀνέκδοτα, ψόγους καὶ κωμῳδίας Ἰουστινιανοῦ τοῦ βασιλέως περιέχει, καὶ τῆς αὐτοῦ γυναικὸς Θεοδώρας. ἀλλὰ μὴν καὶ αὐτοῦ Βελισαρίου, καὶ τῆς γαμετῆς αὐτοῦ.

Προκόπιος Ἰλλ. Procopius Illuſtrius, Cæſarienſis, Palæſtinus, orator & ſophiſta. Scripſit hiſtoriam Romanam; hoc eſt, Belliſarii bella. Res Romæ & in Africa geſtas. Vixit temporibus Juſtiniani Imperatoris, fuitque Belliſarii notarius & comes, omnibuſque bellis & rebus geſtis a ſe deſcriptis ipſe interfuit. Scripſit & alium librum, *Anecdota* vocatum, de iiſdem rebus geſtis: qui prioribus ejus libris additus, eſt numero nonus. Liber Procopii, *Anecdota* inſcriptus, continet vituperia & comicas inſectationes Juſtiniani Imperatoris, & Theodoræ conjugis ejus: itemque Belliſarii, & uxoris ejus.

Προκόπιος. Ὅτι [6] ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλομάρτυρος Προκοπίου, ἐν τῇ Χελώνῃ, ἵσταται εὐνούχου τινὸς στήλη, ἧς ἐν τῷ στήθει [7] ἔγραψεν· Ὁ μετατεθεὶς θεμάτιά τῷ βρόχῳ παραδοθήτω. ἦν δὲ ἡ στήλη Πλάτωνος Κουβικουλαρίου, ὃς ἐν ταῖς ἡμέραις τοῦ [8] Βασιλίσκου πυρίκαυστος γέγονε. τῶν δὲ γονέων αὐτοῦ αἰτησάντων τὸν βασιλέα εἰς μνημόσυνον τοῖς ἀνταίρουσι

Προκόπιος. Procopius. In templo S. Martyris Procopii in Chelone ſtatua cujuſdam Eunuchi poſita eſt, in cujus pectore hæc inſcripta ſunt: *Quiſquis hoc ſignum loco moverit, laqueo pereat.* Erat autem ſtatua Platonis cubicularii, qui temporibus Baſiliſci Imperatoris vivus combuſtus eſt. Cum autem parentes ejus ab Imperatore petiiſſent,

thecam Græcam, cui jam plures inſudavit annos, & cujus ſpecimen eſt modo dictus catalogus operum a Proclo conſcriptorum, aliquando in lucem edat. Ex ſpecimine enim illo ſatis colligere licet, opus ipſum præclarum & utiliſſimum fore.

1 Πρὸς ὃν ἔγραψεν Ἰωάννης, ὁ ἐπικλ. Φιλ.] Hoc opus Joannis Philoponi hodie adhuc exſtat, ut contra Guilelmum Cavium recte obſervavit modo laudatus Joan. Alb. Fabritius in dicto Catalogo Scriptorum Procli: quem vide.

2 Ἔγραψε Πρόκλος Μητρωακὴν βίβλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Marini in parte poſteriore *Vitæ Procli,* quam Joan. Alb. Fabritius Hamburgi primus edidit, cap. XXXIII. Confer etiam Noſtrum ſupra v. Κατακωχὴ, ubi eadem leguntur.

3 Πρόκλος, τοῦ βασιλέως Ἰουστίνου Κοι.] Hic articulus ſumptus eſt ex Procop. *de Bello Perſ.* lib. I. cap. XI.

4 Προκόμιον] Confer Noſtrum ſupra v. Περίκρ.

5 Προκόπιος Ἰλλ.] De hoc vide Voſſium in libro *de Hiſt. Gr.*

6 Ὅτι ἐν τῷ ναῷ τοῦ ἁγίου μεγαλ.] Hæc, & quæ ſequuntur, αὐτολεξεὶ etiam leguntur apud Codinum *de Orig. CPolit.* pag. 18. ut Pearſonius quoque monuit.

7 Ἔγραψεν] Scribe, ἐγράφη.

8 Τοῦ Βασιλίσκου] Codinus plenius, τοῦ βασιλέως Βασιλίσκου.

βασιλεῖ

βασιλεῖ στηλωθῆναι τὸν εὐνοῦχον Πλάτωνα, οὐκ ἐκώλυσεν. ἐν δὲ τῷ ἀνακαινίζεσθαι τὸν τοῦ μεγαλομάρτυρος νεὼν, μετετέθη εἰς τὸ Ἱπποδρόμιον. οἱ δὲ οἶκοι τοῦ εὐνούχου σώζονται [1] ἐν τῇ Χελώνῃ.

ut ad deterrendos in poſterum rebelles Platoni Eunucho ſtatua poneretur, id fieri permiſit. Cum vero templum S. Martyris renovaretur, ſtatua illa in Hippodromum tranſlata eſt. Ædes autem Eunuchi [hodieque] ſuperſunt in Chelone.

Προκόπτοντα. διερχόμενον. ὀχήματι κεχρημένον. Καὶ διὰ τῆς λεωφόρου προκόπτοντα, καταλαμβάνει τὸν ἕβδομον.

Προκόπτοντα. Progredientem. Vehiculo utentem. *Cum autem per viam publicam progrederetur, ſeptimum deprehendit.*

Προκώνια. [2] Λυκοῦργος κατὰ Μενεσαίχμου. Δίδυμος δὲ, προκώνια, φησὶ, πυροὶ μέλιτι κεχελισμένοι. Ἀριστοφάνης δὲ ὁ γραμματικὸς, καὶ Κράτης, τὰ ἐξ ἀφρύκτων κριθῶν οὕτω φασὶν ὀνομάζεσθαι. ἔοικε δὲ καὶ ἐκ πυρῶν καὶ κριθῶν γίνεσθαι. Δήμων δὲ φησὶν ἐν τῷ περὶ θυσιῶν· Καὶ προκώνια ἐπὶ [3] κέγχροις κατηλεισμένα μετὰ ἀρωμάτων.

Προκώνια. Lycurgus contra Meneſæchmum. Didymus vero ait, προκώνια eſſe triticum melle perlitum. At Ariſtophanes Grammaticus & Crates farinam ita vocari ajunt, ex hordeo non toſto confectam. Videntur autem προκώνια tam ex tritico quam hordeo fieri. Demon autem in libro *de Sacrificiis* ait: *Proconia dicitur hordeum decorticatum, cum aromatibus.*

Πρόκωπον. Ὁ δὲ ὀργισθεὶς κατὰ τοῦ βασιλέως, πρόκωπον ἔχων τὸ ξίφος. ἀντὶ τοῦ, γυμνόν. καὶ αὖθις· Ἀλλὰ [4] γενικὸν ὁρῶν, πρόκωπον εἶχε ξίφος.

Πρόκωπον. Dicitur de enſe, cujus capulo quis manum admovit. Vel, dicitur de enſe diſtricto. *Ille autem Regi iratus diſtrictum tenebat enſem.* Et iterum: *Ille vero acri vultu [adverſarium] intuens, manum capulo gladii admoverat, ut eum ſtringeret.*

Πρόκριδος ἄκοντα. ἐπὶ τῶν πάντων τυγχανόντων. τοιοῦτον γὰρ ἔχουσα ἡ Πρόκρις πάντα ἐθήρα.

Πρόκριδος ἄκοντα. Procridis jaculum. De iis dicitur, qui votorum ſuorum compotes fiunt. Procris enim hujuſmodi jaculo omnes feras, quas venabatur, capiebat.

Πρόκριμα. ἡ προτίμησις. Ὁ δὲ Μακεδόνιος οὐδὲ τῶν ἑτέρων μνήμην ἐποίησε, λογισάμενος μηδαμῶς πρόκριμα γίνεσθαι τῇ ἐν τῇ [5] Χαλκηδόνι Συνόδῳ, ὡς καὶ τῆς ἐν Ἐφέσῳ σὺν αὐτῇ παρασιωπηθείσης.

Πρόκριμα. Prælatio. Præjudicium. Æſtimatio, qua rem aliquam pluris æſtimamus, quam aliam. *Macedonius autem ne aliorum quidem mentionem fecit, exiſtimans, Chalcedonenſi Synodo nullum omnino præjudicium fieri, cum & Epheſina Synodus ſilentio præteriretur.*

Πρόκριμα. Ὡς μὴ πρόκριμα εἴη κατ᾽ αὐτοῦ, καὶ αἰσχύνην ἐκώλυσαν γενέσθαι.

Πρόκριμα. Præjudicium. *Ne hæc res ei præjudicio eſſet, non ſiverunt eum dedecore affici.*

Πρόκρις. ὄνομα κύριον. θηλυκοῦ γένους.

Πρόκρις. Procris. Nomen proprium, fœminini generis.

Πρόκριτον. ἐκλεκτόν. ἢ πονηρόν.

Πρόκριτον. Electum. Delectum. Vel, malum.

Πρόκροσσαι. ἄλλη ἐπ᾽ ἄλλῃ. [6] Ἡρόδοτος· Αἱ δὲ νῆες πρόκροσσαι ὡρμαίνοντο ἐς πόντον, ἐπὶ πεντήκοντα νέας. οἱονεὶ προκάρροσσοί τινες οὖσαι· παρὰ τὸ κάρα. αἱ κατὰ κεφαλὴν συντεθέμεναι.

Πρόκροσσαι. Aliæ alias continua ſerie excipientes. Aliæ poſt alias collocatæ. Herodotus: *Naves vero aliæ poſt alias ordine collocatæ in mari ſtationem habebant.* Πρόκροσσαι autem dictum eſt quaſi προκάρροσαι, i. e. ita diſpoſitæ, ut ſingularum capita longa ſerie promineant. A κάρα, caput.

Πρόκοιτος. ὁ προφύλαξ. καὶ προκοιτία, ἡ προφυλακή. ἢ, πρόκοιτος, ὁ ἔμπροσθεν κοιμώμενός τινος.

Πρόκοιτος. Procubitor. Excubitor. Et προκοιτία, excubiæ. Vel πρόκοιτος, qui ante aliquem dormit.

Προκυλινδεῖσθαι. τὸ ἐπὶ γόνυ πεσόντα προσκυνεῖν τῷ βασιλεῖ. [7] ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπετεῖσθαι ἐξ ἀνθρώπων. καὶ, Προκυλινδεῖσθαι ἰκτίνοις. ἐαρινοὶ ἰκτῖνοι ἐφαίνοντο· ἐφ᾽ ᾧ ἡδόμενοι ἐκυλινδοῦντο, ὡς ἐπὶ γόνυ πίπτοντες.

Προκυλινδεῖσθαι. Genibus alicujus advolvi. Vel, in genua procumbere, & ſic adorare Regem. Regi enim [Perſarũ] honor hic peculiariter exhibebatur, ut ab hominibus in genua procumbentibus adoraretur. Et, *Milvos flexis genibus adorare.* Vere milvi apparebãt: quare homines læti in genua procidebãt, quaſi milvũ adoraturi.

Προλάλος. ὁ προαλὴς ἐν τῷ λέγειν. Καὶ τοῦτον κατεσίγασαν τινὰ ἄλλως προλάλον τε καὶ ἰταμὸν ὄντα.

Προλάλος. In dicendo præceps. Garrulus. Effuſe loquax. *Et ſilentium ei impoſuerunt, ut homini temere garrulo & impudenti.*

1 Ἐν τῇ Χελώνῃ] Codinus addit, ἕως τοῦ σήμερον.

2 Προκώνια. Λυκοῦργος κατὰ Μενεσ.] Ex Harpocratione. Confer Galenum in Exegeſi Gloſſ. Hippocr. v. Ἄλφιτα προκώνια.

3 Κέγχροις κατηλεισμένα] Scribe, κάχρυς κατηλεισμένας, ut habet Harpocratio.

4 Γενικὸν] An, γεννικὸν, ut Portus ſuſpicatur?

5 Χαλκηδόνι] Sic reſcripſi auctoritate optimi MS. A. cujus loco priores Editt. habent, Καρχηδόνι. Nimirum duo illa nomina, Καρχηδὼν, & Χαλκηδὼν, vel, ut potius ſcribi debet, Καλχηδὼν, ſæpe inter ſe permutantur & confunduntur, ut pluribus exemplis erudite oſtendit Illuſtriſſ. Ezech. Spanhemius in *Orbe Romano*, c. XVIII.

6 Ἡρόδοτος] Lib. VII. pag. 283. ut Portus monuit. Ibi autem ſic legitur: Πρόκροσσαι ὁρμέοντο ἐς πόντον, καὶ ἐπὶ ὀκτὼ νέας, &c. Sic etiam apud Suidam ſcribendum eſt.

7 Ἴδιον γὰρ τοῦ βασιλέως τὸ γονυπ.] Ex Scholiaſta Ariſtophanis ad *Aves*, pag. 565. (388. Ed. Baſ. *P.*)

Πρόληψις. γνῶσις. Ἀχανεῖς ἔμειναν τῷ προειληφέναι τὸ μέλλοντος λέγεσθαι. † Διαφορά ἐστιν ἀληθείας καὶ συνηθείας. ἡ μὲν γὰρ ἀλήθεια γνησίως ζητουμένη, πάντως εὑρίσκεται. τὸ δὲ ἔθος, ὁποῖον ἂν παραληφθείη, εἴτε ἀληθὲς, εἴτε ψευδὲς, ἀκρίτως ὑφ' ἑαυτοῦ κρατύνεται· καὶ οὔτε ἀληθεῖ ὄντι αὐτῷ ἥδεται ὁ παραλαβὼν, οὔτε ψευδεῖ ἄχθεται. οὐ γὰρ κρίσει, ἀλλὰ προλήψει ὁ τοιοῦτος πεπίστευκε, γνώμῃ τῶν πρὸ αὐτοῦ ἐπ' ἀδήλῳ τύχῃ τὴν ἰδίαν ἐπιδεδωκὼς ἐλπίδα. καὶ οὐκ ἔτι ῥᾳδίως ἀποδύσασθαι τὴν πάτριον περιβολὴν, κἂν πάνυ αὐτῷ δείκνυται λυπρὰ καὶ καταγέλαστος οὖσα. [1]Ὁ δὲ Χρύσιππος ἐν τῷ ιβ'. τῶν Φυσικῶν λόγων τρία φησὶν εἶναι κριτήρια, αἴσθησιν, γνῶσιν, καὶ πρόληψιν. ἔστι δὲ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου. [2]Ἐπίκουρος δὲ ὁ Φιλόσοφος λέγει πρόληψιν, οἱονεὶ κατάληψιν, ἢ δόξαν ὀρθὴν, ἢ ἔννοιαν, ἢ καθολικὴν νόησιν ἐναποκειμένην· τουτέστι, μνήμην τοῦ πολλάκις ἔξωθεν φανέντος. οἷον, Τὸ τοιοῦτον ἄνθρωπός ἐστιν. ἅμα γὰρ τῷ ῥηθῆναι ἄνθρωπος, εὐθὺς κατὰ πρόληψιν καὶ ὁ τύπος αὐτοῦ νοεῖται, προηγουμένων τῶν αἰσθήσεων. παντὶ οὖν ὀνόματι τὸ πρώτως ἐπιτεταγμένον ἐναργές ἐστι· καὶ οὐκ ἂν ἐζητήσαμεν τὸ ζητούμενον, εἰ μὴ πρότερον ἐγνώκειμεν αὐτό. οἷον, Τὸ πόῤῥω ἑστὼς, βοῦς ἐστιν ἢ ἵππος; δεῖ γὰρ κατὰ πρόληψιν ἐγνωκέναι ποτὲ ἵππου καὶ βοὸς μορφήν. οὐδ' ἂν ὠνομάσαμέν τι, μὴ πρότερον αὐτοῦ κατὰ πρόληψιν τὸν τύπον μαθόντες. ἐναργεῖς οὖν εἰσὶν αἱ προλήψεις· καὶ τὸ δοξαστὸν ἀπὸ προτέρου τινὸς ἐναργοῦς [3]ἤρτηται· ἐφ' ὃ ἀναφέροντες, λέγομεν, πόθεν ἴσμεν εἰ τοῦτό ἐστιν ἄνθρωπος. τὴν δὲ δόξαν καὶ ὑπόληψιν λέγουσι.

Πρόληψις. Anticipatio. Antecepta alicujus rei cognitio. *Muti ſteterunt, quod ea, quæ alter dicturus erat, animo jam præcepiſſent.* Diſcrimen eſt veritatis & conſuetudinis. Nam veritas quidem, rite quæſita, prorſus invenitur. Conſuetudo vero, qualiſcunque ſuſcepta fuerit, ſeu vera, ſeu falſa, ſine judicio a ſemet ipſa confirmatur. Et qui eam aſſumpſit, nec illa delectatur, ſi vera ſit, nec falſa dolet. Non enim judicio, ſed anticipata opinione talis homo rem aliquam credit, ſpem ſuam collocans in majorum ſuorum prudentia, incerto eventu. Neque facile eſt patriam exuere veſtem, quamvis ipſi accurate demonſtretur, eam moleſtam & ridiculam eſſe. Chryſippus vero *Naturalium Quæſtionum* libro XII. tria dicit eſſe criteria, ſenſum, cognitionem, & anticipationem. Eſt autem anticipatio, rerum univerſalium notio naturalis. Epicurus vero Philoſophus dicit, πρόληψιν eſſe quandam κατάληψιν, i. e. comprehenſionem, aut opinionem rectam, aut ſententiam, aut univerſalem notionem nobis inſitam; hoc eſt, memoriam ejus, quod extrinſecus ſæpius apparuit. Ut, Talis res eſt homo. Nam ſimul ac dictum eſt, HOMO, ſtatim per anticipationem & ipſius forma intelligitur, quippe ſenſibus ante cognita. Quovis igitur nomine id, quod primum nobis occurrit, evidens eſt. Neque quæreremus id, quod quæritur, niſi prius id noviſſemus. Ut, Id, quod eminus ſtat, utrum bos eſt, an equus? Oportet enim per anticipationem aliquando nos noviſſe equi & bovis formam. Neque nominaremus aliquid, niſi prius per anticipationem ejus formam cognoviſſemus. Evidentes igitur ſunt rerum anticipationes; & opinabile a præcedente quadam evidentia rei pendet; ad quam referentes [notionem noſtram,] dicimus, unde ſciamus, hoc eſſe hominem. Opinionem vero ὑπόληψιν etiam vocant. *Port.*

Πρὸ λιμοῦ καὶ δίψης τὸν ἐν τῷ πολέμῳ θάνατον ἡροῦντο οἱ Ἰουδαῖοι.

Πρὸ λιμοῦ καὶ δίψ. *Judæi mortem in bello obire, quam famem & ſitim pati maluerunt.*

Πρόλοβος.[4] ἐπὶ τῶν πτηνικῶν ὀρνέων λέγεται πρόλοβος ὁ μετὰ τὸν στόμαχον κόλπος νευρώδης, ὅμοιος σκύτει, εἰς ὃν ἡ τροφὴ ἀκατέργαστος μένει· ὃ καὶ τοῖς ἀλεκτρυόσι πᾶσιν ἔνεστιν· ὃ καὶ ὑπ' ἐνίων καλεῖται φύσα.

Πρόλοβος. Sic in volucribus dicitur nervoſus ille ſinus, pelli ſimilis, poſt ſtomachum ſitus, qui cibi indigeſti receptaculum eſt. Hic ſinus & gallis gallinaceis ineſt: qui etiam a nonnullis vocatur φύσα, i. e. follis.

Προλογίζω. πρότερος λέγω. Προλοχίζω δὲ, τὸ ἐνεδρεύω.

Προλογίζω. Proloquor. Præloquor. At προλοχίζω, [per χ,] in inſidiis lateo. Inſidior.

Προμάχιζε. πρωταγωνιστὴς ἦν.

Προμάχιζε. In prima acie pugnabat.

Προμάχομαι. γενικῇ.

Προμάχομαι. Genitivo jungitur. Propugno. Pro aliquo pugno.

Προμαχὼν, καὶ προμαχεὼν. τοῦ τείχους τῆς ἐπάλξεως.

Προμαχὼν, & προμαχεὼν. Propugnaculi. Muri.

Προμέρου κύνες. τοῦτον φασὶ βασιλικὸν δοῦλον ὄντα, μισῆσαι Εὐριπίδην καθ' ὑπερβολήν· ὥστε καὶ κύνας ἀγρίους ἐπαφεῖναι αὐτῷ, οἵτινες αὐτὸν κατεθοινήσαντο.

Προμέρου κύνες. Promeri canes. Hunc [Promerum] ajunt fuiſſe Regis ſervum, qui Euripidē tanto odio proſequebatur, ut canes feros in eum immitteret; qui eum dilacerarunt.

Προμετωπίδιον. τὸ ἔμπροσθεν τοῦ μετώπου.

Προμετωπίδιον. Quod eſt ante frontem. Frontale.

1 Ὁ δὲ Χρύσιππος ἐν τῷ ιβ'. τῶν φυσ.—— φυσικὴ τῶν καθόλου] Hæc paulo aliter leguntur apud Laertium in vita Zenonis Citt. ſegm. LIV. Ὁ δὲ Χρύσιππος διαφερόμενος πρὸς αὐτὸν ἐν τῷ πρώτῳ περὶ λόγου, κριτήρια φησὶν εἶναι αἴσθησιν καὶ πρόληψιν. ἔστι δ' ἡ πρόληψις ἔννοια φυσικὴ τῶν καθόλου.

2 Ἐπίκουρος δὲ ὁ φιλόσοφος λέγει πρόληψιν, οἱονεὶ κατάλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Laertii in *Epicuro*, ſegm. XXXIII. ut Pearſonius etiam monuit.

3 Ἤρτηται] Sic recte habent MSS. Pariſ. itemque Laertius loco laudato. At priores Editt. male, εἴρηται.

4 Πρόλοβος] Confer Noſtrum ſupra v. Πρόβολος, & v. Πρηγορεών.

Προμέτρητης.[1] ὁ τοὺς πιπρασκομένους πυροὺς ἐν τῇ ἀγορᾷ, καὶ τῶν ἄλλων σπερμάτων ἕκαστον διαμετρῶν, καὶ ὁ τούτου τοῦ ἔργου μισθὸν λαμβάνων, προμετρητὴς ἐκαλεῖτο. Δείναρχος· Ὁ Σκύθου τοῦ προμετρητοῦ υἱὸς ἐν δημόταις γέγονε, καὶ ὁ αὐτὸς ἐν τῇ ἀγορᾷ προμετρῶν διατετέλεκε, καὶ ὑμεῖς ἐκλαβόμενοι παρ' αὐτοῦ τοὺς πυροὺς διατελεῖτε.

Προμετρητης. Sic dicebatur ille, qui frumenta, quæ in foro vendebantur, & quævis alia ſemina mercede dimetiebatur. Dinarchus: *Scythæ prometretæ filius, in numerum popularium relatus, in foro adhuc prometretæ munere fungitur, & vos frumenta ſemper ab eo accipitis.*

Προμηθεύομαι. τὸ προνοοῦμαι. γενικῇ.

Προμηθεύομαι. Provideo. Proſpicio. Curam gero. Genitivo jungitur.

Προμηθεύς.[2] ὅτι ἐπὶ τῶν Κριτῶν τῶν Ἰουδαίων παρ' Ἕλλησιν ἐγνωρίζετο Προμηθεύς, ὃς εὗρε πρῶτος [3] τὴν Γραμματικὴν Φιλοσοφίαν. περὶ οὗ λέγουσιν, ὅτι ἀνθρώπους ἔπλασε, καθότι τινὰς ἰδιώτας ὄντας ἐποίησεν ἐπιγινώσκειν σοφίαν. καὶ Ἐπιμηθεύς, ὃς ἐξεῦρε τὴν Μουσικήν· καὶ Ἄτλας, ὃς τὴν Ἀστρονομίαν ἡρμήνευσε· διότι λέγουσιν, ὅτι τὸν οὐρανὸν βαστάζει. καὶ ὁ πολυόμματος Ἄργος, διὸ περιβλέπτος ἦν, καθότι τὴν τεχνικὴν ἐπιστήμην αὐτὸς ἐπενόησε πρῶτος. ἦν δὲ τότε καὶ μάντις Σίβυλλα, βασιλεύοντος παρ' Αἰγυπτίοις Φαραὼ, τοῦ καὶ Ταραχῶ· παρ' Ἕλλησι δὲ ἐν Ἀθήναις, Κέκροπος, ὃς [4] ἐκλήθη Διφυής, διὰ τὸ τοῦ σώματος μέγεθος. ἢ ὅτι νόμον ἐξέθετο, ὥστε τὰς γυναῖκας παρθένους ἔτι οὔσας ἑνὶ ἐκδίδοσθαι ἀνδρὶ, καλέσας αὐτὰς νύμφας. πρότερον γὰρ αἱ τῆς χώρας ἐκείνης γυναῖκες θηριωδῶς μίξιν ἐμίγνυντο. οὐδενὸς γὰρ ἦν γυνὴ, ἀλλὰ ἐδίδου ἑαυτὴν εἰς πορνείαν ἑκάστῳ. οὐδεὶς δὲ ᾔδει, τίνος ἦν υἱὸς, ἢ θυγάτηρ, τὸ γεννηθέν. ἀλλ' ὡς ἂν ἔδοξε τῇ μητρὶ, [5] ἔλεγε· καὶ ἐδίδου τὸ τεχθὲν ᾧ ἐβούλετο ἀνδρί. τοῦτο δὲ ἐποίησεν ὁ Κέκροψ, ὡς ἐξ Αἰγύπτου καταγόμενος, καὶ τὴν νομοθεσίαν Ἡφαίστου τοῦ βασιλεύσαντος ἐκεῖ οὐκ ἀγνοήσας. ἔλεγε γὰρ, ὅτι διὰ τὴν τοιαύτην τῆς ἀσελγείας συνήθειαν ἡ Ἀττικὴ κατεκλύσθη. ἀπὸ τότε οὖν ἐσωφρόνησαν οἱ κατοικοῦντες τὴν τῶν Ἑλλήνων χώραν. ἐβασίλευσε δὲ Κέκροψ ἔτη ν'. ἐλέγετο δὲ Διφυής, διὰ τὸ ἀπὸ Αἰγύπτου γενέσθαι, καὶ εἰς Ἑλλάδα ἐλθεῖν, καὶ βασιλεῦσαι.

Προμηθεύς. Prometheus. Hic Judicum Judaicorum temporibus apud Græcos celebris fuit: qui primus invenit Grammaticam & Philoſophiam. Idem homines finxiſſe dicitur, quod rudes quoſdam & indoctos ſapientiam docuerit. Tunc etiam [floruit] Epimetheus, qui Muſicam invenit: itemque Atlas, qui, quod Aſtronomiam interpretaretur, cœlum geſtare dicebatur. Porro, Argus, qui multos oculos habere fingebatur, quod ob ſcientiam artium a ſe inventam conſpicuus eſſet. Tunc etiam fuit Sibylla fatidica, regnante apud Ægyptios Pharaone, qui & Taracho dicebatur: apud Græcos vero Athenis, Cecrope, qui dictus eſt Biformis, propter corporis magnitudinem; vel, quod legem tuliſſet, ut fœminæ, quæ virgines adhuc eſſent, uni viro elocarentur; quas *Nymphas* vocavit. Ante enim illius regionis mulieres more pecudum promiſcue cum viris coibant, nec ſua cuique viro uxor erat, ſed unaquæque mulier cuivis corporis ſui copiam faciebat. Unde etiam nemini conſtabat, cujuſnam filius vel filia eſſet infans in lucem editus: ſed prout matri placuiſſet, ita infans appellabatur; & mater fœtum ſuum viro, cuicunque vellet, dabat. Hoc autem Cecrops fecit, ut qui ab Ægyptiis genus ducens non ignoraret leges, quas Vulcanus regionis illius Rex tulerat. Dicebat enim Atticam ob promiſcuos illos & inceſtos concubitus aquis inundatam fuiſſe. Ab eo igitur tempore Græciæ incolæ pudice vixerunt. Cecrops autem annos L. regnavit: qui dictus eſt *Biformis*, quod, cum ex Ægypto oriundus eſſet, in Græciam veniſſet, & ibi regnaſſet.

Προμηθεύσασθαι. προνοήσασθαι.

Προμηθεύσασθαι. Providiſſe. Curam alicujus rei geſſiſſe.

Προμήθεια. πρόνοια.

Προμήθεια. Providentia.

Προμηθεῖσθαι. προβουλεύεσθαι. προνοεῖσθαι.

Προμηθεῖσθαι. Providere. Conſulere. Curam gerere.

Πρὸ μικροῦ. πρὸ ὀλίγου.

Πρὸ μικροῦ. Paulo ante.

Προμνηστῖνοι.[6] κατὰ τάξιν. ἐφεξῆς.

Προμνηστῖνοι. Alii poſt alios. Ordine.

Προμνήστρια. ἡ προνοήσασα γάμον, ἣν νῦν προξενήτριαν φασί.

Προμνήστρια. Pronuba. Vel, nuptiarum conciliatrix: quam nunc προξενήτριαν vocant.

Προμνῶμαι. προξενῶ. προμνηστεύομαι.

Προμνῶμαι. Pronubam ago. Nuptias concilio.

Πρόμολε. πρόελθε.

Πρόμολε. Progredere. Procede.

1 Προμετρητής. ὁ τοὺς πιπρασκομένους π.] Ex Harpocratione. Cæterum placet mihi conjectura Meurſii, qui *Lect. Att.* lib. II. cap. XVI. pro προμετρητὴς potius ſcribendum cenſet πυρομετρητὴς, tum ob etymologiam vocis, (προμετρητὴς enim, ut Harpocratio & Suidas expreſſe teſtantur, dicebatur ὁ πυροὺς διαμετρῶν) tum etiam ob auctoritatem Pollucis, qui lib. VII. cap. XV. πυρομετρῶν, & πυρομετρητῶν mentionem facit.

2 Προμηθεύς. ὅτι ἐπὶ Κριτῶν τῶν Ἰουδ.] Cum toto hoc loco confer Cedrenum pag. 81. 82. qui eadem pene habet. Exiſtimo autem Suidam hæc deſcripſiſſe ex Joanne Antiocheno, non eo, qui hodie exſtat, & Malelas cognominatur: ſed altero illo, ex quo Excerpta tantum hodie ſuperſunt in Collectaneis *de Virtut. & Vit.* a Valeſio editis.

3 Τὴν Γραμματικὴν Φιλοσοφίαν] Malim, Γραμματικὴν καὶ Φιλοσοφίαν.

4 Ὃς ἐκλήθη Διφυής] Vide Scaligerum ad Euſeb. Chron. Num. CCCCLXI.

5 Ἔλεγε] Potius, ἐλέγετο.

6 Προμνηστῖνοι] Eſt vox Homerica *Odyſſ.* Λ. v. 232. ubi vide Scholiaſtam.

Προμολῆσιν. ἀκρωρείαις. ἐξοχαῖς.

[1] Ὀρφέα Θρηΐκιον παρὰ προμολῆσιν Ὀλύμπου
Τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης.

Πρόμος. πρόμαχος.

Προμώτης.[2] προκόπτων παρὰ Ῥωμαίοις.

Προμοίροις. πρὸ τῆς μοίρας. ἀώροις. [3] Προμοίροις δὲ θανάτοις ἐφθείρετο ἡ νεολαία.

Προμυλία.[4] Θεὸς Προμύλιος, ἣν ἀφιδρύοντο ἐν τοῖς μυλῶσιν· ὡς [5] Εὔνοστον.

Προκομισσάριος.[6] ὁ ἐκ συναινέσεως δύο μερῶν μεταξὺ ληφθεὶς διαιτητής.

Προνομαία, καὶ προβοσκίς. ἡ τοῦ ἐλέφαντος ῥίς.

Προνομεύω. τὸ ληΐζω, καὶ αἰχμαλωτίζω. καὶ προνομεία, ἡ σκύλευσις. [7] Προνομίας δὲ, τιμῆς πλείονος.

Προνομή. διαρπαγή.

Προνομίων. προλημμάτων. Προπετῶς σαυτῷ τὰ προνόμια τῶν ἀλλοτρίων ἐπαρχιῶν διεκδικῶν.

Πρόνομος.[8] ὄνομα κύριον. αὐλητής, ὃς μέγαν πώγωνα εἶχεν. ἔνθεν καὶ τό, [9] Ἀσσύριος Προνόμου πώγων' ἔχων ἐλάνθανε.

Προνόμων. θεσμῶν. δικαιωμάτων. Τί δέ μοι φύσεως μέλει καὶ προνόμων;

Προνοοῦμαι. γενικῇ. ἔστι καὶ προνοῶν, καὶ προνοούμενος.

Προνούστερος. προμηθέστερος. προνοητικώτερος. [10] Σοφοκλῆς·

Ὁρᾷς, Ὀδυσσεῦ, τὴν θεῶν ἰσχὺν ὅση;
Τούτου τίς ἂν σοι τἀνδρὸς ἢ προνούστερος,
Ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;

Τουτέστι, τοῦ Αἴαντος.

Προνώπιον. προεκκείμενον. πρόθυρον.

Προντέλων.[11] οὐ μόνον ὅτι οὐκ ἐδέξατο τὰ δῶρα, ἀλλὰ καὶ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακέντιον προντέλων. ὡσανεὶ λέγων, μηκέτι πατῆσαι ἐκεῖ με.

Πρόνοια. πρόγνωσις. [12] Σοφοκλῆς·

Πείθου. προνοίας οὐδὲν ἔφυ βροτοῖς
Κέρδος λαβεῖν ἄμεινον, οὐδὲ νοῦ σοφοῦ.

Πρόνοια. ὠνομάζετό τις παρὰ Δελφοῖς Ἀθηνᾶ Πρόνοια, διὰ τὸ πρὸ τοῦ ναοῦ ἱδρύσθαι. ταύτην δὲ Ἡρόδοτος ἐν τῇ η. [13] Προνοίην ὀνομάζει.

Προμολῆσιν. Summis montium verticibus. Locis excelſis. [In Epigrammate:] *Orpheum Muſæ Calliopes filium in verticibus Olympi tumulus habet.*

Πρόμος. Qui in prima acie pugnat. Dux.

Προμώτης. Apud Romanos idem ſignificat, quod Græce προκόπτων. Promotus.

Προμοίροις. Intempeſtivis. Immaturis. *Juventus autem immatura morte peribat.*

Προμυλία. Dea molarum præſes, ſive, quæ in molis collocabatur; ut & Eunoſtus.

Προκομισσάριος. Procommiſſarius. Id eſt, arbiter utriuſque partis conſenſu delectus.

Προνομαία, & προβοσκίς. Elephanti proboſcis, vel naſus.

Προνομεύω. Prædor. Diripio. In ſervitutem abſtraho. Et προνομεία, prædatio, ſpoliatio. At προνομία, [per ι,] privilegium; prærogativa.

Προνομή. Prædatio. Direptio.

Προνομίων. Privilegiorum. *Aliarum provinciarum privilegia tibi temere vendicans.*

Πρόνομος. Pronomus. Nomen proprium tibicinis, qui prolixam barbam habebat. Hinc illud Comici, *Agyrrhius Pronomi barbam habens fefellit.*

Προνόμων. Statutorum. Legum. Jurium. *Nihil naturam & leges curo.*

Προνοοῦμαι. Genitivo jungitur. Provideo. Curo. Et προνοῶν, & προνοούμενος, providens, curans.

Προνούστερος. Magis providus. Prudentior. Sophocles: *Vides, Ulyſſes, quanta ſit Deorum potentia. Hoc enim viro quiſnam erat prudentior? Aut quis aptior inventus eſt ad agendum ea, quæ tempus requirebat?* Id eſt, Ajace.

Προνώπιον. Quod intrantibus primum occurrit. Veſtibulum.

Προντέλων. Non ſolum non accepit dona a me miſſa, ſed etiam aliam placentam (προντέλων) domo mihi miſit. Quaſi diceret, ne amplius illuc irem.

Πρόνοια. Providentia. Prudentia. Sophocles: *Pare. Nihil enim hominibus melius & præſtantius dari poteſt, quam animus prudens & ſapiens.*

Πρόνοια. Providentia. Delphis Minerva quædam vocabatur Pronœa, quod ante templum collocata eſſet. Hanc vero Herodotus lib. VIII. Προνοιίην vocat.

1 Ὀρφέα Θρηΐκ.] Diſtichum hoc legitur *Anthol.* lib. III. cap. XXV. ut Portus etiam monuit.

2 Προμώτης προκ.] Vide Dufrenium in Gloſſario Græco.

3 Προμοίροις δὲ θαν.] Eſt fragmentum Æliani. Vide ſupra v. Νεολαία.

4 Προμυλία] Ante legebatur, Προμύλια, cum accentu in antepenultima, minus recte.

5 Εὔνοστον] Εὔνοστος appellabatur Dea quædam ἐπιμύλιος, ſive molarum præſes, teſte Euſtathio ad Il. Β. pag. 214. & Noſtro ſupra v. Νόστος.

6 Προκομισσάριος] Male pro κομπρομισσάριος, i. e. Compromiſſarius. *Gloſſæ Baſil.* Κομπρομισσάριος. δικαστὴς αἱρετὸς, διαγνώμων.

7 Προνομίας] Eſt vox Græco-barbara. Confer vocem ſequentem Προνομίων.

8 Πρόνομος. ὄνομα κ.] Ex Scholiaſta Ariſtophanis ad *Eccleſ.* pag. 727. (487. Ed. Baſ. *P.*)

9 Ἀσσύριος Προνόμου π.] Ariſtophanes loco laudato:
Ἀγύρριός γ' οὖν τὸν Προνόμου πώγων' ἔχων
Λέληθε.————
Sic etiam apud Suidam ſcribendum eſt.

10 Σοφοκλῆς] In *Ajace*, pag. 8. ut Portus monuit.

11 Προντέλων] Quid ſibi vox hæc barbara velit, ignoro. Lexicographi & Gloſſographi omnes de ea tacent; nec apud Scholiaſtam Ariſtophanis ad *Plutum* pag. 97. unde reliqua, quæ Suidas hic recitat, ſumpta ſunt, eam reperias.

12 Σοφοκλῆς] In *Electra*, pag. 125. ubi prior verſus recte ſic legitur:
Πείθου. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ.

13 Προνοίην] Scribe, Προνοιίην. Sic enim Herodotus lib. VIII. pag. 300. Minervam hanc Ionice vocat, ut Portus etiam monuit. Meurſius tamen *Lect. Att.* lib. II. cap. XVII. ibi ſcribendum potius cenſet, Προναίην; quod Ionice dictum eſt pro Προναίαν. Confer notam ſequentem.

Πρόνοια.

Πρόνοια [1] Ἀθηνᾶ. οἱ μὲν διὰ τὸ πρὸ τοῦ ναοῦ τοῦ ἐν Δελφοῖς ἑστάναι αὐτήν. οἱ δὲ, ὅτι προὐνόησεν, ὅπως τέκοι ἡ Λητώ. † Ἡ [2] τοῦ Θεοῦ πρόνοια κατὰ τρεῖς τρόπους γίνεται· κατ' οἰκονομίαν, κατ' εὐδοκίαν, κατὰ συγχώρησιν.

Πρόνοια Ἀθηνᾶ. Minerva Pronœa. Alii [eam ſic appellatam eſſe dicunt,] quod ante templum Delphicum collocata eſſet. Alii vero, quod providiſſet, ut Latona pareret. † Providentia Dei tribus modis fit: ſecundum œconomiam, ſecundum beneplacitum, ſecundum permiſſionem.

Πρόξ. ἐλάφου γέννημα.

Πρόξ. Cervæ fœtus.

Προξένει. λέγε.

[3] Ὦ φίλτατ', ὡς νῦν πᾶν τελοῦντι προξένει.

ἢ ὅτι, ὡς φησί, προξένει μοι, καὶ πάρεχε τὰ χρήσιμα.

Προξένει. [Concilia. Præbe.] Dic. [Sophocles:] *O chariſſime*, [*quæ facienda ſunt*,] *mihi dic*, *omnia facere parato*. Vel, præbe & procura mihi ea, quæ expediunt.

Προξενία. ἡ τῶν ξένων ὑποδοχή. Καὶ αὐτοῖς προξενίαν ἔδοσαν οἱ Λακεδαιμόνιοι.

Προξενία. Hoſpitum ſuſceptio. Hoſpitalitas. Jus hoſpitii. *Lacedæmonii autem hoſpitii jus ipſi dederunt.*

Πρόξενος. ὁ [4] νένηλυς πόλεως ξένος. Ὁ δὲ Εὐθυκράτη [5] ἀτιμωθέντα παρὰ Ἀθηναίοις ἐψηφίσατο ἐπίτιμον εἶναι, καὶ πρόξενον Ἀθηναίων.

Πρόξενος. Publicus civitatis hoſpes. Sive, qui peregrinos nomine totius civitatis hoſpitio excipit. *Ille vero decrevit*, *ut Euthycrates apud Athenienſes ignominia notatus priſtino honori reſtitueretur*, *& publicus Athenienſium hoſpes eſſet.*

Πρόξενος. ὁ προστάτης. Καὶ συνέξευρ αὐτὸν, ὡς ἂν τὴν χάριν αὐτήν τε κἀκείνην ἔχῃς, ὧ προὔξενε. καὶ πρόξενοι, οἱ προστάται τῶν πόλεων, καὶ φροντισταί, καὶ ξενίαις ὑποδεχόμενοι.

Πρόξενος. Patronus [peregrinorum.] Qui peregrinos nomine civitatis hoſpitio excipit. Et πρόξενοι, civitatum patroni & curatores, & qui peregrinos hoſpitio excipiunt.

Προξένους [6] ἐκάλουν, τοὺς τεταγμένους εἰς τὸ ὑποδέχεσθαι τοὺς ξένους τοὺς ἐξ ἄλλων πόλεων ἥκοντας.

Προξένους. Sic vocabant illos, qui conſtituti erant, ut hoſpites ex aliis civitatibus venientes hoſpitio exciperent.

Προξενῶ δ' ὑμᾶς ἀεί. ἀντὶ τοῦ, προΐσταμαι. [7] Ἀριστοφάνης.

Προξενῶ. Patronus ſum. Publicus hoſpes ſum. Ariſtophanes: *Et ſemper Patronus veſter ſum.*

Προξενῶ. ἀντὶ τοῦ, ἐπιτάττω. γενικῇ.

Προξενῶ. Pro ἐπιτάττω. Impero. Mando. Cum genitivo.

Προοδοποιῶ. γενικῇ.

Προοδοποιῶ. Genitivo jungitur. Alicui viam præparo.

Πρόοπτος. προφανής. πρόδηλος. [8] Ἡρόδοτος· Ἡμέας οὗτοι οἱ ἄνθρωποι προόπτῳ θανάτῳ μέλλουσι προδώσειν.

Πρόοπτος. Evidens. Manifeſtus. Herodotus: *Nos homines iſti manifeſtæ morti tradituri ſunt.*

Προώλης. ὁ πανώλης.

Προώλης. Perditiſſimus.

Πρόωμαι. παραχωρήσω.

Πρόωμαι. Cedam. Concedam.

Πρόωνες. [9] οἱ προνενευκότες τόποι τῶν ὀρῶν.

Πρόωνες. Rupes. Prominentes montium partes.

Πρόωνται. αὐθυποτακτικόν. προδώσουσιν. ἀμελήσουσιν. Ὁ δὲ τοὺς περιχώρους παρεκάλει, λέγων, ἐὰν αὐτὸν πρόωνται, καὶ αὐτοὶ κινδυνεύσουσι.

Πρόωνται. Prodent. Negligent. Eſt Subjunctivus. *Ille vero finitimos orabat*, *dicens*, *ſi ſe proderent*, *ipſos quoque periclitaturos eſſe.*

Πρόωρος. πρὸ τῆς ὥρας.

Πρόωρος. Immaturus. Præcox. Intempeſtivus.

Πρόωσις. ὤθησις.

Πρόωσις. Propulſio. Propulſatio.

Προπαρεγγυηθέν. προπαραγγελθέν. Προπαρεγγυηθέν οἱ τοῦτο ἐκ βασιλέως.

Προπαρεγγυηθέν. Ante denuntiatum. *Hoc ſibi a Rege ante denuntiatum.*

1 Πρόνοια Ἀθηνᾶ] Sunt qui Minervam hanc vocent Προναίαν, per diphthongum αι in ſyllaba penultima. Heſychius: Προναίας Ἀθηνᾶς τέμενος ἐν Δελφοῖς. Etymologus: Προναία Ἀθηνᾶ. ἐν Δελφοῖς ἄγαλμα, ὄνομα. ἤτοι διὰ τὸ πρὸ τοῦ ναοῦ ἐν Δελφοῖς ἑστάναι. ἢ ὅτι προὐνόησεν, &c. Æſchylus *Eumenid.* v. 21.

Παλλὰς ΠΡΟΝΑΙΑ δ' ἐν λόγοις πρεσβεύεται.

Callimachus in fragmento, quod citatur a Scholiaſta Æſchyli:

Χ' ἡ Παλλὰς, Δελφοί νιν ὅθ' ἱδρύοντο Προναίην.

Huic lectioni favet etymologia, quam ipſe Suidas, (vel potius Harpocratio, ex quo Suidas hæc deſcripſit) ſubjungit, διὰ τὸ πρὸ τοῦ ναοῦ ἑστάναι αὐτήν. Contra, Minervæ Προνοίας, præter Suidam, mentionem faciunt, Harpocratio, Demoſthenes Orat. 1. contra Ariſtogit. Herodotus loco ante laudato. Pauſanias in *Phocicis*, & Diodorus Siculus duobus in locis. Diſſidium hoc auctorum conciliare conatur Meurſius *Lect. Att.* lib. II. cap. XVII. qui duas Minervas, Πρόνοιαν & Προναίαν (quarum illa culta fuerit Athenis; hæc vero Delphis) ab Harpocratione & Suida male confundi ſtatuit. Eum vide.

2 Ἡ τοῦ Θεοῦ πρόνοια κατὰ τρ.] Hæc leguntur etiam ſupra, v. Γίνεται.

3 Ὦ φίλταθ', ὡς νῦν πᾶν τελοῦντι προξ.] Eſt verſus Sophoclis *Oedip. Colon.* pag. 287. Scholiaſta ad eum locum: Προξένει. λέγε μοι ἢ πάρεχε τὰ χρήσιμα. ὃ γὰρ δεήσομαι τελεῖν.

4 Ὁ νένηλυς πόλεως ξένος] Supra v. Ἰδιόξενος, ubi eadem leguntur, monuimus ſcribendum eſſe, ὁ ὅλης πόλεως ξένος. Ibi nos vide.

5 Ἀτιμωθέντα] Sic recte MS. Pariſ. A. At MSS. B. & C. & præcedentes Editt. male, ἀτιμωρηθέντα.

6 Προξένους ἐκάλουν τοὺς τεταγ.] Ex Enarratore Comici ad *Aves*, pag. 590. (408. Ed. Baſ. *P.*)

7 Ἀριστοφάνης] *Theſmophor.* pag. 798. ſed ubi legitur,

——— Προξενῶ δ' ὑμῶν ἀεί.

8 Ἡρόδοτος] Lib. IX. pag. 398. ut Portus monuit.

9 Πρόωνες] Confer Noſtrum ſupra v. Πρηῶνες.

Προπα-

Προπάροιθεν. ἔμπροσθεν.

Προπάροιθεν. Ante.

Πρόπας στόλος. πᾶσα ἡ δύναμις. [1] Νοσεῖ δέ μοι πρόπας στόλος.

Πρόπας στόλος. Univerſus populus. Omnes copiæ. *Univerſus autem populus meus lue laborat.*

Προπαιδεύματα. Ὁ δὲ Ὠριγένης οὐκ ἐπαύετο παραδιδοὺς γεωμετρίαν, καὶ ἀριθμητικὴν, καὶ τἄλλα προπαιδεύματα.

Προπαιδεύματα. Primæ diſciplinæ, & quæ ante Philoſophiam diſcuntur. *Origenes vero Geometriam, & Arithmeticam, & alias diſciplinas, quæ* προπαιδεύματα *Græci vocant, tradere non deſinebat.*

Προπαιδεία. τὰ πρῶτα μαθήματα.

Προπαιδεία. Primæ diſciplinæ.

Πρόπεμπτα.[2] Δίδυμός φησι, μήποτε ἄλλα τινά εἰσιν ἐπιτίμια τὰ πρὸ τῆς καταβολῆς. εἰσὶ γὰρ οἳ τὰ πέμπτα τῶν τιμημάτων παρακαταβάλλεσθαι φασίν. εἰ μὴ ἄρα πρόπεμπτα, ὡς Δημοσθένης, πρὸς ἡμέρας ε'. ταῖς γὰρ μεγάλαις δίκαις οὐκ ἤρκει μία ἡμέρα πρὸς τὴν κρίσιν.

Πρόπεμπτα. Didymus dicit, forte ſic appellari mulctas quaſdam, quæ ante ſolutionem ſive depoſitionem irrogabantur. Sunt enim qui dicant, quintam litium æſtimatarum partem in judicio deponi. Niſi forte πρόπεμπτα ſecundum Demoſthenem ſignificet quinque illas dies, quæ conſtituebantur pro cauſis majoris momenti. Ad earum enim judicium non ſufficiebat una dies.

Προπεπωκότες.[3] ἀντὶ τοῦ, παραδεδωκότες. ἐκ μεταφορᾶς δὲ λέγεται. [4] Προπεπωκέναι δὲ παρὰ τὴν συνουσίαν πολλὰ μὲν ἀργυρώματα τὸν προειρημένον, πολλὰ δὲ χρυσώματα τῷ Προυσίᾳ.

Προπεπωκότες. Qui tradiderunt. Qui prodiderunt. Metaphorice hoc dictum eſt. [Proprie enim ſignificat, qui propinarunt.] *In convivio autem virum antedictum multa argentea & aurea vaſa Pruſiæ propinaſſe* [*ferunt.*]

Προπέρυσι.[5] καὶ πέρυσι.

Προπέρυσι. Tertio abhinc anno. Et πέρυσι, ſuperiore anno.

Προπέτεια. ἡ ἀχαλίνωτος γλῶσσα.

Προπέτεια. Temeritas in loquendo. Effrænis lingua.

Προπετής. εἰς τοὔμπροσθεν νενευκώς. Προπετὴς τῷ βάρει γινόμενος πίπτει. Προπετὴς δὲ, καὶ ὁ πρόγλωσσος.

Προπετής. In anteriorem partem vergens. Pronus. Inclinatus. *Onere inclinatus cadit.* Item προπετής, in loquendo temerarius, loquax.

Προπηλακίζων. ἀδικῶν. ὑβρίζων. διασύρων. ἐξουθενῶν. καὶ προπηλακισμὸς, ὕβρις. εἴρηται δὲ ἀπὸ τοῦ πηλὸν ἐπιχεῖσθαι τὰ πρόσωπα τῶν ἀτιμίαν καὶ ὕβριν καταψηφιζομένων, οὓς ἀρτίως ἀσβόλῳ χρίουσι.

Προπηλακίζων. Injuria afficiens. Contumelia afficiens. Deridens. Contemnens. Nihili faciens. Et προπηλακισμός, contumelia, injuria. Dictum autem hoc eſt inde, quod facies illorum, qui ignominia & contumelia notandi erant, luto perungerentur: quos nunc fuligine illinunt.

Προπίνει. διὰ τοῦ οἴνου τιμᾷ. καὶ προδίδωσι. καὶ [6] Δημοσθένης δὲ τοὺς προδότας τὰς πατρίδας τοῖς ἐχθροῖς, προπίνειν ἔφη τοῖς ἐχθροῖς. καὶ [7] Ἀριστοφάνης·

Φέρ᾽ ἴδω. τί μέντοι πρῶτον ἦν; ἐπίνομεν.
Τί δαὶ μετὰ τοῦτο δεύτερον; προὐπίνομεν.

ἀντὶ τοῦ, ἀλλήλους ἐδεξιούμεθα. καὶ αὖθις· Ταῖς θυγατράσι φάρμακον ὤρεξε, καὶ αὐτὸς ἔπιε, δυστυχοῦς κοινωνήσας προπόσεως καὶ φιλοτησίας.

Προπίνει. Propinat. Item, prodit. Et Demoſthenes τὸ προπίνειν dicit de iis, qui patriam ſuam hoſtibus prodiderunt. Et Ariſtophanes: *Eja videam: quid primum erat? Bibebamus. Quid poſt hoc ſecundum? Propinabamus.* Id eſt, nos mutuo invitabamus. Et iterum: *Filiabus venenum præbuit, quod & ipſe hauſit, infelicis poculi particeps factus.*

Προπίνειν. οἱ ἀρχαῖοι βασιλεῖς ἐπιτελοῦντες ἑορτὴν πάνδημον, ἐν φιάλαις χρυσαῖς ἢ ἀργυραῖς κιρνῶντες, ἐδέχοντο μὲν παρὰ τοῦ οἰνοχόου αὐτοὶ, ἀπέπινον δὲ μικρὸν τῆς κύλικος, ὡς συμβόλου ὄντος τούτου φιλίας πολλῆς, καὶ τότε παρείχοντο ᾧ ἂν ἐβούλοντο τὴν κύλικα· καὶ ἐκαλεῖτο προπίνειν. ἡ δὲ ἡμέρα, φιλοτησία.

Προπίνειν. Propinare. Reges olim epulum publice præbentes, vinum in aureis vel argenteis phialis temperatum a pincerna accipiebant, idque leviter tantum delibabant: quod ſingularis amoris & amicitiæ ſignum ducebatur. Poſtea calicem, cui vellent, tradebant: idque προπίνειν dicebatur. Dies autem, [quo iſtud fiebat,] φιλοτησία [appellabatur.]

1 Νοσεῖ δέ μοι πρόπας στόλος.] Hæc ſunt verba Sophoclis *Oedip. Tyran.* pag. 158. ut Pearſonius obſervaverat. Scholiaſta ad eum locum: Πρόπας στόλος, ἡ πᾶσα δύναμις. πᾶς ὁ λαός.

2 Πρόπεμπτα. Δίδυμός φησι, μήπ.] Ex Harpocratione: ad quem vide Valeſium. Confer etiam Noſtrum ſupra v. Παρακαταβολή.

3 Προπεπωκότες. ἀντὶ τοῦ, παραδ.] Ex Harpocratione: ſed ubi pro παραδεδωκότες legitur προδεδωκότες. Mauſſacus ad hunc locum fluctus, ut ajunt, in ſimpulo movet, & in re levi graviter æſtuat, deceptus prava interpunctione loci hujus, qui ſic diſtinguendus eſt, ut eum hic diſtinctum Lector videt.

4 Προπεπωκέναι παρὰ τὴν συνουσ.] Fragmentum hoc Valeſius Polybio tribuit.

5 Προπέρυσι. καὶ πέρυσι] Legendum eſt, προπέρυσι, & πέρυσι, ut Portus etiam monuit.

6 Δημοσθένης δὲ τοὺς προδότας τὰς πατρ.] Locus Demoſthenis, ad quem Suidas reſpexiſſe videtur, extat in oratione pro Cteſiphonte, pag. 354. ubi Orator ſic inquit: Τὴν ἐλευθερίαν προπεπωκότες, πρότερον μὲν Φιλίππῳ, νῦν δ᾽ Ἀλεξάνδρῳ, &c.

7 Ἀριστοφάνης] *Theſmophor.* pag. 800. (526. Ed. Baſ. P.)

Πρόπιον. μάντευμα. καὶ θεοπρόπιον, τὸ ἐκ θεῶν μάντευμα.

Πρόποδες. μεγάλους πόδας ἔχοντες.

Πρὸ ποδῶν. τὸ παρατυχὸν οἱονδήποτε.

Πρὸ ποδῶν. ἔμπροσθεν τῶν ποδῶν.

Προπολεμῶ. γενικῇ.

Προπόλεος.[1] Τὸν προπόλεον κόσμον τοῦ ἄστεος ἀποκείραντες.

Πρόπολος. δούλη. προπολεύουσα. ἢ θεράπων, καὶ θεράπαινα. πρόσφυξ. [2] Ἀριστοφάνης Νεφέλαις·

Ἀλλὰ σεαυτὸν παράδος θαῤῥῶν τοῖς ἡμετέροις προπόλοισι.

Παρὰ δὲ Ἡροδότῳ πρόπολος, ὁ νεωκόρος.

Πρὸ πολλοῦ.

Προπόλῳ, καὶ προσπόλῳ. θεράποντι.

Προπόλων. θείων ἑρμηνευτῶν. Πρόπολοί τε καὶ θεραπευταί. [3] Μέλλων Εὐρυμέδων ποτ' Ἀριστοτέλη γράψαι, Δηοῦς μύστιδος ὢν πρόπολος.

Πρόπομα. ἐκ τοῦ προπίνω.

Προπομπία. ἐν συνθέσει διὰ τοῦ ι. Πομπεία δὲ, ἁπλοῦν, διὰ διφθόγγου.

Προποντίς. ἡ πρὸ τοῦ Πόντου θάλασσα, ἡ τῷ Βυζαντίῳ ἐπικειμένη.

Πρόπτωσις[4] ἐστὶν, ὅταν ὀφθαλμὸς κινηθεὶς προπέσῃ.

Προπύλαια[5] ταῦτα. Δημοσθένης Φιλιππικοῖς. δύναται μὲν δεικτικῶς λέγεσθαι, ἅτε ὁρωμένων τῶν προπυλαίων ἀπὸ τῆς Πνυκός. βέλτιον δὲ ἀναφορικῶς ἀκούειν. ἐπὶ γὰρ τῶν πάνυ γνωρίμων οὕτω λέγειν εἰώθασι. ἐν γὰρ τῷ κατ' Αἰσχίνου αὐτὸς Δημοσθένης φησίν· Ἤρετο Σάτυρον τουτονὶ τὸν κωμικὸν ὑποκριτήν. [6] Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν Ἀκροπόλεως φησίν· Ἐν ἔτεσι μὲν πέντε παντελῶς ἐξεποιήθη. τάλαντα δὲ ἀνηλώθη βιβ'. ε' δὲ πύλας ἐποίησαν, δι' ὧν εἰς τὴν Ἀκρόπολιν εἰσίασι.

Πρόῤῥιζον. ἐξ αὐτῶν τῶν ῥιζῶν. καὶ πρόῤῥιζος, ἀντὶ τοῦ, παντάπασι. Σοφοκλῆς· Μυρτίλος πρόῤῥιζος ἐκριφείς. Πρὸ ῥιζῶν δὲ, ἐξ αὐτῆς τῆς ῥίζης.

Πρός. Εἰς μῆκος δὲ, ὅσον πόδας ξ', καὶ πρός. ἀντὶ τοῦ, πλεῖον, περισσότερον. καὶ ὁ Θεολόγος· Καὶ μικρόν τι πρός.

Προσαγγελία. [7] Πολύβιος· Ἧκον ὑπὸ νύκτα πρὸς τὸν Φίλιππον, φάσκοντες συνωρμηκέναι τινὰς αὐ-

Πρόπιον. Oraculum. Vaticinium. Et θεοπρόπιον, idem.

Πρόποδες. Qui magnos pedes habent.

Πρὸ ποδῶν. Quod eſt obvium. Quod eſt ante pedes.

Πρὸ ποδῶν. Ante pedes.

Προπολεμῶ. Pro aliquo bellum gero. Genitivo jungitur.

Προπόλεος. Suburbanus. *Suburbanum civitatis ornamentum vaſtantes.*

Πρόπολος. Serva. Ancilla. Famulus, vel famula. Vel, qui ad aliquem confugit. Ariſtophanes *Nubibus: Sed bono ſis animo, & noſtris te trade miniſtris.* Apud Herodotum vero πρόπολος ſignificat æditúum.

Πρὸ πολλοῦ. Multo ante.

Προπόλῳ, & προσπόλῳ. Famulo. Miniſtro.

Προπόλων. [Miniſtrorum.] Divinorum interpretum. *Miniſtrique & cultores.* [In Epigrammate:] *Eurymedon Cereris miniſter, cum Ariſtotelem olim* [*impietatis*] *accuſaturus eſſet.*

Πρόπομα. Potus, qui, antequam cibi capiantur, hauritur. A προπίνω, propino, præbibo.

Προπομπία. In compoſitione per ι ſcribitur. At ſimplex πομπεία, per diphthongum ει.

Προποντίς. Propontis. Mare ante Pontum, Byzantio vicinum.

Πρόπτωσις. Oculorum prolapſio, ſive procidentia.

Προπύλαια ταῦτα. Veſtibula iſta. Demoſthenes in *Philippicis.* Poteſt hoc demonſtrative [ab Oratore] dictum eſſe, quod veſtibula e Pnyce cernerentur. Præſtat vero locum hunc relative accipere. De rebus enim valde notis ſic loqui ſolemus. Nam in oratione adverſus Æſchinem Demoſthenes inquit: *Interrogabat Satyrum iſtum, hiſtrionem Comicum.* Heliodorus vero in libro de Arce Athenienſi inquit: [*Propylæa*] *quinquennio abſoluta ſunt, impenſis in opus illud talentis bis mille duodecim. Fecerunt autem portas quinque, per quas in Arcem intratur.*

Πρόῤῥιζον. Radicitus evulſum. Et πρόῤῥιζος, [qui radicitus evellitur, vel funditus tollitur. Item,] penitus, prorſus. Sophocles: *Myrtilus penitus ejectus.* Et πρὸ ῥιζῶν, Ab ipſis radicibus.

Πρός. Plus. Amplius. *In longitudinem vero* [*extendebatur*] *pedes* LX. *& amplius.* Et Theologus [inquit:] *Et parum amplius.*

Προσαγγελία. Nuntius. Polybius: *Venerunt ſub noctem ad Philippum, nuntiantes, quoſ-*

1 Προπόλεος] Forte apud ſcriptorem, unde ſequens fragmentum excerptum eſt, duabus vocibus ſcriptum erat, πρὸ πόλεως: quibus in unum conflatis, Suidas vocem προπόλεος effinxiſſe videtur. Nuſquam enim alibi, quod ſciam, vox iſta occurrit.

2 Ἀριστοφάνης Νεφέλαις] Pag. 152. (85. Ed. Baſ. P.)

3 Μέλλων Εὐρυμέδων ποτ' Ἀρισ.] Fragmentum hoc corruptum eſt & mutilum, quod apud Laertium in vita Ariſtotelis, Segm. VIII. unde id Suidas deprompſit, recte ſic legitur:

Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλην ἀσεβείας
Γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος·
Ἀλλὰ πιὼν ἀκόνιτον, &c.

4 Πρόπτωσις] Conſule de hac voce Stephanum in *Theſauro,* qui docet, id, quod Græci πρόπτωσιν ὀφθαλμῶν vocant, Ciceronem *prolapſionem,* & Plinium, *procidentiam oculorum* dixiſſe.

5 Προπύλαια ταῦτα. Δημοσθ.] Ex Harpocratione: qui plura habet.

6 Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν Ἀκροπ.] Supple ex Harpocratione: Ἡλιόδωρος δ' ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν Ἀκροπόλεως, μεθ' ἕτερα καὶ ταῦτά φησιν.

7 Πολύβιος] Lib. V. cap. CX.

τοῖς. τούτους δ' ἀπαγγέλλειν, ὅτι καταλίποιεν ἐν Ῥηγίῳ πεντήρεις Ῥωμαϊκάς. ὁ δὲ διαταραχθεὶς ἐκ τῆς προσαγγελίας, ἔφυγε. Καὶ αὖθις· Τῷ δὲ Πτολεμαίῳ γινομένης προσαγγελίας, παρεῖναι τὸν Ἀρχίαν.

Προσαγγέλλει. Ὁ δὲ ἑαυτὸν προσαγγέλλει (ἀντὶ τοῦ μηνύει) ἑαυτὸν ἄξιον θανάτου.

Προσάγειν[1] καὶ Παράγειν διαφέρει. Προσάγουσι μὲν γὰρ πάντες οἱ παραταξάμενοι, ᾗ ἂν ἄριστοι εἶεν μάχεσθαι. Παράγουσι δὲ οἱ σώφρονες ᾗ[2] ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα ἀπέλθοιεν. παριέναι δὲ ἀνάγκη ἐκπεπλαμμέναις μὲν ταῖς ἁμάξαις, ἀνειργομένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπιπολύ. οὕτω φησὶ Ξενοφῶν. καὶ προσάγειν, ἀντὶ τοῦ οἰκειοῦσθαι, ἰδιοποιεῖσθαι. Ὁ δὲ ἐμήνυε διὰ τῶν πρέσβεων, ὡς προσάγοιτο μὲν τὰ ἔθνη χρήμασι καὶ δώροις, καταγγέλλοι δὲ κοινὰ τὰ κερδαλέα τὰ ἀπὸ τοῦ πολέμου.

Προσαγώγιον. τὸ τῶν τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

Προσᾴδω. δοτικῇ.

Πρὸς ἀκτῖνα. πρὸς ἀνατολήν.

Προσαλισκόμεθα.[3] ἀντὶ τοῦ, πρὸς τούτοις καταδικαζόμεθα καὶ ζημιούμεθα. Κᾆτα προσαλισκόμεθα.

Προσαμφιῶ. πρὸς οἷς ἔχεις ἐνδύσω.

Προσανανεωσάμενος. ἀνακαινίσας, καὶ ἀνεγείρας. Ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα, ἐπεβάλλετο καταπειράζειν τῆς ἐλπίδος.

Προσαναταθείς.[4] ὀργισθείς. ἐπαρθείς. Ὁ δὲ βραχέα προσαναταθεὶς, κατένευσε ποιήσειν. ἀντὶ τοῦ, κατεπαρθείς.

Προσανατεινόμενος. ἀπειλῶν. Τὰ μὲν παρακαλῶν, τὰ δὲ προσανατεινόμενος.

Προσαναφωνῶ. δοτικῇ.

Προσανέχων. προσέχων. προσκεκολλημένος. Πολύβιος· Ὁ δὲ πᾶν ὑπομένειν ἐδόκει, προσανέχων ταῖς τῶν Αἰγυπτίων ἐπαρχίαις. καὶ αὖθις· Ὁ δὲ Δημήτριος προσανέχων τῇ παρουσίᾳ τοῦ διαποσταλησομένου πρὸς αὐτόν. Καὶ προσανέχοντι, ἐξέχοντι.

Πρὸς ἀνίσχοντα ἥλιον. ἀνατέλλοντα.

Πρόσαντες. δυσχερὲς, καὶ ἐναντίον. καὶ ζήτει ἐν τῷ Ἄναντες.

Προσάντης. καὶ ἡ δοτικὴ, προσάντει.

Προσάντως. ἐπίρρημα. Μήτε ἀκαίρως παρακαλεῖν, μήτε προσάντως.

Πρὸς ἀπαλέξησιν. πρὸς βοήθειαν.

Προσάπτομαι. γενικῇ. Προσάπτω δὲ, δοτικῇ.

dam una ſecum eodem appuliſſe: ex quibus audiverint, relictas a ſe Rhegii quinqueremes Romanorum. Ille igitur hoc nuntio perterrefactus, fugit. Et iterum: *Cum Ptolemæo nuntiatum eſſet, Archiam adeſſe.*

Προσαγγέλλει. Indicat. Defert. *Ille vero ſe ipſe, ut morte dignum, defert.*

Προσάγειν & παράγειν differunt. *Omnes enim ſic inſtructas copias adducunt, prout ſe fortiſſime pugnaturos putarint. At qui ſapiunt, ſic eas abducunt, ut quam tutiſſime, non quam celerrime abſcedant. Præterire vero neceſſe eſt, plauſtris exporrectis, cæteriſque impedimentis multum laxatis.* Ita Xenophon inquit. Et προσάγειν, ſibi conciliare, ſibi adjungere. *Ille autem per legatos ſignificavit, eum pecunia & muneribus gentes ſibi adjungere, illiſque promittere, lucrum, quod ex bello rediturum eſſet, commune fore.*

Προσαγώγιον. Inſtrumentum fabrorum, quo admoto ligna curva diriguntur.

Προσᾴδω. Accino. Dativo jungitur.

Πρὸς ἀκτῖνα. Ad radios [Solis.] Sive, ad ortum Solis.

Προσαλισκόμεθα. Præterea condemnamur & mulctamur. [Sic Ariſtophanes.]

Προσαμφιῶ. Præter illas veſtes, quas habes, alias etiam induam.

Προσανανεωσάμενος. Qui renovavit. Qui inſtauravit. *Marcus autem ea murorum parte, quæ humilior erat, reparata, conata perficere tentavit.*

Προσαναταθείς. Minas intentans. Iratus. Indignatus. *Ille vero pauca comminatus, ſe id facturum annuit.*

Προσανατεινόμενος. Minas intentans. Minans. *Partim rogans; partim vero, minans.*

Προσαναφωνῶ. Alloquor. Compello.

Προσανέχων. Nitens. Innitens. Adhærens. Polybius: *Ille vero quidvis pati decreverat, in Ægyptiorum præfecturis ſpem ponens.* Et iterum: *Demetrius autem in præſentia illius, qui ad ipſum mittendus erat, ſpem ponens.* Et προσανέχοντι, eminenti.

Πρὸς ἀνίσχοντα ἥλιον. Ad Solem orientem.

Πρόσαντες. Acclive. Arduum. Difficile. Adverſum. Quære in voce Ἄναντες.

Προσάντης. Acclivis. Arduus. Et Dativus, προσάντει.

Προσάντως. Adverbium. Ardue. Difficulter. Moleſte. *Nec intempeſtive, nec moleſte aliquem roges.*

Πρὸς ἀπαλ. Ad auxilium [ferendum.]

Προσάπτομαι. Genitivo jungitur. Attingo. Προσάπτω vero, cum Dativo, applico, appono.

1 Προσάγειν καὶ παράγειν διαφ. Προσάγουσι μὲν γ. ——— ἐπιπολύ] Hæc omnia ſunt verba Xenophontis lib. v. *De Exped. Cyri*, pag. 140. ut Portus monuit. Ibi autem prior hujus fragmenti pars ſic legitur: *Οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν τε καὶ παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαντες, οὕτω τεταγμένοι, ὡς ἂν οἴωνται ἄριστα μάχεσθαι. ἀπάγουσι μέντοι οἱ σώφρονες*, &c.

2 Ἢ ἂν ἀσφαλέστατα] Hæc verba ex prioribus Editt. exciderunt, quæ ex MS. A. & Xenophonte revocavi.

3 Προσαλισκόμεθα. ἀντὶ τοῦ, πρὸς τ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 404. (289. Ed. Baſ. *P.*)

4 Προσαναταθείς] Sic recte MS. A. At MSS. B. & C. itemque priores Editt. omnes male habent, προσανατασθείς. Confer Noſtrum ſupra v. Ἀναταθείς.

Προσα-

Προσαρασσόμενα. προσρηγνύμενα. προσκρουόμενα.

Προσαστειασάμενος. ἀστεῖόν τι προσειπών. [1]Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι προσαστειασάμενος τοιοῦτον,

Αἰεὶ [2]δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

Προσαυδῶ. δοτικῇ.

Πρὸς αὑτοῦ. ἀντὶ τοῦ, ὑπὲρ αὑτοῦ. [3]Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρὸς αὑτοῦ εἶναι νομίσας τὰ συμβαίνοντα περὶ τοὺς ἐναντίους, ἐγένετο περὶ τὸν Μάρκον, σπουδάζων τὴν τόλμαν ἀφελέσθαι, καὶ προκαταλαβεῖν αὐτοῦ τὴν ὁρμήν.

Προσβάλλει. δοτικῇ. προσέρχεται. Προσέβαλε δὲ ταῖς ἀκοαῖς αὐτῶν ἦχος ἐμμελὴς θείων ὕμνων. δι' ἑνὸς λ, δεύτερος Ἀόριστος. Προσέβαλλε δὲ, ἀεὶ διὰ δύο λλ, παρατατικός.

Πρὸς βίαν. βιαίως. ἀναγκαστικῶς. Ὁ δὲ οὐκ ἐφείσατο αὐτῆς (ὁ ἐραστὴς, ὁ ἐναγὴς) ἀλλ' ἐξαγαγὼν αὐτὴν τοῦ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως.

Προσβλέπω. δοτικῇ. Οὐδὲ προσβλέψειν ἂν ἔτι δυναίμην αὐτῇ.

Προσβολή.[4] ζημία, δαίμονος ὀργὴ, παρὰ Ἀριστοφάνει. ἀντὶ γὰρ τοῦ εἰπεῖν, ζῷον, ζημίαν εἶπε, καταρώμενος αὐτῷ.

[5]Χ' ὥτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ,
Οὐκ οἶδα. ——

περὶ τοῦ κανθάρου.

Προσεγεγόνει. συνεμίχθη. συνηριθμήθη. Ὁ δὲ τοῦ βασιλέως Ἀρμενίας παῖς προσεγεγόνει αὐτῷ ξὺν δυνάμει ἱππικῇ οὐκ ὀλίγῃ.

Πρόσγειον. τὸ πρὸς γῆν.

Προσγράφει. προσκρίνει.

Προσδέδεμαι. δοτικῇ.

Προσδέξασθαι. [6]Προσδέξασθαι δὲ, τὸ δὴ λεγόμενον, πρὸς τὰς πλευρὰς τοὺς πολεμίους. ἀντὶ τοῦ, σύνεγγυς.

Προσδέχομαι. αἰτιατικῇ. καὶ προσδεχόμενοι, ὁμοίως, προσδοκῶντες.

Προσδεῖσθαι καὶ ἐνδεῖσθαι διαφέρει. τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν. τὸ δὲ, παντελῆ ἀπορίαν τοῦ ὅλου δηλοῖ.

Προσδιαλέγομαι. δοτικῇ.

Προσδοκία. διαφέρει προσδοκία ἐλπίδος. [7]ἐλπὶς μὲν γάρ ἐστι προσδοκία ἀγαθῶν. καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' οὐ προσδοκᾷ ἀγαθά. κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος· ἀγαθῶν δὲ, ἡ ἐλπίς. ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς [8]προσδοκῶσιν, ἀ-

Προσαρασσόμενα. Alliſa. Colliſa.

Προσαστειασάμενος. Facetias & jocos dictis addens. *Ille vero eum hortatus eſt, Homericum illud dictis urbane adjiciens: Semper juniorum virorum mentes vana & levi ſpe efferuntur.*

Προσαυδῶ. Alloquor. Saluto.

Πρὸς αὑτοῦ. Pro ipſo. Pro ſe. *Ille vero præſentem rerum apud hoſtes ſtatum non contra ſe, ſed pro ſe facere ratus, Marcum obſervabat, ut audaciam illius comprimeret, & conatus præveniret.*

Προσβάλλει. Dativo jungitur. Accedit. Attingit. Pervenit. *Suavis autem divinorum hymnorum ſonus ad aures eorum pervenit.* Aoriſtus ſecundus per unum λ ſcribitur, προσέβαλε. At Præteritum Imperfectum ſemper per duo λλ.

Πρὸς βίαν. Per vim. Violenter. *Ille vero impuro virginis amore captus, ei non pepercit, ſed per vim ex templo abſtractam abſque ulla miſeratione ſtupravit.*

Προσβλέπω. Dativo jungitur. Aſpicio. Intueor. *Nec amplius eam intueri poſſim.*

Προσβολή. Damnum. Malum, quod Deus iratus alicui infligit. Apud Ariſtophanem. Cum enim dicendum eſſet ζῷον, *animal*; dixit προσβολὴ, i.e. *malum*, [ſcarabæum] execrans. *Quis Deorum iratus malum hoc invexerit, neſcio.* De ſcarabæo [ibi verba fiunt.]

Προσεγεγόνει. Acceſſit. Se alicui adjunxit. Aliquibus annumeratus eſt. *Filius autem Regis Armeniæ cum non exiguis equeſtribus copiis ei ſe adjunxit.*

Πρόσγειον. Terræ proximum. Terræ vicinum.

Προσγράφει. Adſcribit. Adjudicat.

Προσδέδεμαι. Dativo jungitur. Sum alligatus.

Προσδέξασθαι. Admittere. Recipere. Ut, *Admittere vero, quod vulgo ajunt, hoſtes ad latera.* Id eſt, prope.

Προσδέχομαι. Accuſativo jungitur. Expecto. Et προσδεχόμενοι, expectantes.

Προσδεῖσθαι & ἐνδεῖσθαι differunt. Nam προσδεῖσθαι dicitur de eo, qui exigua bona poſſidet, & aliquibus tantum indiget. At ἐνδεῖσθαι ſignificat, prorſus egenum eſſe, & nihil omnino poſſidere.

Προσδιαλέγομαι. Colloquor. Alloquor.

Προσδοκία. Expectatio. Προσδοκία differt ab ἐλπὶς, i. e. ſpes. Nam ſpes eſt expectatio bonorum. Et ille, qui metuit, expectat, ſed non expectat bona. Metus enim eſt malorum expectatio: Spes vero, bonorum. Quoniam igitur impii res expectant, in quibus nihil eſt fir-

1 Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι πρ.] Valeſius fragmentum hoc Polybio tribuit.

2 Αἰεὶ δ' ὁπλοτ.] Eſt verſus Homericus Il. Γ. v. 108.

3 Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρ.] Hæc ſunt verba Polybii lib. III. cap. CIV.

4 Προσβολή. ζημία. δαίμ.] Ex Scholiaſta Ariſtoph. ad *Pacem*, pag. 627. (435. Ed. Baſ. *P.*)

5 Χ' ὥτου ποτ' ἐστὶ δ.] Hæc ſunt verba Ariſtophanis in *Pace*, pag. 626.

6 Προσδέξασθαι δὲ, τὸ δὴ λεγ.] F. Urſinus & Caſaubonus fragmentum hoc Polybii eſſe volunt.

7 Ἐλπὶς μὲν γάρ ἐστι προσδ.———ἀγαθῶν δὲ ἡ ἐλπίς] Hæc αὐτολεξεὶ etiam legas apud Didymum in Catena in cap. VI. Job. pag. 199. ut monuit Suicerus in *Theſauro Eccleſiaſtico*, v. Ἐλπίς. Confer etiam Noſtrum ſupra v. Ἐλπὶς, ubi eadem leguntur.

8 Προσδοκῶσιν] Legerim potius, προσδοκίαν ἔχουσι, propter præcedentem genitivum, ὑφεστώτων πραγμάτων. Verbum enim προσδοκᾷν cum genitivo conſtrui non ſolet.

πόλλυται αὐτῶν ἡ ἐλπὶς, ὡς μένουσι τοῖς ἡδέσι χρῶνται.

Πρὸς δύο δ' οὐδ' Ἡρακλῆς. παροιμία. ζήτει ἐν τῷ, Οὐδ' Ἡρακλῆς πρὸς δύο.

Πρὸς αἵματος. τοὺς συγγενεῖς. [1] Σοφοκλῆς·

Ἆρ' ὧδ' ἄριστος ἐξ ἀρίστοιν δυοῖν
Βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;

Προσαίτης. ὁ ἐπαίτης. Προσαῖτις δὲ, θηλυκὸν, διὰ τοῦ ι.

Προσαιτῶν. πολλὰ αἰτῶν.

Προσεδρεία. προεδρία δέ.

Προσεδρεύω σοι.

Πρόσεδρος.

[2] Τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
Ὀφθαλμὸν ἄρας, εἶδέ μ' ἐν πολλῷ στρατῷ.

Προσέκειτο. ἀντὶ τοῦ, προσεῖχε. Θουκυδίδης α.

Προσέκοψεν. ἀντὶ τοῦ, προσέπταισεν. Ἄλεξις.

Προσέκοψε τῷ ἀνθρώπῳ. ἀντὶ τοῦ, ἠλλοτριώσατο. οὕτω Ποσείδιππος.

Προσεκλιπαρῶτατα. Ἐδόκει γὰρ Ῥωμαίων προσεκλιπαρώτατα καὶ ἐπιμελέστατα κατὰ τοὺς πατρίους θεσμοὺς ἐπιτελεῖν τὰς θυσίας. ἀντὶ τοῦ, πολυτελῶς, νενεχῶς.

Προσέληνοι. [3] Ἡρόδοτος τοὺς Ἀρκάδας οὕτω λέγει. τουτέστιν, ἀρχαίους, πρὸ τῆς σελήνης.

Προσελοῦμεν. [4] ἀντὶ τοῦ, προπηλακίζομεν. προσελαύνομεν. εἰσβάλλομεν.

Προσέμαξε. [5] προσεπαρέθηκε. προσεκόλλησε. μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι, καὶ φυρᾶν, καὶ εἰς ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης· Τὸν Πειραιᾶ προσέμαξε.

Πρὸς ἐμοῦ εἶ. οἰκεῖός μοι. ἐγγύς μου. φίλος μου. παρ' ἐμοί.

Προσένεγκε. προσενέγκαι δέ.

Προσέπαισε. προσέπαιξε. Πλάτων τῷ σ ἀντὶ τοῦ ξ κέχρηται.

Προσέξονται. ἀντὶ τοῦ προσκολλῶνται. Προσέξονται ταῖς κοτύλαις αἱ πέτραι.

Προσεπιμετρῶν. πλείω τοῦ μεμετρημένου διδούς. [6] Προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν.

Προσεπιτραγῳδήσουσι. δεινολογήσουσι. Δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτέρημα, καὶ προσεπιτραγῳδήσαντες, καταπλήξωνται [7] τοὺς ἐν τοῖς Τυάνοις.

mi nec certi, ſpes illorum perit. Voluptatibus enim ut rebus permanentibus fruuntur.

Πρὸς δύο δ' οὐδ' Ἡρ. *Ne Hercules quidem adverſus duos.* Proverbium. Quære in v. Οὐδ' Ἡρακλῆς πρ.

Πρὸς αἵματος. Conſanguineos. Cognatos. Sophocles: *Ergo ego, nobiliſſimus cum ſim, & ex duobus fortiſſimis natus, dedecorem cognatos meos?*

Προσαίτης. Mendicus. Προσαῖτις vero, fœmininum, per ι ſcribitur. Mendica.

Προσαιτῶν. Mendicans.

Προσεδρεία. [Scribitur per diphthongum ει.] At προεδρία, per ι.

Προσεδρεύω σοι. Aſſideo tibi.

Πρόσεδρος. Aſſidens. Circumfuſus. [Sophocles:] *Tunc ex circumfuſa caligine diſtortum attollens oculum, me in media turba vidit.*

Προσέκειτο. Incumbebat. Deditus erat. Studium in aliqua re ponebat. Thucydides libro I.

Προσέκοψεν. Offendit. Impegit. Alexis.

Προσέκοψε τῷ ἀνθρώπῳ. Offendit hominem. Vel, eum a ſe alienavit. Ita Poſidippus.

Προσεκλιπαρώτατα. Magna cum attentione. Magno cum ſtudio. *Videbatur enim inter omnes Romanos maximum ſtudium & diligentiam adhibere, ut ſecundum patrios ritus ſacrificia faceret.*

Προσέληνοι. Antelunares. Sic Herodotus Arcades vocat. Id eſt, antiquos.

Προσελοῦμεν. Contumelia afficimus. Exagitamus. Ejicimus.

Προσέμαξε. Addidit. Adjecit. Cum re aliqua conjunxit. Μάττειν enim ſignificat, miſcere, & ſubigere, & in maſſam redigere farinam. Ariſtophanes: [*Cum urbe*] *Piræeum conjunxit.*

Πρὸς ἐμοῦ εἶ. Es familiaris vel propinquus meus. Es amicus meus. Es prope me.

Προσένεγκε. [Scribitur per ε in ſyllaba ultima.] At προσενέγκαι, [per diphthongum αι.]

Προσέπαισε. Sic Plato dixit pro προσέπαιξε, litera σ pro ξ utens.

Προσέξονται. Adhærebunt. *Petræ cotylis adhærebunt.*

Προσεπιμετρῶν. Aliquid ad juſtam menſuram addens. Plus largiens, quam neceſſe eſt. *Indigenti ſemper plus largiens, quam inopia ejus requireret, ut propter hanc liberalitatem ſine controverſia ab omnibus ſibi gratia haberetur.*

Προσεπιτραγῳδήσουσι. Tragicorum more exaggerabunt. *Veritus, ne victoriam extollentes, & verbis plus æquo exaggerantes, Tyanenſibus terrorem incuterent.*

1 Σοφοκλῆς] In *Ajace Flagell.* pag. 71. ut Portus monuit.
2 Τότ' ἐκ προσέδρου λιγν.] Duo hi Senarii leguntur apud Sophoclem in *Trachin.* pag. 359. ut itidem Portus monuit.
3 Προσέληνοι] Confer Noſtrum ſupra v. Βεκκεσέληνε.
4 Προσελοῦμεν. ἀντὶ τοῦ, προπηλακίζ.] Ex Scholiaſta Ariſtoph. ad *Ranas,* pag. 247. (159. Ed. Baſ. *P.*) ubi tamen pro προσελαύνομεν rectius legitur, ἐλαύνομεν.

5 Προσέμαξε. προσεπαρέθηκε. προσεκ.] Ex Enarratore Comici ad *Equit.* pag. 338. (236. Ed. Baſ. *P.*) ſed ubi legitur, προσέθηκε.
6 Προσεπιμετρῶν ἀεὶ τῷ δ.] Valeſius fragmentum hoc ad Polybium refert.
7 Τοὺς ἐν τοῖς Τυάνοις] Sic habet optimus MS. A. At MSS. B. & C. itemque præcedentes Editt. omnes, τοὺς ἐπὶ τοῖς τυράννοις: quod corruptum eſſe non dubito.

Προσεποιήθη. Ὁ δὲ ὠργίζετο ἀθετηθεὶς, οὐ μὴν προσεποιήθη κατὰ τὸ παρόν. ἀντὶ τοῦ, ἐφανέρωσεν. ἐνεδείξατο. Δαμάσκιος· Ἠισθάνετο μὲν ἐν ταύτῃ ποι διακειμένων, οὐ μέντοι προσεποιήθη τὸν νοῦν προσέχειν. Καὶ αὖθις· Ὁ δὲ καὶ πολλάκις ἀκούων, οὐ προσεποιεῖτο.

Προσεποιήσαντο.[1] Ἰσαῖος. ἀντὶ τοῦ, ἀντεποιήσαντο.

Προσεποίσω. προσεπάξω.

Προσερήσομαι. ἐρωτήσω.

Πρὸς[2] ἐρρωγυῖαν ᾄδεις. ἐπὶ τοῦ μάτην πονοῦντος.

Πρόσφατος. Recens. Proprie dicitur de eo, qui recens occiſus eſt: a φῶ, occido. Hinc deductum eſt πέφαται, occiſus eſt; quæ vox occurrit in loco illo Homerico: *Fortiſſimus autem Achivorum occiſus eſt.* Et Ἀρηΐφατος, qui in bello cæſus eſt.

Πρόσφατον. τὸ ἀρτίως γινόμενον. καὶ προσφάτως, ἀντὶ τοῦ, νεωστί.

Πρόσφατον. Recens. Nuperum. Et προσφάτως, recenter, nuper.

Προσφερεῖς. ὁμοίας. Ὁ δὲ ἀπαντήσας τοῖς βαρβάροις πυρὶ προσφερὴς, ἔργα ἐπεδείκνυτο, χεῖράς τε ἀνθρώπου καὶ τόλμαν παρεληλυθότα.

Προσφερεῖς. Similes. *Ille vero Barbaris occurrens igni ſimilis, ea facinora edidit, quæ manus hominis & audaciam ſuperarent.*

Προσφέρονται.[10] ἀντὶ τοῦ, προστίθενται.

Προσφέρονται. Admoventur. Apponuntur.

Προσφεύγω. δοτικῇ.

Προσφεύγω. Dativo jungitur. Confugio. Profugio.

Προσφθέγγομαι. αἰτιατικῇ.

Προσφθέγγομαι. Accuſativo jungitur. Alloquor.

Προσφορά. προσθήκη. πρόσοδος.

Ποίω[11] γὰρ ἡ σὴ προσφορὰ δηλώσεται.

Προσφορά. Oblatio. Donum. Beneficium, quod offertur. *Quodnam erit beneficii, quod offers, argumentum?*

1 Προστρόπαιος] MSS. Pariſ. habent, προστροπαῖος, cum circumflexo in penultima.

2 Σοφοκλῆς] In *Ajace*, pag. 65. ut Portus monuit.

3 Καὶ προστροπαίους τῶν δι' ἐκ.] Locus integer Polybii, ex quo fragmentum hoc decerptum eſt, exſtat in Excerptis a Valeſio editis, pag. 117.

4 Πολύβιος] Lib. VIII. cap. XIV.

5 Σοφοκλῆς] *Oedip. Tyran.* pag. 150. ut Portus monuit.

6 Πρόσοιτο] In MS. A. legitur, προσοῖτο, cum circumflexo in penultima: non ſolum hic, ſed etiam in ſequentibus.

7 Ἦν δὲ ἱκανὸς ἰδ.] Prior fragmenti hujus pars legitur etiam apud Photium in Excerptis ex Damaſcio, pag. 1036. ut Pearſonius recte obſervaverat. Ibi autem pro θησαυρὸν ex hoc loco Suidæ reponendum eſt, σαθρόν.

8 Πρόσφατος] Confer Ammonium v. Νεαρόν.

9 Πέφαται δ' ἄριστος Ἀχ.] Homerus Il. P. v. 689. apud quem ſecundum leges metri recte legitur:

——— Πέφαται δ' ἄριστος Ἀχαιῶν.

10 Προσφέρονται] Ex interpretatione ſubjuncta colligitur, ſcribendum potius eſſe προσφέρονται, per α.

11 Ποίω γὰρ ἡ σὴ προσφ.] Senarius hic legitur apud Sophoclem *Oedip. Tyran.* pag. 291. ut Portus monuit.

Προσ-

Προσφορά.[1] πρόσοδος. Ἀντιφῶν.

Πρόσφορα. χρήσιμα. [2] Δράσω καὶ τάδε, καὶ πάνθ' ὅσα πρόσφορ' ἡμῖν πρὸς χάριν.

Πρόσφορον. οἰκεῖον. ἁρμόδιον. ἐπιτήδειον. [3] Οὐ γὰρ διὰ τὴν τύχην τῶν συμβεβηκότων ἀθετήσεις τῆς ἀξίας ἢ τῆς προσηγορίας τὸ πρόσφορον. Χοσρόης φησὶ πρὸς Μαυρίκιον.

Προσφυές. προσοικειούμενον.

Προσφυῶς. οἰκείως. ἀκολούθως.

Πρόσφυξ. ὁ αὐτόμολος. ὁ προσφεύγων ἐν Ἐκκλησίαις.

Προσφύς. προσπλακείς. καὶ Προσφῦναι, καὶ Προσφύντος.

Προχαιρητήρια.[4] ἑορτὴ παρ' Ἀθηναίοις ἀγομένη, ὅτε δοκεῖ ἀπιέναι ἡ κόρη.

Πρόσχημα. παρακάλυμμα τοῦ ἤθους. ἡ πρόφασις.

> Πατὴρ[5] γὰρ, οὐδὲν ἄλλο σοι πρόσχημ' ἀεὶ,
> Ὡς ἐξ ἐμοῦ τέθνηκεν.

Αὐτὸν γὰρ ἐν προσχήματι μοίρᾳ ἐξιόντα, μήτε Οὔννοις, μήτε τοῖς ἐκείνων συμμάχοις ἐς χεῖρας ἰέναι.

Πρόσχημα. παρακάλυμμα. [6] Σοφοκλῆς·

> Πρόσχημ' ἀγῶνος, Δελφικῶν ἄθλων χάριν.

Ὡς οὔπω ὄντος τοῦ Γυμνικοῦ ἀγῶνος. † Προσχήματι οἰκονομίας, βαρβαρικῆς ἐχόμενοι σμικρολογίας.

Πρόσχορδα. σύμφωνα.

Πρόσχωροι. περίοικοι.

Προσψαύσασαι[7] αἱ σάρκες τοῦ Μάρτυρος τοῦ πυρί.

Προταλαιπωρῶ. γενικῇ.

Προταμών. κόψας.

Πρόταξις ψιλῶν. ὅταν τῶν ἄλλων ἐν πολέμῳ οὗτοι προτάττωνται. Ὑπόταξις δὲ, ὅταν ὑποτάττωνται. Προσένταξις δὲ, ὅτε καὶ ἐμπλεκόμενοι τῇ φάλαγγι παρ' ἄνδρα τάττωνται. λέγεται δὲ καὶ Παρένταξις τοῦτο.

Πρότασις. ὅτι πρότασις ἐστὶ λόγος ἐξ ὅρων δύο, τοῦ σημαινομένου τι περί τινος δηλῶν, ἢ ὡς ὑπάρχον, ἢ ὡς οὐχ ὑπάρχον. Τρόπος δὲ ἁπλῶς, δύο προτάσεων ἁπλῆ κοινωνία τρεῖς ὅρους ἐχουσῶν, ἐξ ὧν ἀνάγκη τὸν ἕνα δίς τε εἰλῆφθαι, καὶ ἐν ἀμφοτέραις ὑπάρχειν. Σχῆμα δὲ, τρόπος ὡδὶ τὸ μέσον.

Πρότασις.[8] ἡ προτεινομένη ἐρώτησις. Πρόβλημα, τὸ προβληθὲν ἐρώτημα. διαφέρει δὲ τῷ τρόπῳ μόνον. συνίστανται δὲ καὶ ἐξ ἀντιφάσεων. Πρόβλημα καὶ

Προσφορά. Proventus. Reditus. Antiphon.

Πρόσφορα. Commoda. Utilia [Sophocles:] *Faciam & hæc, & omnia, quæ e re veſtra erunt.*

Πρόσφορον. Aptum. Commodum. Idoneum. Conveniens. *Haud enim propter ea, quæ fortuito acciderunt, commodum, quod ex dignitate vel appellatione percipitur, repudiabis.* Hæc ſunt verba Choſrois ad Mauricium.

Προσφυές. Adhærens. Cohærens. Aptum. Commodum.

Προσφυῶς. Convenienter. Apte. Conſequenter.

Πρόσφυξ. Transfuga. Vel, qui ad Eccleſias confugit.

Προσφύς. Adhærens. Amplexus. Et προσφῦναι, adhærere. Et προσφύντος, adhærentis.

Προχαιρητήρια. Feſtum, quod Athenis celebratur, cum nova nupta [a parentibus] diſceſſura erat.

Πρόσχημα. Velamen. Prætextus. Ficta cauſa. [Sophocles:] *Nullam aliam habes cauſam, quam obtentui ſumas, quam, patrem a me caſum eſſe.* † *Illum enim ob fictam cauſam egreſſum, neque cum Hunnis, neque cum ipſorum ſociis manus conſeruiſſe.*

Πρόσχημα. Prætextus. Species. [Ornamentum. Decus. Sophocles:] *Decus certaminis, Delphicorum præmiorum gratia.* Tunc autem certamen Gymnicum nondum inſtitutum erat. † *Sub ſpecie parſimoniæ, ſordidæ avaritiæ ſtudent.*

Πρόσχορδα. Conſona. Conſentientia.

Πρόσχωροι. Vicini. Accolæ. Finitimi.

Προσψαύσασαι αἱ σάρκ. *Cum carnes Martyris ignem contigiſſent.*

Προταλαιπωρῶ. Genitivo jungitur. Pro aliquo moleſtias tolero.

Προταμών. Qui præcidit. Qui ſecuit.

Πρόταξις ψιλῶν. [In Tacticis ſic dicitur,] velitum ante alios milites in acie collocatio. Ὑπόταξις vero, eſt, cum iidem poſt alios collocantur. Προσένταξις vero, cum iidem phalangi ita inſeruntur, ut ſinguli juxta ſingulos milites collocentur. Idem etiam παρένταξις dicitur.

Πρότασις. Propoſitio. Propoſitio eſt oratio ex duobus terminis conſtans, quæ de re quadam aliquid affirmat, vel negat. Modus vero eſt connexio duarum propoſitionum, tres terminos habentium, quorum alterum neceſſe eſt bis ſumi, & utrique propoſitioni ineſſe. Figura vero, eſt modus, quo terminus medius certa ratione in Syllogiſmo collocatur.

Πρότασις. Propoſitio. Πρόβλημα, problema, ſive propoſita quæſtio. Duo hæc modo tantum differunt. Conſtant vero etiam ex con-

1 Προσφορά. πρόσοδος. Ἀντ.] Ex Harpocratione.

2 Δράσω καὶ τάδε, καὶ π.] Locus hic eſt mutilus, qui ſuppleri debet ex fine fabulæ Sophocleæ, quæ *Oedipus in Colono* inſcribitur. Inde enim Suidas hæc deſcripſit, ut Portus recte obſervaverat.

3 Οὐ γὰρ διὰ τὴν τ.] Fragmentum hoc, ni fallor, depromptum eſt ex Theophylacto Simocatta.

4 Προχαιρητήρια. ἑορτ.] Ex Harpocratione.

5 Πατὴρ γὰρ, οὐδ.] Hæc ſunt verba Sophoclis in *Electra*, pag. 106. ut Portus monuit.

6 Σοφοκλῆς] *Electra*, pag. 112. ut itidem Portus obſervaverat. Inde autem ſenſus hujus loci, qui omnino mutilus eſt, ſuppleri debet.

7 Προσψαύσασαι αἱ σάρκ.] Hæc leguntur etiam infra v. Φαύσ.

8 Πρότασις. ἡ προτ.] Cum hoc loco Suidæ conferendus eſt Alex. Aphrod. in *Topic.* pag. 38, 39.

Προ-

Πρότασις τῶν αὐτῶν εἰσὶ δηλωτικά, καὶ ἐν τοῖς αὐτοῖς τόποις· τῷ δὲ τρόπῳ τῆς ἐκφορᾶς τῆς κατὰ λέξιν μόνον αὐτοῖς ἡ διαφορά. τὸ γὰρ αὐτὸ ἐρώτημα μετὰ μὲν τοῦ πότερον λεγόμενον, πρόβλημά ἐστι· μετὰ δὲ τοῦ ἆρά γε, πρότασις. καί εἰσιν αὐτὰ διαλεκτικὰ προβλήματα, καὶ διαλεκτικαὶ προτάσεις. πρόβλημα μὲν, οἷον, Πότερον ὁ κόσμος σφαιροειδής, ἢ οὔ; πρότασις δὲ, Ἆρά γε ὁ κόσμος σφαιροειδής ἐστι; τοῦ ἢ οὔ, οὐ προστιθεμένου.

traditionibus. Πρόβλημα & πρότασις idem ſignificant, & in iiſdem verſantur: modo vero enuntiationis differunt. Eadem enim quæſtio, ſi proferatur cum adverbio πότερον, eſt πρόβλημα: ſin cum ἆρά γε, dicitur πρότασις. Et hæc ſunt Dialectica Problemata, & Dialecticæ Propoſitiones. Et Problema quidem; ut, ſi quæras, *Utrum* (πότερον) *Mundus eſt rotundus, an non?* Propoſitio vero, *An* (ἆρά γε) *Mundus eſt rotundus, an non?*

Προτέγειον.

Προτέγειον. Pars tecti prominens.

Προτέλεια.[1] ἡμέραν οὕτως ὀνομάζουσιν, ἐν ᾗ εἰς τὴν Ἀκρόπολιν τὴν γαμουμένην παρθένον ἄγουσιν οἱ γονεῖς εἰς τὴν Θεὸν, καὶ θυσίας ἐπιτελοῦσι.

Προτέλεια. Protelia. Sic diem illum vocant, quo parentes virginem nupturam in Arcem ducunt ad Deam, ibique ſacrificia faciunt.

Προτέλεια.[2] Λυκοῦργος ἐν τῷ περὶ τῆς Ἱερείας. τὰ πρὸ τοῦ τελεσθῆναί τι τῶν εἰς τὸ θεῖον ἀναφερομένων γινόμενα, ἢ διδόμενα.

Προτέλεια. Protelia. Lycurgus in oratione de Sacerdote. Sic vocantur ea, quæ fiunt, vel dantur, antequam res divina peragatur.

Προτέλειον. ἡ προπαιδεία. [3] Καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν [4] ταύταις ἐστὶ, καὶ οὐδ᾽ εἴ τι περιττὸν αἰνίττονταί ποτε, συνιέναι βούλεται, καὶ ὑπὸ τούτου κατέχεται, πολλὰ καὶ ἀγαθὰ αὐτῷ γένοιτο. Τέλος λέγεται καὶ ὁ γάμος. καὶ προτέλεια, τὰ ὑπὲρ τοῦ γάμου θύματα. Ἀλλὰ καὶ τῶν Διωνίδου γάμων προθυσάσθω, καὶ προτέλεια τοῦ μοιχοῦ ὁ ἀνὴρ γενέσθω.

Προτέλειον. Diſciplinæ, quæ ante Philoſophiam docentur; vel quibus animus ad ſapientiam præparatur. *Quiſquis autem Muſas non ponit in illarum diſciplinarum numero, quibus homines ad Philoſophiam præparantur, ſed ſummam in iis ſapientiæ collocat, neque, quod ab iis obſcure ſignificatur eximium ac ſingulare, intelligere vult, & ab eo detinetur; multa ei bona contingant.* Τέλος etiam vocantur nuptiæ. Et προτέλεια, ſacrificia, quæ ante nuptias fiunt. *Sed etiam pro Dionidis nuptiis ſacrificium fiat, & vir adulteri victima nuptialis ſit.*

Προτεμενίσματα. προπύλαια. ἢ προάστεια.

Προτεμενίσματα. Templorum veſtibula. Vel ſuburbia.

Προτένθαι.[5] οἱ πρὸ καιροῦ τῶν προσφαγίων ἀπογευόμενοι. οἱ προαρπάζοντες, καὶ μεταπιπράσκοντες πλεῖον· οἱ νῦν μετάβολοι καλούμενοι. οἱ προλαμβάνοντες τὰ ὄψα, πρὶν εἰς τὴν ἀγορὰν κομισθῆναι.

Προτένθαι. Qui ante tempus opſonia deguſtant. Vel, qui opſonia aliis præripiunt, & poſtea pluris vendunt; qui nunc μετάβολοι vocantur. Vel, qui opſonia præemunt, antequam in forum rerum venalium afferantur.

Προυτένθευσαν.[6] προελιχνεύσαντο. προέλαβον τὴν προθεσμίαν, ὑπὸ τοῦ ἐπιθυμητικῶς ἔχειν, ἢ ὑπὸ τοῦ κερδαίνειν ἡττώμενοι.

Προυτένθευσαν. Præliguriverunt. Præguſtarunt. Tempus præſcriptum anteverterunt præ immoderata cupiditate & nimio amore lucri.

Προτένθης. ὁ λίχνος. Αἰλιανός· [7] Προτένθης καὶ ὀψοφάγος.

Προτένθης. Lurco. Guloſus. Ælianus: *Lurco ille & helluo.*

Πρό τε παίδων, καὶ πρὸ γυναικῶν. ἀντὶ τοῦ, ὑπὲρ παίδων, καὶ ὑπὲρ γυναικῶν.

Πρό τε παίδων, καὶ πρὸ γυν. *Pro liberis & conjugibus.* Hic præpoſ. πρὸ ponitur pro ὑπέρ.

Προτεραία. ἡ πρώτη. καὶ προτεραῖος.

Προτεραία. Dies antecedens, vel prior. Et προτεραῖος, qui priore die, vel pridie alicujus diei aliquid facit.

Προτεραίτερος. ἀντὶ τοῦ πρότερος.

Προτεραίτερος. Pro πρότερος. Prior.

Προτερήσαντες. ἀντὶ τοῦ πρότεροι γεγονότες. Οἱ δὲ Ῥωμαῖοι προτερήσαντες τοῖν δυοῖν ποταμοῖν, κοντοὺς ἔπηξαν ὑποβρυχίους. καὶ αὖθις· Παρὸν ἡμῖν, ἢ ἄρδην ἀπολωλέναι, ἢ προτερήσασι δόξαν μέν τινα πρε-

Προτερήσαντες. Qui priores fuerunt. Qui præoccuparunt. *Cum autem Romani flumen utrumque præoccupaſſent, in iis contos defixerunt, eoſque ſub aqua latentes.* Et iterum: *Cum nobis vel funditus pereundum ſit, vel, ſi vice-*

1 Προτέλεια] Confer Heſych. v. Γάμων ἔθη; & Meurſ. in *Græc. Feriat.* v. Προτέλεια.

2 Προτέλεια. Λυκοῦργος ἐν τῷ π.] Ex Harpocratione.

3 Καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μ.] Hæc ſunt verba Syneſii in *Dione*, pag. 53. unde locus hic ſupplendus eſt. Apud ipſum enim Syneſium ſic legitur: Καὶ ὅστις δὲ οὐ προτέλειον ἡγεῖται τὰς Μούσας, ἀλλὰ τὸ κράτος αὐτὸ τῆς σοφίας ἐν ταύταις εἶναι, καὶ οὐδ᾽ εἴ τι περιττὸν αἰνίττονταί ποτε καὶ παραδηλοῦσι, συνιέναι βούλεται· τὸ δὲ ἐσχειρόμενον αὐτῶν κάλλος ἠγάσθη, καὶ εἰς αὐτὸ κέχηνε, καὶ ὑπὸ τούτου κατέχεται. οὐδ᾽ οὗτος μέν τοι δεινὸν οὐδὲν εἴργασται, ἀλλὰ καὶ πολλά ἀγαθά γε γένοιτο αὐτῷ, μουσικῷ τι ἀνδρὶ καὶ χαρίεντι. Hinc patet, quomodo Suidas locum hunc compoſuerit.

4 Ἐν ταύταις ἐστί] Lege, ἐν ταύταις εἶναι. Nam ἀπὸ κοινοῦ repetendum eſt, ἡγεῖται.

5 Προτένθαι. οἱ πρὸ καιροῦ τῶν προσφ.] Ex Enarratore Comici ad *Nubes*, pag. 191.

6 Προυτένθευσαν. προελιχνεύσαντο. προέλ.] Et hæc leguntur apud Scholiaſtam Ariſtophanis loco laudato. Cæterum, locum Ariſtophanis, ad quem nota hæc referenda eſt, citat etiam Athenæus lib. iv. pag. 171. quem confer.

7 Προτένθης καὶ ὀψ.] Locum hunc Æliani longe auctiorem habes ſupra v. Ἐπίκουρος.

πλείας ἀπενέγκασθαι, βιοτεύειν δὲ ὅμως ἔτι κατ' ἐξουσίαν.

Πρότερον χελώνη παραδραμεῖται τὸν δασύποδα. ἐπὶ τῶν ἀδυνάτων. καὶ, Πρότερον αἷμα ὕσει.

Προτέρωσε. μακροτέρω.

Προτέταγμαι. γενικῇ.

Προτείνειν. δωρεῖσθαι, χαρίζεσθαι. [1] Προτείνειν αὐτῷ φ'. τάλαντα, παραχωρήσαντι τῆς Κύπρου, καὶ τὰ ἄλλα συνακολουθήσοντα λυσιτελῆ καὶ τίμια παρ' αὐτῷ συνεπιδεικνύειν, προσενεγκαμένῳ τὴν χρείαν ταύτην.

Πρὸ τῆς δίκης. προτιμότερον τῆς δίκης. Οἱ θεοσύλαι κολάζονται, τὸ κέρδος πρὸ τῆς δίκης τιθέμενοι.

Πρὸ τῆς νίκης τὸ ἐγκώμιον ᾄδεις. ἐπὶ τῶν τὰ πράγματα προλαμβανόντων.

Πρὸ τῆς πόλεως. ἔμπροσθεν τῆς πόλεως. Οἱ δὲ βάρβαροι παρετάξαντο οὐ πρὸ τῆς πόλεως, ἀλλὰ παρὰ τὴν πόλιν, ἐπὶ μίαν εὐθεῖαν, βλέποντες μὲν πρὸς ἀνατολὰς καὶ τὴν ἡμετέραν παρουσίαν ἔχοντες δὲ τὸ μὲν δεξιὸν κέρας παρὰ τὴν πόλιν, πρὸς αὐτῷ τῷ τείχει· τὸ δὲ λαιὸν ἀνῆκον πρὸς τὰς ἄρκτους.

Προτιάπτω. προσάπτω.

Προτιειλεῖν. συστρέφειν.

Προτίκτωρ. [2] εἶδος ἀξιώματος Ῥωμαϊκοῦ, [3] καὶ φυλάττει.

Προτιμᾶν. τὸ φροντίζειν. Δημοσθένης ἐν Φιλιππικοῖς. καὶ [4] Ἀριστοφάνης·

Οὐδὲν προτιμῶ σου. φορῶ γὰρ πριάμενος
Τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς.

Προτιμῶ. γενικῇ. Γράψας ἀναιδῶς, εἴ τινι προτιτίμηται δεσμοῦ. † Καὶ Ταραντῖνοι μὲν οὐδὲν ἐκείνου προτιμήσαντες. αἰτιατικῇ δέ· Θεοῦ τε καὶ ἀνθρώπων ἐξεταζομένων, προτιμήσεις τὰ τῶν ἀνθρώπων τοῦ Θεοῦ.

Προτιόσσομαι. [5] βλέπω. ἀπὸ τῶν ὄσσων ἡ μεταφορά.

Πρότμησις. ὀμφαλός. τὸ παρ' ἡμῖν ἦτρον. διὰ τὸ πρῶτον τέμνεσθαι ἐν τοῖς βρέφεσι.

Προτολμίζεσθαι. προέρχεσθαι.

Προτομαὶ βασιλικαί. εἰκόνες βασιλικαί. καὶ προτομαὶ λεόντων, καὶ ὁμοίως ἐπὶ τῶν ἄλλων ζώων. κυρίως δὲ ἐπὶ τῶν ἀλόγων ζώων ἡ προτομὴ λέγεται. Τοῖς δὲ τῶν πλοίων ἄκροις τετραπόδων προτομὰς ἀποτυπώσας, χαλκῷ περιέβαλε, διὰ τὸ τῶν ἐμβόλων χρειῶδες.

Προτομή. ἐπὶ ζώων ἀλόγων οὕτω λέγεται, ὡς ἐπὶ ἀνθρώπων, πρόσωπον. καὶ ἐπὶ κριοῦ μηχανικοῦ προτομὴ

rimus, temeritatis quidem nota ſubeunda ſit, at tamen arbitratu noſtro vivere nobis liceat.

Πρότερον χελώνη παραδρ. *Prius teſtudo leporem curſu præverterit.* Dicitur de rebus, quæ fieri nequeunt. Et, *Prius ſanguine pluet.*

Προτέρωσε. Longius. Ulterius.

Προτέταγμαι. Genitivo jungitur. Ante aliquem collocatus ſum.

Προτείνειν. Offerre. Donare. *Offerre ipſi* D. *talenta, ſi Cypro ceſſiſſet, aliaque emolumenta conſecutura & honores ipſi ob oculos ponere, ſi hac in re ei morem geſſiſſet.*

Πρὸ τῆς δίκης. Præ juſtitia. *Sacrilegi merito puniuntur, lucrum juſtitiæ anteponentes.*

Πρὸ τῆς νίκης τὸ ἐγκ. *Ante victoriam triumphum canis.* Dicitur in eos, qui in rebus gerendis tempus antevertunt.

Πρὸ τῆς πόλεως. Ante urbem. *Barbari vero aciem inſtruxerunt, non ante urbem, ſed juxta urbem, recta ſerie, ſpectantes ad orientem, & ad eam partem, unde nos venturos putabant; dextro eorum cornu juxta urbem, prope ipſum murum, porrecto: lævo vero Septentrionem verſus extenſo.*

Προτιάπτω. [Dorice, pro] προσάπτω. Adnecto. Attribuo.

Προτιειλεῖν. [Pro προσειλεῖν.] Convolvere. Contorquere.

Προτίκτωρ. Protector. Genus dignitatis apud Romanos.

Προτιμᾶν. Curare. Demoſthenes in *Philippicis.* Et Ariſtophanes: *Nihil te moror. Annulum enim hunc, quem geſto, drachma ab Eudamo emi.*

Προτιμῶ. Pluris æſtimo. Pluris facio. Antepono. Item, moror, curo. Genitivo jungitur. * * * * * * * * *Et Tarentini nihil eum morati ſunt.* Item accuſativo: *Cum Deus & homines inter ſe comparabuntur, res hominum Deo antepones?*

Προτιόσσομαι. Adſpicio. Prævideo. Ab ὄσσοι, oculi.

Πρότμησις. Significat idem, quod apud nos ἦτρον, i. e. umbilicus: quod is in infantibus primum ſecetur.

Προτολμίζεσθαι. Ante alios audere.

Προτομαὶ βασιλικαί. Imagines regiæ. Et προτομαὶ λεόντων, facies leonum: pariterque de reliquis animalibus hæc vox dicitur. Proprie vero προτομὴ de animalibus brutis dicitur. *Cum in extremis prorarum partibus animalium quadrupedum formas effinxiſſet, eas ære munivit, ut roſtrorum uſum præberent.*

Προτομή. Sic in brutis animalibus dicitur facies; ut in hominibus πρόσωπον. Item, in

1 Προτείνειν αὐτῷ φ'. τάλ.] Caſaubonus ad Fragm. Polyb. pag. 1539. locum hunc ſcriptoris Anonymi, quem Polybium eſſe putat, refert ad contentiones Ptolemæorum fratrum ſuper regno Cypri, de quibus Polybium egiſſe, apparet e Legationum Eclogis, CXV. CXVII. & CXXXII. Sed fallitur vir Magnus. Fragmentum enim hoc potius pertinet ad hiſtoriam de Archia, qui Cyprum Demetrio prodere conabatur; ut haud dubie colligitur ex iis, quæ Suidas refert ſupra v. Ἀρχίας, qui locus cum hoc conferendus eſt.

2 Προτίκτωρ] Vide Dufreſnium in Gloſſario Græco v. Προτίκτωρ, & in Gloſſario Latino v. *Protector.*

3 Καὶ φυλάττει] Hæc, ut ſupervacanea, & nihil ad rem facientia, delenda ſunt.

4 Ἀριστοφάνης] *Pluto,* pag. 88. (43. Ed. Baſ. *P.*)

5 Προτιόσσομαι] Homer. Il. X. v. 356.

λέγεται

λέγεται τὸ ἔμπροσθεν μέρος. Ἔστι δὲ τοῦ κριοῦ ἡ κατασκευὴ τοιάδε. [1] Δοκὸς ὑπερμεγέθης, ἱστῷ νηὸς παραπλησία, ἐστόμωται σιδήρῳ [2] παχεῖ, κατ' ἄκρον ἐς κριοῦ προτομὴν, ἀφ' οὗ καὶ καλεῖται, τετυπωμένῳ. καταιωρεῖται δὲ κάλοις μέσος ὥσπερ ἀπὸ πλάστιγγος ἑτέρας δοκοῦ, σταυροῖς ἑκατέρωθεν ἑδραίοις ἐστηριγμένης. ἀνωθούμενος δὲ ὑπὸ πλήθους ἀνδρῶν εἰς τὸ κατόπιν, τῶν αὐτῶν πάλιν ἀθρόως εἰς τοὔμπροσθεν ἐπιβρισάντων, τύπτει τὰ τείχη τῷ προσανέχοντι σιδήρῳ, καὶ οὐδεὶς οὕτω κρατερὸς πύργος, ἢ περίβολος πλατὺς, [3] ὃς ἂν τὰς πρώτας πληγὰς ἐνεγκεῖν καταισχύσειε. τῆς γὰρ ἐπιμονῆς κρατούσης, καθαιρεῖται τὰ τείχη.

Προτόνιον. ἱματίδιον, ὃ ἱέρεια ἀμφιέννυται. ἐπιτίθεται δὲ ἀπὸ τῆς ἱερείας τῷ σφάττοντι. Προτόνιον δὲ ἐκλήθη, ὅτι πρώτη Πανδώρα μετὰ τῶν ἀδελφῶν κατεσκεύασε τοῖς ἀνθρώποις τὴν ἐκ τῶν ἐρίων ἐσθῆτα.

Πρότονος. ὁ προτεταμένος κάλως.

Πρὸ τῶν ὅλων. πρότερος τῶν ὅλων.

Προτρέπω. [4] ἱκετικῶς παρακαλῶ. Προτρόπαιοι γὰρ, οἱ ἱκέται. Σοφοκλῆς·

> Τοσαῦτα σ', ὦ Ζεῦ, προτρέπω· καλῶ δ' ἅμα
> Πομπαῖον Ἑρμῆν.

Καὶ προτρέπομαί σε. αἰτιατικῇ.

Προτριτάτη. [5] τρίτη ἐπάνω ἡμέρα. Θουκυδίδης ἐν β'. τὴν τρίτην πρὸ τῆς ἐκφορᾶς.

Προτροπάδην. προθύμως. ἀμεταστρεπτί. ἢ εἰς τοὔμπροσθεν. [6] Ἀγαθίας· Παραδόντες δὲ τὰ νῶτα τοῖς πολεμίοις, ἔφευγον προτροπάδην, ἀλκῆς ἁπάσης ἐπιλελησμένοι.

Προτρυγαῖος.

Προοίμιον. πρόλογος.

Προὔγραφε. καὶ προὐγράφη, κατηγορήθη. Μάρκος τῶν εὖ γεγονότων, τὴν ἀξίωσιν Ἀγορανόμος, προὐγράφη. εἶτα μέν τοι λαθεῖν βουλόμενος, ξυρεῖται τὴν κεφαλὴν, καὶ τὸ γένειον, στολὴν Αἰγυπτίαν ἀναλαβών.

Προὐκινδύνευεν. ὑπεραπέθνησκεν. Ὁ δὲ προὐκινδύνευε τοῦ πλήθους, οὐ στρατηγικῶς, ἀλλὰ στρατιωτικῶς. ἀντὶ τοῦ, εὐτελῶς.

Προὔκειτο, καὶ Προὔθεντο. ἐπὶ τῶν τετελευτηκότων χρῶνται τῇ λέξει οἱ ῥήτορες, τῶν πρὸ τοῦ τεθάφθαι κειμένων ἐπὶ τῆς οἰκίας, παρόντων τῶν οἰκείων. Λυσίας ἐν τῷ πρὸς Γλαύκωνα· Καὶ μὲν δὴ οὐδὲ τοῦτο ἂν ἔχοι Γλαύκων εἰπεῖν, ἢ ἄλλος τις τῶν Δικαιογένους συγγενῶν, ὡς, ὅτε μὲν προὔκειτο, ὤκνουν καὶ ᾐσχύνοντο λόγους περὶ αὐτοῦ ποιεῖσθαι. ἐξενεχθέντος δὲ, ἢ περὶ τὴν

ariete, machina bellica, anterior pars vocatur προτομή. Aries autem hac ratione fabricatus eſt. Trabs eſt ingens, malo navis ſimilis, & in parte extrema craſſo ferro, quod arietis faciem refert, (unde etiam nomen accepit) munita. Medius autem ſuſpenditur ex trabe alia, velut ex trutina, firmis palis utrinque fulta; & a magno virorum numero retrorſum actus, & ab iiſdem rurſus magno impetu antrorſum impulſus, muros ferreo roſtro tundit: nec ulla eſt turris tam valida, nec mœnia adeo lata, quæ, etiamſi primos ictus ferre poſſint, continuata tamen quaſſatione labefactata tandem non concidant.

Προτόνιον. Sic appellabatur palliolum, ſive amiculum, quo ſacerdos indutus erat. Id autem a ſacerdote imponebatur illi, qui hoſtiam jugulabat. Vocatum autem fuit προτόνιον, quod prima Pandora cum ſororibus laneam veſtem hominibus confecerit.

Πρότονος. Funis protenſus. Rudens.

Πρὸ τῶν ὅλων. Ante univerſa. Prior univerſis.

Προτρέπω. Suppliciter oro. Προτρόπαιοι enim vocantur ſupplices. Sophocles: *Hæc a te, Jupiter, ſuppliciter peto. Invoco vero ſimul Mercurium, animarum Ducem.* Et προτρέπομαι, accuſativo jungitur. Adhortor.

Προτριτάτη. Tertio die ante. Thucydides lib. II.

Προτροπάδην. Feſtinanter. Cupide. Non converſa facie. Vel, in partem anteriorem. Agathias: *Cum autem terga hoſtibus dediſſent, effuſe fugerunt, fortitudinis omnis obliti.*

Προτρυγαῖος. Protrygæus. [Epithetum Bacchi, ut videtur.]

Προοίμιον. Procœmium. Prologus.

Προὔγραφε. Proſcribebat. Proſcripſit. Et προὐγράφη, proſcriptus eſt. *Marcus, vir nobili genere natus, & dignitate Ædilis, proſcriptus eſt: qui cum latere vellet, caput mentumque raſit, & veſtem Ægyptiam induit.*

Προὐκινδύνευεν. Pro aliquo vitæ periculum ſubibat. *Ille vero non Imperatoris, ſed militis gregarii more pro reliquis pericula adibat.*

Προὔκειτο, & προὔθεντο. Oratores his vocibus utuntur, quum de mortuis verba faciunt, qui, antequam ſepeliantur, domi [omnium conſpectui expoſiti] jacent, præſentibus amicis & propinquis. Lyſias in oratione adverſus Glauconem: *Et ne hoc quidem dicere poſſit Glaucon, vel aliquis alius Dicæogenis cognatorum, eos, cum defuncti*

1 Δοκὸς ὑπερμεγέθης, ἱστῷ νηὸς παραπλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Joſephi lib. III. cap. XV. pag. 843. ut Pearſonius etiam monuit. Confer etiam Noſtrum ſupra v. Κριός, ubi eadem leguntur.

2 Παχεῖ] Sic habent MSS. Pariſ. itemque Joſephus loco laudato. At priores Editt. minus recte τραχεῖ.

3 Ὃς ἂν τὰς πρώτας πληγὰς ἐνεγκεῖν καταισχ.] Nos in loco hoc vertendo, ſenſum, non quem verba præferunt, ſed quem res ipſa nobis requirere videbatur, expreſſimus. Lectio enim vulgata non ſatis commoda nobis videbatur.

4 Προτρέπω. ἱκετικῶς παρ.] Ex Scholiaſta Sophoclis ad *Ajacem* pag. 50. ut Portus monuit. Ibi autem rectius ſic legitur: Προτρέπω. καταδυσωπητικῶς λέγω. προστρόπαιοι γὰρ, οἱ ἱκέται. Confer Noſtrum ſupra v. Προστρόπαιος.

5 Προτριτάτη] Diſtingue & ſcribe, Πρότριτα. τῇ τρίτῃ, &c. Reſpexit enim Suidas ad locum illum Thucydidis. lib. II. cap. XXXIII. Πρότριτα σκηνὴν ποιήσαντες. Scholiaſta: Πρότριτα. πρὸ τρίτης ἡμέρας τῆς ἐκκομιδῆς. ἢ ἐπὶ ἡμέρας τρεῖς.

6 Ἀγαθίας] Lib. I. pag. 26. ubi de Herulis, quos Franci in fugam conjecerant, verba ſunt.

χρημάτων τινὰ μνείαν ἔχετε, ἢ τὰς θυγατέρας ἀξιοῦτε διαιτᾶσθαι.

Προὐμάχουν. γενικῇ.

Προὔνικος. δρομαῖος. γοργός. [1] Φασὶ δὲ περὶ Ξενοκράτους, εἴ ποτε μέλλοι ἐς ἄστυ ἀπιέναι, τοὺς [2] θορυβώδεις πάντας καὶ προυνίκους ὑποστέλλειν αὐτοῦ τῇ παρόδῳ.

Προὐνούστερος. ἀντὶ τοῦ, προνοητικώτερος.

Προπίνω. δοτικῇ. Προὔπινεν αὐτῷ· αὐτὸς δὲ πάλιν ἐκουφίζετο, καὶ τὸν Δάμαν ἐπῄνει. † Καὶ προὔπινεν αὐτῷ, καὶ μεστὸς ἦν ἐλπίδων ἐρωτικῶν.

Προὖπτον. φανερόν.

Προὐργιαίτερον. καὶ προὐργιαίτατον. ἀναγκαιότατον. προτιμότατον. Θέσθαι προὐργιαίτερον τοῦ πρὸς Ῥωμαίους πολέμου, τὴν ἐξ αὐτῶν παλαμήσασθαι σωτηρίαν. † Ὅπερ [illegible] φύσει ἀνθρώπων ἐν τοῖς τελευταίοις κινδύνοις, τὰ σφέτερα ποιούμενοι προὐργιαίτερα, ἀνεχώρησαν.

Προὐργιαίτατον. περὶ παντὸς ἄλλου ἔργου γινόμενον.

Προὐργιαίτερον. ἀναγκαιότερον. τὸ γὰρ πρὸ ἔργου αἱρετώτερον, ἐστὶ τὸ προὐργιαίτερον. ἐπεὶ τὸ προὔργου, ἐστὶν οἷον πρὸ ἔργου. Πολύβιος· [3] Οὐδὲν προὐργιαίτερον ποιούμενος κατὰ τὸν βίον τοῦ κυνηγετεῖν. λέγεται δὲ καὶ πρὸ ἔργου. Ἀρριανός· Μάλιστα δὲ φίλια τὰ κατὰ νώτου ἑαυτῷ καὶ τῇ στρατιᾷ καταλιπεῖν, πρὸ ἔργου ἐτίθετο ὁ στρατηγός. † Ὁ δὲ αὐτοκέλευστος ἐτόλμα ἰέναι, τῶν πρὸς αὐτοκράτορος ἐπηγγελμένων προὐργιαιτέραν τὴν ἀπὸ τῆς τύχης στενοχωρίαν πεποιημένος.

Προὔργου. πρὸ ἔργου. συμφέρον. πλέον. Ἰσοκράτης φησίν· Ἵνα προὔργου τι γένηται. ἀντὶ τοῦ, πλέον. Προὔργου νενόμικα, καὶ τούτων κἀκείνων τὴν ἀμετρίαν φυγών, ὅσα προσῆκε ταῖς παλαιαῖς ἱστορίαις, ταῦτα προσαρμόσαι.

Προυσίας [4] ὁ βασιλεύς, εἰδεχθὴς ὢν κατὰ τὴν ἔμφασιν, καίπερ ἐκ συλλογισμοῦ βελτίων ὑπάρχων, ἥμισυς ἀνὴρ κατὰ τὴν ἐπιφάνειαν, καὶ πρὸς τὰς πολεμικὰς χρείας ἀγεννὴς καὶ γυναικώδης. οὐ γὰρ μόνον δειλὸς ἦν, ἀλλὰ καὶ πρὸς τὰς κακοπαθείας ἀλλότριος, καὶ συλλήβδην, ἐκτεθηλυμμένος καὶ τῇ ψυχῇ καὶ τῷ σώματι παρ' ὅλον τὸν βίον· ὅπερ ἥκιστα βούλονται περὶ τοὺς βασιλεῖς ὑπάρχειν, ἅπαντες μὲν, μάλιστα δὲ τὸ τῶν Βιθυνῶν γένος. πολλὴ δέ τις ἀσέλγεια καὶ περὶ τὰς σωματικὰς ἐπιθυμίας αὐτῷ συνεξηκολούθει. παιδείας δὲ, καὶ φιλοσοφίας, καὶ τῶν ἐν τούτοις θεωρημάτων ἄπειρος εἰς τέλος ἦν, καὶ τοῦ καλοῦ, ὅτι ποτέ ἐστιν, οὐδ' ἔννοιαν εἶχε· Σαρδαναπάλου δὲ βάρβαρον βίον ἔζη, καὶ μεθ' ἡμέραν, καὶ νύκτωρ. καὶ γὰρ οὖν ἅμα τῷ βρα-

cadaver propoſitum eſſet, noluiſſe & erubuiſſe verba de eo facere. Elato vero cadavere, vel de pecunia mentionem aliquam faciatis, vel filias arbitratu proprio vivere ſinatis.

Προὐμάχουν. Pro aliquo pugnabam. Genitivo jungitur.

Προὔνικος. Velox. Celer. [Laſcivus. Petulans. Impudicus.] *De Xenocrate fertur, ſi quando ad Urbem ire vellet, omnes tumultuoſos & impudicos illi eunti de via decedere ſolitos fuiſſe.*

Προὐνούστερος. Magis providus. Prudentior.

Προπίνω. Propino. Dativo jungitur. *Ei propinabat, plenuſque erat ſpei amatoriæ.*

Προὖπτον. Manifeſtum.

Προὐργιαίτερον. Potius. Antiquius. Et προὐργιαίτατον, potiſſimum, maxime neceſſarium. *Bello Romanis inferendo potiorem ducendam eſſe curam conſequendæ ſalutis.* † *Quod facere ſolent homines in extremis periculis conſtituti, ut ſuarum rerum potiorem habeant rationem,* [*quam alienarum*,] *diſceſſerunt.*

Προὐργιαίτατον. Quod omni re alia prius & antiquius ducitur.

Προὐργιαίτερον. Magis neceſſarium. Prius & antiquius. Dictum eſt autem προὐργιαίτερον, quaſi πρὸ ἔργου αἱρετώτερον. Nam προὔργου eſt idem quod πρὸ ἔργου. Polybius: *In vita nihil venatione antiquius duxit.* Dicitur vero etiam πρὸ ἔργου. Arrianus: *Dux autem nihil prius ſibi faciendum putabat, quam ut ſibi & exercitui omnia amica a tergo relinqueret.* † *Ille vero ſponte ſua ire audebat, neceſſitati fortunæ magis parendum eſſe exiſtimans, quam edicto Imperatoris.*

Προὔργου. Operæ pretium. Utile. Potius. Magis neceſſarium. Iſocrates inquit: *Ut aliquid fiat operæ pretium.* † *Operæ pretium me facturum putavi, ſi & horum & illorum nimiam prolixitatem vitarem, &, quæcunque antiquis hiſtoriis conveniunt, ea inſtituto meo accommodarem.*

Προυσίας. Pruſias Rex aſpectu erat deformis, tametſi judicio haudquaquam ſpernendus. Idem corporis ſpecie dimidiato homini ſimilis erat, & ad res bellicas plane ignavus & mollis. Neque enim ſolum timidus, ſed præterea laboris impatiens, atque omnino effæminatus in omni vita & animo & corpore erat. Quod genus vitii cum omnes mortales, tum maxime Bithyni in Regibus ferre non poſſunt. Idem ingenti libidine ad omnes corporis voluptates ardebat. Diſciplinarum autem liberalium ac philoſophiæ atque theorematum eo ſpectantium prorſus expers erat. Denique virtutis atque honeſti ne ſenſum quidem ullum habebat, ſed interdiu noctuque Sardanapali cujuſdam vitam

1 Φασὶ δὲ περὶ Ξενοκράτους, εἴ ποτε μέλλοι ἐς ἄστυ ἀπ.] Hæc ſunt verba Laertii in *Xenocrate*, lib. IV. Segm. VI. ubi in quibuſdam exemplaribus pro προυνίκους hodie legitur πορνικούς. Sed lectionem Suidæ defendit Salmaſius ad Ælii Spartiani *Hadrianum*, pag. 146. Edit. Hack. quem vide. Confer etiam Etymologum v. Προὔνικος. Cæterum in optimo MS. A pro προὔνικος ſcriptum eſt προύνεικος, per diphthongum ει in ſyllaba penultima.

2 Θορυβώδεις] Sic habet MS. A. & Laertius loco laudato. At MSS. B. & C. & priores Editt. minus recte, θορύβους.

3 Οὐδὲν προὐργιαίτερον ποιούμ.] Fragmentum hoc Polybii auctius legitur ſupra v. Διάληψις.

4 Προυσίας ὁ βασιλεύς, εἰδεχθὴς ὢν κατὰ τὴν ἔμφ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii, quæ leguntur in Excerptis a Valeſio editis, pag. 173. unde ea Suidas deſcripſit.

χείας

χείας ἐλπίδος τὸ τῶν βασιλευομένων πλῆθος λαβέσθαι, ἀμετάκλητον ὁρμὴν ἔσχεν εἰς τὸ μὴ μόνον ἀλλότρια φρονεῖν τοῦ βασιλέως, ἀλλὰ καὶ τιμωρίαν βούλεσθαι παρ' αὐτοῦ λαμβάνειν.

Προυσίας· βασιλεύς. οὗτος μετὰ τὸ νικῆσαι τὸν Ἄτταλον, καὶ παρελθεῖν πρὸς τὸ Πέργαμον, παρασκευασάμενος θυσίαν πολυτελῆ, προσήγαγε πρὸς τὸ τέμενος τοῦ Ἀσκληπιοῦ, καὶ βουθυτήσας, καὶ καλλιερήσας, τότε μὲν ἐπανῆλθεν εἰς τὴν παρεμβολήν. κατὰ δὲ τὴν ἐπιοῦσαν ἐπιστήσας τὴν δύναμιν ἐπὶ τὴν Νικηφόριον, τούς τε νεὼς ἅπαντας διέφθειρε, καὶ τὰ τεμένη τῶν θεῶν ἐσύλησε, καὶ τοὺς ἀνδριάντας, καὶ τὰ λίθινα τῶν ἀγαλμάτων. τὸ δὲ τελευταῖον, καὶ τὸ τοῦ Ἀσκληπιοῦ βαστάσας ἄγαλμα, περιττῶς ὑπὸ Φιλομάχου κατεσκευασμένον, ἀπήνεγκεν ὡς αὑτόν, ᾧ τῇ προτέρᾳ ἡμέρᾳ ἐβουθύτει καὶ κατέσπενδεν, καὶ κατηύχετο, δεόμενος, ὅπερ εἰκός, ἵλεων αὐτῷ γενέσθαι καὶ εὐμενῆ κατὰ πάντα τρόπον. αἱ δὲ τοιαῦται διαθέσεις μανικαί. τὸ [2] γὰρ ἅμα μὲν θύειν, καὶ ἐξιλάσκεσθαι τὸ θεῖον, προσκυνοῦντα καὶ λιπαροῦντα τοὺς βωμοὺς ἐξάλλως, ὅπερ εἴωθε Προυσίας ποιεῖν, γονυπετῶν καὶ γυναικιζόμενος· ἅμα δὲ ταῦτα καὶ λυμαίνεσθαι, καὶ διὰ τῆς τούτων καταφορᾶς τὴν εἰς τὸ θεῖον ὕβριν διατίθεσθαι, πῶς οὐκ ἂν εἴποι τις θυμοῦ λυττῶντος ἔργα, καὶ ψυχῆς ἐξεστηκυίας τῶν λογισμῶν.

Προύτυψαι.[3] προήρξαντο.

Προύχειν. προέχειν. Τί λέγω, ἢ τί πρέπει ῥέζειν, φράζε μοι. τέχνα γὰρ τέχνας ἑτέρας προύχει.

Προύχοντο. προέβαλον. οὕτω καὶ [4] Θουκυδίδης ἐχρήσατο ἐν πρώτῃ ἱστοριῶν, λέγων· Εἰ τὸ Μεγαρέων ψήφισμα μὴ καθέλοιεν, ὅπερ μάλιστα προύχοντο. ἀντὶ τοῦ, προβάλλονται, προτείνουσι.

Πρόφερε. ὀνείδιζε. ὑπομίμνησκε. [5] Ὅμηρος·

Μή μοι δῶρ' ἐρατὰ πρόφερε χρυσῆς Ἀφροδίτης.

καὶ Αἰλιανός· Καὶ τὸ ἐλλειφθὲν κατὰ τῆς παρθένου προφέρει αὐτοῖς. καὶ Ἡσίοδος·

Ἠώς, ἥ προφέρει μὲν ὁδοῦ, προφέρει δὲ καὶ ἔργου.

ἀντὶ τοῦ, εἰς τὸ πρόσω ἄγει.

Προφερέστατον. [6] βέλτιον.

Προφερεῖς.[7] οἱ νέοι μὲν ὄντες, πρεσβύτεροι δὲ φαινόμενοι. Αἰσχίνης ἐν τῷ κατὰ Τιμάρχου.

Προφητεία.[8] ἡ μὲν ἐστι πνευματική· ἡ δὲ διαβολική. λέγονται γὰρ παρ' ἐκείνοις ὁμωνύμως αἱ προφητεῖαι. ἡ δὲ μέση τούτων, φυσική τις, ἢ τεχνική. ἡ δὲ,

agebat. Quamobrem ſimul ac vel minima ſpes affulſit multitudini Bithynorum, omnes impetu effuſo non ad defectionem modo, ſed ad pœnas etiam de Rege ſumendas ferri cœpere.

Προυσίας. Pruſias Rex. Hic victo Attalo Pergamum ingreſſus cum ſumptuoſo ſacrificii apparatu, Æſculapii templum adiit: mactatiſque victimis, cum perlitaſſet, tum quidem in caſtra reverſus eſt. Poſtridie vero copiis ad Nicephorium adductis, templa omnia vaſtare, delubra ac ſtatuas Deorum immortalium & imagines ſpoliare & diripere cæpit. Poſtremo & ipſum Æſculapii ſimulacrum, inſigni artificio a Philomacho fabricatum, abſtulit, cui pridie libaverat, hoſtiaſque & vota obtulerat, propitium ac benignum, ut mos eſt, ipſius numen ſibi apprecatus. Hujuſmodi autem hominum mores merito furioſos dixeris. Etenim ſimul victimas cædere, Deoſque propitios orare, omneſque aras ac lapides exquiſito quodam genere adorare, & venerari flexis genibus, & muliebri ſuperſtitione, quod Pruſias facere ſolebat; atque interim eadem fana labefactare, eorumque everſione contumeliam Diis facere, quis neget, animi id eſſe rabie perciti, hominiſque de ſtatu mentis deturbati?

Προύτυψαι. Priores cœperunt.

Προύχειν. Contractum ex προέχειν. Eminere. Excellere. Præſtare. *Quid dicere, vel quid facere oporteat, dic mihi. Ars enim arti præſtat.*

Προύχοντο. Prætendebant. Protendebant. Sic & Thucydides lib. 1. Hiſtoriarum verbo hoc uſus eſt, dicens: *Niſi Megarenſium decretum ſuſtulerint, quod potiſſimum prætendunt.*

Πρόφερε. Objice. Exprobra. Commemora. Homerus: *Ne mihi exprobra amabilia dona aureæ Veneris.* Et Ælianus: *Et facinus in virginem commiſſum illis objicit.* Et Heſiodus: *Aurora, quæ & iter promovet & opus.* Hanc enim ſignificationem hic habet τὸ προφέρει.

Προφερέστατον. Optimum.

Προφερεῖς. Qui juvenes quidem ſunt, ſed ſeniores videntur. Æſchines in oratione contra Timarchum.

Προφητεία. Prophetia, ſive, Divinatio. Harum alia eſt ſpiritualis: alia Diabolica: (Nam & prædictiones Diabolorum προφητεῖαι di-

1 Πρυσίας βασιλεύς. οὗτος μετὰ τὸ νικῆσαι τὸν Ἄττ.] Et hæc ſunt verba Polybii, quæ leguntur in iiſdem Excerptis, pag. 169.

2 Τὸ γὰρ ἅμα μὲν θύειν, καὶ ἐξιλ.] Confer Noſtrum ſupra v. Ἔξαλλος.

3 Προύτυψαν] Homerus Il. N. v. 136.

4 Θουκυδίδης] Lib. 1. cap. CXL.

5 Ὅμηρος] Il. Γ. v. 64.

6 Βέλτιον] Imo, βέλτιστον.

7 Προφερεῖς. οἱ νέοι μὲν ὄντ.] Ex Harpocratione.

8 Προφητεία. ἡ μὲν ἐστι πνευματική· ἡ δὲ Διαβ.] His ſimilia prorſus habet Cedrenus, pag. 35, 36. cujus verba adducere operæ pretium fore puto. Sic igitur ille: Ἄξιον δὲ εἰδέναι τὰς διαφορὰς τῆς προφητείας. ἡ μὲν γάρ ἐστι πνευματική, καὶ ἀληθὴς πάντῃ· ὡς ἡ τοῦ Θεοῦ, καὶ τῶν Ἁγίων ἐν καιρῷ τῷ ἰδίῳ τὸ πέρας τῶν προφητευομένων ἐπιφέρουσα. ἄλλη δὲ δαιμονική, ἐν τοῖς τῶν δαιμόνων θεραπευταῖς ἐνεργουμένη. πολύτροπος δὲ αὕτη, οἷα ἡ τῶν ἀλευρομαντῶν καὶ κριθομαντῶν λεγομένη· οἷα ἡ Πυθία καὶ ἡ διὰ Δωδωναίας λαλοῦσα δρυός. ἡ διὰ τῶν σπλάγχνων μαντεία, καὶ ἡ δι' ὀρνέων πτήσεως, καὶ ἡ διὰ κλαγγῶν καὶ πταρμῶν συμβολική· οἷα ἡ διὰ βροντῆς, μυῶν, γαλῆς, τριγμοῦ ξύλων, ὤτων ἤχων, παλμῶν σώματος, συμβολικὴ καὶ οἰωνιστικὴ λεγομένη· ἧς τὸ μέν ἐστιν ὀρνεοσκοπικόν, τὸ δὲ παλμωδικόν, τὸ δὲ οἰωνοσκοπικόν, τὸ δὲ χειροσκοπικόν, τὸ δὲ ἐνόδιον, ἢ κληδονιστικόν. οὗτοι δὲ πάντες δαιμονιώδεις οἱ τρόποι τῆς προφητείας, καὶ στοχαστικοί, οἱ κατὰ συμβεβηκὸς ἀληθεύοντες ἔν τισιν, ἐν ταῖς πλείοσιν ἁμαρτάνουσιν. ἄλλη δὲ προφητεία φυσική, ὡς ἡ διὰ τῶν ἀλόγων. χελιδόνες γάρ, καὶ μύρμηκες, καὶ γέρανοι, χειμῶνος ἐπιόντος φυσικῶς ἐπαισθάνονται. ἄλλη δὲ τεχνική, ὡς ἡ παρ' ἰατροῖς καὶ κυβερνήταις ὁρωμένη, ἥτις στοχασμὸς μᾶλλον ἢ προφητεία μετονόμασται. καὶ παρὰ τούτοις ἡ δημώδης τε καὶ κοινή· ὡς ὅταν εἴπῃ τις, ὅτι μετὰ τρεῖς ἡμέρας ἔσται χειμών, &c. Habes hic eandem diviſionem prophetiarum, ſive divinationum, & idem argumentum eodem prorſus modo tractatum; adeo ut Cedrenus ex eodem auctore, ex quo & Noſter, ſua depromſiſſe videatur. Confer etiam Suidam ſupra v. Οἰωνιστική.

κοινὴ καὶ δημώδης. τῆς μὲν οὖν πνευματικῆς προηγουμένως μὲν τοῖς ἁγίοις μέτεστι· δι' οἰκονομίαν δὲ, καὶ τοῖς μὴ τοιούτοις, ὡς τῷ Φαραὼ, καὶ τῷ Βαλαὰμ, καὶ τῷ Καϊάφᾳ. τῆς δὲ διαβολικῆς, τοῖς τούτων μόνον θεραπευταῖς. αὐτοῦ γὰρ οἱ ἀλευρομάντεις, καὶ κριθομάντεις, καὶ ἡ διὰ δρυὸς Πυθία, καὶ ἡ Δωδώνης ἱέρεια, καὶ ἡ διὰ σπλάγχνων, καὶ πτήσεων, καὶ κλαγγῶν ὀρνέων, συμβόλων τε, καὶ πταρμῶν, καὶ κληδόνων, καὶ βροντῶν, μυῶν τε καὶ γαλῆς, καὶ τρισμῶν ξύλων, καὶ ὤτων ἤχων, καὶ παλμῶν σώματος, καὶ δι' ὀνομάτων, νεκρῶν τε, καὶ ἄστρων, καὶ ὑδάτων, καὶ ἄλλων μυρίων. ἡ γὰρ δι' ὀνείρων καὶ παρ' ἡμῖν μὲν, διὰ χαλδαϊκῆς καὶ αὕτη. ἡ δὲ πρόγνωσις αὐτοῖς οὐ δι' ἀρετῆς, ὡς ἡμῖν, ἀλλὰ διά τινος κακοτεχνίας. καὶ ὁ μὲν Θεὸς προλέγων, καὶ τὴν λύσιν ὑποτίθεται, καὶ τὸ πέρας μετὰ πάσης ἀκριβείας γίνεται· ἐκεῖνοι δὲ κατὰ συμβεβηκὸς ἔν τισιν ἀληθεύουσιν, ἐν τοῖς πλείστοις διαμαρτάνοντες. Φυσικὴ δὲ, ἡ τῶν ἀλόγων. χελιδόνες γὰρ καὶ γέρανοι καὶ μύρμηκες ἐπιόντος χειμῶνος αἰσθάνονται· ἐχῖνοί τε, καὶ ἀλκυόνες, φύσει τοῦτο κτησάμενοι. ἡ δὲ τεχνικὴ προφητεία παρὰ ἰατροῖς, καὶ συμβούλοις, καὶ κυβερνήταις. οἱ μὲν γὰρ ἀρρωστίας καὶ τὰς λύσεις τούτων προλέγουσιν· οἱ δὲ, πνευμάτων μεταβολάς· οἱ δὲ, τοῦ μέλλοντος συνέσει καταστοχάζονται. ἡ δὲ κοινὴ καὶ δημώδης τοῦ μέλλοντος γνῶσις· οἷον, ὅτι μετὰ μῆνας τρεῖς ὁ χειμὼν γίνεται. πάντες γὰρ ἔχουσι τὰς ἐκ περιόδων προῤῥήσεις. οὐδὲν οὖν μέγα καὶ δαίμονας πρόγνωσιν τοῦ μέλλοντος ἔχειν, ὅπου γε καὶ μύρμηκες ἔχουσι, καὶ δεινοὶ ἄνθρωποι τοῦ μέλλοντος [1] καταστοχάσαι εἰσίν· ([2] ἀλλ' οὐχ ὡς πάντως ἢ πάντα εἰδέναι) ἐπεὶ καὶ ὁ Διάβολος προεφήτευσε τοῦ γνώσκειν καλὸν καὶ πονηρὸν, καὶ ἐγένετο. καὶ ὁ Βαλαὰμ προεῖπεν, ὅτι πόρνας στῆσον, καὶ δι' αὐτὰς προδοθήσεται ὁ Ἰσραήλ· καὶ ἐγένετο οὕτως. ὅπερ στοχασμός ἐστι μᾶλλον, ἢ πρόῤῥησις. οὐδὲν γὰρ παράδοξον αἱ τοιαῦται προφητεῖαι ἔχουσι. προφητείας δὲ ἴδιον, τὸ τὴν γλῶτταν παρέχειν ὑπουργὸν τῇ τοῦ πνεύματος χάριτι.

cuntur) alia, naturalis, vel artificioſa, quæ inter has eſt media: alia denique communis & popularis. Ac ſpiritualis quidem præcipue eſt Sanctorum: ſapientiſſimo autem Dei conſilio ejus participes quoque interdum ſunt illi, qui tales non ſunt, ut Pharao, Balaam, & Caiaphas. Diabolica ad ſolos Diabolorum cultores pertinet. Ejus generis ſunt, qui ex inſpectione farinæ & hordei divinant, & Pythia ex quercu oracula captans, & Dodonæa ſacrificula, & aruſpices, & auſpices, & augures, & obſervatores ſignorum, & ſternutationum, & ominum, & fulminum, & murium, & muſtelarum, & ligni crepitantis, & tinnitus aurium, & palpitationum corporis, & nominum: itemque, qui umbras mortuorum evocant, & ex aſtris, aquis, & aliis infinitis futura prædicunt. Nam divinatio ex ſomniis & apud nos quidem in uſu eſt, ſed per afflatum divinum fit. Scientia autem rerum futurarum non virtute [divina] illis contingit, ut nobis; ſed mala quadam arte. Ac Deus quidem prædicens aliquid, & explicationem adjungit, & ea, quæ prædicta ſunt, accurate ad exitum perducit. Illi vero caſu quodam in nonnullis verum aſſequuntur, cum in plurimis a ſcopo aberrent. Divinatio vero naturalis eſt animalium brutorum. Hirundines enim & grues & formicæ imminentem tempeſtatem præſentiunt: itemque echini & alcyones, naturæ munere. Divinatio vero, quæ arte conſtat, eſt medicorum, conſiliariorum, & gubernatorum. Nam illi morbos, eorumque curationes; hi ventorum mutationes prædicunt. At conſiliarii prudenti quadam ratione futura conjiciunt. Communis autem & popularis cognitio futurorum eſt, veluti, poſt tres menſes hyemem fore. Omnes enim prædicere poſſunt ea, quæ certo & ſtatuto tempore in orbem redeunt. Nihil igitur eximii eſt, ſi Dæmones futura præſciant, cum & formicæ ea præſentiant, & homines ſagaces eadem conjecturis aſſequi poſſint: quamvis non ita, ut omnia & ſingula ſciant. Nam & Diabolus prædixit, hominem cogniturum eſſe bonum & malum: quod ita evenit. Et Balaam prædixit, *Meretrices proſtitue, & per eas prodetur Iſrael*: quod exitus comprobavit. Sed hæc conjectura potius eſt, quam prædictio. Nihil enim admirabile & ſupra captum vulgi poſitum hujuſmodi prophetiæ habent. At [veræ] prophetiæ proprium eſt, linguam præbere miniſtram gratiæ Spiritus.

Προφθάνω. αἰτιατικῇ.

Προφθάνω. Præverto. Anteverto. Accuſativo jungitur.

Προφορουμένω.[3] δεῦρο κἀκεῖσε πορευόμενοι εἰς τἀναντία. προφορεῖσθαι γὰρ λέγεται, [4] τὸ παραφέρειν δεῦρο κἀκεῖσε τὸν στήμονα τοὺς διαζομένους. Ἀριστοφάνης Ὄρνισι.

Προφορουμένω. Ultro citroque curſitantes. Προφορεῖσθαι enim [proprie] dicitur, ſtamen ducere & reducere. Ariſtophanes *Avibus.*

Πρόφρων. πρόθυμος. Φρόνιμος.

Πρόφρων. Promptus. Prudens.

1 Καταστοχάσαι] Sic habet MS. A. At MSS. B. & C. & priores Edit. καταστοχασαί: quod minus placet. Τὸ καταστοχάσαι enim pendet a voce præcedenti δεινοί: & δεινοὶ καταστοχάσαι eodem modo dictum eſt, quo δεινὸς λέγειν, δεινὸς φαγεῖν, & ſexcenta alia hujus generis.

2 Ἀλλ' οὐχ ὡς πάντως ἢ πάντα εἰδέναι. ἐπεὶ καὶ ὁ Διάβολος πρ.] Locum hunc ex optimo MS. A. ſupplevi, qui in MSS. B. & C. & prioribus Editt. mutile ſic legitur: Ἀλλ' οὐχ ὡς ὁ Διάβολος προεφήτευσεν, &c.

3 Προφορουμένω. δεῦρο κἀκεῖσε πορ.] Ex Scholiaſta Ariſtophanis ad initium *Avium*.

4 Τὸ παραφέρειν δεῦρο κἀκεῖσε τὸν στήμ.] Interpretatio hæc obſcura eſt, ne dicam, inepta. Προφορεῖσθαι enim ſignificat idem, quod στῆσαι στήμονα, i. e. ſtamen jugo adnectere, vel, telam ſtamine intendere; quod quomodo ex verbis Suidæ elici poſſit, non video. Διάζεσθαι vero eſt, telam ordiri; ut ex veteribus Gloſſis docet Salmaſius ad Julii Capitolini *Pertinacem*; quem confer.

Προφυ-

Προφυλακὴ[1] τοῦ Κυρίου. εἰς τέσσαρας φυλακὰς διαιρεῖται ἡ νύξ. ἑκάστη δὲ ἔχει ὥρας τρεῖς.

Προχαριστήρια. ἡμέρα ἐν ᾗ οἱ ἐν τῇ ἀρχῇ πάντες, ἀρχομένων καρπῶν φύεσθαι, λήγοντος ἤδη τοῦ χειμῶνος, ἔθυον τῇ Ἀθηνᾷ. τῇ δὲ θυσίᾳ ὄνομα Προχαριστήρια. Λυκοῦργος ἐν τῷ περὶ τῆς ἱερωσύνης· Τὴν τοίνυν ἀρχαιοτάτην θυσίαν διὰ τὴν ἄνοδον τῆς Θεοῦ, ὀνομασθεῖσαν δὲ Προχαριστήρια, διὰ τὴν βλάστησιν τῶν καρπῶν τῶν φυομένων.

Προχειρίζω. πᾶσι γνώριμον ποιῶ.

Πρόχειρον. τὸ κατημαξευμένον. τὸ πᾶσι γνώριμον. αἰτιᾶται κατὰ τὸ πρόχειρον.

Πρόχειρος. ἀκρατής. Ὁ δὲ πρόχειρος ὢν τῇ γνώμῃ διὰ τὴν ἐμπειρίαν, οὐ μέλλειν ἔφη δεῖν, ἀλλ' ἀπαντᾶν καὶ ναυμαχεῖν τοῖς πολεμίοις. καὶ ὁ ἕτοιμος λέγεται πρόχειρος.

Πρόχειρος. ὁ ἁπλοῦς καὶ ἀφύλακτος. [2]Πολύβιος· Ἀλλ' ἔστιν αἴτιον τὸ μὴ πρόχειρον ὑπάρχειν τὸ παρ' Ἐπιχάρμῳ καλῶς εἰρημένον·

Νῆφε, καὶ μέμνησ' ἀπιστεῖν· ἄρθρα ταῦτα φρενῶν.

Προχειροτονία.[3] ἔοικεν Ἀθήνησι τοιοῦτόν τι γίνεσθαι. ὁπόταν τῆς βουλῆς βουλευσάσης εἰσφέρηται εἰς τὸν δῆμον ἡ γνώμη, πρότερον γίγνεται χειροτονία ἐν τῇ ἐκκλησίᾳ, πότερον δοκεῖ περὶ τῶν προβουλευθέντων σκέψασθαι τὸν δῆμον, ἢ ἀρκεῖ τὸ προβούλευμα.

Πρόχνυ. τὸ ἐπὶ γόνυ παντελῶς ὀκλάσαι. οἱονεὶ, πρὸς γόνυ· καὶ συγκοπῇ, πρόγνυ, καὶ πρόχνυ.

Προχοαί.[4] αἱ τῶν ποταμῶν ἐξοδευτικαὶ ἀφέσεις εἰς τὴν θάλασσαν. καὶ παντὸς ὕδατος ἐκροή.

Προχόῳ. τῇ ἐπιχύσει. καὶ ἀγγείῳ τινὶ, εἰς τοῦτο ἐπιτηδείῳ, κωθωνοειδεῖ. ἐν [5]Ἐπιγράμμασι· Πελάπῳ νευρίδα καὶ χρυσέην τήνδε θέτο προχόην.

Πρόχους. ξέστης, τὸ μέτρον. Καὶ ἐμβαλὼν ἐς πρόχουν ἀργυρέαν τὰ ὀστᾶ, ἐξέπεμψε τῷ παιδὶ τοῦ πατρὸς κειμήλιον ἔχειν.

Πρόχυσιν. παρὰ [6]Ἡροδότῳ τὸ ἀποσπεῖσαι.

Πρώι.[7] οὕτω μονοσυλλάβως. ἔτι ὄρθρου βαθέος. ἴσον τῷ, ἐν ὥρᾳ. τοῦ πρωῒ συναίρεσίς ἐστι τὸ πρώι. διὸ ὀξύνεται. τὸ δὲ πρῷν περισπᾶται. Οὐ πρῷν μὲν ἡμᾶς ὁ τραγῳδὸς ἤγειρε. Καλλίμαχος.

Πρώι. μονοσυλλάβως. σημαίνει δὲ τὸ πρὸ καιροῦ, καὶ τὸ ἕωθεν. Ἀριστοφάνης· Ἀνιστάμενος πρώι. μέλ-

Προφυλακὴ τοῦ Κυρίου. Cuſtodia Domino. Nox in quatuor vigilias dividitur: quarum ſingulæ ternas horas continent.

Προχαριστήρια. Prochariſteria. Dies, qua Magiſtratus omnes, frugibus incipientibus naſci, ſub hyemis finem, Minervæ ſacrificabant. Huic ſacrificio nomen erat Prochariſteria. Lycurgus in oratione *de Sacerdotio: Antiquiſſimum igitur ſacrificium propter Deæ reditum, Prochariſteria dictum, ob novellas fruges.*

Προχειρίζω. Manu profero. Omnibus notum facio.

Πρόχειρον. Promptum. Obvium. Tritum. Omnibus notum.

Πρόχειρος. Promptus. Præceps. Expeditus. *Ille vero cum prompto eſſet ingenio propter rerum peritiam, non eſſe cunctandum dixit, ſed hoſtibus obviam eundum, & cum iis navale prælium committendum.*

Πρόχειρος. Simplex, & incautus. [Et πρόχειρον, quod eſt in promptu.] Polybius: *Sed ratio eſt, quia præclarum illud Epicharmi dictum non habent in promptu: Sobrius eſto, & nemini credere memento: hi ſunt articuli prudentiæ.*

Προχειροτονία. Hæc Athenis tale quid fuiſſe videtur. Cum Senatus de re aliqua conſultaſſet, decretum ejus referebatur ad populum, qui in concione prius decernebat, utrum de Senatusconſulto deliberandum eſſet, an vero in eo acquieſcendum.

Πρόχνυ. In genua. Quaſi dicas πρὸς γόνυ: & per ſyncopen πρόγνυ, & [mutato γ in χ,] πρόχνυ.

Προχοαί. Fluviorum oſtia, per quæ in mare exeunt. Item omnis aquæ effluxus ſic vocatur.

Προχόῳ. Profuſione, vel affuſione. Item, vaſe quodam, ad uſum hunc apto, quod cothonis ſpeciem habet. Aquali. In Epigrammate: *Priapo pellem cervinam & aureum hunc dedicavit aqualem.*

Πρόχους. Sextarius. Menſura quædam. [Item, Urceus, vel Urna.] *Oſſa in urnam argenteam conjecta filio patris miſit, ut ea cimelii loco haberet.*

Πρόχυσιν. Apud Herodotum ſignificat libationem.

Πρώι. Sic [apud Atticos] per unam ſyllabam [hæc vox effertur.] Mane. Primo crepuſculo. Vel, mature. Eſt autem contractum ex πρωΐ. Unde acuto notatur. At πρῷν circumflectitur. *Tragœdus nos mane non excitavit.* Callimachus.

Πρώι. Per unam ſyllabam ſcribitur, ſignificatque, Ante tempus, Mature, Mane. Ari-

1 Προφυλακὴ τοῦ Κυρίου] *Exod.* XII. v. 42. Ἐκείνη ἡ νὺξ αὕτη προφυλακὴ τοῦ Κυρίου. Ad hunc locum Suidas reſpexit.

2 Πολύβιος] Lib. XVII. cap. XXX. Confer etiam Noſtrum ſupra v. Νῆφε.

3 Προχειροτονία. ἔοικεν Ἀθήν.] Ex Harpocratione.

4 Προχοαί, αἱ τῶν ποταμ.] Scholiaſta Apoll. Rhod. ad lib. I. v. II. Προχοῇσι. τῶν ποταμῶν οἱ συμβάλλοντες τόποι τῇ θαλάσσῃ, προχοαὶ λέγονται. ὡς Ὅμηρος·

Ὡς δ' ὅτ' ἐπὶ προχοῇσι, &c. ——

5 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. VIII. Epigr. ult. ut Portus monuit. Ibi autem locus hic ita diſtinguitur & legitur:

Τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα Πριήπῳ
Νεβρίδα καὶ χρυσέην τήνδ' ἔθετο προχόην.

6 Παρὰ Ἡροδότῳ] Lib. I. pag. 41. ut Portus monuit.

7 Πρώι] Sic habet antiquiſſimus MS. A. At in MSS. B. & C. itemque in prioribus Editt. minus recte legitur πρωῒ abſque ι. Dicit hic enim Suidas, πρώι per ſynæreſin dici pro πρωΐ: quod verum non eſt, ſi ſcribatur πρῶ, abſque ι. Ea enim apocope foret, non autem ſynæreſis. Solent autem Attici duas ſyllabas interdum in unam contrahere, dicentes, exempli gratia, νοῖδιον, pro νοΐδιον, βοῖδιον, pro βοΐδιον, & alia hujus generis. Non mirum igitur, ſi iidem & πρώι dicant pro πρωΐ.

λω γὰρ ἑστιᾷν γάμους.

[1]Ὃς ἂν μὴ πρῴ πάνυ τοῦ κνέφους

Ἥκῃ κεκονιμένος. —————

καὶ πρῴαν. [2]Ἀριστοφάνης· Σικύων πρῴαν. οἱ γὰρ πρώϊμοι σίκυοι, καλοὶ καὶ ἀβλαβεῖς. ὅτι δὲ καλοὶ οἱ πρώϊμοι σίκυοι, δηλοῖ καὶ ἡ παροιμία· Ἀρχομένων σικύων, καὶ ληγόντων κολοκυνθῶν.

Πρωθήβας. [3]Ἀππιανός· Ὁ δὲ φειδοῖ τῶν ἀνδρῶν τῶν ἐκ τοῦ πολέμου ἐληλυθότων, κατέλεγε πρωθήβας, οὐ πρὶν πολέμου πεπειραμένους, ἐς δύο τέλη.

Πρωθήβης. ἄρτι ἀκμάζων. νέος.

Πρωΐ. παρὰ τῇ θείᾳ Γραφῇ αἱ τῶν συμφορῶν μεταβολαί. [4]Δαβίδ· Ἐνεπλήσθημεν τὸ πρωῒ τοῦ ἐλέους σου, Κύριε. Πρωῒ δὲ ἐστὶ πᾶν τὸ διάστημα, τὸ μετὰ τὴν ἀλεκτοροφωνίαν. [5]ὅτε δὲ λέγει, Ἀναστὰς πρωῒ· ὡς ἂν μὴ ἐναντία δόξῃ λέγειν, ἀδήλου τῆς ἀναστάσεως καὶ ἀγνώστου οὔσης, στικτέον, ἀναστάς· καὶ οὕτως ἐπαγαγεῖν, Πρωῒ, πρώτῃ σαββάτων, ἐφάνη Μαρίᾳ.

Πρωῒ, πρωΐ. οὕτω Δαβὶδ τὸ ταχὺ καὶ ὀξὺ πρωῒ προσηγόρευσε. [6]Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρὸς πρωῒ, πρωΐ.

Πρωΐα. ἡ πρωϊνὴ κατάστασις.

Πρωϊαίτερον. θᾶττον. ἢ ἀντὶ τοῦ, πρὸ τοῦ ἀνατεῖλαι τὸν ἥλιον.

Πρωϊζόν. πρὸ ὀλίγου.

Πρώϊμος, πρωϊνὸν, καὶ πρωϊνῶς, καὶ πρώϊον.

Πρωκτός. ὁ κῶλος. παρὰ τὸ προωθεῖν τὰ τῆς γαστρός. καὶ παροιμία· Εἰς πρωκτὸν κυνὸς βλέπε. τοῦτο ἐπέλεγον τοῖς ὀφθαλμιῶσι. [7]Ἀριστοφάνης Ἀχαρνεῦσι·

Τοῖς ὀστίνοις φυσᾶτε τὸν πρωκτὸν κυνός.

Καὶ αὖθις [8]Ἀριστοφάνης·

Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
Οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων,
Οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.
Ὦ πότνι' Εἰλείθυια, μή με περιίδῃς
Διαρραγέντα, μηδὲ βεβαλανωμένον.

Ἀντὶ τοῦ, κατεχόμενον ὑπὸ τῆς κόπρου. ὁ δὲ Ἀντισθένης ἰατρὸς ἦν θηλυδρίας. περὶ Κλέωνός [9]φησιν Ἀριστοφάνης· Πρωκτὸν δ' εἶχε καμήλου. ὁ κῶλος, παρὰ τὸ προϊέναι.

Πρωκτὸς [10]λουτροῦ περιγίνῃ. παροιμία, ὅταν τις μὴ δύνηται κἂν ἀπονίψασθαι, ἀλλὰ ἡ κοιλία ἐπιφέρηται. ἐπὶ τῶν ἀνωφελῶν ἐν καὶ εἰκῇ πραττομένων ἐλέγετο. καὶ

ſtophanes: *Poſtquam mane me lavero. Convivium enim nuptiale præbiturus ſum.* † *Qui non mane, crepera adhuc luce, feſtino gradu venerit.* Et πρῴαν, præcocium. Ariſtophanes: *Cucumerum præcocium.* Cucumeres enim præcoces, ſive primi, ſunt boni & innoxii; quod vel proverbium hoc oſtendit: *Incipientibus cucumeribus, & deſinentibus cucurbitis.*

Πρωθήβας. Illos, qui primum pubeſcere cœperunt. Puberes. Appianus: *Ille vero ut parceret viris, qui tot bellis ſuperſtites eſſent, puberum tironum duas legiones conſcripſit.*

Πρωθήβης. Puber. Primum pubeſcens.

Πρωΐ. Mane. In ſacra Scriptura [ſic appellatur] calamitatum ceſſatio. David: *Mane repleti ſumus, Domine, miſericordia tua.* Πρωῒ vero eſt totum temporis intervallum, quod eſt poſt gallicinium. Cum vero [Euangeliſtâ] dicit, *Cum reſurrexiſſet mane:* ne contraria dicere videatur; quod reſurrectio illa ſit incerta & ignota; diſtinguendum eſt poſt ἀναστάς, & deinde ſubjungendum, *Mane primo die Sabbati apparuit Mariæ.*

Πρωῒ, πρωΐ. Mane, mane. Apud Davidem ponitur pro celeriter & cito. *Opem ipſi ferat Deus mane, mane.*

Πρωΐα. Matutinum tempus. Hora matutina.

Πρωϊαίτερον. Citius, maturius. Vel, ante Solis ortum.

Πρωϊζόν. Paulo ante.

Πρώϊμος, & πρωϊνὸν, & πρωϊνῶς, & πρώϊον. [De harum vocum ſignificatione vide Lexica vulgata.]

Πρωκτός. Podex. Culus. Sic dictus, quod excrementa ventris protrudat. Et proverbium: *In canis podicem inſpice.* Dicebatur in eos, qui oculorum morbo laborabant. Ariſtophanes *Acharnenſibus*: *Oſſeis tibiis inſlate podicem canis.* Et iterum Ariſtophanes: *Antiſthenem quis accerſat omni ſtudio adhibito. Hic enim vir propter gemitus novit, quid ſibi velit venter cacaturiens. O veneranda Lucina, fer mihi opem, qui pene diſrumpor, ventre occluſo.* Vel, ventre excrementis diſtento. Antiſthenes autem medicus erat mollis & effæminatus. Idem Ariſtophanes de Cleone dicit: *Podicem autem habebat cameli.* Πρωκτὸς autem dicitur podex: a προϊέναι, quod *exire* ſignificat.

Πρωκτὸς λουτροῦ περιγίνῃ. *Podex lavacrum vincis.* Proverbium, quod dicitur, cum quis ablui nequit, podice ſordes identidem emit-

1 Ὃς ἂν μὴ πρῴ π.] Hæc ſunt verba Ariſtophanis *Eccleſiaz.* pag. 732. (491. Ed. Baſ. *P.*) Cæterum, in prioribus Editt. fragmentum hoc Ariſtoph. prorſus mutilum legitur, quod ex MS. A. ſupplevi.

2 Ἀριστοφάνης] *Pace*, pag. 697. (472. Ed. Baſ. *P.*)

3 Ἀππιανός] In *Iber.* pag. 492. ubi de Fabio Maximo Æmiliano verba ſunt.

4 Δαβίδ] Pſalm. LXXXIX. v. 16.

5 Ὅτι δὲ λέγει Ἀναστὰς πρωΐ] Marc. XVI. v. 9.

6 Βοηθήσει αὐτῇ ὁ Θεὸς τὸ πρ.] Pſalm. XLV. v. 5.

7 Ἀριστοφάνης Ἀχαρνεῦσι] pag. 412. (295. Ed. Baſ. *P.*)

8 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 734. (493. Ed. Baſ. *P.*)

9 Φησὶν Ἀριστοφάνης] *Veſpis*, pag. 504. (348. Ed. Baſ. *P.*) ſed ubi legitur, πρωκτὸν δὲ καμήλου.

10 Πρωκτὸς λουτροῦ περιγ.] Ariſtophanes *Veſpis*. pag. 473. (332. Ed. Baſ. *P.*)

Πρωκτὸς λουτροῦ περιγενόμενος τῶν ἀρχῶν τῶν περιστέρων.

Scholiaſta ad eum locum: Πρωκτὸς λουτροῦ. παροιμιακὸν τοῦτο ἐπὶ τῶν ἐπὶ κακῷ τῷ ἑαυτῶν νικώντων. ἢ ἐπὶ τῶν ἀεὶ μολυνομένων καὶ βιαζομένων καθαίρεσθαι. ὁ γὰρ πρωκτὸς πλυνόμενος περιγίνεται τῆς καθάρσεως, καὶ ἔτι μολύνεται· καὶ μᾶλλον τῇ ῥύσει τῆς γαστρὸς εἴρηται δὲ ἀπὸ τῶν γαστέρα φερομένην ἐχόντων, καὶ ἐν τῷ ἀπολούεσθαι [illegible] τῇ φορᾷ. Et paulo poſt: Καλλίστρατος δέ φησι, παροιμία· Πρωκτὸς λουτροῦ περιγίνῃ. ἐπὶ τῶν βιαζομένων εἰς κακὸν ἑαυτῶν. ὡς εἴ τις βιάζοιτο μὴ [illegible].

Ἀρι-

[1] Ἀριστοφάνης· Δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενὸν ὑπὸ δεξιότητος τῆς ἐμῆς. χ' ὡ πρωκτὸς ὁ ὑμὸς τουτογὶ σοφίζεται.

Πρωκτοτηρεῖν. [2] τοὺς πρωκτοὺς τῶν πορνευόντων τηρεῖν. πείρηττο δὲ τοῖς τοιούτοις δημηγορεῖν.

Πρωλαίτης.

Πρῶνες. ὀρῶν ἐξοχαί. βουνοί. ἐν [3] Ἐπιγράμμασι·

——— Ὅς τε Οἴτην

Καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης.

Καὶ αὖθις·

——[4] Λάσιον παρὰ πρῶνα Χαρικλῆς

Ἄνθετο τόνδε τράγον.

Καὶ αὖθις·

——[5] Εὐδένδρους πρῶνας ἐβουνοβάτει.

Λέγεται δὲ καὶ πρεών, πρεόνος.

——— Αἱ [6] τόσον ὕδωρ

Εἴβουσαι σκολιοῦ τοῦδε κατὰ πρεόνος.

Πρῷρα. τὸ ἔμπροσθεν τῆς νεώς. καὶ πρᾶραθεν. καὶ πρωρᾶτας τῆς νηός, καὶ πρωρεύς.

Πρωταγόρας, [7] Ἀβδηρίτης, υἱὸς Ἀρτέμωνος, ἢ [8] καὶ Μαιανδρίου. τινὲς δὲ αὐτὸν καὶ Τήϊον ἔγραψαν. οὗτος πρότερον ἦν [9] Φορτοβαστάκτης. ἐντυχὼν δὲ Δημοκρίτῳ, ἠράσθη λόγων, καὶ φιλοσοφήσας, ἐπὶ ῥητορείαν ἐτράπη. καὶ ἐπεκλήθη πρῶτος οὗτος σοφιστής. [10] πρῶτος δὲ οὗτος τοὺς ἐριστικοὺς λόγους εὗρε, καὶ ἀγῶνα λόγων ἐποιήσατο, καὶ μισθὸν ἔπραξε τοὺς μαθητὰς μνᾶς ἑκατόν. διὸ καὶ ἐπεκλήθη Λόγος ἔμμισθος. διδάσκαλος δὲ γέγονε καὶ τοῦ ῥήτορος Ἰσοκράτους. διεῖλέ τε πρῶτος οὗτος πάντα λόγον εἰς δ'. Εὐχωλήν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν. [11] μετὰ δὲ τοῦτον ἕτεροι εἰς ἑπτὰ διεῖλον· Διήγησιν, ἐρώτησιν, ἀπόκρισιν, ἐντολήν, [12] εἰσαγγελίαν, εὐχωλήν, κλῆσιν. Ἀλκιδάμας δὲ τέσσαρας εἶναί φησιν ἰδέας λόγων· Φάσιν, ἀπόφασιν, ἐρώτησιν, προσαγόρευσιν. τοῦ δὲ Πρωταγόρου τὰ βιβλία ὑπὸ Ἀθηναίων ἐκαύθη, διότι λόγον ποτὲ εἶπεν οὕτως ἀρξάμενος· Περὶ Θεῶν οὐκ ἔχω εἰδέναι, οὔτε ὡς εἰσίν, οὔτε ὡς οὐκ εἰσί. καὶ πρεσβύτερός ἐστι Πλάτωνος τοῦ φιλοσόφου· διδάσκαλος δὲ Προδίκου τοῦ Κείου, καὶ ἄλλων πολλῶν.

tente. Dicebatur igitur hoc de rebus irritis & quæ fruſtra tentantur. Et Ariſtophanes: *Ego, per Jovem, ſolertia mea populum latum & anguſtum reddere poſſum. Meus hoc item podex dextre facere novit.*

Πρωκτοτηρεῖν. Impudicorum nates obſervare. Talibus enim concionari non licebat.

Πρωλαίτης. Prolætes.

Πρῶνες. Montium vertices. Colles. Rupes. In Epigrammate: *Qui & Oeten, & altum arboribus abundantis Pholoes promontorium calcas.* Et iterum: *Juxta collem arboribus denſis conſitum Charicles hircum hunc dedicavit.* Et iterum: *Colles arboribus conſitos perambulabat.* Dicitur vero etiam πρεών, πρεόνος. *Quæ tantum aquæ de curvo hoc colle funditis.*

Πρῷρα. Prora, ſive, anterior navis pars. Et πρᾶραθεν, ex prora. Et πρωρᾶτας, vel πρωρεύς, Gubernator proræ.

Πρωταγόρας. Protagoras, Abderites, filius Artemonis, vel etiam Mæandrii. Quidam vero etiam Tejum eum fuiſſe ſcripſerunt. Hic primum fuit bajulus: ſed cum Democritum audiviſſet, eruditionis amore captus, philoſophiæ operam dedit, & deinde ad ſtudium eloquentiæ animum adjecit; primuſque cognominatus eſt Sophiſta. Idem contentioſum genus dicendi primus invenit, & orationis certamen inſtituit, & centum minarum mercedem a diſcipulis exegit: quam ob cauſam & Orator mercenarius cognominatus eſt. Fuit & Iſocratis oratoris magiſter. Idem omnem orationem in quatuor partes primus diviſit: in precationem, interrogationem, reſponſionem, & præceptum. Poſt hunc vero alii in ſeptem partes eam diviſerunt: in narrationem, interrogationem, reſponſionem, præceptum, annuntiationem, precationem & vocationem. Alcidamas vero quatuor orationis partes eſſe dixit: Affirmationem, negationem, interrogationem, appellationem. Protagoræ vero libri ab Athenienſibus cremati ſunt, quod aliquando orationem ſic exorſus fuiſſet: *De Diis ſcire non poſſum, utrum ſint, an vero non ſint.* Platone philoſopho eſt antiquior; fuitque magiſter Prodici Ceji, & multorum aliorum.

Πρωταγωνιστεῖν. πρῶτον ἀγωνίζεσθαι.

Πρωταγωνιστεῖν. Primas partes agere.

1 Ἀριστοφάνης] *Equit.* pag. 330. (229. Ed. Baſ. *P.*) ubi locus hic ſic diſtinguitur & legitur:

Καὶ νὴ Δί', ὑπό γε δεξιότητος τῆς ἐμῆς
Δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
Χὠ πρωκτὸς οὑμὸς τουτοῒ σοφίζεται.

2 Πρωκτοτηρεῖν. τοὺς πρ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Equit.* pag. 341. (239. Ed. Baſ. *P.*)

Οὔκουν σε δῆτα ταῦτα δεινὸν ἐστι πρωκτοτηρεῖν.

Scholiaſta: Πρωκτοτηρεῖν. πρωκτὸν ἐπιτηρεῖν τῶν πορνευομένων.

3 Ἐν Ἐπιγράμμασι] Integrum Epigramma, cujus ſequens fragmentum pars eſt, ex codice MS. Anthologiæ ineditæ hic ſubjungam. Διονυσίῳ ἐπὶ ῥοπάλῳ ἀνατεθέντι Ἡρακλεῖ.

Ἡρακλέες, Τρηχῖνα πολύλιθον ὅς τε καὶ Οἴτην
Καὶ βαθὺν εὐδένδρου πρῶνα πατεῖς Φολόης·
Τοῦτό τοι ἀγροτέρης Διονύσιος αὐτὸς ἐλαίης
Χλωρὸν ἀπὸ δρεπάνου θῆκε ταμὼν ῥόπαλον.

Idem Epigramma & ante nos publici juris fecit Lucas Holſtenius ad Stephanum Byzantium, v. Τραχίς.

4 Λάσιον παρὰ πρῶνα Χαρ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. VI. cap. XXIV.

5 Εὐδένδρους πρῶνας ἐβ.] Verba hæc ſunt pars Epigrammatis in Metragyrtam quendam, quod integrum exſtat Anthol. lib. I. cap. XXXIII. pag. 70. ſed ubi ſic legitur:

Βησσήεντας ἀνὰ πρῶνας ἐβουνοβάτει.

6 Αἱ τόσον ὕδωρ εἴβ.] Verba hæc decerpta ſunt ex Epigrammate Crinagoræ, quod ex Anthologia inedita integrum dedimus ſupra v. Πίτυς. Confer etiam Noſtrum ſupra v. Πρεών.

7 Πρωταγόρας] De hoc vide plura apud Laertium & Philoſtratum.

8 Ἢ καὶ Μαιανδρίου] MSS. Pariſ. habent, ἢ καὶ Μαιανδρίδου, ἢ Νεανδρίδου. Sed patrem Protagoræ Mæandrium etiam vocat Laertius: at Philoſtratus, Mæandrum.

9 Φορτοβαστάκτης] Confer Noſtrum ſupra v. Κοτύλη, & quæ ibi notavimus: item infra v. Φορμοφόρος.

10 Πρῶτος δὲ οὗτος τοὺς ἐριστικοὺς λόγους εὗρε, καὶ ἀγῶνα λ.] Confer Laertium in *Protagora*, ex quo hæc, & quæ ſequuntur, αὐτολεξεὶ fere deſcripta ſunt.

11 Μετὰ δὲ τοῦτον ἕτεροι εἰς ἑπτὰ διεῖλον] Sic habet MS. A. At MSS. B. & C. & priores Editt. Μετὰ δὲ τοῦτον ἕτερος εἰς ζ'. διεῖλε· minus recte.

12 Εἰσαγγελίαν] Laertius habet, ἀπαγγελίαν.

Πρῶτα στοιχεῖα. ὁ ἀλφάβητος. [1] Καὶ ταῦτα μέν τοι κακὰ κακῶς. περὶ γραμμάτων φησὶν, ὅτι οὐδὲ αὐτὰ καλῶς διὰ δυσγένειαν.

Πρῶτα στοιχεῖα. Prima Elementa. Sive, Alphabetum. [Ariſtophanes: *Nihil ſcio præter literas;*] *eaſque malas male.* De literis dicit, ſe ne eas quidē bene ſcire, propter animi ignaviam.

Πρῶτα φύσει. αἱ ἀρχαί. ἔσχατα δὲ φύσει, τὰ πολὺ τῶν ἀρχῶν ἀφεστῶτα. ἔστι δὲ ταῦτα προβλήματα τοῖς μὲν ἐπιχειροῦσι χαλεπὰ δειχθῆναι· τοῖς δὲ ἀποκρινομένοις, ῥᾴδια. τὰ μὲν γὰρ πρῶτα τὸ χαλεπὸν ἔχει, ὅτι μὴ οἷόν τε αὐτὰ δι' ἄλλων δεικνύναι, τὰ δὲ τὰ μὲν δεικνύμενα δείκνυται διὰ πρώτων· τῶν δὲ πρώτων μὴ εἶναί τι πρότερον. γίνεται γὰρ ἡ τῶν ἀρχῶν γνῶσις, οὐ διὰ ἀποδείξεως, ἀλλὰ δι' ὁρισμοῦ. ὁρίσασθαι γὰρ δεῖ πρῶτον τὴν ἀρχὴν, τί ποτέ ἐστι. καὶ τοῦτο αὐτὴν ὑποθέμενον εἶναι, χρῆσθαι αὐτῇ εἰς τὴν δεῖξιν τῶν μετ' αὐτήν. διὰ τοῦτο δυσεπιχείρητοι αἱ ἀρχαὶ, καὶ οὐ ῥᾴδιαι δειχθῆναι. τὰ δὲ ἔσχατα, ὅτι διὰ πολλῶν μέσων δείκνυται. † Πρῶτον δὲ λέγεται σχῆμα ἐπὶ τῶν συλλογισμῶν, οὐχ ὡς αἴτιον, οὐδὲ ὡς γεννητικὸν ἐκείνων, ἀλλὰ τῇ τάξει, καὶ τελειότερον ὂν οὐ τῷ γεννᾷν ἐκεῖνα καὶ παράγειν, ἀλλὰ τῷ πλέον δύνασθαι, καὶ ταῖς ἀποδεικτικαῖς οἰκειοτέραις ἐφόδοις εἶναι.

Πρῶτα φύσει. Prima natura. Id eſt, prima principia. Ultima vero natura ſunt ea, quæ a principiis longe remota ſunt. Problemata autem hæc argumentantibus demonſtratu difficilia ſunt: reſpondentibus vero, facilia. Principia enim ideo difficultatem habent, quod per alia demonſtrari nequeunt. Quæ enim demonſtrantur, per principia demonſtrantur: ipſis vero principiis nihil eſt prius. Hinc principia non per demonſtrationem, ſed per definitionem cognoſcuntur. Primum enim definiri oportet principium, quid ſit: quod cum feceris, eo utendum eſt ad demonſtrationem eorum, quæ ipſo poſteriora ſunt. Quare principia argumentantibus difficultatem aliquam afferunt, nec facile demonſtrari poſſunt. Ultima vero per multa media demonſtrantur. † Prima Figura in Syllogiſmis dicitur, non ut eorum cauſa, nec genitrix; ſed ordine, & quod [cæteris figuris] ſit perfectior: non quod [reliquas Figuras] gignat & producat, ſed quod iis plus valeat, & argumentationibus demonſtrativis aptiſſima ſit.

Πρωτεσίλαος. ὄνομα κύριον. καὶ Πρωτεσίλεως.

Πρωτεσίλαος. Et [Attice,] Πρωτεσίλεως. Nomen proprium. Proteſilaus.

Πρωτείων.

Πρωτείων. Primarum partium. Loci principis.

Πρωτογένης, ζωγράφος, Ξάνθιος, ἐκ Λυκίας· ὁ κατὰ τὴν γραφικὴν διαβόητος ἐπιστήμην· ὁ τὸν [2] ἐν Ῥόδῳ Διονύσιον ἱστορήσας, τὸ ξένον καὶ θαυμαστὸν ἔργον. ὃ καὶ Δημήτριος ὁ Πολιορκητὴς μεγάλως ἐθαύμασεν, ὅτε τὴν Ῥόδον ἐπολιόρκησεν ὅλοις ἐν δυσὶν ἔτεσι, χιλίας ναῦς ἐπαγόμενος, καὶ στρατὸν ὁπλιτῶν μυριάδας ὑπὲρ τὰς ε΄. καὶ πεντακισχιλίους. Περὶ γραφικῆς, καὶ σχημάτων, βιβλία β΄.

Πρωτογένης. Protogenes, pictor, Xanthius, Lycius, arte pictoria clarus, qui hiſtoriam Bacchi Rhodii pinxit; inſigne plane & admirabile opus: quod & Demetrius Poliorcetes vehementer admiratus eſt, cum Rhodum per integrum biennium obſideret, adductis eo mille navibus, & plus quam LV. millibus armatorum. [Scripſit] de Arte pictoria, & Figuris, libros duos.

Πρωτοκλισία. ἡ πρώτη καθέδρα.

Πρωτοκλισία. Prima ſedes.

Πρωτόλεια. ἡ πρώτη λεία. τὰ περὶ τῶν [3] ληΐων ἐξαίρετα.

Πρωτόλεια. Prædæ vel ſpoliorum primitiæ.

Πρωτόλειον.[4] ἀπαρχή.

Πρωτόλειον. Primitiæ ſpoliorum.

Πρωτολογία. Πάσης κατηγορίας αὐτοῦ ἀποφαίνει πρωτολογίαν.

Πρωτολογία. Primæ dicendi partes. ***In tota illius accuſatione primas dicendi partes tenet.***

Πρῶτον [5] Ἀποστόλους· δεύτερον Προφήτας. ἐρώτησις. Πῶς τίθησι πρώτους Ἀποστόλους ὁ Παῦλος. πρώτους κατ' ἀναλογίαν τῶν ἀγώνων, καὶ τῆς παρὰ τοῦ Θεοῦ δόξας. ἐσχάτους δὲ, διὰ τὸ εἰς τὰ τέλη τῶν αἰώνων καταντῆσαι. ὥστε εἶναι αὐτοὺς καὶ πρώτους καὶ ἐσχάτους·

Πρῶτον Ἀποσ. *Primum Apoſtolos; deinde Prophetas.* Quæſtio. Quare Paulus primos ponit Apoſtolos? Primos dicit, habita ratione certaminum & gloriæ a Deo ipſis datæ. Ultimi vero ſunt, quod in fines ſeculorum inciderint. Sic igitur iidem & primi ſunt

1 Καὶ ταῦτα μέν τοι κακὰ κακ.] Ariſtophanes *Equit.* pag. 197. (200. Ed. Baſ. P.)

'Αλλ', ὦ 'γαθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
Πλὴν γραμμάτων, καὶ ταῦτα μέν τοι κακὰ κακῶς.

Vide ibi Scholiaſtam.

2 Τὸν ἐν Ῥόδῳ Διον.] MSS. Pariſ. habent, τὸ ἐν Ῥόδῳ Διονύσιον: i. e. *templum Bacchi, quod Rhodi erat.* Si autem articulus maſculinus, quem vulgatæ Edit. exhibent, retineatur, pro Διονύσιον ſcribendum erit Διόνυσον, i. e. Bacchum. Videndum vero eſt, annon potius legendum ſit Ἰάλυσον, ut cenſet Leopard. *Emend.* lib. XVI. cap. 2. Plutarchus enim in *Demetrio* auctor eſt, Protogenem Rhodi Jalyſum pinxiſſe, eamque picturam a Demetrio in ſummo pretio habitam fuiſſe. Verba ejus hæc ſunt: Ἔτυχε τοῖς Ῥοδίοις ὁ Καύνιος Πρωτογένης γράφων τὴν περὶ τὸν Ἰάλυσον διάθεσιν, καὶ τὸν πίνακα, μικρὸν ἀπολείποντα τοῦ τέλος ἔχειν, ἔν τινι τῶν προαστείων ἔλαβεν ὁ Δημήτριος. προψάντων δὲ κήρυκα τῶν Ῥοδίων, καὶ δεομένων φείσασθαι, καὶ μὴ διαφθεῖραι τὸ ἔργον, ἀπεκρίνατο, τὰς τοῦ πατρὸς εἰκόνας ἐμπρήσειν μᾶλλον, ἢ τέχνης πόνον τοσοῦτον. ἑπτὰ γὰρ ἔτεσι συντελέσαι λέγεται τὴν γραφὴν ὁ Πρωτογένης. Id eſt, interprete Leopardo: *Protogenes Caunius forte pingebat Rhodiis caſum Jalyſi, & minimum aberat, quin ſupremam manum operi impoſuerit. Cepit hanc imaginem in quodam ſuburbano Demetrius. Porro per caduceatorem agentibus Rhodiis, ut parceret operi, neque perderet illud, reſpondit Demetrius, ſe potius patris ſui imagines incendio conſumpturum, quam tantam artis induſtriam. Nam ſeptimo denique anno hoc opus abſolviſſe dicitur Protogenes.* Ex hoc igitur loco Plutarchi Leopardus, ut diximus, apud Suidam Ἰάλυσον pro Διόνυσον reſcribendum eſſe cenſet.

3 Ληΐων] Potius λειῶν: a recto ſingulari, λεία. Nam λήϊον, unde ληΐων, *ſegetem* ſignificat, non vero *prædam*.

4 Πρωτόλειον] Scribe, πρωτόλειον, per diphthongum ει in ſyllaba penultima.

5 Πρῶτον Ἀποστόλους· δεύτερον Προφ.] I. ad Corinth. XII. v. 28.

ἴσα

ἵνα καὶ ἐν τούτῳ τὸν διδάσκαλον μιμήσωνται, λέγοντα· Ἐγώ εἰμι ὁ πρῶτος, καὶ ὁ ἔσχατος.

Πρώτονος. πρῶτος νέος.

Πρωτόνεω. οἱ πρῶτον πλέοντες. ἢ πρῶτον εἴς τινα τόπον καταπεπλευκότες.

Πρωτόνεως, καὶ ἀρχένεως, καὶ ἄλλα πολλὰ ὁμοίως. καὶ πρεῖνεως, Θουκυδίδης ά.

Πρωτοπαγῆ.[1] πρώτως πεπηγότα.

Πρωτόπειρος. Ὁ δὲ νέος ὢν κομιδῇ, καὶ πρωτόπειρος τῶν κατὰ πόλεμον ἔργων, καὶ νεωστὶ γευόμενος τῆς ἐπὶ πλεῖον προαγωγῆς, φιλότιμος καὶ φιλόνεικος καὶ φιλόπρωτος ἦν.

Πρωτοπραξία. τὸ πρῶτον ἀπαιτούμενον. τὸ πρῶτον εἰσπραττόμενον.

Πρώτους. ἀκμάζοντας. νέους.

Πρώτῳ ποδί. [2]ὃ οἰωνιζόμενοι λέγειν εἰώθασι.

Πρωτότοκος. ὁ πρῶτος τεχθείς. Πρωτοτόκος δὲ, ἡ Θεοτόκος.

Προῖκα. δωρεάν. ἄνευ μισθοῦ. [3]καὶ τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ, ὅπου. Τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα. ἀντὶ τοῦ, ἄνευ κόπου.

Προικίας. ὄνομα κύριον.

Προίκιος. ἄνευ μισθοῦ.

Προίκιος ἀνθρώποισι κελευθήτησιν ἀοιδὸς.

τέττιξ φησὶν [4]ἐν Ἐπιγράμματι.

Προικόνησος[5].

Προικός. δόσεως. ἀντὶ τοῦ, δωρεᾶς. πᾶν γὰρ δῶρον οὕτω καλεῖ ὁ ποιητής. ἡ εὐθεῖα, προίξ.

Πρύλις. ὁ πεζὸς ὁπλίτης. ὡς δαμῶ, δαμήσω, δάμαλις· οὕτω πρέω, πρεύω, πρέυλις· κατὰ συγκοπὴν, πρύλις.

Πρύμναν ἐκρούοντο. [6]πρύμναν ἀνακρούεσθαι ἐστὶ, τὸ κατ' ὀλίγον ὑποχωρεῖν, μὴ στρέψαντας τὸ πλοῖον. ὁ γὰρ οὕτως ἀναχωρῶν, ἐπὶ τὴν πρύμναν κωπηλατεῖ. τοῦτο δὲ ποιοῦσιν, ἵνα δόξωσι μὴ φανερῶς φεύγειν, κατ' ὀλίγον ὑπαπιόντες, ἵνα μὴ τὰ νῶτα τοῖς πολεμίοις δόντες τιτρώσκωνται.

Πρύμνηθεν. κάτωθεν. ἐκ ῥιζῶν.

Πρυμνήσιον. τὸ ἀπόγειον σχοινίον.

Πρυμνήτης κάλως.

Πρυμνόν. τὸ ἔσχατον.

Πρυμνώρεια. τὸ κάτω μέρος τοῦ ὄρους.

ſunt & poſtremi: ut & in hoc magiſtrum imitentur, dicentem: *Ego ſum primus & poſtremus.*

Πρώτονος. Pro, πρῶτος νέος. Primus juvenis.

Πρωτόνεω. Primum navigantes. Vel, Qui primum in aliquem locum appulerunt.

Πρωτόνεως, & ἀρχένεως & multa alia ſimiliter [Attice dicuntur.] Et πρεῖνεως, vector, ſive, qui navi vehitur: apud Thucydidem l. 1.

Πρωτοπαγῆ. Primum compacta.

Πρωτόπειρος. Qui aliquid primum experitur. Tiro. *Ille vero cum eſſet admodum juvenis, & in bellis tiro, & ad altiorem dignitatis gradum nuper demum promotus eſſet; ambitioſus & contentioſus & principatus cupidus erat.*

Πρωτοπραξία. Quod primum exigitur. Prima exactio.

Πρώτους. Ætate florentes. Adoleſcentes. Juvenes.

Πρώτῳ ποδί. Primo pede. Hoc dicere ſolent illi, qui omina captant.

Πρωτότοκος. [Cum accentu in antepenultima.] Qui primus natus eſt. Primogenitus. At πρωτοτόκος, [cum accentu in penultima,] Quæ primum peperit: [ut Maria] Deipara.

Προῖκα. Gratis. Sine mercede. Item, adverbium loci, ſignificans, ubi. *Alia vero multa magiſtratibus gratis ſuppeditata eſſe.* Vel, προῖκα hic ſignificat, ἄνευ κόπου, i. e. abſque labore.

Προικίας. Prœcias. Nomen proprium.

Προίκιος. Gratuitus. *Gratuita viatoribus cantrix.* Cicada in Epigrammate inquit.

Προικόνησος. Prœconeſus [inſula.]

Προικός. Dotis. Item, doni. Poeta enim omne donum ſic vocat. Caſus rectus eſt προίξ.

Πρύλις. Miles, qui pedes pugnat. Pedes. Ut a δαμῶ, δαμήσω, fit δάμαλις: ſic etiam a πρέω, πρεύω, πρέυλις, & per ſyncopen, πρύλις.

Πρύμναν ἐκρούοντο. Πρύμναν ἀνακρούεσθαι ſignificat, paulatim recedere, non converſa navi. Qui enim ſic recedit, navem in partem poſticam remis repellit. Hoc autem facere ſolent, ne manifeſte fugere videantur; neve terga hoſtibus dantes, ab iis vulnerentur.

Πρύμνηθεν. Inferne. A radicibus. Radicitus.

Πρυμνήσιον. Nauticus funis, quo navis ad terram religatur. Rudens.

Πρυμνήτης κάλως. Idem.

Πρυμνόν. Ultimum. Extremum.

Πρυμνώρεια. Montis infima pars. Radices montis.

1 Πρωτοπαγῆ] Homerus Il. Ω. v. 267.
Καλὴν, πρωτοπαγῆ ————
Scholiaſta: Πρωτοπαγῆ. πρῶτον παγεῖσαν. ὅ ἐστι ἐξόχως. πρῶτον πεπηγυῖαν. ὅ ἐστι καινήν. Huc Suidas reſpexit.

2 Ὃ οἰωνιζόμενοι] Sic MSS. Pariſ. At priores Editt. male ὧ οἰωνιζόμενοι.

3 Καὶ τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ, ὅπου] Quid hoc? Nihil ſane tale quid de voce προῖκα apud cæteros Grammaticos legas. Quare Lectorem monere volui.

4 Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. xvi.

5 Προικόνησος] Alias, Προκόνησος. Vide Geographos.

6 Πρύμναν ἀνακρούεσθαι ἐστὶ, τὸ κατ' ὀλ.] Ex Scholiaſta Thucydidis ad lib. 1. cap. 1. ut Portus quoque monuit. Sed ibi legitur πρύμναν κρούεσθαι: &, ἵνα μὴ δόξωσι φανερῶς &c. Confer Scholiaſtam Ariſtoph. ad *Veſpas*, pag. 457. & Noſtrum ſupra v. Ἐπανακρούσασθαι, & v. Ἐπὶ πρύμναν.

Πρυτανεύεται. διοικεῖται. Τῇ τοῦ Θεοῦ ῥοπῇ πρυτανεύεται τὰ ἀνθρώπινα.

Πρυτανεύοντα.[1] κυρίως μὲν ἀντὶ τοῦ, [2]Πρύτανιν ὄντα· ἀντὶ δὲ τοῦ διοικοῦντα, Δημοσθένης ἐν Φιλιππικοῖς.

Πρυτανευούσης. Τῆς [3]τοῦ χωρίου φύσεως οὐκ ἐφιείσης σφίσι περαιτέρω ἰέναι, ἀλλὰ τὸ τῆς διώρυχος μῆκος συμμετρούσης αὐτοῖς, καὶ πρυτανευούσης εἰκότως. καὶ αὖθις· Οἱ δὲ πρέσβεις ἧκον τοῦ πρυτανεῦσαι Πάρθοις τε καὶ Ῥωμαίοις τὰς διαλλαγάς.

Πρυτανεύσητε.[4] σκέψησθε. πράξητε. χρηματίσητε. πάντα γὰρ ὑπὸ τῶν Πρυτάνεων διεπράττετο. ἐχρήσατο δὲ τῇ λέξει καὶ Δημοσθένης.

Πρυτανεία. ἐκτεταμένως μὲν καὶ θηλυκῶς, ἀριθμός τις ἡμερῶν. οὐδετέρως δέ, σαφῶς μὲν οὐδεὶς εἶπε τί δηλοῖ. [5]τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι, ὃ κατετίθεσαν οἱ δικαζόμενοι, ἐξ ὧν τὸ δικαστικὸν ἐδίδοτο τοῖς ἑξακισχιλίοις. [6]Πρυτανεῖαι δέ, ὁ τῶν ἡμερῶν ἀριθμός. δέκα ἐγίνοντο κατ' ἐνιαυτόν, ὅτι καὶ δέκα αἱ φυλαί. ἐνιαυτὸν δὲ οἱ Ἀθηναῖοι τὸν σεληνιακὸν ἦγον· ἐπέβαλε δὲ ἑκάστῃ φυλῇ τῶν ί. λέ. ἡμέρας, καὶ ἐπεὶ περιῆσαν ἐκ τοῦ σεληνιακοῦ ἐνιαυτοῦ ἡμέραι τέσσαρες, ἃς ἐπεμέριζον ταῖς πρώταις λαχούσαις πρυτανεύειν τέσσαρσι φυλαῖς. καὶ τῶν μὲν τεσσάρων πρώτων ἑκάστη εἶχε τὴν πρυτανείαν, ἀπαρτιζομένην εἰς λς'. ἡμέρας. αἱ δὲ λοιπαὶ ς'. ἀνὰ λέ. Πρυτανεία οὖν ἐστὶν ἀριθμὸς ἡμερῶν, ἤτοι λς'. ἢ λέ. καὶ ἑκάστη φυλὴ πρυτανεύει. [7]παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς πρυτανεῖα ἐστὶν ἀργύριον, ὅπερ κατετίθεσαν οἱ δικαζόμενοι ἀμφότεροι, καὶ ὁ φεύγων, καὶ ὁ διώκων.

Πρυτανεύεται. Regitur. Gubernatur. *Dei nutu res humanæ gubernantur.*

Πρυτανεύοντα. Proprie quidem ſignificat eum, qui eſt Prytanis. At pro Adminiſtrantem, ponit Demoſthenes in *Philippicis.*

Πρυτανευούσης. Moderantis. Regentis. *Natura loci non ſinente eos ulterius progredi, ſed committiente & idoneis terminis definiente cuniculi longitudinem.* Et iterum: *Venerunt autem legati, ut arbitri eſſent fœderis inter Parthos & Romanos ineundi.*

Πρυτανεύσητε. Diſpiciatis. Tractetis. Adminiſtretis. Gubernetis. Omnia enim a Prytanibus adminiſtrabantur. Voce hac autem uſus quoque eſt Demoſthenes.

Πρυτανεία. Cum ultimam habet productam, & fœminino genere effertur, ſignificat certum dierum numerum, [per quos quælibet Tribus Athenis imperabat.] At quam ſignificationem habeat, cum eſt generis neutrius [& πρυτανεῖα ſcribitur, cum circumflexo in penultima,] nemo expreſſe dixit. Nonnulli tamen dixerunt, eſſe pecuniam, quam litigantes in Judicio deponebant, unde merces judicialis ſolvebatur ſexies mille viris. Πρυτανεία vero, [genere fœminino,] ſignificat numerum dierum, per quos quælibet Tribus Athenis ſummæ rerum præerat. Decem autem quotannis erant Prytaniæ, pro numero decem Tribuum. Quoniam vero Athenienſes anno lunari utebantur, & cuilibet Tribui ex decem aſſignati erant XXXV. dies; quatuor dies in anno lunari ſupererant, quos attribuebant quatuor Tribubus, quibus primis Prytania ſorte obtigerat. Quare quatuor priores Tribus ſingulæ Prytaniam habebant, quæ XXXVI. diebus abſolvebatur: at reliquarum ſex Tribuum Prytania XXXV. tantum diebus conſtabat. Πρυτανεία igitur eſt numerus vel XXXVI. vel XXXV. dierum: & quælibet Tribus Prytaniam gerit. Apud reliquos vero Atticos πρυτανεῖα, [genere neutro, & numero plurali,] eſt pecunia, quam uterque litigantium, & actor & reus, in Judicio deponebat.

Πρυτανεῖα. τὰ διδόμενα ὑπὸ τῶν δικαζομένων ἐν τῷ δημοσίῳ ἀργύρια.

[8]Πρυτανεῖα, μέταλλ', ἀγοράς, λιμένας, μισθούς,
καὶ [9]δημιόπρατα,
Τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίνεται ἡμῖν.

Πρυτανεῖα. Pecunia, quæ a litigantibus Reip. perſolvebatur. Sportulæ. [Ariſtophanes:] *Prytania, metalla, fora, portus, mercedes, bona publicata: ex quibus omnibus fere ſumma bis mille talentorum ad nos redit.*

Πρυτανεῖα. πρόσοδος εἰς τὰ δημόσια καταταττομένη ἣν οἱ δικαζόμενοί τισι, καὶ ἡττηθέντες κατέβαλλον, ὡρισμένην ζημίαν καταθέντες ἕκαστος.

Πρυτανεῖα. Pecunia, quæ in ærarium inferebatur: quam illi, qui litigabant, & cauſa cadebant, in judicio depoſitam, ut ſtatutam mulctam ſolvebant.

Πρυτανεῖον. [10]Θεσμοθέτιον. [11]Θόλος. [12]παρὰ δὲ

Πρυτανεῖον. Prytaneum. Sive, locus publi-

1 Πρυτανεύοντα. κυρ.] Ex Harpocratione.
2 Πρύτανιν] MS. A. πρυτανεία Et ſic Harpocratio.
3 Τῆς τοῦ χωρίου φύσεως οὐκ ἐφ.] Fragmentum hoc legitur apud Procopium lib. IV. *de Bello Goth.* cap. XI.
4 Πρυτανεύσητε. σκέψησθε. πρ.] Nota hæc referenda eſt ad locum illum Ariſtoph. *Acharnenſ.* pag. 373.
Ἢν μὴ περὶ εἰρήνης γε πρυτανεύσητέ μοι.
Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.
5 Τινὲς δὲ ἀργύριόν τι ἔφασαν εἶναι, ὃ κατ.] Confer Ammonium v. Πρυτανεῖα: Heſych. v. Ἀπὸ πρυτανείων: Suidam v. Θέσις, & v. Παρακαταβολή, & Petit. *de Leg. Att.* pag. 391.
6 Πρυτανεῖαι δὲ ὁ τῶν ἡμερῶν ἀριθμ.] Confer Petit. *de Leg. Att.* Lib. III. Tit. I. ubi de Prytaniis Tribuum Atticarum fuſe agit.
7 Παρὰ δὲ τοῖς ἄλλοις Ἀττικοῖς πρυτ.] Ex Harpocratione.
8 Πρυτανεῖα, μέταλλ', ἀγορ.] Duo hi verſus Anapæſtici leguntur apud Ariſtoph. *Veſpis*, pag. 476. 477. (334. Ed. Baſ. P.)
9 Δημιόπρατα] Sic ex Ariſtophane reſcripſi. Ante enim legebatur δημοσιόπρατα. quod vel metrum verſus reſpuit.
10 Θεσμοθέτιον] Hoc nihil ad rem. Confer Heſychium v. Πρυτανεῖον.
11 Θόλος] Confer Noſtrum ſupra h. v.
12 Παρὰ δὲ τοῖς Ἀθηναίοις οἶκός ἐστι δημ.] Eadem leguntur apud Scholiaſtam Ariſtophanis ad *Equit.* pag. 297. Huc pertinent verba ejuſdem Scholiaſtæ, pag. 303. Πρυτανεῖον δὲ τόπος Ἀθήνησι, ὃ τοῖς δημοσίας σιτήσεις ἐπαινεῖται. τιμὴ δὲ οὐκ ἐλαχίστη τοῖς δημοσίᾳ σιτουμένοις ἦν. Huc etiam facit locus ille Ciceronis lib. I. *de Oratore: Cum interrogatus Socrates eſſet, reſpondit, ſeſe meruiſſe, ut ampliſſimis honoribus & præmiis decoraretur, & ut ei victus quotidianus in Prytaneo publice præberetur, qui honos apud Græcos maximus habetur.* Plura de hoc argumento lege apud Petit. *de Leg. Att.* Lib. III. Tit. VI. pag. 288, 289.

τοῖς

τοῖς Ἀθηναίοις οἰκίσκος δημόσιος, ἔνθα ἐσιτοῦντο δημοσίᾳ οἱ τοιαύτης τιμῆς παρ' αὐτοῖς τυχόντες. περισπούδαστον δὲ ἦν τῆς τοιαύτης δωρεᾶς τυχεῖν. ἐπὶ γὰρ μεγάλοις κατορθώμασι τὴν τοιαύτην ἀπεδίδουν χάριν. ἢ πυρὸς ταμεῖον, ἔνθα ἦν ἄσβεστον πῦρ, καὶ ηὔχοντο. [1] Ἀριστοφάνης Νεφέλαις·

Πᾶς γάρ τις ὄμνυσ', οἷς ὀφείλων τυγχάνω,
Θείς μοι πρυτανεῖ', ἀπολεῖν με φησὶ, κἀξολεῖν.

Τὰ παρὰ Ῥωμαίοις καλούμενα σπόρτυλα. τὰς γὰρ δεκάτας τοῦ χρέους καταβάλλοντες τοῖς Πρυτάνεσιν, εἰσῆγον τοὺς χρεώστας.

cus, in quem Prytanes conveniebant: qui etiam Tholus dicebatur. Apud Athenienſes vero ſic vocabatur domus publica, ubi publice alebantur illi, quibus honor ille obtigerat. Victu autem illo donari, præclara virtutis remuneratio exiſtimabatur. Nam optime de Republ. meritis beneficium illud tribuebatur. Vel Πρυτανεῖον dictum eſt quaſi πυρὸς ταμεῖον, i. e. locus, in quo ignis æternus ſervabatur, & preces fiebant. Ariſtophanes *Nubibus: Nam quiſque, cui aliquid argenti debeo, depoſita in judicio pecunia, ſe me perditurum & omnibus bonis everſurum minatur.* Quod Græci πρυτανεῖα, Romani vocant *ſportulas.* Decimas enim partes debiti apud Prytanes deponentes, debitores in jus vocabant.

Πρυτάνεις. [2] τὸ δέκατον μέρος τῆς Βουλῆς τῶν Πεντακοσίων. πεντήκοντα ἄνδρες ἀπὸ μιᾶς φυλῆς, οἱ διοικοῦντες ἅπαντα τὰ ὑπὸ τῆς Βουλῆς πραττόμενα. ἐπρυτάνευον δὲ ἐκ διαδοχῆς ἀλλήλαις αἱ δέκα φυλαὶ, κλήρῳ λαχοῦσαι, ὡς Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος. † [3] Διαπιστοῦντες δὲ οἱ Πρυτάνεις ἤδη τῷ Φιλίππῳ, διὰ τὴν περὶ τὰ [4] Κρητικὰ κακοπραγμοσύνην, καὶ τὸν Ἡρακλείδην ὑπώπτευον ἐγκάθετον εἶναι.

Πρυτάνεις. Prytanes. Hi erant decima pars Senatus Quingentorum; ſive L. viri ex qualibet Tribu delecti, qui omnia, quæ a Senatu gerebantur, adminiſtrabant. Decem autem illæ Tribus eo ordine, quem ſors illis aſſignaverat, ſibi invicem ſuccedentes, Prytaniam gerebant: ut Æſchines in oratione contra Cteſiphontem ait. *Sed Prytanes cum Philippum ob perfidiam, qua in rebus Creticis uſus fuerat, ſuſpectum jam haberent, Heraclidem quoque doloſe ab eo ſubmiſſum eſſe ſuſpicabantur.*

Πρύτανις· διοικητὴς, προστάτης, φύλαξ, βασιλεὺς, ἄρχων, ταμίας, ἔξαρχος.

Πρύτανις. Prytanis. Sive, Adminiſtrator, Gubernator, Præfectus, Præſes, Rex, Princeps, Quæſtor, Dux.

Πτάμενος. διελθών.

Πτάμενος. Qui volavit. Qui tranſivit.

Πταρμός. [5] Ἀριστοφάνης·

Κᾆτα πῶς οὐκ ἔπταρον;

[6] Ἀντὶ τοῦ, οὐκ ᾐσθόμην. ὁ πταρμὸς γὰρ κεφαλῆς αἴσθησις· ἐπεὶ οἱ θιγόντες τοῦ μυκτῆρος [7] λεπτῷ κάρφει, πτάρνυνται, ἢ ὀσφραινόμενοι προσενεγκόντες. οὕτω φησὶν, ἥψατό μου πληγὴ, ὃν τρόπον ἅπτεται κάρφος μυκτήρων.

Πταρμός. Sternutatio. Ariſtophanes: *At cur non ſternutavi?* Id eſt, Non ſenſi. Sternutatio enim eſt capitis ſenſus. Nam qui nares tenui feſtuca tangunt, ſternutant: vel re aliqua naribus admota, olfaciunt. Sic inquit [Bacchus,] plaga iſta me tetigit, ut feſtuca nares tangit.

Πταίειν. δοτικῇ. προσκρούειν. καὶ παροιμία· [8] Μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον πταίειν, ἔχοντα χρόνον ὁμολογούμενον.

Πταίειν. Dativo jungitur. Offendere. Impingere. Et Proverbium. *Ne ſæpius ad eundem lapidem offendas, cum certum temporis ſpatium tibi conceſſum eſt.*

Πτελέα. εἶδος δένδρου.

Πτελέα. Genus arboris. Ulmus.

Πτερώνης. καὶ, πτερίναν ῥιπίδα. † [9] Πρὸς τὸ λαθεῖν καὶ μηδὲν παθεῖν τοὺς ἐνεδρεύσαντας, εὐφυέστεροι τυγχάνουσιν ὄντες [10] ὑψηλοὶ καὶ ἐπίπεδοι τόποι τῶν ὑλωδῶν, διὰ τὸ δύνασθαι ἐκ πολλοῦ προορᾶν πάντας τοὺς ἐνεδρεύοντας· εἶναι δ' ἐπιπροσθήσεις ἱκανὰς ἐν τοῖς πλείστοις τόποις. τὸ γὰρ τυχὸν ῥεῖθρον μετὰ βραχείας ὀφρύος, ποτὲ δὲ κάλαμοι, καὶ πτέρεις, καί τι γένος ἀκανθῶν, οὐ μόνον πεζοὺς, ἀλλὰ καὶ ἱππεῖς δύναται

Πτερώνης. Alatæ. Vel, ex pennis factæ. Et πτερίναν ῥιπίδα, flabellum ex pennis factum. † *Et occultius & minore periculo in planitie collocantur inſidiæ, quam in ſylvoſis ſaltibus. Nam & facile omnia proſpiciunt inſidiatores, neque tamen ut plurimum deſunt eminentiæ quædam ad eos tegendos idoneæ. Quamlibet parvus enim rivus, cui modicum ſit ſupercilium, inter arundines, vel filices, aut quodcunque ſentis genus, ſatis magnas ad occultandos e-*

1 Ἀριστοφάνης Νεφέλαις] Pag. 187. (115. Ed. Baſ. P.)

2 Πρυτάνεις. τὸ δέκατον μέρ.] Ex Harpocratione. Cæterum, de Prytanibus Athenienſium, & Senatu Quingentorum, Peritus, & alii viri docti abunde egerunt: quos conſulere debet, qui plura hac de re ſcire cupit.

3 Διαπιστοῦντες δὲ οἱ Πρυτ.] Fragmentum hoc Valeſius Polybio tribuit, & ad librum ejus XIII. pertinuiſſe putat. Eum vide in notis ad Collectanea Conſtantini pag. 55.

4 Κρητικά] Sic repoſui auctoritate optimi MS. A. Ante enim male legebatur, κριτικά, per ι in ſyllaba prima: quod Portus verterat, *improbitatem, quæ in Judiciis exercebatur:* ineptiſſime omnino; ut ex verſione noſtra, in qua veram lectionem expreſſimus, patet. Idem mendum occurrit apud Harpocrationem; cujus interpres itidem ad lapidem hunc offendit.

5 Ἀριστοφάνης] *Ranis* pag. 242. (156. Ed. Baſ. P.)

6 Ἀντὶ τοῦ, οὐκ ᾐσθόμην. ὁ πτ.] Hæc, & quæ ſequuntur, ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

7 Λεπτῷ] Hanc lectionem ex MSS. Pariſ. & Scholiaſta Ariſtophanis revocavi. Ante enim male legebatur, λευκῷ.

8 Μὴ πολλάκις πρὸς τὸν αὐτὸν λ.] Polybius in *Excerpt. Legat.* a Fulv. Urſ. editis, cap. CXIV. Ὁ δὲ παρεκάλει μὴ δὶς πρὸς τὸν αὐτὸν λίθον πταίειν, &c.

9 Πρὸς τὸ λαθεῖν καὶ μηδὲν παθεῖν τοὺς ἐνεδρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii lib. III. c. LXXI.

10 Ὑψηλοί] Scribe, οἱ ψιλοί: ut habet MS. A. itemque Polybius loco laudato. Τόποι ψιλοί autem apud Græcos dicuntur loca aperta, nulliſque arboribus & fruticibus conſita: quibus opponuntur ſaltus & loca ſylvoſa.

κρύπτειν, ἐὰν βραχέα τις προνοηθῇ, τοῦ τὰ μὲν ἐπίσημα τῶν ὅπλων ὕπτια τιθέναι πρὸς τὴν γῆν, τὰς δὲ περικεφαλαίας ὑποτιθέναι τοῖς ὅπλοις.

Πτέρις.[1] βοτάνη ξηραντικῆς δυνάμεως· ὅθεν ἔμβρυά τε φθείρει, καὶ ἐκβάλλει, καὶ πλατείας ἕλμινθας ἀναιρεῖ.

Πτερίνῳ. πτερωτῷ. [2] Πολύβιος· Ἐπικοσμοῦνται οἱ Ῥωμαῖοι πτερίνῳ στεφάνῳ, πτεροῖς φοινικίοις ἢ μελανόρθοις τρισὶν, ὡς πηχυαίοις τὸ μέγεθος· ὧν προστεθέντων κατὰ κορυφὴν ἅμα τοῖς ἄλλοις ὅπλοις, ὁ μὲν ἀνὴρ φαίνεται διπλάσιος ἑαυτοῦ κατὰ τὸ μέγεθος, ἡ δὲ ὄψις καλὴ καὶ καταπληκτικὴ τοῖς ἐναντίοις.

Πτέρνα. ὁ [3] δόλος, καὶ ἡ ἐπιβουλή. καὶ πτερνίζω, τὸ καταβάλλω. ἐκ [4] μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων, καὶ πτέρνῃ τοὺς συνθέοντας προσπταίειν ὁμοῦ καὶ πίπτειν μηχανωμένους. † [5] Ἐπτέρνικε γάρ με ἤδη τρίτον τοῦτο.

Πτερνίζει. ἀπατᾷ. ἢ λακτίζει.

Πτεροδόνητος. πτεροῖς πληχθείς.

Πτερόεντα. ταχέα, κοῦφα.

Πτερόεντι. ταχεῖ. [6] τοῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικότι. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτεροῦ τοῦ Ἔρωτος τὰ ὄρνεά ἐστιν. ἄτοπος δὲ καὶ ἀπίθανος ἡ γενεαλογία. Ἀριστοφάνης Ὄρνισι. καὶ πτερόεις, ὁ ἐπτερωμένος.

Πτεροφοίτωρ.[7] Τάχους ἔχει. τίς γὰρ πτεροφοίτορος ἀπτήνως ἐς τὸν ὑπερουράνιον ἱέμενος τόπον, ὅπου τὸ τῶν ἐπτερωμένων νέμεται γένος.

Πτερωτὰ ζῶα. ἀετὸς, ἀλεκτρυών. καὶ τὰ ἄλλα τὰ γινωσκόμενα πᾶσι.

Πτέρυγες περιστερᾶς. αἱ δωρεαὶ τοῦ ἁγίου πνεύματος. ταύτης δὲ τὰς μὲν πτέρυγας περιηργυρῶσθαι· τὰ δὲ μετάφρενα κεκοσμῆσθαι χρυσίῳ. τὰ μὲν γὰρ ἁπλούστερα καὶ λευκότερα τοῖς ἁπλουστέροις· τὰ δὲ βαθύτερα τοῖς ἐντελεστέροις. τὰ γὰρ μυστήριά μου ἐμοὶ καὶ τοῖς ἐμοῖς.

Πτερυγίζειν.[8] ἀντὶ τοῦ, μηδὲν ἀνύειν. ἀπὸ τῶν ἐπιβαλλομένων πέτεσθαι νεοσσῶν. Ἀριστοφάνης Πλούτῳ· Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ἀντὶ τοῦ θορυβεῖς. τὸ γὰρ πτερὸν ἠχῶδες καὶ θορυβητικόν. ἢ, κοῦφα λαλεῖς. ἢ, ματαιοπονεῖς. ἀπὸ μεταφορᾶς τῶν νεοσσῶν, τῶν μὴ δυναμένων πέτεσθαι, διὰ τὸ βραχὺ τῆς ἡλικίας. ἢ, μάταια διαλέγῃ. ἀπὸ τῶν νεοττῶν, οἳ πειράζουσι μὲν τὰς πτέρυγας, ἵπτασθαι δὲ οὐ δύνανται. οὕτω

quites, nedum pedites, latebras habet; ſi quis modo vel mediocrem adhibeat prudentiam, ut, quæ ſunt e longinquo conſpicua arma, humi ſupina deponat, & galeas iiſdem ſubjiciat.

Πτέρις. Filix. Herba, ſiccandi facultatem habens, quæ & embryones perdit, & ex utero ejicit, & majores lumbricos necat.

Πτερίνῳ. Alato. Pennaceo. Polybius: *Romani criſta pennacea ornantur, pennis nempe tribus puniceis aut nigris, iiſque rectis, longitudine fere cubitalibus: quæ ubi cæteris armis ad ſummum verticem acceſſerunt, vir quidem duplo quam ſit major apparet; ſpecies autem exiſtit pulchra & hoſti formidabilis.*

Πτέρνα. [Calx pedis. Et metaphorice] dolus, inſidiæ. Et πτερνίζω, ſupplanto. Per metaphoram [ductam] ab illis, qui curſu certant, & calce ſupplantare conantur eos, qui ſecum currunt. *Jam tertium enim me ſupplantavit.*

Πτερνίζει. Decipit. Vel, calcitrat, ſupplantat.

Πτεροδόνητος. Alis agitatus. Pennis verberatus.

Πτερόεντα. Alata. Velocia. Cita.

Πτερόεντι. Alato. Veloci. *Venti turbinibus ſimili.* Summa vero orationis hæc eſt; ex ala Amoris natas eſſe Aves. Abſurda autem & ab omni veriſimilitudine aliena eſt hæc genealogia. Ariſtophanes *Avibus.* Et πτερόεις, alatus.

Πτεροφοίτωρ. Alis per aerem vagans. Volans. *Quis tanta alarum velocitate præditus eſt, ut in regionem ſupracæleſtem volare queat, ubi alatum habitat genus?*

Πτερωτὰ ζῶα. Alata animalia. Talia ſunt, aquila, gallus gallinaceus, & alia omnibus nota.

Πτέρυγες περιστερᾶς. Alæ columbæ. Id eſt, dona Spiritus S. Hujus autem alas argenteo colore inductas; dorſum vero auro ornatum eſſe [ajunt.] Nam ſimpliciora & candidiora ſimplicioribus; altiora vero, perfectioribus [conveniunt.] Myſteria enim mea mihi & meis.

Πτερυγίζειν. Fruſtra aliquid conari. Conando nihil proficere. [Metaphora ducta eſt] ab avium pullis, qui volare conantur. [Πτερυγίζειν enim proprie ſignificat, alas quatere more avium, quæ volatum tentant.] Ariſtophanes *Pluto: Sed nugas agis, & inaniter ſtrepitas.* [Metaphora ducta eſt ab alis avium.] Ala enim, [cum ab avibus movetur,] ingentem ſtrepitum edit. Vel, vana

1 Πτέρις. βοτάνη ξηραντικῆς δυν.] Hæc ſunt verba Pauli Æginetæ, lib. VII. pag. 251.

2 Πολύβιος] Lib. VI. cap. XXI. ubi recte legitur. ἢ μέλασιν, ὀρθοῖς: uti etiam hic ſcribendum eſt.

3 Ὁ δόλος, καὶ ἡ ἐπιβουλή] Hoc ſenſu vox iſta ſumitur in loco illo Joannis, cap. XIII. Ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον, ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ.

4 Ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομ.] Theodoretus ad Pſalm. XL. pag. 556. Δόλον γὰρ τὴν πτέρναν ὠνόμασεν. ἐκ μεταφορᾶς τῶν περὶ τάχους ἀγωνιζομένων, καὶ τῇ πτέρνῃ τοὺς συνθέοντας [illegible] μηχανωμένων. τοῦτο καὶ Ἡσαῦ [illegible] ὑπὸ τοῦ Ἰακὼβ [illegible] καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἰακώβ· ἐπτέρνικε γάρ με [illegible] δεύτερον. Hinc Suidas ſua deſcripſit.

5 Ἐπτέρνικε γάρ με ἤδ.] Hæc ſunt verba Eſavi de Jacobo, Geneſ. XXVII. 36. ſed ubi pro τρίτον legitur δεύτερον: quam lectionem etiam agnoſcit MS. Pariſ. A.

6 Τοῖς τοῦ ἀνέμου ὠκείαις συσ.] Ariſtophanes *Avibus*, pag. 574. (395. Ed. Baſ. *P.*)

——— Εἰκὼς ἀνεμώκεσι δίναις.

Scholiaſta: Ταῖς τοῦ ἀνέμου ὠκείαις συστροφαῖς ἐοικώς. οἷον, ταχύς. ἡ δὲ ὅλη σύστασις, ὅτι ἐκ τοῦ πτεροῦ, &c. Hinc Suidas ſua deſcripſit; ſed qui ἀκρίτως prorſus voci πτερόεντι hæc ſubjecit, quæ alio ſpectant.

7 Πτεροφοίτωρ. τάχους ἔχει. τίς γὰρ πτερ.] Hæc adeo corrupta ſunt & obſcura, ut ea abſque ope meliorum codicum illuſtrare & emendare non poſſimus.

8 Πτερυγίζειν. ἀντὶ τοῦ, μηδ.] Totus hic articulus ſumptus eſt ex Scholiaſta Ariſtoph. ad *Plutum*, pag. 60. (30. Ed. Baſ. *P.*)

καὶ σὺ θέλεις μὲν ἀντειπεῖν, καὶ πτερύζεις, ἀνύεις δὲ οὐδέν.

loqueris. Vel, incaſſum laboras. Per tranſlationem ductam ab avium pullis, qui volare non poſſunt, propter ætatis imbecillitatem. Vel, inania diſputas. [Tranſlatio ducta eſt] ab avium pullis, qui alarum periculum quidem faciunt, ſed volare nequeunt. Sic igitur [inquit,] & tu contradicere quidem conaris, ſed nihil proficis.

Πτερυγίζων. πτερύσσων. Ἀριστοφάνης[1] περὶ Μάγνητος, ὅτι Ὄρνιθας ἐποίησε δρᾶμα, καὶ Ψῆνας, καὶ Λυδούς.

Πτερυγίζων. Alas jactans. Alas quatiens. Ariſtophanes [in *Equitibus* verba hæc, πτερυγίζων & λυδίζων & ψηνίζων,] de Magnete Comico dicit, quod feciſſet fabulas, *Aves*, *Culices*, & *Lydos*.

Πτερύγιον. ἀκρωτήριον.

Πτερύγιον Summitas. Cacumen. Extrema pars.

Πτερυλλίδων.[2] τῶν ἀκρίδων. παρὰ τὸ τέσσαρα ἔχειν πτερά. Ὀρταλίχων δὲ, τινὲς τῶν ἀλεκτρυόνων, κατὰ τὴν Βοιωτῶν διάλεκτον.

Πτερυλλίδων. Locuſtarum: [quæ ſic dictæ ſunt,] quod quatuor alas habeant. Ὀρταλίχων vero quidam Bœotorum dialecto ſignificare ajunt, gallorum gallinaceorum.

Πτῆμα. πτῆσις οἰωνῶν. Περιφερὲς δὲ ἦν πτῆμα τῶν οἰωνῶν.

Πτῆμα. Volatus. *Alitum vero volatus erat orbicularis.*

Πτηνόν. τὸ ὄρνεον.

Πτηνόν. Volucre. Ales.

Πτήσσει. πτοεῖται. καὶ πτήξωμεν, κρυβῶμεν. κυρίως δὲ πτήσσειν ἐστὶ, τὸ φεύγειν, καὶ φοβεῖσθαι. Ἀλλ' ἐκποδὼν πτήξωμεν.[3] Ἀριστοφάνης. Πτίσσω δὲ, τὸ τύπτω.

Πτήσσει. Metu trepidat. Præ metu ſe occultat. Et πτήξωμεν, præ metu nos occultemus. Proprie autem πτήσσειν eſt, metu perterritum fugere. *At hinc procul fugiamus.* Ariſtophanes. At πτίσσω, tundo.

Πτῆσις τῶν ὀρνίθων.

Πτῆσις. Avium volatus.

Πτῆται. πέτεται. καὶ πτητικὰ ζῶα, τὰ πετόμενα.

Πτῆται. Volat. Et πτητικὰ ζῶα. Volucria animalia.

Πτίλον. πτερὸν ἁπαλώτερον. καὶ ἄπτιλα, τὰ ἀπτέρωτα.[4] εἰώθασι δὲ οἱ δυσεμεῖς πτερῷ χρῆσθαι πρὸς τὸ ἐξεμέσαι. Τῶν[5] πτερῶν τὰ μὲν καλεῖται πτίλα· τὰ δὲ, πτερά· τὰ δὲ, ὠκύπτερα.[6] Ἀριστοφάνης Ὄρνισιν.

—— Ἐγὼ μὲν πρᾶγμά πω
Γελοιότερον οὐκ εἶδον οὐδὲ πώποτε.
Ἐπὶ τῷ γελᾷς; Ἐπὶ τοῖσι σοῖς ὠκυπτέροις.
Οἶσθ', ᾧ μάλιστ' ἔοικας ἐπτερωμένος;
Εἰς εὐτέλειαν χηνὶ συγγεγραμμένῳ.

Ἀντὶ τοῦ, εὐτελῶς γεγραμμένῳ χηνί.

Πτίλον. Mollior penna. Pluma. Et ἄπτιλα, Implumia. Solent vero illi, qui difficulter vomunt, penna ad vomitum ciendum uti. Pennarum aliæ vocantur πτίλα; aliæ, πτερά; aliæ, ὠκύπτερα, Ariſtophanes *Avibus: Ego quidem rem magis ridiculam haud vidi unquam. Cur rides? Ob celeres pennas tuas. Scisne, cui potiſſimum ſimilis ſis alatus? Anſeri male picto.*

Πτίλλος.[7] ὁ μαδαρὸς τοῖς βλεφάροις.

Πτίλλος. Qui palpebras habet ciliis nudatas.

Πτισάνη. ἡ κεκομμένη κριθή.[8] Ἀριστοφάνης· Ἴχανα ἐπυλλίοις. Οὐκ ἀπὸ πτισάνης, ἀλλ' ἀπὸ ἠθῶν ἀνδρῶν καὶ βιβλίων.

Πτισάνη. Ptiſana. Sive, hordeum tuſum & decorticatum. Ariſtophanes.

Πτίσσεσθαι. τὸ δίκην πτισάνης τύπτεσθαι. καὶ πτίσσω, τὸ τύπτω.

Πτίσσεσθαι. Ptiſanæ inſtar tundi. Et πτίσσω, verbero, tundo.

Πτολεμαῒς δίκη. πρεσβῦτις ἦν ἡ Πτολεμαῒς δεχαία, ἄχρις οὗ ἀπέθανε δίκας λέγουσα, διὰ τὸ ἀεὶ ὑπερτίθεσθαι, καὶ μήποτε βούλεσθαι ἀπαλλαγῆναι τοῦ δικάζεσθαι.

Πτολεμαῒς δίκη. Ptolemaica lis. Ptolemais fuit vetula quædam, quæ uſque ad mortem cauſas in Judicio dixit; quod dilationibus ſemper utens, finem litium fugeret.

Πτολεμαῖος[9] Κυθήριος, ἐποποιός. οὗτος ἔγρα-

Πτολεμαῖος Κυθ. Ptolemæus Cytherius, poeta

1 Ἀριστοφάνης] Locus Ariſtophanis, ad quem Suidas reſpexit exſtat in *Equit.* pag. 318. (218. Ed. Baſ. *P.*) & ſic habet:

Πάσας δ' ὑμῶν φωνὰς ἱεὶς, καὶ ψάλλων, καὶ πτερυγίζων,
Καὶ λυδίζων, καὶ ψηνίζων, &c.

Scripſerat nimirum Magnes fabulas, *Aves*, *Lydos*, *Pſenes*, & *Barbitiſtas*: quod Ariſtophanes obſcure ſignificare voluit verbis illis, πτερυγίζων, λυδίζων, ψηνίζων, & ψάλλων; ut vetus Enarrator nos docet. Confer Noſtrum ſupra v. Μάγνης.

2 Πτερυλλίδων] Imo, τετραπτερυλλίδων. Referenda enim eſt hæc nota ad locum illum Ariſtoph. *Acharnenſ.* p.412. (196. Ed. Baſ. *P.*)

Τῶν ὀρταλίχων, ἢ τῶν τετραπτερυλλίδων.

Vide ibi Scholiaſtam, apud quem eadem leguntur, quæ Suidas hic habet.

3 Ἀριστοφάνης] Vox hæc in prioribus Editt. deeſt, quam ex MS. A. revocavi. Ubi autem locus iſte Ariſtophanis exſtet, nunc non recordor.

4 Εἰώθασι δὲ οἱ δυσεμεῖς κτλ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 399.

5 Τῶν πτερῶν τὰ μὲν καλεῖται, κτλ.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 579. (399. Ed. Baſ. *P.*)

6 Ἀριστοφάνης Ὄρνισι] Pag. 579. (399. Ed. Baſ. *P.*)

7 Πτίλλος] Heſychius, πτίλλός: quem vide.

8 Ἀριστοφάνης] Male hic omiſſa ſunt verba Comici, ad quem nota, quæ ſubjungitur, referenda eſt. Ea autem exſtant in *Ranis*, pag. 256. (167. Ed. Baſ. *P.*) & ſic habent:

Χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων, ἀπ' ἠθῶν.

Scholiaſta: Χυλὸν διδούς. οὐκ ἀπὸ πτισάνης, ἀλλ' ἀπ' ἠθῶν ἀνδρῶν, καὶ βιβλίων.

9 Πτολεμαῖος] De Ptolemæis variis, eorumque ſcriptis, agit Meurſius ad Nicomach. Geraſ. *Harmon. Enchirid.* lib. II. pag. 178. & ſeqq.

ψας περὶ [1] ψαλακάνθης. ἐν τούτῳ δέ φησιν, ὅτι βοτάνη ἐστὶ, θαυμαστήν τινα δύναμιν ἔχουσα.

Πτολεμαῖος,[2] ὁ Κλαύδιος χρηματίσας, Ἀλεξανδρεὺς, φιλόσοφος, γεγονὼς ἐπὶ τῶν χρόνων Μάρκου τοῦ βασιλέως. οὗτος ἔγραψε Μηχανικὰ βιβλία γ΄. Περὶ φάσεως καὶ ἐπισημασιῶν ἀστέρων ἀπλανῶν, βιβλία β. Ἄπλωσιν ἐπιφανείας σφαίρας. Κανόνα πρόχειρον. Τὸν μέγαν Ἀστρονόμον, ἤτοι Σύνταξιν· καὶ ἄλλα.

Πτολεμαῖος Ἀλεξανδρεὺς, γραμματικὸς, ὃς ἐπεκαλεῖτο Πινδαρίων· υἱὸς δὲ ἦν Ὀροάνδρου, μαθητὴς Ἀριστάρχου. ἔγραψεν Ὁμηρικῶν ὑποδειγμάτων [3] βιβλία γ΄. Περὶ τοῦ Ὁμηρικοῦ χαρακτῆρος. Πρὸς Νεοθαλίδην περὶ λέξεως. Περὶ τοῦ παρ' Ὁμήρῳ Οὔτιδος. Περὶ Ἀστεροπαίου τοῦ παρ' Ὁμήρῳ μνημονευομένου· καὶ ἕτερα.

Πτολεμαῖος, γραμματικὸς, ὁ [4] Ἐπιθέτης κληθεὶς, διότι ἐπέθετο τῷ Ἀριστάρχῳ. διηκηκόει δὲ Ἑλλανίκου τοῦ γραμματικοῦ· ὁ δὲ, Ἀγαθοκλέους· ὁ δὲ, Ζηνοδότου τοῦ Ἐφεσίου. ἔγραψε περὶ τῶν παρ' Ὁμήρῳ πληγῶν. Ὑπόμνημα εἰς τὴν Ὀδύσσειαν.

Πτολεμαῖος, Ἀριστονίκου τοῦ γραμματικοῦ πατὴρ, καὶ αὐτὸς γραμματικός· ἄμφω ἐπεδείκνυντο ἐν Ῥώμῃ. Τὰ ὁμοίως εἰρημένα τοῖς Τραγικοῖς. Εἰς Ὅμηρον βιβλία ν΄. Τὰ παρὰ τῷ ποιητῇ ξένως ἱστορημένα. Τὰ περὶ Μουσῶν καὶ Νηρηΐδων.

Πτολεμαῖος Ἀλεξανδρεὺς, γραμματικὸς, ὁ τοῦ Ἡφαιστίωνος, γεγονὼς ἐπί τε Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν Αὐτοκρατόρων, προσαγορευθεὶς δὲ Χέννος. Περὶ παραδόξου ἱστορίας. Σφίγξ. δρᾶμα δέ ἐστιν ἱστορικόν. Ἀνθόμηρον. ἔστι δὲ ποίησις ῥαψῳδιῶν κδ΄. [5] καὶ ἄλλα τινά.

Πτολεμαῖος,[6] ὁ Ἀσκαλωνίτης, γραμματικὸς, ὃς ἐπαίδευσεν ἐν Ῥώμῃ. ἔγραψε [7] Προσῳδίαν Ὁμηρικήν. Περὶ Ἑλληνισμοῦ, ἤτοι ὀρθοεπίας, βιβλία ιε΄. Περὶ μέτρων. Περὶ τῆς ἐν Ὀδυσσείᾳ Ἀριστάρχου διορθώσεως. Περὶ διαφορᾶς λέξεων καὶ ἕτερα γραμματικά.

Πτολεμαῖος ὁ Φιλοπάτωρ. οὗτος ἕκαστα τῶν πραγμάτων ὀλιγώρως χειρίζων, διὰ τοὺς ἀπρεπεῖς ἔρωτας καὶ τὰς ἀλόγους καὶ συνεχεῖς μέθας, εἰκότως ἐν πάνυ βραχεῖ χρόνῳ καὶ τῆς ἀρχῆς ἅμα καὶ τῆς ψυχῆς ἐπιβούλους εὗρε, καὶ πλείους· ὧν ἐγένετο Κλεομένης, καὶ Θεόδοτος, καὶ ἄλλοι πολλοί.

Epicus. Scripſit [carmen] de Pſalacantha; quam herbam eſſe dicit, mira quadam vi præditam.

Πτολεμαῖος. Ptolemæus, Claudius dictus, Alexandrinus, Philoſophus, qui fuit temporibus Marci Imperatoris. Hic ſcripſit tres libros Mechanicos. De ortu & ſignificationibus ſtellarum inerrantium. Planiſphærium. Canonem expeditum. Magnum opus Aſtronomicum, ſeu Syntaxin: & alia.

Πτολεμαῖος Ἀλεξ. Ptolemæus Alexandrinus, Grammaticus, Pindarion cognominatus, filius Oroandri, & Ariſtarchi diſcipulus. Scripſit Homericorum exemplorum libros III. De Homerico charactere. Ad Neothalidem de dictione. De Utide Homerico. De Aſteropæo, cujus apud Homerum fit mentio: & alia.

Πτολεμαῖος. Ptolemæus, Grammaticus, Epithetes dictus, quod Ariſtarchum ſequeretur. Audiit vero Hellanicum Grammaticum: qui audiverat Agathoclem; & hic Zenodotum Epheſium. Scripſit de plagis Homericis. Commentarium in Odyſſeam.

Πτολεμαῖος. Ptolemæus, Ariſtonici Grammatici pater, & ipſe Grammaticus: qui ambo Romæ artem Grammaticam profeſſi ſunt. Scripſit de iis, quæ ſimiliter dicta ſunt a Tragicis. In Homerum libros L. De fabulis miris & incredibilibus apud Poetam. De Muſis & Nereidibus.

Πτολεμαῖος Ἀλεξ. Ptolemæus Alexandrinus, Grammaticus, Hephæſtionis F. qui vixit ſub Trajano & Adriano Imperatoribus, & Chennus appellatus fuit. Scripſit de Hiſtoria Mirabili. Sphingem. Ea autem erat fabula hiſtorica. Anthomerum: quod eſt poema Rhapſodiarum XXIV. & alia quædam.

Πτολεμαῖος. Ptolemæus Aſcalonites, Grammaticus, qui Romæ docuit. Scripſit Homericam Proſodiam. De Helleniſmo, ſive, Recta loquendi ratione, libros XV. De Metris. De Ariſtarchea Odyſſeæ correctione. De Differentia vocabulorum. Item, alia Grammatica.

Πτολεμαῖος. Ptolemæus Philopater. Hic cum imperium negligentius tractaret, utpote turpibus amoribus & ebrietati continuo indulgens, mirum non eſt, eum brevi temporis ſpatio plures nactum fuiſſe, qui & regno & vitæ ejus inſidiarentur. Ex horum numero fuit Clemones, & Theodotus, & alii multi.

1 Ψαλακάνθης] De hac herba lectu digna ſunt, quæ ex Ptolemæo Hæpheſtionis affert Photius, pag. 481.

2 Πτολεμαῖος, ὁ Κλ.] Hic eſt celebris ille Geographus, cujus hodie adhuc περὶ τῆς Γεωγραφίας libri VIII. & alia quædam exſtant. De hoc præter Meurſium loco laudato, vide etiam Voſſium in opere *de Hiſt. Gr.* itemque de *Scientiis Mathemat.*

3 Βιβλία γ΄] Sic recte habent MSS. Pariſ. & Edit. Mediol. At reliquæ Editt. male hic exhibent notam numeri, quæ XC. ſignificat: unde Meurſius, Wolfius, & Portus exiſtimarunt, Ptolemæum libros XC. Exemplorum Homericorum ſcripſiſſe.

4 Ὁ Ἐπιθέτης κληθεὶς] Ἐπιθέτος vocatur ab Euſtathio ad Il. Ξ. pag. 966.

5 Καὶ ἄλλα τινά] Ut, Περὶ τῆς εἰς πολυμαθίαν καινῆς ἱστορίας λόγοι ς΄: ex quo opere Excerpta ſatis ampla habentur apud Photium.

6 Πτολεμαῖος ὁ Ἀσκαλ.] Hujus Ptolemæi crebro mentionem facit Euſtathius in Commentario ad Homerum; itemque Scholiaſta Homeri ad Il. Σ. v. 100. Il. Υ. v. 357. & alibi.

7 Προσῳδίαν Ὁμηρικήν] Opus hoc bipertitum erat, cujus prior pars inſcribebatur, Περὶ τῆς ἐν Ἰλιάδι προσῳδίας: altera, Περὶ τῆς ἐν Ὀδυσσείᾳ προσῳδίας. Utriuſque partis meminit Ammonius v. Σταφυλή, his verbis: Διαφέρειν φησὶ Πτολεμαῖος ἐν δευτέρῳ περὶ τῆς ἐν Ὀδυσσείᾳ προσῳδίας. Et mox: Ὁ αὐτὸς πάλιν ἐν δευτέρῳ τῆς ἐν Ἰλιάδι προσῳδίας καλῶς λέξιν φησὶν οὕτως. Ejuſdem operis pars poſterior laudatur ab Euſtathio ad Il. Β. pag. 341.

Πτολεμαῖος, ὁ βασιλεὺς Αἰγύπτου. [1] Ὅτι Ὑρκανοῦ συνδειπνοῦντος Πτολεμαίῳ τῷ βασιλεῖ, καὶ πάντων τῶν συνανακειμένων τὰ κρέατα ἐσθιόντων, καὶ τὰ ὀστᾶ ἔμπροσθεν τοῦ Ὑρκανοῦ στορευόντων, Τρύφων ὁ γελωτοποιὸς τοῦ βασιλέως, Ὁρᾷς, εἶπεν, ὦ δέσποτα, παρακείμενα Ὑρκανῷ ὀστᾶ; ἐκ τούτου στόχασαι, ὅτι καὶ ὁ πατὴρ αὐτοῦ τὴν Συρίαν ἅπασαν περιέδυσεν, ὡς οὗτος ταῦτα σαρκῶν ἐγύμνωσε. γελάσαντος δὲ πρὸς τὸν τοῦ Τρύφωνος λόγον τοῦ βασιλέως, καὶ ἐρομένου τὸν Ὑρκανὸν, πῶς τοσαῦτα αὐτῷ παράκειται ὀστᾶ· Εἰκότως, εἶπεν, ὦ δέσποτα. τοὺς μὲν γὰρ κύνας τὰ ὀστᾶ σὺν τοῖς κρέασι κατεσθίειν, ὥσπερ οὗτοι (πρὸς τοὺς συνανακειμένους εἰπὼν, ὅτι μηδὲν ἔμπροσθεν αὐτῶν ἔκειτο) οἱ δὲ ἄνθρωποι τὸ κρέας ἐσθίουσι, τὰ δὲ ὀστᾶ ῥίπτουσιν· ὅπερ ἄνθρωπος ὢν κἀγὼ πεποίηκα. θαυμάζει τὴν ἀπόκρισιν αὐτοῦ σοφὴν οὕτω γενομένην, καὶ πάντας ἐκέλευσεν ἀνακροτῆσαι, τῆς εὐτραπελίας ἀποδεχόμενος αὐτόν.

Πτολεμαῖος, [2] στρατηγὸς κατὰ Κύπρου· ὃς οὐδαμῶς Αἰγυπτιακὸς γέγονεν, ἀλλὰ νουνεχὴς, καὶ πρακτικός. παραλαβὼν γὰρ τὴν νῆσον ἔτι νηπίου τοῦ βασιλέως ὄντος, ἐγένετο μὲν ἐπιμελὴς περὶ συναγωγὴν χρημάτων· ἐδίδου δ' ἁπλῶς οὐδὲν οὐδενὶ, καίπερ αἰτούμενος πολλάκις ὑπὸ τῶν βασιλικῶν διοικητῶν, καὶ καταλαλούμενος πικρῶς ἐν τῷ μηδὲν προΐεσθαι. τοῦ δὲ βασιλέως εἰς ἡλικίαν παραγεγονότος, συνθεὶς πλῆθος ἱκανὸν χρημάτων ἐξαπέστειλεν, ὥστε καὶ τὸν Πτολεμαῖον, καὶ τοὺς ἐπὶ τῇ πρότερον αὐτοῦ συστολῇ διαλοιδορουμένους ὕστερον αὐτὸν ἐπαινεῖν.

Πτολίπορθος. ἀνδρεῖος. πόλεις πορθῶν.

Πτόλισμα. πόλις.

Πτόρθους, καὶ κλῶνας. τοὺς ἐκφύσεις τῶν δένδρων. οἱ δ' Ἀττικοὶ πρέμνα καὶ κλάδους καλοῦσι.

Πτῶκα. δειλόν. καὶ πτῶκας, δορκάδας, ἢ ἐλάφου νεβροὺς, ἢ λαγωούς.

Πτῶμα. σῶμα, ἄνευ τῆς κεφαλῆς.

Πτώματα ἐλαιῶν. [3] Λυσίας ἐν τῷ κατὰ Νικίου λέγοι ἂν ἤτοι τὸν καρπὸν τὸν ἀποπεπτωκότα τῶν φυτῶν, ἢ αὐτὰ τὰ δένδρα, κατά τινα τύχην πεπτωκότα.

Πτώξ. λαγωός. ἐν Ἐπιγράμματι·

Εἶδον ἐγὼ τὸν πτῶκα καθήμενον ἐγγὺς ὀπώρης
Βακχιάδος, πουλὺν βότρυν ἀμελγόμενον.

Πτώσεις. [4] οὕτω λέγουσιν οἱ Φιλόσοφοι κοινότερον καὶ τὰς ὁπωσοῦν ἐγκλίσεις καὶ ἐκφοράς. οὐ μὴν καὶ νῦν οὕτως, ἀλλ' ἐστὶ σύστοιχα, καὶ πτώσεις, καὶ παρώνυμα, παράκειται μὲν ἀλλήλοις δοκοῦντα, διαφέροντα δέ. καὶ πτώσεις λέγουσι τὰ ἰδίως παρά τινα ἐσχηματισμένα· ὡς τὸ γραμματικῶς. πτῶσις γὰρ τοῦτο τοῦ γραμματικός. ὁμοίως τὸ δικαίως, καὶ μουσικῶς, καὶ φρονίμως, καὶ ἀνδρείως. πτώσεις γὰρ ταῦτα τοῦ δίκαιος, καὶ μουσικὸς, καὶ

Πτολεμαῖος. Ptolemæus, Rex Ægypti. Cum Hyrcanus cum Ptolemæo Rege cœnaret, & omnes, qui una accumbebant, carnes comederent, & oſſa ante Hyrcanum coacervarent; Tryphon Regis ſcurra dixit: *Videſne, Domine, oſſa, quæ ante Hyrcanum jacent?* Hinc conjice, patrem etiam ipſius totam Syriam nudaſſe, ut iſte hæc oſſa carnibus nudavit. Cum autem Rex ob iſtum Tryphonis ſermonem riſiſſet, & Hyrcanum interrogaſſet; quare tot oſſa ante ipſum jacerent: *Jure*, inquit, *Domine. Nam canes quidem oſſa cum ipſis carnibus, ut iſti, devorant:* (Quod in convivas una accumbentes dixit, quia nihil ante ipſos jacebat) *homines vero carnes edunt; oſſa autem projiciunt: quemadmodum & ego feci, qui ſum homo.* Ejus adeo ſapiens reſponſum Rex admiratus eſt, ejuſque urbanitatem approbans, omnes applaudere juſſit. *Port.*

Πτολεμαῖος. Ptolemæus, Cypri Præfectus, nulla re Ægyptius fuit, ſed prudens ac ſtrenuus inprimis. Nam cum Inſulæ Præfecturam Rege admodum puero accepiſſet, cogendæ quidem pecuniæ ſtudioſe incubuit: cæterum nemini prorſus quidquam dabat; tametſi a curatoribus ac diſpenſatoribus regiæ pecuniæ ſæpiſſime flagitaretur, graviterque incuſaretur, quod reditus Inſulæ penes ſe retineret. Sed poſteaquam Rex adoleſcentiam attigit, collectam ſatis magnam pecuniæ vim Alexandriam miſit, adeo ut Ptolemæus & cæteri omnes aulici priorem illius parſimoniam ac diligentiam vehementer probarent.

Πτολίπορθος. Urbium expugnator. Fortis.

Πτόλισμα. Urbs.

Πτόρθους, & κλῶνας. Ramos. Surculos. Attici vero πρέμνα & κλάδους dicunt.

Πτῶκα. Timidum. Et πτῶκας, damas, vel hinnulos, vel lepores.

Πτῶμα. Cadaver. Corpus ſine capite.

Πτώματα ἐλαιῶν. Lyſias in oratione contra Niciam ſic appellare videtur vel fructum, qui de oleis decidit; vel ipſas arbores, quæ caſu quodam ceciderunt.

Πτώξ. Lepus. In Epigrammate: *Vidi ego leporem ſedentem prope fructus Bacchiadis, multos racemos devorantem.*

Πτώσεις. Caſus. Sic Philoſophi generaliter vocant quaſcunque inflexiones & formationes [vocabulorum ab aliis deductorum.] Non vero & nunc ita ſe res habet, ſed Conjugatorum alia dicuntur *Caſus*, alia, *Denominativa*; quæ quidem inter ſe ſunt affinia, ſed tamen differunt. Et *Caſus* quidem vocant ea, quæ ſpecialiter ab aliquibus formata ſunt: ut γραμματικῶς. Hoc enim eſt *caſus* nomi-

1 Ὅτι Ὑρκανοῦ συνδειπνοῦντος Πτολ. τῷ βασιλ. καὶ πάντ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, deſcripta ſunt ex Joſephi *Antiquit. Jud.* lib. XII. cap. IV. ut Pearſonius obſervaverat.

2 Πτολεμαῖος, στρατηγὸς κατὰ Κύπρου· ὃς οὐδαμῶς Αἰγ. Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii, quæ leguntur in Excerptis a Valeſio editis, pag. 126.

3 Πτώματα ἐλαιῶν. Λυσ.] Ex Harpocratione.

4 Πτώσεις. οὕτω λέγουσ.] Articulus hic, ut puto, ſumptus eſt ex Alexandro Aphrodiſ. in *Topica* Ariſtotelis.

φρόνιμος, καὶ ἀνδρεῖος. ἔστι δὲ ὁ παραδιδόμενος τόπος τοιοῦτος. ἂν ἡ πτῶσις τινὸς ἢ ὁπωσοῦν λεγομένη πλεοναχῶς, καὶ αὐτὸ πλεοναχῶς· καὶ εἰ αὐτὸ, καὶ ἡ πτῶσις. οἷον, ἐπεὶ τοῦ δικαίου τὸ δικαίως πτῶσις· πλεοναχῶς δὲ τὸ δικαίως· πλεοναχῶς καὶ τὸ δίκαιον καὶ ἔμπαλιν. λέγεται δὲ τὸ δικαίως πλεοναχῶς. ὅ, τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην κρίνας, καὶ τὸ δόξαν αὐτῷ δίκαιον εἶναι ἀποφηνάμενος, δικαίως λέγεται κεκρικέναι, κἂν μὴ οὕτω δίκαιον ᾖ τοῦτο. λέγεται δὲ δικαίως κεκρικέναι καὶ ὁ ὡς δεῖ κρίνας· ἀλλὰ καὶ ὁ τῷ νόμῳ πεισθεὶς, κἂν μὴ τὸ ταῖς ἀληθείαις δίκαιον οὕτως ἔχῃ. καὶ τὸ δίκαιον οὖν τῶν πλεοναχῶς λεγομένων καὶ τοσαυταχῶς. καθ' ἕκαστον γὰρ τῶν δικαίως. τό, τε γὰρ κατὰ τὴν ἑαυτοῦ γνώμην, καὶ τὸ ὡς δεῖ, δίκαιον. τοιοῦτον καὶ τὸ νόμιμον. καὶ δῆλον, ὅτι ἀντιστρέφει ὁ τόπος. καὶ γὰρ εἰ αὐτὸ πάλιν πλεοναχῶς τὸ δίκαιον, καὶ ἡ πτῶσις ἡ ἀπ' αὐτοῦ, τὸ δικαίως, πλεοναχῶς. κατὰ δὲ γραμματικοὺς, πτῶσις ἐστὶν ὀνόματος ἢ ὀνοματικοῦ τινος κατὰ τὸ τέλος γενομένη κίνησις.

nis γραμματικός. Eadem eſt ratio adverbiorum horum, δικαίως, μουσικῶς, φρονίμως, & ἀνδρείως. Sunt enim caſus horum nominum, δίκαιος, μουσικὸς, φρόνιμος, & ἀνδρεῖος. Locus autem, qui nunc proponitur, talis eſt. Si caſus alicujus vocis multiplici ſenſu dicatur, & vox ipſa multiplici ſenſu dicetur: &, ſi ipſa vox, & caſus. Ut, Cum *juſte* ſit caſus vocis *juſtus*; τὸ *juſte* vero multiplici ſenſu dicatur; & vox *juſtus* multiplici ſenſu dicetur, & contra. *Juſte* autem multiplici ſenſu dicitur. Nam & ille, qui ex animi ſui ſententia judicavit, & id, quod juſtum ipſi videbatur, pronuntiavit, juſte judicaſſe dicitur: quamvis id revera juſtum non ſit. Item, *juſte* judicaſſe dicitur is, qui judicavit, ut oportet: itemque, qui legi paruit; quamvis vera juſtitia careat. Quare & *juſtum* multiplici ſenſu & totidem modis dicetur, quot *juſte*. Nam *juſtum* tam dicitur id, quod quis juſtum judicat; quam quod revera tale eſt; itemque legibus conſentaneum. Et manifeſtum eſt, locum hunc converti. Nam viciſſim, ſi *juſtum* pluribus modis dicitur, & caſus ejus, id eſt, *juſte*, pluribus modis dicetur. Secundum Grammaticos vero, Caſus eſt nominis, vel vocis nominis vice fungentis, in fine inflexio.

Πτώσσοντες. δειλιῶντες. καὶ πτώσσουσαν. δειλιῶσαν, κρυπτομένην.

> Πᾶν δὲ κατ' [1]εὔδενδρον στίβον [2]δρυὸς, εἴρυσα χειρὶ
> Πτώσσουσαν Βρομίας οἰνάδος ἐν πετάλοις.

Πτωκαζέμεν. δειλιᾷν.

Πτωχεία· [3]πενίας διενήνοχεν. ἡ μὲν γὰρ πενία, μεμετρημένη ἐστὶν ἔνδεια, πόνῳ τὰ χρειώδη θηρῶσα. ἡ δὲ πτωχεία, παντελὴς τῆς κτήσεως ἔκπτωσις. καὶ ὁ μὲν πένης, παρὰ τὸ πένεσθαι, ὅ ἐστιν ἐνεργεῖν, καὶ ἐκ τοῦ πορίζεσθαι τὰ χρειώδη εἴρηται. ὁ δὲ πτωχὸς, παρὰ τὸ πτώσσειν πάντας. εἴρηται δὲ πενία, διὰ τὸ ἐκ τοῦ πονεῖν ἔχειν τὸ ζῆν. πτωχεία δὲ, ὡς εἴρηται, διὰ τὸ πτώσσειν πάντας ἀνθρώπους. [4]Ἀριστοφάνης·

> Οὐκοῦν δήπου τῆς πενίας πτωχείαν φαμὲν εἶναι ἀδελφήν.
> Ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον φάθ' ὁμοῖον.

Ὁ μὲν γὰρ τύραννος· ὁ δὲ, τυραννοκτόνος.

Πτώσσοντες. Metuentes. Formidantes. Et πτώσσουσαν. Metuentem. Præ metu ſe occultantem. [In Epigrammate:] *Totum vero ſaltum perambulans, manu protraxi* [*leporem*] *ſub vineæ Baccho ſacræ foliis præ metu latitantem.*

Πτωκαζέμεν. Timere. Formidare.

Πτωχεία. Egeſtas. Πτωχεία differt a πενία. Nam πενία eſt modica indigentia, cum quis labore victum ſibi quærit. At πτωχεία eſt egeſtas, ſive rerum omnium inopia, [& de mendicis dicitur.] Et πένης quidem dictus eſt a πένεσθαι, i.e. operari, & labore victum ſibi comparare. Πτωχὸς vero, a πτώσσειν, i.e. trepidare, ſive metuere: quod nimirum trepide & timide ad omnes accedat. Item, πενία dicta eſt a πονεῖν, i.e. laborare: quod ſcilicet labore vitam ſuſtentet. Πτωχεία vero, ut dictum eſt, a πτώσσειν, trepidare: quod coram omnibus hominibus trepidet. Ariſtophanes: *Atqui paupertatem egeſtatis dicimus eſſe ſororem. Vos ſane, qui Thraſybulo Dionyſium dicitis eſſe ſimilem.* Hic enim erat tyrannus; ille vero, tyrannicida.

Πτωχίστερος. ὡς λαλίστερος.

Πτωχίστερος. Mendicior. [Dictum eſt,] ut ut λαλίστερος.

Πτωχός. ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν. ἐπαίτης. παρὰ τὸ πτώσσειν πάντας, ὅ ἐστι, ταπεινοῦσθαι.

Πτωχός. Mendicus. Quaſi dicas, ὁ ἐκπεπτωκὼς τοῦ ἔχειν, i.e. qui ex bonis omnibus excidit. Vel ſic dictus eſt a πτώσσειν, trepidare: quod coram omnibus trepidet.

Πτωχοτροφεῖον.

Πτωχοτροφεῖον. Locus, ubi mendici aluntur.

Πτωχοῦ πήρα οὐ πίμπλαται. ἐπὶ τῶν ἀπλήστων εἴρηται. καὶ, Πτωχῶν [5]οὐλαὶ ἀεὶ κεναί. καὶ, Πτωχότερος λεβηρίδος καὶ κιγκάλου.

Πτωχοῦ π. *Mendici pera non repletur.* Dictum eſt in homines inexplebiles. Et, *Mendicorum crumenæ ſemper inanes.* Et, *Mendicior ſerpentis exuvio & cincalo.*

1 Εὐδενδρον στίβον] Sic recte MS. A. At priores Editt. inepte habent, εὐδενδροστίβον.

2 Δρυὸς] Scribe, δρίος: quæ vox *ſaltum*, vel locum arboribus conſitum ſignificat. Idem mendum occurrit in Epigrammate Simmiæ, Anthol. lib. III. cap. XXIV. pag. 385. Ibi enim pro ἀλσεῖ δρυὸς legendum eſt, ἀλσεῖ δρίος: ut ex ſenſu & conſtructione loci illius manifeſtum eſt.

3 Πτωχεία πενίας διενήνοχεν. ἡ μὲν γ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum*, pag. 58. (28. Ed. Baſ. *P.*)

4 Ἀριστοφάνης] *Pluto*, pag. 58. (28. Ed. Baſ. *P.*) ubi verſus ultimus rectius ſic legitur:

> Ὑμεῖς γ', οἵπερ καὶ Θρασυβούλῳ Διονύσιον εἶναι ὅμοιον.

5 Οὐλαὶ] An potius ἀλλάδες? Heſychio enim ἀλλάδες ſunt, πῆραι, θύλακοι: quæ ſignificatio loco huic optime convenit. At ἀλλὰ ſig-

Πτοία.

Πτοία. πτόησις. φόβος. Οἱ δὲ Σκύθαι ἐς τοῦτο δείματος καὶ πτοίας ἅπασι περιέστησαν, ὥστε εἷς καὶ μυρίους ἐδίωκεν, εἰ καὶ ἦν ἄοπλος, ὅπλα ἔχοντας, καὶ χεῖρας οὐκ ἀνταιρομένους.

Πτοίαν. πτόησιν. θόρυβον. ταραχήν. συναθροισμόν. πλυρμόν. Καὶ πτοία μέν τις διὰ τὸ ἀδόκητον ἐπέσχε τὸ στρατόπεδον, οἷα μὴ συντεταγμένους.

Πτοιόδωρος.[1] ὄνομα κύριον.

Πτύγμα. δίπλωμα. Ἐν Ἐπιγράμματι·

[2] Καὶ πέπλων ὀλίγων πτύγμα Θεμιστοδίκη.

Πτυκτίον.[3] βιβλίον.

Πτυκτῷ. πτυσσομένῳ.

Πτύξωμαι. [4] Ἀριστοφάνης Νεφέλαις· Πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ. ἀντὶ τοῦ, καλύψωμαι, σκεπάσωμαι. καὶ [5] Σοφοκλῆς·

Ὁ δ', ὡς ἀκούει φθόγγον ἐξαίφνης πικρὸν,
Πτύξας ἐπ' αὐταῖς χεῖρας, εἶπεν, ὦ τέκνα.

Πτυόδωρος.[6] ὄνομα κύριον.

Πτύον. πτυάριον.

Πτύσσω. τὸ [7] ἀσφαλίζω.

Πτυχαί. αἱ τῶν ὀρῶν [8] ἀποκλίσεις. καὶ τὰ διάφορα τῆς ἀσπίδος ἐπ' ἀλλήλοις ἐλάσματα. Καὶ,

[9] Ἀνειμένων πόλοιο παμφαῶν πτυχῶν,
Μύστης ὁρᾷ.

Ποῖ ποτε; Ἀριστοφάνης· Ποῖ γὰρ καὶ χρὴν ἀναμεῖναι; καὶ παρὰ [10] Σοφοκλεῖ, ἀντὶ τοῦ, εἰς τίνα χρόνον.

Ποῖ γὰρ μενεῖς ῥᾴθυμος, εἰς τίν' ἐλπίδων
Βλέψασ' ἔτ' ὀρθήν;

Ποῖ. ἀντὶ τοῦ ποῦ. Σοφοκλῆς. Τεῦκρος πρὸς νεκρὸν Αἴαντος·

[11] Ποῖ γὰρ μολεῖν με δυνατὸν, εἰς ποίους βροτοὺς,
Τοῖς σοῖς ἀρήξαντ' ἐν πόνοισι μηδαμοῦ;
Ἦπου με Τελαμὼν σὸς πατὴρ, ἐμός τ' ἅμα
Δέξαιτ' ἂν εὐπρόσωπος, ἵλεώς τ' ἴσως,
Χωροῦντ' ἄνευ σοῦ. πῶς γάρ; οὐχ, ὅτῳ πάρα
Μηδ' εὐτυχοῦντι μηδὲν ἥδιον γελᾶν.

Ποῖ γῆς ἀπεδήμεις; [12] ὁ Διόνυσος λέγει· Ποῖ γῆς; ὁ δὲ φησιν, Ἐπεβάτευον Κλεισθένει. τὸ ἐπιβατεύειν ἐπὶ συνουσίας. ἀπὸ μεταφορᾶς τῶν ζώων, ἃ ἐπιβαίνοντα συνουσιάζει. ὁ δὲ Κλεισθένης ἐπ' αἰσχρότητι ἐκωμῳδεῖτο. ἦν δὲ λεῖος τὸ γένειον καὶ εὐνούχῳ εἰκάζει αὐτόν. τὸν δὲ Κλεισθένην καὶ ἐπὶ τοῦ παχὺ πεῖν κωμῳδεῖ· ἐμφαίνει οὖν, ὅτι, εἰ καὶ κατὰ στρατείαν ἀπεδήμουν, Κλεισθένει ἂν ἐστρατευσάμην.

Πτοία. Pavor. Metus. Terror. *Scythæ autem tantum ſui terrorem omnibus incuſſerant, ut vel unus, licet inermis, decies mille armatos, ne reſiſtere quidem auſos, in fugam verteret.*

Πτοίαν. Terrorem. Pavorem. Tumultum. Conſternationem. *Et pavor quidam propter inopinatum caſum invaſit exercitum, utpote qui agmine incompoſito incedebat.*

Πτοιόδωρος. Ptœodorus. Nomen proprium.

Πτύγμα. Plica. Veſtimentum, vel linteum duplicatum. In Epigrammate: *Et paucos* [*hos*] *peplos complicatos* [*dedicavit*] *Themiſtodice.*

Πτυκτίον. Libellus. Pugillares plicatiles.

Πτυκτῷ. Plicato. Complicato.

Πτύξωμαι. Complicuerim. Ariſtophanes: *Priuſquam hoc* [*pallium*] *complicuero, ne madeſiam.* Vel, [pallio complicato] me texero & involvero. Et Sophocles: *Ille vero, ut vocem triſtem repente audivit, complicatis ſupra ipſas manibus, dixit, o filiæ.*

Πτυόδωρος. Ptyodorus. Nomen proprium.

Πτύον. Ventilabrum. Et πτυάριον, parvum ventilabrum.

Πτύσσω. Plico. Claudo.

Πτυχαί. Plicæ. Montium clivi. Item, clypeorum coria alia aliis impoſita. [Item, fores.] *Apertis ſplendidiſſimis cœli foribus, myſtes videt.*

Ποῖ ποτε; Ubinam? Ariſtophanes: *Ubinam enim oportebat eum expectare?* Et apud Sophoclem ſignificat, Quouſque. *Quouſque enim ceſſabis, qua ſpe fretus?*

Ποῖ. Quo. Apud Sophoclem Teucer mortuum Ajacem ſic alloquitur: *Quo enim ire potero, aut ad quos mortales, qui tibi in malis nullam opem tuli? An vero Telamon, tuus meuſque pater, læto & benigno vultu me excipiet, ſine te redeuntem? Haud ſane puto. Ille enim ne tum quidem, cum res ipſi ex animi ſententia cedunt, facile ridere ſolet.*

Ποῖ γῆς ἀπεδήμεις; *Quonam terrarum profectus eras?* Hercules [hoc Baccho] dicit. Cui ille reſpondet: *Cliſthenem inibam.* Τὸ ἐπιβατεύειν de coitu venereo dicitur: per metaphoram a brutis animalibus, quæ coitura fœmellas inſcendunt. Cliſthenes autem a Comicis perſtringebatur, ut impudicus, & qui ore morigeraretur. Idem menro erat glabro & vulſo: unde eunucho eum comparat. Eundē etiam ut pathicum Comico aceto perfundit. Significare igitur vult, ſe, etiamſi militiæ gratia peregre profectus fuerit, Cliſtheni tamen militaſſe.

nificat cicatricem; quod huc minime facit. Vel dicendum eſt, τὸ βάλη interdum etiam pro *crumena* vel pera accipi; quod tamen, tacentibus Grammaticis pro certo affirmare non auſim.

1 Πτοιόδωρος] Ejus mentio fit apud Demoſthenem: ut monet Harpocratio.

2 Καὶ πέπλων ὀλίγων π. τ.] Pentameter hic decerptus eſt ex Epigrammate Phædimi, quod ex codice MS. Anthologiæ ineditæ integrum cum Lectore communicavimus ſupra v. Ἀρχαί.

3 Πτυκτίον] Confer Noſtrum infra v. Πυκτίον.

4 Ἀριστοφάνης Νεφέλαις] Pag. 139. (74. Ed. Baſ. *P.*) ubi ſic legitur: Μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.

5 Σοφοκλῆς] *Oedip. Colon.* pag. 323. ut Portus monuit.

6 Πτυόδωρος] Paulo ante, Πτοιόδωρος.

7 Τὸ ἀσφαλίζω] Eſt interpretatio ſuſpecta.

8 Ἀποκλίσεις] Sic habet antiquiſſ. MS. A. At MSS. B. & C. itemque Editi præcedentes minus recte, ἀποκλείσεις, per diphthongum ει in ſyllaba penultima. Confer Euſtathium ad Il. Υ. pag. 1193. ubi πτύχας in montibus eſſe dicit, τὰς περιοχὰς τῶν ἀνακλίσεων, i.e. terminos clivorum.

9 Ἀνειμένων πόλοιο] Senarius hic legitur etiam ſupra v. Ἀνειμένας.

10 Παρὰ Σοφοκλεῖ] *Electra*, pag. 123. ut Portus monuit.

11 Ποῖ γὰρ μολεῖν με δυν.] Hic, & ſequentes Senarii leguntur apud Sophoclem *Ajace*, pag. 58. ut itidem Portus monuit.

12 Ὁ Διόνυσος λέγει] Imo, ὁ Ἡρακλῆς πρὸς Διόνυσον. Vide Ariſtophanem *Ranis*, pag. 212. (132. Ed. Baſ. *P.*) & ibidem Scholiaſtam: unde hæc Suidas deſcripſit.

Ποιά. ἡ πεποιημένη φωνή.

Ποιάντειον πεδίον.

Ποιεῦμεν. ποιοῦμεν.

Ποίη. ὁ ἐνιαυτὸς παρὰ Καλλιμάχῳ παρὰ τὸ ἅπαξ καὶ μόνον ἐν τῷ ἐνιαυτῷ τὴν βοτάνην φύεσθαι.

Μῆλον ἐγὼ στρύθειον ἀπὸ προτέρης ἔτι ποίης.[1]

Ποιήεσσαν. σιτοφόρον. βοτανώδη.

Ποίην. πόαν. βοτάνην, καὶ [2] ποιηφάγον, τὴν σταφυλολόγον. ἢ τὴν τοὺς ἀστάχυας ὄπισθεν τῶν θεριζόντων συρεύουσαν.

Ποιητέον. ἀντὶ τοῦ, δεῖ ποιεῖν.

Ποιητική. ζήτει ἐν τῷ Ἀρχή.

Ποίθιοι.[3] τέσσαρες ἄνδρες αἱρετοὶ παρὰ Λάκωσι, δύο καθ' ἕκαστον βασιλέα σύσσιτοι.

Ποικίλη.[4] στοὰ ἐν Ἀθήναις, ἔνθα ἐγράφησαν οἱ ἐν Μαραθῶνι πολεμήσαντες· εἰς οὓς ἐστὶν ἐπίγραμμα τόδε·

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι,
Ἔκτειναν Μήδων εἴκοσι μυριάδας.

Ποικιλία.

Ποικιλομήτης. ποικιλόβουλος. ποικιλόμητις δέ.

Ποικίλος. καὶ ποικιλώτατος.

Ποικιλῳδός.

[5] Ἡ ποικιλῳδὸς Σφὶγξ τὸ πρὸς ποσὶν σκοπεῖν,
Μεθέντας ἡμᾶς τἀφανῆ, προσήγετο.

Ποικιλώτερος ὕδρας. [6] ἐπὶ τῶν δολερῶς θαυμαζομένων.

Ποικιλτικήν. πολυμιταρικήν.

Πυκνὸς λόγος. ὁ πυκνός.

Ποιμένων.[7] κηδεμόνων. ἐπεὶ καὶ ποιμαίνειν, τὸ φροντίζειν.

Ποιναὶ τιμωροὶ τοῖς κακῶς ποιοῦσιν ἀκολουθοῦσιν· οὐχ ὡς σκιαὶ σώμασι πλησίον, ἀλλὰ καὶ ὀψὲ τοῦ χρόνου.

Ποινή. [8] ποινὴ λέγεται ἐπὶ μόνης καταβολῆς χρημάτων.

Ποινήν,[9] ἢ οὗ παιδὸς ἐδέξατο τεθνειῶτος.

Ποιά. Qualitatem aliquam habens. Quædam. Ut, ποιὰ φωνή. Vox talis, vel talis.

Ποιάντειον πεδίον. Pœantius campus.

Ποιεῦμεν. [Dorice, pro] ποιοῦμεν. Facimus.

Ποίη. [Proprie, herba.] At apud Callimachum [ſic dicitur] annus: quod ſemel tantum in anno herba naſcatur. † *Malum ego ſtruthium, prima adhuc lanugine veſtitum.*

Ποιήεσσαν. Fruges ferentem. Herboſam. Herbidam.

Ποίην. [Ionice, pro] πόαν. Herbam. Et ποιηφάγον, herbam edentem. Item, racemilegam. Vel, ſpicas pone meſſores colligentem.

Ποιητέον. Faciendum eſt.

Ποιητική. Effectrix. Efficiens. Quære in voce Ἀρχή.

Ποίθιοι. Pœthii. Quatuor viri, qui apud Lacones deligebantur, ut bini cum ſingulis Regibus veſcerentur.

Ποικίλη. Pœcile. Porticus Athenis ſic dicta: in qua picti erant illi, qui in campo Marathonio pugnaverant. In hos etiam exſtat Epigramma hoc: *Athenienſes Marathone pro Græcis dimicantes, interfecerunt ducenta millia Medorum.*

Ποικιλία. Varietas.

Ποικιλομήτης. Verſipellis. Verſutus. At ποικιλόμητις, [fœmininum, ſcribitur per ι in ſyllaba ultima.]

Ποικίλος. Varius. Variis coloribus pictus. Et ποικιλώτατος, valde varius.

Ποικιλῳδός. Vario vocis flexu cantans. Variis & callidis dictis vel ænigmatis utens. [Sophocles:] *Sphinx callidis & doloſis dictis utens, coegit nos, omiſſis iis, quæ incerta ſunt, res ante pedes poſitas ſpectare.*

Ποικιλώτερος ὕδρας. Magis varius quam hydra. Dicitur in homines valde aſtutos & doloſos.

Ποικιλτικήν. Artem acu variandi, qualis eſt Phrygionum. Vel, artem variis liciis texendi veſtem.

Πυκνὸς λόγος. Oratio prudens. Proprie, denſa. Πυκνὸς enim hic poſitum eſt pro πυκινός.

Ποιμένων. [Proprie, paſtorum. At metaphorice,] curatorum. Nam & ποιμαίνειν ſignificat, curare.

Ποιναὶ τιμ. *Pœnæ ultrices maleficos ſequuntur; non prope, ut corpus umbræ: ſed etiam longo tempore poſt.*

Ποινή. Sic interdum dicitur mulcta, vel pretium, quod ſolvitur ad penſandam injuriam. [Homerus: *Etiam fratre,*] *vel filio occiſo,*

1 Μῆλον ἐγὼ στ.] Hexameter hic eſt pars Epigrammatis, quod integrum exſtat Anthol. lib. I. cap. XX. in fine: ut Portus etiam monuit. Ibi autem pro ἀπὸ προτέρης legitur ἀφ' ὁπωρινῆς.

2 Καὶ ποιηφάγον, τὴν σταφυλολ.] Quid hæc ſibi velint, ignorare me fateor: vereorque valde, ne nota hæc mutila & manca ſit.

3 Ποίθιοι] Rectius, Πύθιοι, per υ in ſyllaba prima. Sic enim vocantur ab Herodoto lib. VI. pag. 221. & Xenophonte in *Repobl. Lacedæmon.* ſub finem. Poſterioris verba hæc ſunt: Ἔδωκε δ' αὖ καὶ συσκήνους δύο ἑκατέρῳ (Βασιλεῖ) προσελέσθαι, οἳ δὴ καὶ Πύθιοι καλοῦνται.

4 Ποικίλη] Confer Noſtrum ſupra v. Πεισιανάκτειος.

5 Ἡ ποικιλῳδὸς Σφ.] Duo hi Senarii leguntur apud Sophoclem *Oedip. Tyran.* pag. 155. ut Portus monuit.

6 Ἐπὶ τῶν δολερῶς θαυμ.] Vel ſcribendum eſt, ἐπὶ τῶν δολερῶν, ut habet Diogenianus. Vel, ἐπὶ τῶν ἐπὶ δόλῳ θαυμαζομένων. Lectio enim vulgata inepta eſt.

7 Ποιμένων. κηδεμόνων. ἐπεὶ καὶ ποιμ.] Ex Scholiaſta Sophoclis ad *Ajac. Flag.* pag. 21.

8 Ποινὴ λέγεται ἐπὶ μόνης καταβ.] Ex Scholiaſta Sophoclis ad *Electram,* pag. 91. ut Portus monuit.

9 Ποινήν, ἢ οὗ παιδ.] Homerus Il. I. v. 629. unde ſenſus hujus loci ſupplendus eſt. Ποινὴ autem in loco hoc Homerico ſignificat mulctam, vel pretium, quod homicida propinquis defuncti ſolvebat, ne eum homicidii reum agerent. Heſychius: Ποινή, ἀντάποσις ἡ ὑπὲρ φόνου διδομένη, καὶ ἡ δωρεά, καὶ τὰ διδόμενα χρήματα ὑπὲρ τινος ἀνῃρημένου τοῖς αὐτοῦ οἰκείοις. Homerus Il. Σ. v. 498.

——Δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου.

Scholiaſta: Ποινῆς ἐν λόγῳ, τοῦ καλουμένου παρὰ τοῖς Ἀττικοῖς ὑποφονίου· ὃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. λέγεται δὲ κοινῶς πᾶσα ἀντίτισις, ποινή. Recte monet, Atticos ὑποφόνια dixiſſe, quod reliqui Græci ſimpliciter vocabant ποινήν. Id enim aperte etiam docet Harpocratio v. Ὑποφόνια, & ex eo Noſter infra ead. v.

Ἀλλ

Ἀλλ' ὁ μὲν ἐν δήμῳ μένει αὐτοῦ πόλλ' ἀποτίσας·
Τοῦ δέ τ' ἐρητύεται κραδίη καὶ θυμὸς ἀγήνωρ,
Ποινὴν δεξαμένου.

[1]Λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμωρία. Σοφοκλῆς·
Οἷς ὁ μέγας Θεὸς Ὀλύμπιος
Ποίνιμα πάθεα παθεῖν πόροι.

Καὶ, δίκη μεταποίνιος. ἐν Ἐπιγράμμασι·
Μὴ, λίτομαι, δέσποινα, τοίην μὴ λάμβανε ποινήν.

Καὶ Αἰλιανός· [2]Ὁ Ἀπόλλων φησὶ πρὸς Λοκροὺς, μὴ ἂν αὐτοῖς τὸ δεινὸν λωφῆσαι, εἰ μὴ πέμποιεν ἀνὰ πᾶν ἔτος δύο παρθένους εἰς τὴν Ἴλιον τῇ Ἀθηνᾷ, Κασσάνδρας ποινὴν, ἕως ἂν ἱλεώσηται τὴν Θεόν. καὶ ποίνιμοι, αἱ τιμωρητικαὶ Ἐριννύες. [3]Σοφοκλῆς·
Ἴτ', ὦ ταχεῖαι ποίνιμοί τ' Ἐριννύες,
Γεύεσθε, μὴ φείδεσθε πανδήμου στρατοῦ.

Καὶ αὖθις· [4]Πάντων τῶν ἀσεβημάτων καὶ παρανομημάτων, ὧν εἰργάσατο, παρέστησαν αὐτῷ τινας ἐριννῦς καὶ ποινὰς καὶ προστροπαίους τῶν δι' ἐκείνων ἠτυχηκότων.

Ποινήλατον. Τοῦτον ὡς ποινήλατον ὁ φιλόσοφος ἐξετρέπετο.

Ποινήν. τιμωρίαν. ἀντέκτισιν. πρόστιμον.

Ποινήν. Οὓς λάβοιεν αἰχμαλώτους, ἀνεσκολόπιζε, καὶ ᾐκίζετο, ποινὰς τοῦ πατρὸς [5]Φόβου πράξασθαι θέλων.

Ποινηλατούμενος.

Ποιούντων. ἀντὶ τοῦ ποιείτωσαν. καὶ ζήτει ἐν τῷ Δρώντων.

Ποιπνύω. τὸ ἐνεργῶ. Ὅμηρος.

Ποῖ πορεύῃ γλῶσσα. ζήτει ἐν τῷ, Γλῶσσα ποῖ πορεύῃ.

Ποιοίη. εὐκτικόν. ποιοῖ.

Ποίφυγμα.

Ποιφύσσω. σφοδρῶς καὶ μετ' ἤχου τὴν πνοὴν ἐκπέμπω.
Οὐδὲ [6]παρὰ σκαρθμοῖσι νεὼς περικαλλέα χείλη

pretium cædis quis accepit. Et ille quidem in patria manet, mulcta perſoluta: hujus vero cor & animus ferox placatur, accepto pretio cædis. [Aliter.] Ποινὴ dicitur mulcta, vel pretium, quod pro cæde perſolvitur. [Et ποίνιμον, id, quo plectimur.] Sophocles: *Quos magnus Deus Olympius malis plectat.* Et, δίκη μεταποίνιος, pœna, qua quis poſt commiſſa ſcelera plectitur. In Epigrammate: *Ne, obſecro, Domina, ne talem ſumito pœnam.* Et Ælianus: *Apollo Locris reſpondet, malum illorum non ceſſaturum eſſe, niſi quotannis binas virgines Ilium mittant Minervæ, pœnas ob Caſſandram luituras, donec Deam illam placarint.* Et, ποίνιμοι Ἐριννύες, Furiæ ultrices. Sophocles: *Ite, celeres & ultrices Furiæ; guſtate [ſanguinem] univerſi exercitus, nec ei parcite.* Et iterum: [*Prorſus enim, ac ſi fortuna*] *omnium ſcelerum, quæ commiſerat,* [*pœnas ab eo expetere vellet,*] *quaſdam furias, & ultrices omnium, quos in calamitates conjecerat, diras ei admovit.*

Ποινήλατον. A Furiis agitatum. *Philoſophus illum ut a Furiis agitatum evitavit.*

Ποινήν. Pœnam. Talionem. Ultionem. Mulctam.

Ποινήν. Pœnam. *Quos captivos ceperat, eos fœde cruciatos cruci affigebat, patris mortem ulciſci volens.*

Ποινηλατούμενος. A Furiis agitatus.

Ποιούντων. [Attice pro] ποιείτωσαν. Faciant. Quære in v. Δρώντων.

Ποιπνύω. Operor. Miniſtro. In re aliqua occupor. Homerus.

Ποῖ π. γ. *Quo vadis lingua?* Quære in v. Γλῶσσα ποῖ πορ.

Ποιοίη. Optativus. Pro ποιοῖ, faciat.

Ποίφυγμα. Vehemens ſpiritus emiſſio.

Ποιφύσσω. Vehementer, & cum ſonitu quodam flatum emitto. [Inflo.] [In Epigrammate:] *Neque juxta ſcalmos navis pulchra la-*

1 *Λέγεται δὲ καὶ ἡ ἀντέκτισις καὶ τιμ.*] Loci hujus ſenſum eum eſſe, quem in verſione expreſſimus, patet ex Scholiaſta Homeri ad Il. I. v. 629. ubi Grammaticus iſte verba illa Poetæ, *κασιγνήτοιο φόνοιο ποινὴν ἐδέξατο*, enarrans, ſic ait: *Ἀντέκτισιν, τιμωρίαν ἔλαβε ὑπὲρ ἀδελφικοῦ φόνου.* Huc enim Suidas reſpexit.

2 *Ὁ Ἀπόλλων φησὶ πρὸς Λοκρ.*] Ut fragmentum hoc recte intelligatur, ſciendum eſt, anno poſt Ilii excidium tertio, cum peſte graviſſima vexarentur Locrenſes, editam eſſe ſortem ab Apolline, non aliter mali finem inventuros, quam ſi ad placandam Minervam Ilienſem, ob imminutam Caſſandræ virginitatem ab Ajace univerſæ genti Locrorum infenſam, binas Locrides virgines ſorte lectas per annos mille continuos Ilium mitterent. Hiſtoria eſt nobiliſſima, quam luculenter narrat Tzetzes ad Lycophronem, v. 1141. ubi inter alia & hæc habet: *Φθορᾷ δὲ καὶ λοιμὸς μετὰ τρίτον ἔτος ἔσχε τὴν Λοκρίδα, διὰ τὴν εἰς Κασσάνδραν ἀθέμιτον μῖξιν Αἴαντος. ἔχρησε δὲ ὁ Θεὸς, ἱλάσκεσθαι Ἀθηνᾶν, τὴν ἐν Ἰλίῳ, ἐπὶ ἔτη χίλια δύο παρθένους πέμποντας ἐπὶ κλήρῳ καὶ λαχήσει.* Addit deinde, Trojanos virginibus hiſce, antequam ad Ilium pervenirent, obviam ire ſolitos fuiſſe, eaſque, ſi forte cepiſſent, occidiſſe; ut Locri earum loco alias mittere cogerentur. Si quæ vero evaſiſſent, & Ilium ſalvæ perveniſſent, illas in templo Minervæ famularum & ancillarum miniſteria obiiſſe, tonſis capillis, diſcalceatas, & una tantum tunica indutas. Mos hic mittendi Ilium puellas per mille circiter annos duravit, ut teſtatur Hieronymus lib. 1. adverſus Jovinianum. Et Plutarchus in libello *De ſera Numinis vindicta*, pag. 557. auctor eſt, morem illum paulo ante ætatem ſuam deſiiſſe. Ait enim: *Καὶ μὴν οὐ πολὺς χρόνος, ἀφ' οὗ Λοκροὶ πέμποντες εἰς Τροίαν πέπαυνται τὰς παρθένους,*
Αἳ καὶ ἀναμπέχονοι γυμνοῖς ποσὶν, ἠΰτε δοῦλαι,
Ἠοῖαι σαίρεσκον Ἀθηναίης περὶ βωμὸν,
Νόσφι κρηδέμνοιο, καὶ εἰ βαρὺ γῆρας ἱκάνοι·
Διὰ τὴν Αἴαντος ἀκολασίαν. Id eſt: *Neque diu eſt, ex quo Locri deſierunt virgines Trojam mittere,*
Quæ nuda veſtibus, diſcalceata, tanquam ſervæ,
Mane Minervæ aram circumverrebant,
Abſque velamine capitis, etiam cum ſenio jam confectæ eſſent:
propter Ajacis libidinem. Locus eſt elegans. In verſu ſecundo pro *αἷ οἷαι*, ut male apud Plutarchum excuſum eſt, reſcripſi *ἠοῖαι*; quam lectionem ſenſus aperte flagitat. Exiſtimo autem verſus hos, quos Plutarchus abſque nomine auctoris adducit, eſſe Callimachi; quoniam Tzetzes loco ante laudato teſtatur, poetam illum hiſtoriæ de virginibus Locridibus Ilium miſſis mentionem feciſſe. Sed hoc obiter. Conferat Lector Caſaubonum ad Æneæ *Poliorcet.* cap. XXXI. & Valeſium in notas Mauſſaci ad Harpocr. v. *Ὑποφόνια.*

3 *Σοφοκλῆς*] *Ajace*, pag. 50. ut Portus monuit.

4 *Πάντων τῶν ἀσεβημάτων καὶ παρ.*] Hæc ſunt verba Polybii de Philippo Rege, ſed mutila, nec ſatis ſana; quæ ſupplenda & emendanda ſunt ex Collectaneis Conſtantini a Valeſio editis, in quibus pag. 117. recte ſic legitur: *Καθάπερ γὰρ ἂν εἰ δίκην ἡ τύχη βουλομένη λαβεῖν ἐν καιρῷ παρ' αὐτοῦ πάντων τῶν ἀσεβημάτων καὶ παρανομημάτων, ὧν εἰργάσατο κατὰ τὸν βίον, τότε παρέστησέ τινας Ἐριννῦς,* &c.

5 *Φόβου*] Cum Porto ſcribendum cenſeo, *φόνου*.

6 *Οὐδὲ παρὰ σκαρθ.*] Diſtichum hoc decerptum eſt ex Epigrammate nondum edito, quod ex codice MS. integrum hic cum Lectore communicabo. *Ἀνύτης μελοποιοῦ εἰς δελφῖνα.*
Οὐκ ἔτι δὴ πλωτοῖσιν ἀγαλλόμενος πελάγεσσιν
Αὐχέν' ἀναρρίψω βυσσόθεν ὀρνύμενος·
Οὐδὲ παρὰ σκαλμοῖσι νεὸς περικαλλέα χείλη

Ποιφύσσω, τἀμᾷ τερπόμενος προτομᾷ. Ὁ ¹ δελφὶς φησί. καὶ ποιφύξαι, φυγεῖν.

bio inſtabo, mea effigie me oblectans. Sic delphin inquit. Et ποιφύξαι, fugere.

Πυανεψιών. ὄνομα μηνός. καὶ ² Πυανοψία. Λυκοῦργος ἐν τῷ κατὰ Μενεσαίχμου. καὶ ἡμεῖς Πυανοψίαν ταύτην τὴν ἑορτὴν καλοῦμεν. οἱ δὲ ἄλλοι Ἕλληνες, Πανοψίαν, ὅτι πάντας εἶδον τοὺς καρποὺς τῇ ὄψει. Πυανεψιῶνος δὲ ἑβδόμῃ τὰ Πυανέψια Ἀπόλλωνι ἄγεσθαί φασι. δεῖν δὲ φασὶ λέγειν, Πυανέψια, καὶ τὸν μῆνα Πυανεψιῶνα. πύανα γὰρ ἕψουσιν ἐν αὐτοῖς, καὶ ἡ εἰρεσιώνη πλέκεται.

Πυανεψιών. Pyanepſion. Nomen menſis [apud Athenienſes.] Et Πυανοψία, Pyanopſia. Lycurgus in oratione contra Meneſæchmum. Et nos hoc feſtum vocamus Pyanopſiam. Alii vero Græci, Panopſiam; a πᾶν, omne, & ὄπτομαι, video: quod tunc omnia frugum genera oculis viderentur. Pyanepſionis vero ſeptimo die Pyanepſia Apollini celebrari tradunt. Ajunt autem dicendum eſſe Pyanepſia; & ipſum menſem Pyanepſionem. Fabas enim, πύανα olim dictas, die illo feſto elixabant, & ramus oleaginus, εἰρεσιώνη vocatus, inſtruebatur.

Πύανθος.³ ὄνομα κύριον.

Πύανθος. Pyanthus. Nomen proprium.

Πύγαργος. εἶδος ἀετοῦ. παρὰ τὸ πυγὴν ἔχειν ἀργὴν καὶ λευκήν.

Πύγαργος. Pygargus. Genus aquilæ, ſic dictum, quod habeat πυγὴν ἀργήν: i. e. caudam albam. Albicillam quidam vocant.

Πύγελλα. τόπος, ὁ παρ' ἡμῖν λεγόμενος Φύγελλα· ὅθεν ἐστὶ περαιώσασθαι τὸν πρὸς Κρήτην καταίροντα πορθμόν.

Πύγελλα. Pygella. Locus, qui apud nos Phygella vocatur; unde fretum trajici poteſt, per quod Cretam uſque navigatur.

Πυγαῖα.⁴ τὰς σπείρας τῶν κιόνων. καὶ, τοῦ σώματος ἡμῶν τὰ κατὰ τὸ ἱερὸν ὀστοῦν. καὶ πυγαῖος, ὁ ἀκόλαστος.

Πυγαῖα. Spiras columnarum. Item, partem illam corporis, quæ eſt ad ſacrum os. Nates. Et πυγαῖος, impudicus, libidinoſus.

Πύγελα.⁵ πόλις ἐν τῇ Ἰωνίᾳ τὰ Πύγελα. λαβεῖν δὲ τὸ ὄνομα, ἐπεὶ τῶν μετ' Ἀγαμέμνονος τινὲς νοσήσαντες τὰς πυγὰς, ἐνταῦθα κατέμειναν.

Πύγελα. Pygela, urbs in Ionia: quæ inde nomen accepiſſe dicitur, quod quidam ſociorum Agamemnonis, natium morbo laborantes, illic remanſiſſent.

Πυγή. τὸ περὶ τὸν πρωκτὸν μέρος. ⁶ Ἀριστοφάνης·
Γυμνάζομαί γε; καὶ ποτὶ πυγὴν ἅλλομαι.
ἐν γὰρ τῷ γυμνάζεσθαι πηδᾶν εἰώθασι, καὶ οἱ πόδες τοῦ πηδῶντος ἅπτεσθαι τῆς πυγῆς. καὶ παροιμία· Εἰς κυνὸς πυγὴν ὁρᾷ. ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς, ἤτοι ὀφθαλμιώντων ἐπέλεγον, Ἐς κυνὸς πυγὴν ὁρᾷν, καὶ τριῶν ἀλωπέκων.

Πυγή. Nates. Ariſtophanes: *Exerceo me, & ad podicem ſalto.* Qui enim ſaltando ſe exercent, ita ſaltare ſolent, ut pedes illorum nates attingant. Et proverbium: *In canis podicem inſpicit.* In lippos & cœcutientes dicere ſolebant, *In canis podicem inſpicere & trium vulpium.*

Πυγιδίων. ⁷ ὀνύχων. ⁸ Ἀριστοφάνης· Εἰ γάρ τις εἴποι ἰοστεφάνους, εὐθὺς ἐπ' ἄκρων πυγιδίων κάθησθε. ἀντὶ τοῦ, ἐπ' ἄκρων τῶν ὀνύχων. οἱ γὰρ ἡδέως τι ἀκούοντες, δοκοῦσιν ἐπάνω τῶν πυγῶν καθέζεσθαι.

Πυγιδίων. Parvarum natium. Natium. Ariſtophanes: *Si quis enim urbem veſtram violis redimitam vocet, illico in ſummis natibus ſedetis.* Dicere debebat, ἐπ' ἄκρων τῶν ὀνύχων, i. e. in ſummis digitis pedum. [Sed præter expectationem dixit, ἐπ' ἄκρων τῶν πυγιδίων.] Qui enim libenter aliquid audiunt, in ſummis natibus ſedere videntur.

Κῦμα, πολυψάμμοις ὦσεν ἐπὶ ψαμάθοις.
Ποιφύξω, τἀμᾷ τερπόμενος σκαρθμοῖς·
Ἀλλά με πορφυρέα πόντου νοτὶς ὦσ' ἐπὶ χέρσον,
Κεῖμαι δὲ ῥαδινὰν τάνδε παρ' ἠιόνα.

Epigramma hoc ſcriptum eſt in delphinem, qui a fluctibus in littus ejectus, queritur, ſe non amplius in mari juxta naves exultaturum, effigiemque ſuam cum voluptate aſpecturum eſſe. Solebant nimirum veteres in proris navium effigies vel προτομὰς variorum animalium, ut delphinis, leonis, tauri, canis, &c. ornatus gratia collocare, unde toti navi nomen imponebatur. Hinc legas, ναῦς δελφινοφόρος, κριοφόρος, ταυροφόρος, &c. i. e. navis, delphini, arietis, tauri, &c. effigiem in prora præferens. Pollux lib. 1. cap. ix. Ὑπὲρ δὲ τὸ ἔμβολον δελφὶς ἔστι, ὅταν ἡ ναῦς δελφινοφόρος ᾖ. Id eſt: *Supra roſtrum vero collocatur delphin, ſi navis inſigne ſit delphin.* Hinc clara lux affulget verbis illis Epigrammatis,
———Τἀμᾷ τερπόμενος προτομᾷ.
Obſervandum porro eſt, pro σκαρθμοῖς, ut Suidas hic habet, in codice MS. Epigrammatum legi, σκαλμοῖς, i. e. *ſcalmis*: quæ lectio cum magis placeat, eam in verſione ſecutus ſum. Ποιφύσσω autem hic non tam ſignificat, *ſpiritum ore emitto*, ut Suidas interpretatur; quam *inflo*, ut ſenſus & conſtructio ſuadent. Cæterum, antequam hinc abeam, aliud ſimilis argumenti Epigramma, nondum item editum, ex eodem codice Anthologiæ hic publici juris faciam. Ἀρχίου εἰς δελφῖνας.
Οὐκ ἔτι παφλάζοντι διαθρώσκων βυθὸν ἅλμης
Δελφὶς πηδήσεις εἰναλίων ἀγέλας·
Οὐδὲ πολυτρήτοιο μέλος καλάμοιο χορεύων,
Ὑγρὸν ἀναρρίψεις ἅλμα παρὰ σκαφίσιν.
Ἢ γὰρ ἴσον στρατιᾶς Μαλείης ὡς ἐπινήξ

Κῦμα, πολυψάμμοις ὦσεν ἐπὶ ψαμάθοις.
Οὐδὲ σύ γ', ἀφροφαγὲ, Νηρείδας, ὡς πρὶν, ἀείρων
Νώτοις πορθμεύσεις Τέθνος εἰς πέρατα.
Diſtichum tertium citat Suidas ſupra v. Προτομαῖς, ſed corrupte: qui proinde hinc emendandus eſt. In Pentametro ultimo τὸ ἀφροφαγὲ eſt vocativus, a recto ἀφροφαγὴς, ſpumam edens: quæ vox eodem modo formata eſt, quo ὠμοφαγὴς, crudivorus, δερμοφαγὴς, pellem comedens, & ſimilia.

1 Δελφὶς] Sic ſcribendum eſſe, ex iis, quæ in nota præcedente dicta ſunt, ſatis patet. At priores Editt. male habent, ἀδελφὶς.

2 Καὶ Πυανοψία. Λυκοῦργ.] Ex Harpocratione: ſed apud quem, æque ac hic apud Suidam, ſcribendum eſt, Πυανόψια, & Πανόψια, cum accentu in antepenultima. Nomina enim Feſtorum numero plurali & genere neutro apud Græcos efferri ſolent.

3 Πύανθος] Sic habent MSS. Pariſ. itemque Editt. Mediol. & Aldina. At Editt. Baſil. & Genev. Πυάνθρωπος: ſed quarum Editt. auctoritas, ubi a reliquis diſcrepant, nullo loco habenda eſt, ut & alibi monuimus.

4 Πυγαῖα. τὰς σπ.] Eadem habet Heſychius; ſed apud quem legitur πυγαίας, genere fœminino.

5 Πύγελα. πόλις ἐν τῇ Ἰων.] Ex Harpocratione.

6 Ἀριστοφάνης] *Lyſiſtr.* pag. 840. (543. Ed. Baſ. P.)

7 Ὀνύχων] Cave putes, hanc eſſe interpretationem vocis πυγιδίων; ſed ſenſus eſt, Ariſtophanem loco eo, quem in nota ſequente indicabimus, παρὰ προσδοκίαν dixiſſe πυγιδίων, cum dicendum eſſet ὀνύχων. Si aliter hæc acceperis, nota hac nihil erit ineptius. Vel puer enim videat, τὸ ὀνύχων non poſſe interpretationis loco jungi τῷ πυγιδίων; vocibus his ſignificatione immane quantum diſcrepantibus.

8 Ἀριστοφάνης] *Acharnenſ.* pag. 401. (287. Ed. Baſ. P.) ubi

Πύγμα-

Πυγμαλῖνος. ὄνομα κύριον. καὶ Πυγμαλίων.

Πυγμή. πάλη. σύγκλεισις δακτύλων. κόνδυλος.

Πυγόνος. ἀντὶ τοῦ, πήχεως. Αἰλιανός· Τετράγωνοι δὲ ἄμφω, πυγόνος δὲ τὸ μῆκος.

Πυγοστόλος, προαγωγὸς, μαυλίστρια. Ἡσίοδος·
Μηδὲ γυνή σε πυγοστόλος ἐξαπατάτω.

Πυγούσιον. ὁ πῆχυς, κεκαμμένων τῶν δακτύλων.

Πυδαλίζω.[1] πηδῶ.

Πύδνα. ὄνομα πόλεως. ὁ ἀπὸ ταύτης, Πυδναῖος.

Πυελίδα.[2] τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. οὕτω Λυσίας, καὶ Ἀριστοφάνης.

Πύελος. ὄρυγμα. ἐμβατὴ, ἔνθα ἀπολούονται.

Πύελος. θήκη. Ἐπιστολὴν πέμπει ἐν Βυζαντίῳ, τῇ πυέλῳ τῶν ἱερῶν λειψάνων τοῦ κορυφαίου τῶν Ἀποστόλων Πέτρου τὸν τοιοῦτον χάρτην ἐπιτεθεικὼς, κἀκεῖθεν τοῦτο ταῖς χερσὶ τοῦ ἀποσταλέντος ἀρθῆναι ποιήσας. † [3] Θερμὴν εἰς πύελον εἰσῆλθε, καὶ ἄκρατον ἔσπασεν· εἶτ' ἀΐδην ψυχρὸν ἐπεσπάσατο.

Πυθαγόρας,[4] Σάμιος, φύσει δὲ Τυῤῥηνὸς, Μνησάρχου υἱὸς, δακτυλιογλύφου. νέος δὲ ὢν, σὺν τῷ πατρὶ ἐκ Τυῤῥηνίας ᾤκησεν εἰς Σάμον. οὗτος ἤκουσε πρῶτον Φερεκύδου τοῦ Συρίου ἐν Σάμῳ· εἶτα Ἑρμοδάμαντος ἐν τῇ αὐτῇ Σάμῳ, ὃς ἦν ἀπόγονος Κρεωφύλου. εἶτα Ἀβάριδος τοῦ Ὑπερβορέου, καὶ Ζάρητος τοῦ Μάγου. παιδευθεὶς δὲ καὶ παρ' Αἰγυπτίοις καὶ Χαλδαίοις, ἦλθεν εἰς Σάμον, καὶ εὑρὼν αὐτὴν τυραννουμένην ὑπὸ Πολυκράτους, ἀπῆρεν εἰς Κρότωνα τῆς Ἰταλίας, καὶ σχολὴν συστησάμενος, [5] πλείους ἢ πεντακοσίους ἔσχε γνωρίμους. ἦσαν δὲ αὐτῷ καὶ ἀδελφοὶ δύο, πρεσβύτερος μὲν, Εὔνομος· μέσος δὲ, Τυῤῥηνός. δοῦλος δὲ ἦν αὐτῷ Ζάμολξις, ᾧ Γέται ὡς Κρόνῳ θύουσι. γαμετὴν δ' ἐποιήσατο Θεανὼ, τὴν Βροντίνου τοῦ Κροτωνιάτου θυγατέρα· ἐξ ἧς καὶ παῖδες αὐτῷ ἐγένοντο δύο, Τηλαύγης καὶ Δάμων, ἢ, ὥς τινες, Μνήσαρχος. κατὰ δέ τινας καὶ θυγάτηρ, Μυῖα ὄνομα· κατὰ δὲ ἄλλους, καὶ Ἀριγνώτη. [6] συνέγραψε δὲ ὁ Πυθαγόρας μόνα τρία βιβλία, Παιδευτικὸν, Πολιτικόν. τὸ δὲ φερόμενον τρίτον ὡς Πυθαγόρου, Λύσιδός ἐστι τοῦ Ταραντίνου, μαθητοῦ αὐτοῦ γενομένου, καὶ φυγόντος εἰς Θήβας, καὶ καθηγησαμένου Ἐπαμινώνδα. τινὲς δὲ ἀνατιθέασιν αὐ-

Πυγμαλῖνος. Pygmalinus. Nomen proprium. Et Πυγμαλίων, [itidem nomen proprium.]

Πυγμή. Lucta. Item, pugnus.

Πυγόνος. Idem quod πήχεως. Cubiti. Ælianus: *Ambo vero erant quadranguli, cubitique longitudine.*

Πυγοστόλος. Lena. Meretrix. [Proprie, nates ornans.] Heſiodus: *Neque te mulier impudica decipiat.*

Πυγούσιον. Cubitus, cujus digiti [non ſunt extenſi, ſed] contracti.

Πυδαλίζω. Salto.

Πύδνα. Pydna. Nomen urbis. Ejus civis, Pydnæus.

Πυελίδα. Significat id, quod a nobis vocatur σφραγιδοφυλάκιον. Id eſt, pala annuli. Sic Lyſias & Ariſtophanes.

Πύελος. Foſſa. Solium. Vas balneatorium, in quo homines lavantur.

Πύελος. Theca. Arca. *Epiſtolam mittit Byzantium cum arca ſacrarum reliquiarum Petri, Apoſtolorum principis, tali libello ei impoſito, quem manibus ejus, qui miſſus fuerat, inde tolli juſſit.* † *In calidum ſolium ingreſſus, cum vinum merum hauſiſſet, mortem frigidam ſibi attraxit.*

Πυθαγόρας. Pythagoras, Samius, genere vero Tyrrhenus, Mneſarchi, ſculptoris annulorum, filius. Cum enim eſſet adoleſcens, ex Tyrrhenia cum patre Samum migravit. Hic Pherecydem Syrium Sami primum audivit: deinde Hermodamantem in eadem urbe Samo, qui fuit Creophyli nepos. Poſtea, Abaridem Hyperboreum, & Zaretem Magum. Apud Ægyptios etiam & Chaldæos diſciplinis inſtitutus, rediit Samum: quam cum a Polycrate injuſto dominatu teneri vidiſſet, Crotonem in Italiam abiit; apertaque ibi Schola, quingentos, & amplius, diſcipulos habuit. Fuerunt ei & fratres duo: natu major, Eunomus; medius vero, Tyrrhenus. Habuit etiam ſervum Zamolxidem, cui Getæ ut Saturno immolant. Uxorem duxit Theano, Brontini Crotoniatæ filiam; ex qua filios duos ſuſcepit, Telaugem, & Damonem; vel, ut alii, Mneſarchum. Secundum quoſdam etiam filiam, Muſcam nomine: at, ſecundum alios, & Arignoten. Scripſit Pythagoras tres tantum libros; Παιδευτικὸν, i. e. de Inſtitutione; & Πολιτικὸν, ſive, de Adminiſtratione Reipublicæ. Tertius autem, qui Pythagoræ nomine circumfertur, Lyſidis eſt

locus hic ita legitur & diſtinguitur:

Πρῶτον μὲν ἰοστεφάνους ἐκάλουν· κἂν πού τις εἴπῃ,
Εὐθὺς διὰ τοὺς στεφάνους ἐπ' ἄκρων τῶν πυγιδίων ἐκάθηντο.

Sic etiam apud Suidam ſcribendum eſt.

1 Πυδαλίζω] An potius πυδαρίζω? ut Portus quoque ſcribendum eſſe ſuſpicabatur. Scholiaſta Ariſtoph. *Equit.* pag. 329. (228. Ed. Baſ. P.) Πυδαρίζειν, ἐπὶ τῶν ἀλλομένων. ἤτοι ποδαρίζειν, καὶ πυδαρίζειν· ὡς ὄνομα, καὶ ὄνυμα, Αἰολικῶς. ἢ πυγαρίζειν, παρὰ τὴν πυγὴν καὶ τροπῇ, πυδαρίζειν· ὡς γνόφος, καὶ δνόφος. Confer etiam Heſychium v. Πυδαρίζειν.

2 Πυελίδα. τὸ ὑφ' ἡμ.] Ex Harpocratione.

3 Θερμὴν εἰς π.] Eſt pars Epigrammatis in Epicurum, quod integrum exſtat apud Laertium in *Epicuro.* Ibi autem ſic legitur:

Θερμὴν εἰς πύελον γὰρ ἐσήλυθε, καὶ τὸν ἄκρατον
Ἔσπασεν, &c.

Sic etiam apud Suidam ſcribendum. Portus locum hunc aliter refingit: ſed egregie fallitur. Syllabam enim ſecundum in ἄκρατον brevem facit, quæ ſemper longa eſt.

4 Πυθαγόρας] De variis Pythagoris vide Meurſium in notis ad Ariſtoxeni lib. II. Cæterum, Pythagoræ, celebris illius philoſophi, de quo Suidas hic agit, vitam ſcripſerunt Laertius, Porphyrius, & Jamblichus; ex quibus Lector plura petere poteſt.

5 Πλείους ἢ πεντακοσίους] Sic habent omnes Editt. præcedentes. At in MSS. Pariſ. exaratum eſt πλείους ἢ χ': i. e. *plus quam ſexcentos.* Lectionem hanc confirmat Laertius in Vita Pythagoræ, Segm. XV. Τῶν τε ἑξακοσίων οὐκ ἐλάττους ἐπὶ τὴν νυκτερινὴν ἀκρόασιν ἀπήντων αὐτοῦ.

6 Συνέγραψε δὲ ὁ Πυθαγόρας ——— καθηγησαμένου Ἐπαμινώνδα] Aliter paulo Laertius, qui ſic habet: Γέγραπται δὲ τῷ Πυθαγόρᾳ συγγράμματα τρία, Παιδευτικὸν, Πολιτικὸν, Φυσικόν. τὸ δὲ φερόμενον ὡς Πυθαγόρου, Λύσιδός ἐστι τοῦ Ταραντίνου, Πυθαγορικοῦ, φυγόντος εἰς Θήβας, &c.

τῷ καὶ τὰ Χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας τοῖς καὶ τὰ Χρυσᾶ ἔπη. πρῶτος δὲ ὁ Πυθαγόρας ἐμψύχων ἀπέχεσθαι τροφῆς παρέδωκε, καὶ κυάμων. [1]ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρόπον. συνεδρεύοντος μετὰ τῶν συνήθων ἐν τῇ Μίλωνος οἰκίᾳ, ὑπό τινος τῶν μὴ παραδοχῆς ἀξιωθέντων διὰ φθόνον ὑποπρησθῆναι τὴν οἰκίαν συνέβη. τινὲς δὲ αὐτοὺς τοὺς Κροτωνιάτας τοῦτο πρᾶξαι, τυραννίδος ἐπίθεσιν εὐλαβουμένους. τὸν δὲ Πυθαγόραν καταληφθῆναι διεξιόντα. καὶ πρός τινι χωρίῳ γενόμενον πλήρει κυάμων, ἵνα διήρχετο, αὐτόθι ἔστη, εἰπὼν, ἁλῶναι μᾶλλον, ἢ πατῆσαι· ἀναιρεθῆναι δὲ κρεῖττον, ἢ λαλῆσαι. καὶ ὧδε πρὸς τῶν διωκόντων ἀποσφαγῆναι. καὶ οὕτω δὴ καὶ τοὺς πλείστους τῶν ἑταίρων αὐτοῦ διαφθαρῆναι, ὄντας πρὸς τοὺς τεσσαράκοντα.

Πυθαγόρας. περὶ τούτου φησὶ Φιλόστρατος· [2]Οἱ τὸν Σάμιον Πυθαγόραν ἐπαινοῦντες, τάδε ἐπὶ αὐτῷ φασιν, ὡς Ἴων μὲν οὔπω εἴη, γένοιτο δὲ ἐν Τροίᾳ ποτὲ Εὔφορβος· ἀναβιῴη τε ἀποθανὼν, ἀποθάνοι δ', ὡς ᾄδει Ὁμήρου· ἐσθῆτά τε τὴν ἀπὸ θνησειδίων παραιτοῖτο, καὶ καθαρεύοι βρώσεως, ὁπόση ἐμψύχων, καὶ τοῦ θῦσαι. μὴ γὰρ αἱμάττειν τοὺς βωμοὺς· ἀλλ' ἡ μελιττοῦτα, καὶ ὁ λιβανωτὸς, καὶ τὸ ἐφυμνῆσαι, φοιτᾶν ταῦτα τοῖς Θεοῖς παρὰ τοῦ ἀνδρὸς τούτου· γινώσκοι δὲ, ὡς ἀσπάζοιντο τὰ τοιαῦτα οἱ Θεοὶ μᾶλλον, ἢ τὰς ἑκατόμβας, καὶ τὴν μάχαιραν ἐπὶ τοῦ κανοῦ. ξυνεῖναι γὰρ δὴ τοῖς Θεοῖς, καὶ μανθάνειν παρ' αὐτῶν, ὅπῃ τοῖς ἀνθρώποις χαίρουσι, καὶ ὅπῃ συνάχθονται. περί τε φύσεως ἐκεῖθεν λέγειν. τοὺς μὲν γὰρ ἄλλους τεκμαίρεσθαι τοῦ θείου, καὶ δόξας ἀνομοίας ἀλλήλαις περὶ αὐτοῦ δοξάζειν· ἑαυτῷ δὲ τόν τε Ἀπόλλω ἥκειν, ὁμολογοῦντα ὡς αὐτὸς εἴη· ξυνεῖναι δ' αὖ καὶ μὴ ὁμολογοῦντας τὴν Ἀθηνᾶν, καὶ τὰς Μούσας, καὶ Θεοὺς ἑτέρους, ὧν τὰ εἴδη καὶ τὰ ὀνόματα οὔπω τοὺς ἀνθρώπους γινώσκειν. καὶ ὅ, τι ἀποφήναιτο Πυθαγόρας, νόμον τοῦτο οἱ ὁμιληταὶ ἡγοῦντο, καὶ ἐτίμων αὐτὸν ὡς ἐκ Διὸς ἥκοντα. καὶ ἡ σιωπὴ δὲ ὑπὲρ τοῦ θείου σφίσιν ἐπήσκητο. πολλὰ γὰρ θεῖά τε καὶ ἀπόρρητα ἤκουον, ὧν κρατεῖν χαλεπὸν ἦν, μὴ πρότερον μαθοῦσιν, ὅτι καὶ τὸ σιωπᾶν λόγος. καὶ μὴν τὸν Ἀκραγαντῖνον Ἐμπεδοκλέα βαδίσαι φασὶ τὴν σοφίαν ταύτην. τὸ γὰρ,

> Χαίρετ', ἐγὼ δ' ὔμμιν Θεὸς ἄμβροτος, οὐκ ἔτι θνητός·

καὶ,

> Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρη τε κόρος τε·

καὶ ὁ ἐν Ὀλυμπίᾳ βοῦς, ὃν λέγεται πέμμα ποιησάμενος θῦσαι, τὰ Πυθαγόρου ἐπαινοῦντος εἴη ἄν. καὶ [3]πλείω ἕτερα περὶ τῶν Πυθαγόρου τρόπων, σπεύδοντα ἐπὶ τὸν λόγον.

Πυθαγόρας[4] Ἐφέσιος, καταλύσας δι' ἐπιβουλῆς

Tarentini, qui fuit ejus diſcipulus, Thebiſque, quo fugerat, Epaminondam inſtituit. Quidam *Aurea Carmina* quoque illi tribuunt. Primus Pythagoras auctor fuit, ut homines eſu animalium & fabarum abſtinerent. Obiit autem Pythagoras hoc modo. Cum in ædibus Milonis cum ſodalibus ſuis ſederet, accidit, ut ædes ex invidia ſuccenderentur a quodam, qui in cœtum illum receptus non fuerat. Alii dicunt, ipſos Crotoniatas hoc feciſſe, quod regnum eum affectare ſuſpicarentur. Ac Pythagoras illinc fugiens, captus eſt. Cum enim ad agrum fabis conſitum perveniſſet, ibi reſtitit & dixit, Satius eſſe capi, quam [fabas] conculcare; & interfici, quam [arcanam hujus rei rationem] enuntiare. Sic igitur ibi occiſus eſt; non ſolum ipſe, ſed & plerique ſociorum ejus, qui erant circiter XL.

Πυθαγόρας. Pythagoras. De hoc Philoſtratus inquit: Qui Pythagoram Samium laudant, hæc de eo tradunt; eum non fuiſſe Ionem, ſed Trojanum Euphorbum, & mortuum revixiſſe: ſic autem interiiſſe, ut ſcribat Homerus. Veſtitum præterea de morticinis eum geſtare noluiſſe, & ab animalium eſu abſtinuiſſe, nec tale quicquam ſacrificaſſe; quod nefas putaret, Deorum aras cruentare; ſed mellitam placentam, & thus cum hymnis Diis obtuliſſe: quippe gnarum, ea Diis acceptiora eſſe, quam hecatombas & cultrum in caniſtro. Se enim Deorum concilio aliquando interfuiſſe dicebat, atque ab illis didiciſſe, quid facientes homines Diis placeant, & quid contra facientes eorum offenſionem incurrant. Hinc etiam accepiſſe doctrinam de rerum natura. Nam alios conjecturis tantum, & opinionibus ſibi ipſis plerumque adverſantibus de rebus divinis uti: ſibi vero apparuiſſe Apollinem, non diſſimulantem quis eſſet; itemque Minervam & Muſas, quamvis nomina ſua non profitentes; aliosque præterea Deos, quorum formas & nomina homines nondum norint. Porro, quicquid Pythagoras dixiſſet, id diſcipuli ejus legem judicabant: qui etiam illum ut a Jove profectum venerabantur. Silentium quoque, cujus magna apud ipſos religio erat, ſancte colebant. Multa enim divina & arcana audiebant, quæ tacere difficile fuiſſet, niſi prius didiciſſent, ipſi ſilentio rationem ineſſe. Similem quoque philoſophandi rationem Agrigentinum Empedoclem tenuiſſe ferunt. Illud enim, *Valete: Sum enim Deus immortalis, nec amplius mortalis:* item illud, *Et puer aliquando fui, & puella*: adhæc, bos ex melle & farina confectus, quem Olympiæ immolavit; ejus utique ſunt, qui Pythagoræ diſciplinam probet.

Πυθαγόρας. Pythagoras Epheſius, everſo

1 Ἐτελεύτα δὲ ὁ Πυθαγόρας τοῦτον τὸν τρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, totidem verbis leguntur etiam apud Laertium in *Pythagora*, Segm. 39. unde ea Suidas deſcripſit.

2 Οἱ τὸν Σάμιον Πυθαγόραν ἐπαιν.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Philoſtrati lib. 1. *de Vit. Apoll.* cap. 1.

3 Καὶ πλείω ἕτερα περὶ τῶν Πυθαγ.] Locus hic eſt mancus & mutilus, qui ex Philoſtrato ſic ſupplendus eſt: Καὶ πλείω ἕτερα περὶ τὸν τοῦ Πυθαγόρου τρόπον (lego, περὶ τὸν καλὸν τὸν τοῦ Πυθαγόρου τρόπον) φιλοσοφοῦντος ἐπεξῆλθον ἄν· ὁ [illegible] μοι νῦν [illegible]. σπεύδοντι ἐπὶ τὸν λόγον, ὃν ἀποπλῆσαι προὐθέμην. Sed hæc nihil ad inſtitutum Suidæ faciunt.

4 Πυθαγόρας Ἐφέσιος, καταλύσας δι' ἐπιβ.] Miror unde articulum hunc excerpſerit Suidas. Apud nullum enim Scriptorum hodie exſtantium, hæc, ut puto, reperiuntur. Si ſuſpicari liceat, exiſtimo, hæc ex libro Æliani *de Providentia*, quem temporum injuria nobis eripuit, deprompta eſſe.

τὴν

τὴν τῶν [1]Βασιλιδῶν καλουμένων ἀρχὴν, ἀνεφάνη τε τύραννος πικρότατος, καὶ τῷ μὲν δήμῳ καὶ τῷ πλήθει ἦν τε καὶ ἐδόκει κεχαρισμένος, ἅμα τὰ μὲν αὐτοὺς [2]ἐπελπίζων ὑποσχέσεσι, τὰ δὲ ὑποσπείρων αὐτοῖς ὀλίγα κέρδη· τοὺς γε μὴν ἐν ἀξιώσει τε καὶ δυνάμει περισυλῶν καὶ δημεύων, φορητὸς οὐδαμῶς ἦν. καὶ κολάσαι δὲ πικρότατα οὐκ ἂν ὤκνησε, καὶ ἀφειδέστατα ἀποκτεῖναι οὐδὲν ἀδικοῦντας. ἐξελύττησε γὰρ εἰς ταῦτα· ἔρως τε χρημάτων ἄμετρος· καὶ διαβολαῖς ταῖς εἰς τοὺς πλησίους ἐκκεῖσθαι κουφότατος ἦν. ἀπέχρησε μὲν οὖν καὶ ταῦτα ἂν κάκιστα ἀνθρώπων ἀπολέσαι αὐτόν. ἤδη δὲ καὶ τοῦ θείου κατεφρόνει. τῶν γοῦν περιειργμένων, οἷς ἐπέθετο, παμπόλλους ἐν τοῖς ναοῖς ἀπέκτεινε· ἑνὸς δὲ τὰς θυγατέρας καταφυγούσας εἰς τὸ ἱερὸν ἀναστῆσαι μὲν βιαίως οὐκ ἐτόλμησε, συνεχῆ δὲ φυλακὴν ἐπιστήσας, ἐξετρύχωσεν ἄχρι ἐς τοσοῦτον, ὡς βρόχῳ τὰς κόρας τὸν λιμὸν ἀποδεῖξαι. οὐκοῦν ἠκολούθησε δημοσίᾳ νόσος, καὶ τροφῶν ἀπορία· καὶ σαλεύων ὑπὲρ ἑαυτοῦ ὁ Πυθαγόρας, εἰς Δελφοὺς ἀπέστειλε, καὶ ᾔτει λύσιν τῶν κακῶν. ἡ δὲ Πυθιὰς ἔφη, νεὼν ἀναστῆσαι, καὶ κηδεῦσαι τοὺς νεκρούς. ἦν δὲ πρὸ Κύρου τοῦ Πέρσου, ὥς φησι Βάτων.

per inſidias illorum, qui Baſilidæ vocabantur, imperio, tyrannus acerbiſſimus exſtitit. Et apud populum quidem & multitudinem & erat & videbatur gratioſus, tum pollicitationibus ſpem illorum alens, tum etiam exiguis lucellis eos ſubinde ineſcans. Viros autem dignitate & auctoritate conſpicuos intolerabili quodam modo ſpoliabat, bonaque eorum publicabat. Adhæc, homines innocentiſſimos acerbiſſime punire & crudeliſſime interficere non dubitabat, nulli parcens. Ad eam autem rabiem & immoderata pecuniæ cupiditas hominem impellebat, & quod calumniis adverſus amicos facile incendebatur. Vel ob hæc igitur abunde commeruiſſet, ut peſſime mortalium omnium periret. Sed & divinum Numen contemnebat. Nam multos eorum, quos vi opprimere conabatur, ut diximus, in ipſis templis interfecit. Cujuſdam autem filias, quæ in templum confugerant, vi quidem abſtrahere non eſt auſus: ſed collocatis ante fores cuſtodibus, puellas fame confectas laqueo vitam finire coegit. Itaque & publica lues, & annonæ penuria conſecuta eſt. Pythagoras autem ea re anxius, Delphos miſit, remedium malorum petens. Cui Pythia reſpondit, templum eſſe condendum, & manes mortuorum placandos. Fuit autem ante Cyrum Perſam, ut ait Baton.

Πυθαγόρας ὁ Σάμιος, φιλόσοφος, [3]τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττον τοῦ Πυθίου. ὃς παρηγγύατο τοῖς μαθηταῖς ἑκάστοτε ταῦτα λέγειν εἰς τὸν οἶκον εἰσιοῦσι·

Ποῖ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;

Πυθαγόρας. Pythagoras Samius, philoſophus, non minus verax erat, quam Apollo. Hic diſcipulos ſubinde monebat, ut domum ingreſſi hæc dicerent: *Quo progreſſus ſum? Quid feci? Quodnam officium a me neglectum eſt?*

Πυθαγόρας. ὄνομα κύριον. Πυθαγόρειος λόγος. καὶ Πυθαγόρειοι ἄνδρες.

Πυθαγόρας. Pythagoras. Nomen proprium. Et Πυθαγόρειος λ. Oratio Pythagorea. Et Πυθαγ. ἄνδρ. Viri Pythagorei. [Per ει ſcribitur in ſyllaba penultima.]

Πυθαγόρα[4] τὰ σύμβολα ἦν τάδε· Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν· Ζυγὸν μὴ ὑπερβαίνειν· Ἐπὶ χοίνικος μὴ καθίζειν· Καρδίαν μὴ ἐσθίειν· [5]Φορτίον μὴ συγκαθαιρεῖν, μηδὲ συνεπιθέναι· Τὰ στρώματ' ἀεὶ συνδεδεμένα ἔχειν· Ἐν δακτυλίῳ θεοῦ εἰκόνα μὴ περιφέρειν· Χύτρας ἴχνος συγχεῖν ἐν τῇ τέφρᾳ· Ἐλαδίῳ εἰς θᾶκον μὴ ὀμόργνυσθαι· Πρὸς ἥλιον τετραμμένον μὴ ὀμιχεῖν· Ἐκτὸς λεωφόρου μὴ βαδίζειν· Μὴ ῥᾳδίως δεξιὰν ἐμβάλλειν· Ὁμωροφίους χελιδόνας μὴ ἔχειν· Γαμψώνυχα μὴ τρέφειν· Ἀπονυχίσμασι καὶ κουραῖς μὴ ἐπουρεῖν, μηδὲ ἐφίστασθαι· Ὀξεῖαν μάχαιραν ἀποστρέφειν· Ἀποδημοῦντα ἐν τοῖς ὅροις ἀνεπιστρεπτεῖν. ἤθελε δὲ αὐτῷ τὸ μὲν, Πῦρ μαχαίρᾳ μὴ σκαλεύειν, δυναστῶν ὀργὴν καὶ [6]οἰδοῦντα θυμὸν μὴ κινεῖν. τὸ δὲ, Ζυγὸν μὴ ὑπερβαίνειν· τουτέστι, τὸ ἴσον καὶ δίκαιον μὴ ὑπερβαίνειν. Ἐπί τε χοίνικος μὴ καθίζειν, [7]ἐν ἴσῳ τοῦ φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος. ὁ γὰρ χοῖνιξ ἡμερήσιος τροφή. διὰ δὲ τοῦ, Καρδίαν μὴ ἐσθίειν,

Πυθαγόρα τὰ σύμβ. Pythagoræ ſymbola fuerunt hæc: *Ignem gladio ne fodito: Stateram ne tranſgrediaris: Chœnici ne inſideas: Cor ne edito: In onere nec deponendo nec imponendo quenquam adjuva: Stragula ſemper colligata habeto: In annulo Dei effigiem ne circumferto: Ollæ veſtigium in cinere turbato: Oleo ſellam ne abſtergito: Ad ſolem converſus ne mingito: Extra viam publicam ne ambulato. Ne facile cuivis dextram injicias. Sub eodem tecto hirundines ne habeas. Animalia aduncos ungues habentia ne alas. Unguium & capillorum præſegminibus nec immingito, nec inſiſtito. Acutum enſem avertito. Peregre abiens in finibus ne reſpecta.* Et ſymbolum quidem illud, *Ignem gladio ne fodito*, ſignificabat, potentiorum iram & iratorum animos non eſſe commovendos. *Stateram* vero *ne tranſcendas*; æquum & jus non eſſe violandum. *Chœnici ne inſideas*; rationem futuri habendam eſſe. Chœnix enim eſt men-

1 Βασιλιδῶν] Portus legit, Βασιλειδῶν, quaſi a recto ſingulari, Βασιλείδης: cui non repugno.
2 Ἐπελπίζων] Vide ſupra h. v.
3 Τὴν ἀλήθειαν ἠγόρευεν οὐχ ἧττ.] Eadem totidem verbis tradit Laertius in *Pythag.* Segm. XXI. & XXII.
4 Πυθαγόρα τὰ σύμβ.] Quæ hic Suidas de ſymbolis Pythagoræ tradit, ad verbum ſumpta ſunt ex Laertio; quem confer, & ad eum, Menagium.
5 Φορτίον μὴ συγκαθαιρεῖν, μηδὲ συνεπ.] Laertius ſic: Φορτίον συγκαθαιρεῖν, καὶ μὴ συνεπιτιθέναι. Vide ibi Menagium.
6 Οἰδοῦντα θυμόν] Laertius, οἰδοῦντα θυμόν.
7 Ἐν ἴσῳ τοῦ φροντίδα ποιεῖσθ. καὶ τοῦ μ.] Laertius, ἐν ἴσῳ τοῦ ἐνεστῶτος φροντίδα ποιεῖσθαι καὶ τοῦ μέλλοντος. Hinc Suidas ſupplendus & emendandus eſt.

ἐσθίειν, μὴ τὴν ψυχὴν ἀνίαις καὶ λύπαις κατατήκειν. διὰ δὲ τοῦ, Εἰς ἀποδημίαν βαδίζοντα μὴ ἐπιστρέφεσθαι, παρῄνει τοῖς ἀπαλλαττομένοις τοῦ βίου, μὴ ἐπιθυμητικῶς ἔχειν τοῦ ζῆν, μηδ' ὑπὸ τῶν ἐνθάδε ἡδονῶν ὑπάγεσθαι. καὶ τ' ἄλλα πρὸς ταῦτα λοιπὸν ἐστὶν ἐκλαμβάνειν, ἵνα μὴ παρέλκωμεν. παντὸς δὲ μᾶλλον ἀπηγόρευε μήτε ἐρυθῖνον ἐσθίειν, μήτε μελάνουρον· καρδίας τε ἀπέχεσθαι, καὶ κυάμων, καὶ μήτρας, καὶ τρίγλης. ἐνίοτε δ' αὐτὸν ἀρκεῖσθαι μέλιτι μόνῳ, ἢ [1]κηρῷ, ἢ ἄρτῳ· οἴνου δὲ μεθ' ἡμέραν μὴ γεύεσθαι, [2]ὄψῳ τε τὰ πολλὰ λαχάνοις ἑφθοῖς καὶ ὠμοῖς· τοῖς δὲ θαλαττίοις σπανίως. στολὴ δὲ αὐτῷ λευκὴ καὶ καθαρά, καὶ στρώματα λευκὰ ἐξ ἐρίων. τὰ γὰρ λινᾶ οὔπω εἰς ἐκείνους ἀφίκετο τοὺς τόπους. οὐδὲ πώποτε δὲ ἐγνώσθη οὔτε διαχωρῶν, οὔτε ἀφροδισιάζων, οὔτε μεθυσθείς. ἀπείχετο δὲ καταγέλωτος, καὶ πάσης ἀρεσκείας, οἷον σκωμμάτων, καὶ διηγημάτων φορτικῶν. ὀργιζόμενός τε οὔτε οἰκέτην ἐκόλαζεν, οὔτε ἐλεύθερον οὐδένα. ἐκάλει δὲ τὸ νουθετεῖν πελαργᾶν. μαντικῇ δὲ ἐχρῆτο τῇ διὰ τῶν κληδόνων τε καὶ οἰωνῶν· ἥκιστα δὲ τῇ διὰ τῶν ἐμπύρων, ἔξω τῆς διὰ λιβάνου. θυσίαις τε ἐχρῆτο ἀψύχοις. οἱ δέ, ἀλέκτορσι μόνον, καὶ ἐρίφοις, καὶ γαλαθηνοῖς. Φασὶ δὲ αὐτὸν συγχωρεῖν πάντα τὰ ἔμψυχα ἐσθίειν· μόνον δ' ἀπέχεσθαι βοὸς ἀροτῆρος, καὶ κριοῦ. τὰ δὲ δόγματα ἔλαβε [3]παρὰ τῆς ἀδελφῆς Θεοκλείας. Φασὶ δ' αὐτὸν κατελθόντα εἰς ᾅδου, τὴν μὲν Ἡσιόδου ψυχὴν ἰδεῖν πρὸς κίονι χαλκῷ δεδεμένην, καὶ τρίζουσαν· τὴν δὲ Ὁμήρου, κρεμαμένην ἀπὸ δένδρου, καὶ ὄφεις περὶ αὐτήν, ἀνθ' ὧν εἶπον περὶ θεῶν. κολαζομένους δὲ καὶ τοὺς μὴ θέλοντας συνεῖναι ταῖς ἑαυτῶν γυναιξί. σφάγια δὲ θεοῖς προσφέρειν ἐκώλυε· βωμὸν δὲ προσκυνεῖν τὸν ἀναίμακτον. μηδὲ ὀμνύειν θεούς· ἀσκεῖν δὲ ἑαυτὸν δεῖν ἀξιόπιστον παρέχειν. τοὺς πρεσβυτέρους τιμᾶν δεῖν, τὸ προηγούμενον τῷ χρόνῳ τιμιώτερον ἡγουμένους· ὡς ἐν Κόσμῳ ἀνατολὴν δύσεως· ἐν βίῳ, τὴν ἀρχὴν τελευτῆς· ἐν ζωῇ, γένεσιν φθορᾶς. καὶ θεὸν μὲν δαιμόνων προτιμᾶν· ἥρωας δὲ, ἀνθρώπων. ἀνθρώπων δὲ μάλιστα γονέας. Ἀλλήλοις τε ὁμιλεῖν, ὡς τοὺς μὲν φίλους ἐχθροὺς μὴ ποιῆσαι. τοὺς δὲ ἐχθροὺς φίλους ἐργάσασθαι. Ἴδιόν τε μηδὲν ἡγεῖσθαι. Νόμῳ βοηθεῖν· ἀνομίᾳ πολεμεῖν. Φυτὸν ἥμερον μήτε φθίνειν, μήτε σίνεσθαι· ἀλλὰ μηδὲ ζῶον, ὃ μὴ βλάπτει ἀνθρώπους. Αἰδῶ καὶ εὐλάβειαν εἶναι· Μήτε καταγέλωτι κατέχεσθαι, μήτε σκυθρωπάζειν. Φεύγειν σαρκῶν πλεονασμόν. Ὁδοιπορίας ἄνεσιν καὶ ἐπίτασιν ποιεῖσθαι. Μνήμην ἀσκεῖν. Ἐν ὀργῇ μήτε τι λέγειν, μήτε πράσσειν. Μαντικὴν πᾶσαν τιμᾶν. Ὠδαῖς χρῆσθαι πρὸς λύραν· ὕμνῳ τε θεῶν καὶ ἀνδρῶν ἀγαθῶν εὔλογον ἔχειν χάριν. Τῶν δὲ κυάμων ἀπέχεσθαι, διὰ τὸ πνευματώδεις ὄντας μάλιστα μετέχειν τοῦ ψυ-

ſura demenſi diurni. *Cor ne edas*; animum mœrore & dolore non eſſe conficiendum. Per id autem, *Peregre abiens ne reſpecta*, monebat, eos, qui vita excederent, non oportere vitæ cupiditate teneri, neque voluptatibus terrenis ſuccumbere. Cætera quoque, ne prolixiores ſimus, conſimili ratione exponenda ſunt. In primis autem erithyni, & melanuri, & cordis, & fabarum, & vulvæ, & mulli eſu interdixit. Interdum ſolo melle, aut favo, aut pane eum contentum fuiſſe ferunt: nec vinum interdiu guſtaſſe: obſoniumque ejus fuiſſe herbas elixas & crudas: marinis vero raro uſum fuiſſe. Veſtis ei fuit candida & pura, ſtragulaque candida & lanea. Linea enim nondum eo loci pervenerant. Nunquam quiſquam eum vidit alvum exonerantem, vel rei venereæ operam dantem, vel ebrium. Abſtinuit ab omni irriſione, & blanditiis, & ſcommatibus, narrationibuſque ſcurrilibus. Iratus neque ſervum ullum, neque liberum unquam verberavit. Admonere vocabat πελαργᾶν. Divinatione utebatur ea, quæ fit per omina & auguria: raro ea, quæ fit per res, quæ igne adolentur; excepto thure. Sacrificiis utebatur inanimis. Alii vero dicunt ex animalibus eum ſolos gallos gallinaceos, & hœdos, & [agnos] ſubrumos ad ſacrificia adhibuiſſe. Ajunt etiam, cunctorum animalium eſum eum permiſiſſe; bove aratore & ariete exceptis. Dogmata ſua accepit a ſorore Theoclia. Tradunt porro, eum, cum ad Inferos deſcendiſſet, *Heſiodi animam* æneæ columnæ alligatam ſtridentemque vidiſſe; Homeri autem ex arbore pendentem, ſerpentibuſque circumdatam, propter ea quæ de Diis dixiſſent. Eos item pœnas luere, qui uxorum ſuarum conſuetudinem aſpernentur. Cruentas hoſtias Diis offerri vetuit: at aram incruentam adorari juſſit. Nec per Deos jurare fas eſſe dixit; ſed quemque operam dare debere, ut ob integritatem vitæ ſibi fides habeatur. Seniores honorandos eſſe. Id enim, quod tempore prius ſit, honore potius ducendum eſſe: ut in Mundo ortum occaſu; in rebus humanis, principium fine; in vita, generationem corruptione. Ac Deum quidem majore honore colendum eſſe, quam Dæmones; Heroes vero, quam homines. Inter homines vero parentes præcipue [honorandos eſſe.] In mutua converſatione ita quemque ſe gerere debere, ut non ex amicis inimicos, ſed ex inimicis amicos facias. Privatum nihil eſſe ducendum. Legibus opem ferendã. Iniquitatem oppugnandam. Stirpem manſuetam neque excidendam, neque lædendam: ac ne animal quidem, quod homini non noceat. Verecundiæ & reverentiæ rationem habendam. Nec effuſe ridendum, nec frontem nimis contrahendam. Obeſitatem eſſe fugi-

1 Κηρῷ] Laertius rectius, κηρίῳ.

2 Ὄψῳ τε τὰ πολλὰ λαχ.] Et ſenſus & conſtructionis gratia ſcripſerim, ὄψῳ τε τὰ πολλὰ χρῆσθαι λαχάνοις, &c. Id eſt: *Obſonii loco eum plerumque uſum fuiſſe oleribus*, &c.

3 Παρὰ τῆς ἀδελφῆς Θεοκλείας] Laertius, παρὰ τῆς ἐν Δελφοῖς Θεμιστοκλείας: quam lectionem & Suidæ reſtituendam eſſe puto. Videtur enim Themiſtoclea ſacerdos quædam Delphica fuiſſe, a qua Pythagoras præcepta ſapientiæ hauſerit. Iſaacus Caſaubonus tamen ad dictum locum Laertii lectionem Suidæ ἀδελφῆς præferendam judicat, cum quo ea de re, ut incerta & dubia, ſerio contendere nolim.

9 Ῥυσμός] De hac voce multa notavit Menagius ad Laert. in vita Democriti, Segm. XLVII. quem vide. Nos hic obiter tantum monemus, vocem iſtam reſtituendam eſſe Hermiæ, qui in libello *de Irriſione Gentil.* cap. XIII. de Democrito, ejuſque dogmatibus verba faciens, inter alia ſic inquit: Τὸ δὲ πλῆρες ἐν τῷ κενῷ τροπῇ ἢ ῥυθμῷ ποιεῖ τὰ πάντα. Scribe, τροπῇ ἢ ῥυσμῷ: i.e. *ſitu & figura.* Nam τροπὴ & ῥυσμὸς, ut Suidas hoc ipſo loco teſtatur, voces erant Democrito, ejuſque ſectatoribus propriæ; quæ proinde jungi ſolent a ſcriptoribus, qui de principiis & cauſis rerum ſecundum Democritum verba faciunt. Confer etiam Notam ſequentem.

10 Καὶ σημαίνει τούτοις ἡ μὲν τροπὴ, τὴν θέσιν· ἡ δὲ διαθιγὴ, τὴν τ.] Idem diſerte docet Ariſtoteles lib. I. *Metaphyſic.* cap. IV. ad quem Suidas procul dubio reſpexit. Verba ejus hæc ſunt: Ταύτας μέντοι (τὰς αἰτίας) τρεῖς εἶναι λέγουσι (Δημόκριτος καὶ Λεύκιππος) σχῆμά τε, καὶ τάξιν, καὶ θέσιν. Διαφέρειν γάρ φασι τὸ Ὂν, ῥυσμῷ καὶ διαθιγῇ καὶ τροπῇ μόνον. τούτων δὲ ὁ μὲν ῥυσμὸς σχῆμά ἐστιν· ἡ δὲ διαθιγὴ, τάξις· ἡ δὲ τροπὴ, θέσις. Id eſt: *Has vero (cauſas) tres eſſe ſtatuunt (Democritus & Leucippus:) Figuram, & Ordinem, & Situm. Ens enim [ab Ente] differre ajunt, Figura, Ordine, & Situ. Ex his Figuram vocant,* ῥυσμόν: *Ordinem,* διαθιγήν; *& ſitum,* θέσιν. Hæc Suidam non parum illuſtrant.

11 Ῥυτά. συνεσταλμ.] Ex Harpocratione. Confer Athen. lib. XI. pag. 496. qui eadem docet.

μοσθένης κατὰ Μειδίου. ἐκπεπταμένως, [1] παρ᾽ ἡμῖν λεγόμενα.

Ῥύτειρα. ἡ σώζουσα.

Ῥυτῆρα. ἑλκτικόν. παρὰ τὸ ἐρύειν. σημαίνει καὶ φύλακα. Καὶ πλείους ἵππους παραλαβὼν ἀπὸ ῥυτῆρος ἑλκομένους, ἐπορεύετο. λέγεται καὶ ῥύτωρ. [2] Πανὶ ὡραίων ῥύτορι βουκολίων. καὶ αὖθις· Τὸ εἶδος ὠδίνων ῥύσια δεξαμένη.

Ῥυτῆρες. χαλινοί. ἡνίαι. ἱμάντες. ἐν Ἐπιγράμματι·

Χρυσὸς ὅλους ῥυτῆρας, ὅλας κλεῖδας ἐλέγχει.

Ῥυτίς. ἀσθένεια. γῆρας. ἐν [3] Ἐπιγράμματι·

Καὶ ῥυσσόφλοιον σῦκον ἐπομφάλιον.

καὶ αὖθις·

Ἀρχεάνασσαν [4] ἔχω, τὴν ἐκ Κολοφῶνος ἑταίρην,
Ἧς καὶ ἐπὶ ῥυτίδων ὁ γλυκὺς ἕζετ᾽ ἔρως.

Ῥύτορα. Φύλακα. ἐν Ἐπιγράμματι·

Πορφύρεον [5] χαίτας ῥύτορα κεκρύφαλον.

Ῥυτός. ἑλκυστικός.

Ῥύτειον. ὄνομα πόλεως.

Ῥυφῶ. αἰτιατικῇ.

Ῥυχάχετον. [6] θόρυβον. συρφετόν. [7] Ἀριστοφάνης·

Τὸν τῶν Ἀθηναίων γε μὴν ῥυχάχετον,
Τίς ἂν πείσειε μὴ πλαδδιῇν;

Ῥύψαι. σμῆξαι.

Σ Α.

ΣΑ˜. τὰ σῶα λέγουσι, μονοσυλλάβως· ἀπὸ τοῦ σῶα συναιρεθέντος. καὶ τὸ σῶον, σῶν, καὶ σῶοι, σοῖ. παρὰ δὲ Θουκυδίδῃ δισυλλάβως σῶοι.

Σαβά. τόπος. Ἐκ Σαβὰ ἥξει.

Σαβάζιος. [8] ὁ αὐτός ἐστι τῷ Διονύσῳ. ἔτυχε δὲ τῆς προσηγορίας ταύτης παρὰ τὸν γινόμενον περὶ αὐτὸν θειασμόν. τὸ γὰρ εὐάζειν οἱ βάρβαροι σαβάζειν φασίν. ὅθεν καὶ τῶν Ἑλλήνων τινὲς ἀκολουθοῦντες, τὸν εὐασμὸν σαβασμὸν λέγουσιν. ἔνθεν Σαβάζιος ὁ Διόνυσος. Σάβους ἔλεγον καὶ τοὺς ἀφιερωμένους αὐτῷ τόπους, καὶ [9] τοὺς Βάκχους αὐτοῦ.

Σαβακῶν. Διονυσιακῶν.

Τρυγόνιον, [10] Σαβακῶν ἄνθεμα Σαλμακίδων, τουτέστιν, ἑταιρῶν.

Σάββατον. ἑβδόμη ἡμέρα ἐτύγχανε τοῦ κυκλικοῦ διαστήματος τῆς ἑβδόμης, τοῦ Ῥωμαϊκοῦ τὴν ἡμέραν γεραίροντος, πόνων ἀνάπαυλαν, αἰδοῖ τοῦ σεβάσμα-

poculi. Demoſthenes in oratione contra Midiam. At ῥυτά, priorem ſyllabam producit, ſignificatque, Ea, quæ a nobis dicuntur.

Ῥύτειρα. Liberatrix. Servatrix.

Ῥυτῆρα. Tractorem. Trahentem. Ab ἐρύειν. Significat etiam cuſtodem. [Et ῥυτήρ, frænum, habena.] *Cum autem plures equos aſſumpſiſſet, qui habenis ducebantur, perrexit.* Dicitur & ῥύτωρ, cuſtos. [In Epigrammate:] *Pani pulchrorum cuſtodi armentorum.* Et iterum: *Cum partus pignora accepiſſet.*

Ῥυτῆρες. Fræna. Lora. Habenæ. In Epigrammate: *Aurum tota fræna, totaſque claves eludit.*

Ῥυτίς. Ruga. Senectus. In Epigrammate: *Et rugoſo cortice præditam, umbilicatamque ficum.* Et iterum: *Archeanaſſam habeo, Colophoniam meretricem; cujus & in rugis dulcis ſedet amor.*

Ῥύτορα. Cuſtodem. In Epigrammate:

Purpureum comæ cuſtodem capitis reticulum.

Ῥυτός. Tractus. Extractus.

Ῥύτειον. Rhyteum. Nomen urbis.

Ῥυφῶ. Sorbeo. [Dorice pro ῥοφῶ.]

Ῥυχάχετον. Tumultum. Turbam. Colluviem. Ariſtophanes: *Quis Athenienſium turbæ perſuaſerit, ut a bello deſiſtant?*

Ῥύψαι. Detergere. Purgare.

Σ Α.

ΣΑ˜. Salva. Per unicam ſyllabam effertur: eſtque contractum ex σῶα. Sic etiam pro σῶον dicitur σῶν; & pro σῶοι, σοῖ. Apud Thucydidem vero legitur σῶοι, per duas ſyllabas.

Σαβά. Saba. Nomen loci. *Ex Saba veniet.*

Σαβάζιος. Sabazius. Idem eſt, qui Bacchus. Appellationem autem hanc adeptus eſt a clamore, quem edebant illi, qui orgia Bacchi celebrabant. Barbari enim τὸ εὐάζειν vocant σαβάζειν: eoſque Græcorum quidam ſequentes, εὐασμὸν appellant σαβασμόν. Inde Bacchus dictus eſt Sabazius. Sabos etiam vocabant loca Baccho conſecrata: itemque Bacchos, ſive ſacerdotes Bacchi.

Σαβακῶν. Sabacarum. Id eſt, Bacchicarum. [In Epigrammate:] *Trygonium Bacchicarum decus Salmacidum.* Id eſt, meretricum.

Σάββατον. Sabbatum. Erat ſeptimus dies circuli ſeptem dierum, ſive hebdomadis: Romanis diem illum venerantibus, eoque a la-

1 Παρ᾽ ἡμῖν λέγ.] Scribo, τὰ παρ᾽ ἡμῖν λεγόμενα; ſenſumque hujus loci eum eſſe puto, quem in verſione expreſſi.

2 Πανὶ ὡραίων ῥύτορι βουκολ.] Fragmentum hoc decerptum eſt ex Epigrammate, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. Ἄθυρμα.

3 Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. xiv. Epigr. 2. ut Portus etiam obſervaverat.

4 Ἀρχεάνασσαν ἔχ.] Diſtichum hoc eſt pars Epigrammatis, quod integrum legitur in Anthologia, tam edita, quam inedita; itemque apud Laertium in *Platone*, Segm. xxxi. & Athen. lib. xiii. cap. vi. pag. 589.

5 Πορφύρεον χαίτας ῥύτορα κεκρ.] Vide Nos ſupra ad v. Κεκρύφαλον, ubi integrum Epigramma, ex quo fragmentum hoc decerptum eſt, ex Anthologia MS. exhibemus.

6 Ῥυχάχετον] Vox hæc diverſimode apud veteres ſcribitur. Apud Ariſtophanem enim in *Lyſiſtrata*, pag. 846. (545. Ed. Baſ. *P.*) unde ſequens fragmentum depromptum eſt, legitur ῥυγχάχετον. Heſychius vero in ſerie ſua habet, ῥυάχετον. Harum autem lectionum quænam vera ſit, haud facile dictu eſt.

7 Ἀριστοφάνης] Loco laudato: ubi verſus ultimus ſic legitur:

Πῶς, καὶ τίς ἂν πείσειεν αὖ μὴ πλαδδιῆν.

Cætera recte: niſi quod pro πλαδδιῆν Suidas rectius habet, πλαδδιῇν.

8 Σαβάζιος. ὁ αὐτός ἐστι τῷ Διον.] Totam hanc notam deſcripſit Suidas ex Schol. Ariſtoph. ad *Aves*, pag. 583. (402. Ed. Baſ. *P.*)

9 Καὶ τοὺς Βάκχους] Idem docet Plutarchus *Sympoſ.* iv. Σάββους γὰρ καὶ νῦν οἱ πολλοὶ τοὺς Βάκχους καλοῦσι, &c.

10 Τρυγόνιον, Σαβ.] Integrum Epigramma legitur Anthol. lib. iii. cap. xii. pag. 319. ut Portus etiam obſervaverat.

τος.

τος. ἀντὶ δὲ Ῥωμαϊκοῦ, Ἰουδαϊκοῦ γραπτέον. ἀργίαν δὲ ἦγον τὸ Σάββατον· ἀλλὰ τὴν πνευματικὴν ἐργασίαν πολλαπλασίονα ἐπετέλουν.

bore ceſſantibus, propter reverentiam cultus divini. Pro Ῥωμαϊκοῦ autem ſcribendum eſt Ἰουδαϊκοῦ. [Judæi enim diem ſeptimum religioſe colebant.] Sabbato autem feriabantur [Judæi a negotiis terreſtribus:] at cultui divino multo magis vacabant.

Σάββατον. ἀργία. κατάπαυσις. [1] Σάββατον δὲ δευτερόπρωτον, ἐπειδὴ δεύτερον μὲν ἦν τοῦ Πάσχα, πρῶτον δὲ τῶν Ἀζύμων. εἰ οὖν σάββατον εἴρηται, μὴ θαυμάσῃς. Σάββατον γὰρ πᾶσαν ἑορτὴν ἐκάλουν. καὶ διὰ τοῦτο εἴρηται, σάββατον σαββάτων. Ὀψὲ δὲ σαββάτων, καὶ οὐ σαββάτου λέγει ὁ Εὐαγγελιστής, διότι σάββατα πᾶσαν τὴν ἑβδομάδα ἔλεγον, ἵνα τὴν ἑσπέραν τῆς ἡμέρας ἐκείνης δηλώσῃ. καὶ γὰρ ἔθος ἐστὶν ἡμῖν λέγειν, ὀψὲ τῆς ὥρας ἦλθες· ὀψὲ τοῦ καιροῦ. ἐκ τούτου δηλοῦται τὸ πόρρω καὶ βραδὺ τῆς πεξαιωθείσης ἑβδομάδος. πληροῦται δὲ ἡ ἑβδομὰς ἑκάστη ταῖς μετὰ τὸ σάββατον τοῦ ἡλίου δυσμαῖς.

Σάββατον. Sabbatum. Otium. Requies. Sabbatum vero ſecundo-primum dicebatur, quod eſſet ſecundus dies Paſchatis, primus vero Azymorum. Ne mireris igitur Sabbatum dici. Sabbatum enim omne feſtum vocabant. Et ideo dictum eſt, Sabbatum Sabbatorum. Euangeliſta vero dicit, Ὀψὲ τῶν σαββάτων, non vero σαββάτου, quod Sabbata vocarent totam ſeptimanam: ut illius diei veſperam indicaret. Nam & dicere ſolemus, ὀψὲ τῆς ὥρας, & ὀψὲ καιροῦ, i. e. ſero. Ὀψὲ τῶν σαββάτων igitur ſignificat, ſub finem ſeptimanæ. Qualibet autem ſeptimana completur Solis poſt Sabbatum occaſu.

Σαββάτου [2] ἔχων ὁδόν. [3] διχιλίων πήχεων ἦν. τοσοῦτον γὰρ ἡ κιβωτὸς διάστημα περιελάμβανε τὴν παρεμβολήν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐκίνουν, οἷς ἐξῆν προσκυνεῖν τὴν σκηνὴν ἐν σαββάτῳ βαδίζειν.

Σαββάτου ἔχων ὁδόν. Sabbati viam habens. Id eſt, viam cc. cubitorum. Tanto enim ſpatio Arca antecedebat caſtra, & tantum iter in Sabbato conficere licebat illis, qui tabernaculum adibant, Deum in eo adoraturi.

Σαβέκ. ἄφεσιν. ἀπὸ τῆς Σύρας.

Σαβέκ. Sabec. Dimiſſionem. Eſt vox Syriaca.

Σαβέλλιος. ὄνομα κύριον. ὁ αἱρεσιάρχης.

Σαβέλλιος. Sabellius. Nomen proprium Hæreſiarchæ.

Σάβειροι. ὄνομα ἔθνους. Νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ, ὅτι μὴ ἀνέστησαν ἀπαξάπαντας Σαβείρους τε καὶ Ἀλβανούς.

Σάβειροι. Sabiri. Nomen gentis. *Succenſet & indignatur Cæſar, quod non omnes Sabiros & Albanos ex ſuis ſedibus expuliſſent.*

Σαβῖνος, σοφιστής, γεγονὼς ἐπὶ Ἀδριανοῦ Καίσαρος. ἔγραψεν [4] Εἰσαγωγὴν καὶ Ὑπόθεσιν [5] μελετητικῆς ὕλης, εἰς βιβλία δ'. Εἰς Θουκυδίδην, καὶ Ἀκουσίλαον, καὶ ἄλλους ὑπομνήματα· καὶ ἕτερά τινα ἐξηγητικά.

Σαβῖνος. Sabinus, Sophiſta, qui vixit ſub Adriano Cæſare. Scripſit Introductionem in materiam declamationum, libris IV. Commentarios in Thucydidem, & Acuſilaum, & alios. Item, alias quaſdam enarrationes.

Σάβοι. [6] Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. οἱ μὲν Σάβους λέγεσθαι τοὺς τελουμένους τῷ Σαβαζίῳ, τουτέστι, τῷ Διονύσῳ· καθάπερ τοὺς τῷ Βάκχῳ Βάκχους. τὸν αὐτὸν δὲ εἶναι Σαβάζιον καὶ Διόνυσον φασίν. οὕτω δέ φασι καὶ τῶν Ἑλλήνων τινὰς τοὺς Βάκχους Σάβους καλεῖν. Μνασέας δὲ ὁ Παταρεὺς υἱὸν εἶναι φησὶ τοῦ Διονύσου Σαβάζιον.

Σάβοι. Sabi. Demoſthenes in oratione pro Cteſiphonte. Nonnulli Sabos ajunt vocari eos, qui ſacris Sabazii, i. e. Dionyſi initiati erant: quemadmodum Bacchos, qui Bacchi ſacris initiati erant. Sabazium autem & Bacchum eundem eſſe ajunt. Sic etiam Græcorum nonnullos Bacchos dicunt vocare Sabos. Mnaſeas autem Patarenſis Sabazium ait eſſe Bacchi filium.

Σαγαλλησός. πόλις Πισιδίας.

Σαγαλλησός. Sagalleſus. Urbs Piſidiæ.

Σαγαπηνόν. [7] ὀπός ἐστιν, οἷον νάρθηκος, θερμός, καὶ λεπτομερής. ἔχει δέ τι καὶ ῥυπτικόν· ὡς καὶ ταῖς ἐν ὀφθαλμοῖς οὐλαῖς τε καὶ ὑποχύσεσιν ἁρμόττειν.

Σαγαπηνόν. Sagapenum. Succus eſt ferulæ, calidus, & tenuium partium: itemque, vim aliquam purgandi habens. Quare etiam adverſus oculorum cicatrices & ſuffuſiones aptum eſt remedium.

Σαγγάριος. ποταμὸς Λυδίας καὶ Φρυγίας. [8] Γάϊος

Σαγγάριος. Sangarius, Lydiæ & Phrygiæ

1 Σάββατον δὲ δευτερόπρωτον, ἐπειδὴ δ.——— πᾶσαν ἑορτὴν ἐκάλουν] Hæc ſunt verba Iſidori Peluſ. lib. III. Epiſt. cx. ut Pearſonius obſervaverat. Cæterum, de Sabbato δευτεροπρώτῳ propediem expectamus diſſertationem viri doctiſſ. Caroli Daubuz, in qua de argumento hoc accurate tractabitur.

2 Σαββάτου ἔχων ὁδόν] *Actor.* I. 12. ſed ubi legitur ἔχον, genere neutro. Refertur enim ad ὄρος, quod ibi præcedit.

3 Διχιλίων πήχεων ἦν. τοσοῦτον γ.] Hæc apud Oecumenium in cap. I. *Actor.* rectius & plenius ſic leguntur: Μίλιον ἦν, ἡ τοῦ σαββάτου ὁδὸς, ὥς φησιν Ὠριγένης ἐν τῷ πέμπτῳ Στρωματεῖ, δισχιλίων πηχῶν ὑπῆρχε. καὶ μᾶλλον ἡ ἁγία σκηνὴ καὶ κιβωτὸς τοσοῦτον διάστημα περιελάμβανε τὴν παρεμβολήν, καὶ ἀπὸ τοσούτου διαστήματος ἐσκήνου. ὃ διάστημα ἐξῆν τοῖς προσκυνοῦσι τὴν ἁγίαν σκηνὴν βαδίζειν ἐν σαββάτῳ. Hinc Suidam emendabis.

4 Εἰσαγωγὴν καὶ ὑπόθεσιν μελετ.] Locus hic ſuſpectus mihi eſt. Forte Suidas ſcripſerat, Εἰσαγωγὴν καὶ ὑπόθεσιν ** Περὶ μελετητικῆς ὕλης, &c. Poſt ὑπόθεσιν enim videtur excidiſſe vox aliqua, ſive nomen operis cujus εἰσαγωγὴν & ὑπόθεσιν Sabinus ſcripſerat.

5 Μελετητικῆς ὕλης] Opus hoc laudatur a Laertio in *Platone*, Segm. XLVII.

6 Σάβοι. Δημοσθένης ἐν τ.] Ex Harpocratione: ad quem vide Mauſſacum. Cæterum in loco Demoſthenis, ad quem nota hæc referenda eſt, pro Σάβοι, hodie legitur Σαβοῖ; ut Portus etiam monuit. Confer Noſtrum ſupra v. Εὐοί.

7 Σαγαπηνόν. ὀπός ἐστιν οἷον νάρθ.] Hæc ſunt verba Pauli Æginetæ, lib. VII. pag. 252.

8 Γάϊος, Ὕπατος Ῥωμ.] Fragmentum hoc (quod Valeſius ad Polybium refert) auctius legitur ſupra v. Γάϊος.

Ὕπατος Ῥωμαίων, διερχόμενος ἐγεφύρωσε τὸν Σαγγάριον ποταμὸν, τελέως κοῖλον ὄντα καὶ δύσβατον, καὶ παρ' αὐτὸν τὸν ποταμὸν ἐστρατοπεδεύσατο.

Σάγαρις. κοπίς. ἢ πέλεκυς. λέγεται καὶ σάγαρι, χωρὶς τοῦ σ. [1] Ξενοφῶν· Ὁ δὲ ἄνδρα συλλαβὼν, ἧκεν ἄγων ἔχοντα τόξον Περσικὸν, καὶ φαρέτραν, καὶ σάγαριν, οἵαν περ αἱ Ἀμαζόνες ἔχουσι. Σάγαρις. [2] Λυσιφλεβῆ τε σάγαριν. ἢ τὰ ἐκ χειρὸς ὅπλα.

Σάγη. τὸ τοῦ ὄνου ἐπίθεμα. Ἐπ' αὐτὸν ἐπέθει τὸν γόμον, τὴν σάγην τε τοῦ κτήνους. Ἰώσηπος· Ῥαχήλα δὲ κατατίθησι τοὺς τύπους εἰς τὴν σάγην τῆς φερούσης αὐτὴν καμήλου.

Σαγηνέων. ἀνθρώπων.

Σαγηνεύω. αἰτιατικῇ.

Σαγηνεύς. ὄνομα κύριον.

Σαγηνεία. ἡ ἁλεία. καὶ σαγηνευτὴρ, ὁ ἁλιεύς.

Αἰγιαλῖται [3] Πρίηπε, σαγηνευτῆρες ἔθηκαν
Δῶρα παραιγιαλίης, σοὶ, τάδ' ἀπ' ὠφελίης.

Καὶ [4] δῶρα βασιλεῖ Νομάδων, σάγων πορφυρῶν πλῆθος, καὶ πόρπας χρυσείας.

Σάγμα. [5] ἡ θήκη τοῦ ὅπλου. σάγη δὲ, τὸ ὅπλον. καὶ πανσαγία, ἡ πανοπλία. Ἀριστοφάνης Ἀχαρνεῦσι·

Τίς Γοργόν' ἐξήγειρεν ἐκ τοῦ σάγματος;

ἐν γὰρ τῇ ἀσπίδι ἐνετετύπωτο ἡ Γοργώ. λέγει οὖν, Τίς ἐξήγαγεν ἐκ τῆς θήκης τὸ ὅπλον; καὶ Σοφοκλῆς·

Κάλλιστα τεύχη δ' ἐν καλοῖσι σάγμασι.

Σαγμάρια. [6] τὸ παρ' ἡμῖν λεγόμενον τοῦλδον. τὰ βαστάζοντα τὴν ἀποσκευὴν, καὶ τὴν μετακομιδὴν τῶν ἐπιτηδείων.

Σαγχωνιάθων, [7] Τύριος, Φιλόσοφος, ὃς γέγονε κατὰ τὰ Τρωϊκά. Περὶ τῆς Ἑρμοῦ Φυσιολογίας· ἥτις μετεφράσθη. Πάτρια Τυρίων, τῇ Φοινίκων διαλέκτῳ. Αἰγυπτιακὴν Θεολογίαν καὶ ἄλλα τινά.

Σαδώκ. ὄνομα κύριον.

Σαδδουκαῖος. [8] ἀπὸ τόπου.

Σαδυάττης. ὁ Ἄρδυος.

Σαθρός. ἀπὸ τοῦ σείεσθαι ῥᾳδίως. ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα.

Σαθρωθῆναι. σαλευθῆναι. Τὰς μὲν ἐπάλξεις καταῤῥαχθῆναι ταῖς βολαῖς, καὶ τὸν τοῖχον ἅπαντα τοῦ πύργου σαθρωθῆναι τῇ βίᾳ. Μένανδρός φησι.

Σαθροί. παλαιοί, φθαρέντες.

fluvius. *Cajus, Conſul Romanus, Sangarium fluvium, qui valde profundus erat & trajectu difficilis, ponte junxit, & juxta eum caſtra metatus eſt.*

Σάγαρις. Securis. Vel, bipennis. Dicitur & σάγαρι, abſque σ. Xenophon: *Ille autem virum, quem comprehenderat, adduxit, habentem arcum Perſicum, & pharetram, & ſecurim, qualem Amazones habent.* Item, σάγαρις, Inſtrumentum, quo venæ ſecantur. *Et ſagarin venarum ſectorem.* Vel, arma, quibus cominus pugnatur.

Σάγη. Onus. quod aſino imponitur. Vel, clitellæ. *Impoſuit in eum onus & clitellas jumenti.* Joſephus: *Rachel vero imagines poſuit in clitellis ipſam ferentis cameli.*

Σαγηνέων. Piſcatorum.

Σαγηνεύω. Accuſativo jungitur. Piſcor. Sagena capio.

Σαγηνεύς. Sageneus. Nomen proprium.

Σαγηνεία. Piſcatio. Et σαγηνευτὴρ, piſcator. [In Epigrammate:] *Littoralis Priape, piſcatores tibi hæc dona dedicarunt, primitias prædæ juxta littus captæ.* † *Et dona Regi Numidarum [miſerunt,] ſagorum purpureorum ingentem copiam, & fibulas aureas.*

Σάγμα. Theca ſcuti. Σάγη vero, ipſum ſcutum. Et πανσαγία, integra armatura. Ariſtophanes *Acharnenſibus: Quis Gorgonem ex theca ſcuti excitavit?* In ſcuto enim imago Gorgonis ſculpta erat. Dicit igitur, *Quis ex theca ſcutum extraxit.* Et Sophocles: *Pulcherrima vero arma in pulchris thecis.*

Σαγμάρια. Sagmaria. Idem, quod apud nos τοῦλδον, i. e. ſarcinæ militares, vel impedimenta. Vel, jumenta, quæ ſarcinas & res neceſſarias geſtant.

Σαγχωνιάθων. Sanchoniathon, Tyrius, Philoſophus, qui belli Trojani tempore vixit. Scripſit de Mercurii Phyſiologia, quæ [in linguam Græcam] tranſlata eſt. Antiqua Tyriorum inſtituta, lingua Phœnicum. Theologiam Ægyptiacam: & alia.

Σαδώκ. Sadoc. Nomen proprium.

Σαδδουκαῖος. Sadducæus.

Σαδυάττης. Sadyattes. Ardyos filius.

Σαθρός. Debilis. Imbecillus. Putridus. Dictum eſt ἀπὸ τοῦ σείεσθαι ῥᾳδίως; quod facile concutiatur. Vel, ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα; quod articuli ejus facile quaſſentur.

Σαθρωθῆναι. Quaſſatum eſſe. Labefactatum eſſe. *Propugnacula ictibus labefactata eſſe, & latus turris violentia [arietis] quaſſatum ruinam minari.* Menander inquit.

Σαθροί. Putridi. Antiqui. Vetuſtate exeſi.

1 Ξενοφῶν] Lib. IV. *de Expedit. Cyri*, pag. 328. ſed ubi legitur σάγαριν.

2 Λυσιφλεβῆ τε σάγαριν] Verba hæc ſunt pars Epigrammatis, quod ex codice MS. integrum publici juris fecimus ſupra v. Κόμβαλα.

3 Αἰγιαλῖται Πρίηπε, σαγ.] Integrum Epigramma, cujus diſtichum hoc pars eſt, exſtat Anthol. lib. VI. cap. III. ut Portus etiam monuit. Confer etiam Noſtrum ſupra v. Πρίαπος.

4 Καὶ δῶρα βασιλεῖ Νομ.] Exemplum hoc pertinet ad vocem σάγος, non vero σαγηνεία.

5 Σάγμα. ἡ θήκη τοῦ ὅπλ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 398. (284 Ed. Baſ. *P.*) Confer etiam Noſtrum ſupra v. Πανσαγία.

6 Σαγμάρια] Confer Noſtrum ſupra v. Ἀποσκευή. Vide etiam Dufrenium in Gloſſario Græco.

7 Σαγχωνιάθων] De hoc vide omnino Euſeb. lib. I. *Præpar. Evang.* cap. IX. & Voſſium in opere *de Hiſt. Gr.* Cæterum fragmenta Sanchoniathonis hujus ex interpretatione Philonis Byblii habes apud eundem Euſeb. lib. I. *Præp. Evang.* cap. X.

8 Ἀπὸ τόπου] Hoc falſum eſt. Nam τὸ Σαδδουκαῖος non eſſe nomen gentile, ſed nomen ſectæ Judaicæ, notiſſimum eſt. Vide Druſium *De trib. Sect. Judæorum.* lib. III. cap. IV. qui locum hunc Suidæ emendare conatur; ſed fruſtra.

Σάκανδρος. τὸ γυναικεῖον αἰδοῖον.

Σάκας. ὄνομα κύριον. τραγῳδίας ποιητής. καὶ Σάκαι ἔθνος Θρᴀκικόν. [2] Ἀριστοφάνης·

Νόσον νοσοῦμεν τὴν ἐναντίαν Σάκᾳ.
Ὁ μὲν γὰρ ὢν οὐκ ἀστὸς, εἰσβιάζεται.
Ἡμεῖς δὲ φυλῇ καὶ γένει τιμώμενοι,
Ἀστοὶ μετ' ἀστῶν, οὐ σοβοῦντος οὐδενὸς
Ἀνεπτόμεσθ' ἐκ τῆς πατρίδος.

Ἀμμώνιος, [3] ὁ φιλόσοφος Ἀλεξανδρεὺς, ὁ ἐπικληθεὶς Σάκκας, ἀπὸ Χριστιανῶν γέγονεν Ἕλλην, ὥς φησι Πορφύριος.

Σακέλλιον. [4] βαλάντιον, μαρσίπιον. ἐξ οὗ καὶ σακελλάριος.

Σακεσπάλος. [5] ὁ πολεμικός.

Σακεσφόροι. ὁπλοφόροι. ἀσπιδοφόροι.

Σακεῦσι. τὸ ὑλίζουσι. [6] παρ' Ἡροδότῳ.

Σάκκος. καὶ σακκίον. Ὁ δὲ Ἰακὼβ σακκίον ἐξαψάμενος καὶ τῇ λύπῃ βαρὺς ἐκαθέζετο.

Σάκος. ὅπλον. ἀσπίδα. καὶ σάκος, ἀρσενικῶς, δι' ἑνὸς κ. [7] Σάκους ἔχων καὶ [8] κωρύκους. ἀντὶ τοῦ θυλάκους. Κώρυκος δὲ, πλέγμα δεκτικὸν ἄρτων.

Σάλα. ἡ φροντίς.

Σαλάγγωνος.

Σαλαΐζειν. [9] θρηνεῖν.

Σαλάκων. [10] προσποιούμενος πλούσιος εἶναι, πένης ὤν. καὶ σαλακωνία, ἀλαζονεία παρὰ τὸ δέον. καὶ [11] σαλακωνίσαι, ἀλαζονεύεσθαι. ἀλαζόνας δὲ ἔλεγον τοὺς ψεύστας, καὶ μεγαλαύχους.

Σαλαμάνδρα. [12] ζῶον, ὡς σαύρα τὸ μέγεθος, ψυχρότατον τὴν φύσιν, ὡς καὶ τὸ πῦρ εἰσδυόμενον τὴν φλόγα σβεννύειν, καὶ αὐτὸ μὴ πίμπρασθαι.

Σαλαμινία [13] ναῦς. δύο ἦσαν νῆες παρ' Ἀθηναίοις ὑπηρέτιδες καὶ ταχυδρόμοι, ἡ Πάραλος, καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς καλουμένους εἰς κρίσιν ἦγεν· ἣν καὶ ἐπὶ Ἀλκιβιάδου φησὶ πεμφθῆναι Θουκυδίδης. ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγε. τουτέστι, τὰ εἰς θυσίαν πεμπόμενα.

Σαλαμίνιος. [14] ὡς ναυτικῶν ὄντων τῶν Σαλαμινίων καὶ καταφερῶν, δύναται δὲ καὶ ἀπὸ τῆς Σαλαμινίας νεὼς νοεῖσθαι τὸ Σαλαμίνιος· ὡς ἀπὸ τῆς Παράλου, Πάραλος.

Σαλαμῖνος. [15] Μετὰ Μαραθῶνα Σαλαμῖνος μέ-

Σάκανδρος. Muliebre pudendum.

Σάκας. Sacas. Nomen proprium poetæ Tragici. Et Sacæ, gens Thracica. Ariſtophanes: *Morbo laboramus contrario ac Sacas. Nam hic, cum non ſit civis, ſe per vim [in numerum civium] intrudit. Nos vero, qui & Tribu & genere orti ſumus honeſto, cives cum civibus, nullo abigente avolavimus ex patria ambobus pedibus.* † Ammonius, philoſophus Alexandrinus, cognomento Sacas, ex Chriſtiano factus eſt gentilis, ut ait Porphyrius.

Σακέλλιον. Sacculus. Crumena. Marſupium. Unde & σακελλάριος, ſaccularius.

Σακεσπάλος. Scuti vibrator. Bellicoſus.

Σακεσφόροι. Scutiferi. Armiferi.

Σακεῦσι. Percolant. Apud Herodotum.

Σάκκος. Saccus. Et σακκίον, ſacculus. *Jacob autem ſacco indutus & triſtitia gravatus ſedit.*

Σάκος. Clypeum. Scutum. Et σάκος, genere maſculino effertur, & per unum κ [ſcribitur, pro σάκκος, ſaccus. Ariſtophanes:] *Saccos habens & reticula panum.* Σάκους enim hic idem ſignificat, quod θυλάκους. Κώρυκος vero eſt vas aliquod plexum, in quo panes reponuntur.

Σάλα. Cura. Solicitudo.

Σαλάγγωνος. Salangonis.

Σαλαΐζειν. Lugere. Lamentari.

Σαλάκων. Qui ſimulat ſe divitem eſſe, cum ſit pauper. Jactabundus. Et σαλακωνία, nimia jactantia, vel oſtentatio. Et σαλακωνίσαι, ſeſe jactare, vel oſtentare. Ἀλαζόνας vero vocabant homines mendaces & glorioſos.

Σαλαμάνδρα. Salamandra. Animal magnitudine lacertæ, natura frigidiſſimum, ut vel ignem ingrediens flammam extinguat, nec ab ea crémetur.

Σαλαμινία ναῦς. Salaminia navis. Apud Athenienſes duæ naves erant publicis uſibus inſervientes, eæque velociſſimæ, Paralus & Salaminia. Harum altera, i. e. Salaminia, vehebat eos, qui in jus vocabantur: quam & Alcibiadis accerſendi gratia miſſã fuiſſe Thucydides narrat. Paralus autem vehebat ea, quæ ad ſacrificia peregre facienda mittebantur.

Σαλαμίνιος. Salaminius. [Hoc ideo Comicus dixit,] quod Salaminii rei nauticæ admodum periti eſſent, & ad venerem proclives. Poteſt autem & a nave Salaminia τὸ *Salaminius* dictum intelligi; ut a Paralo Paralius.

Σαλαμῖνος. Salaminis. Poſt Marathonem

1 Σάκανδρος] Voce hac uſus eſt Ariſtoph. *Lyſiſtrata*, pag. 888. (559. Ed. Baſ. *P.*) quo Suidas reſpexit.

2 Ἀριστοφάνης] Sub initium *Avium*. Confer Noſtrum ſupra v. Νομάδες, ubi idem fragmentum legitur.

3 Ἀμμώνιος] Vide Noſtrum ſupra h. v.

4 Σακέλλιον] Vide de hac voce Dufrenium in Gloſſario Græco.

5 Σακεσπάλος] Eſt vox Homerica, Il. E. v. 126. Cæterum in MSS. Pariſ. vox hæc παρρξυτόνως ſcripta eſt. At in prioribus Editt. προπαροξυτόνως: quod minus placet.

6 Παρ' Ἡροδότῳ] In *Melpomene*, pag. 145. ut Portus etiam monuit. Ibi autem legitur, σακκέουσι, per duplex κκ: a σακκέω.

7 Σάκους ἔχων καὶ κωρύκους] Hæc ſunt verba Ariſtophanis *Lyſiſtrata*, pag. 909. (568. Ed. Baſ. *P.*)

8 Κωρύκους] Sic MSS. Pariſ. & Ariſtoph. loco laudato. At in prioribus Editt. minus recte legitur κορύκους, per ο in ſyllaba prima.

9 Σαλαΐζειν. θρηνεῖν] Vide Salmaſium ad Æl. Lampridium.

10 Σαλάκων] Vide Henricum Steph. in Animadverſionibus ad Adag. Eraſmi, pag. ult.

11 Σαλακωνίσαι] Confer Noſtrum ſupra v. Διασαλακωνίσαι.

12 Σαλαμάνδρα] Vide Scholiaſtam Nicandri, pag. 64.

13 Σαλαμινία ναῦς. δύο ἦσαν ν.] Ex Scholiaſta Ariſtophanis ad *Aves*, pag. 548. Confer etiam Noſtrum ſupra v. Πάραλος.

14 Σαλαμίνιος. ὡς ναυτικῶν ὄντ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Ecclesiaz.* pag. 725. (486. Ed. Baſ. *P.*)

Σαλαμίνιος γάρ ἐστι, ὦ ξύνειμ' ἐγώ.
Τὴν νύχθ' ὅλην ἤλαυνέ μ' ἐν τοῖς στρώμασι.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

15 Σαλαμῖνος. Μετὰ Μαραθ.] Totus hic locus ſumptus eſt ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 335. (233. Ed. Baſ. *P.*)

μηνται, ὅπου ναυμαχία Περσῶν ἐγένετο· ἐν Μαραθῶνι δὲ, πεζομαχία. κεῖται δὲ ἡ Σαλαμὶς ὀλίγον πρὸ τῆς Ἐλευσῖνος πόλεως, ἱερὰ Δήμητρος καὶ Κόρης, πλήρης κατορθωμάτων Ἑλληνικῶν. καὶ γὰρ ἐν ταύτῃ πολλὰς τῶν Περσῶν κατεναυμάχησαν Ἀθηναῖοι τριήρεις ὀλίγῳ ἀριθμῷ, Θεμιστοκλέους στρατηγοῦντος. ἔνθα καὶ πέτρα ἐστὶν Εἰρεσία οὕτω καλουμένη, ὥσπερ διὰ τοῦ ὀνόματος τρόπαιον οὖσα. ἔστι δὲ καὶ Ἀγέλαστος πέτρα καλουμένη παρὰ τοῖς Ἀθηναίοις, ὅπου καθίσαι φασὶ Θησέα μέλλοντα καταβαίνειν εἰς ᾅδου· ὅθεν καὶ τοὔνομα. ἢ ὅτι ἐκεῖ ἐκαθέσθη ἡ Δημήτηρ κλαίουσα, ὅτι ἐζήτει τὴν κόρην. [1]Ἀριστοφάνης·

> Ἐπὶ ταῖς πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως·
> Οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι [2]τοῦτο φέρω. ἀλλ' ἐπαναίρου,
> Κᾆτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι.

Σαλεύει. ζῇ. διάγει. Τὸν τῆς οἰκουμένης δεσπότην, ἐν ᾧ σαλεύει τὰ πάντα. καὶ αὖθις· Ὥσπερ ἐν οὐχ ὑπὲρ τῶν ἐσχάτων σαλεύουσα, ἀλλ' ἐφειμένη δρᾶν ὅ,τι καὶ θέλει. καὶ αὖθις· Σαλευόντων ἐπὶ λεπταῖς ταῖς ἐλπίσι πολλῶν.

Σαλεύσας. βουλευσάμενος. Πολλὰ δὴ καθ' ἑαυτὸν σαλεύσας, ἀνέρριψεν ἐκ τῶν παρόντων εὐτυχῆ κύβον. καὶ αὖθις· Τοὺς δὲ ἄλλους ἐπὶ ψίας τῆς ἀκμῆς σαλεύσας, καὶ μὲν τοι τῷ ἀποπλέεσθαι ὁμοῦ εἶναι. καὶ αὖθις· Ἡνίκα ἑώρα σαλεύουσαν αὐτῇ τὴν τύχην πᾶσαν. ἀντὶ τοῦ μεταπίπτουσαν.

Σαλήμ. ὄνομα πόλεως. ἡ Ἱερουσαλήμ.

Σάληξ. ὄνομα ποταμοῦ.

Σαλμωνεύς. οὗτος Αἰόλου μὲν υἱὸς, βασιλεὺς δὲ Θετταλῶν ὡς ἀσεβὴς γεγονὼς, διὰ μηχανῆς ἤστραπτεν, ἐβρόντα, συνεχύκα τὰς τῶν ὑπηκόων ψυχάς. ὅθεν καὶ δίκην ἔδωκε τῆς ἀσεβείας, θεόθεν κεραυνόβλητος γεγονώς.

Σαλομών. ἀπὸ τοῦ Σαλήμ· ὅ ἐστιν, εἰρήνη. ἐν γὰρ τοῖς ἐκείνου χρόνοις εἰρήνη ἦν.

Σάλος. [3]σαλευμός. τάραχος. καὶ ἡ φροντίς. [4]Κατέλαβον πολισμάτιον ἀλίμενον μὲν, σάλους δὲ ἔχον, καὶ προβολὰς περικλειούσας ἐκ τῆς γῆς εὐφυεῖς. καὶ αὖθις· Ἐν τῷ σάλῳ συνίζανον. ἐποίει αὐτὸ στερεώτερον.

Σαλεύουσα. φροντίζουσα. Σάλα γὰρ, ἡ φροντίς.

Σαλούστιος, σοφιστής. ἔγραψεν εἰς Δημοσθένην καὶ Ἡρόδοτον ὑπόμνημα· καὶ ἄλλα.

Σαλούστιος Μοψεάτης, ἰατρὸς, ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψεν Ἰατρικά.

Σαλούστιος. [5]οὗτος εἰς Ἀλεξάνδρειαν ἧκεν Ἀθή-

mentionem facit Salaminis; ubi navale prælium Perſarum commiſſum eſt: in Marathone vero, pedeſtre prælium. Salamis autem eſt ſita non procul ab Eleuſine urbe, quæ Cereri & Proſerpinæ ſacra eſt, plena monumentis facinorum fortiter & præclare a Græcis geſtorum. Ibi enim Athenienſes exiguo militum numero, duce Themiſtocle, multas Perſarum triremes profligarunt. Illic etiam eſt rupes, Ireſia dicta, ipſo nomine tropæum quaſi ſignificans. Eſt & ibi rupes Agelaſtos, apud Athenienſes ſic appellata, ubi Theſeum ſediſſe ferunt, cum ad inferos deſcenſururus eſſet: unde etiam ei nomen. Vel quod ibi ſederit Ceres plorans, cum Proſerpinam quæreret. Ariſtophanes: *Te in ſaxis duriter ita ſedentem non reſpicit: non ut ego, qui tibi pulvinum iſtum fero. Quare ſurge, & ſede molliter, ne atteras nates in Salamine.*

Σαλεύει. [Fluctuat. Movetur. Agitatur.] Vivit. Agit. *Orbis terrarum dominum, a quo pendent & reguntur omnia.* Et iterum: *Non quaſi in extremo diſcrimine verſetur, ſed ipſi permittatur facere, quicquid voluerit.* Et iterum: *Cum multi ſpe tenui freti vivant.*

Σαλεύσας. Qui conſilia animo agitavit. Qui animo fluctuavit. *Cum diu multumque animo fluctuaſſet, pro præſenti rerum ſtatu felicem aleam jecit.* Et iterum: * * * * * * * Et iterum: *Cum fortunam ejus fluctuantem videret & dubiam.* Vel, in alteram partem ſe inclinantem.

Σαλήμ. Salem. Nomen urbis, quæ poſtea dicta fuit Hieruſalem.

Σάληξ. Salex. Nomen fluvii.

Σαλμωνεύς. Salmoneus, Æoli filius, Rex Theſſalorum: homo impius, qui ex machina quadam fulgurans & tonans, ſubjectorum animos conturbabat. Quamobrem etiam impietatis pœnas dedit, ictu fulminis divinitus miſſi necatus.

Σαλομών. Salomon. Dictus a voce σαλήμ, quæ *pacem* ſignificat. Ejus enim temporibus pax [in Judæa] fuit.

Σάλος. Salum. Fluctuatio. Turbatio. Item, cura & æſtus animi. *Ad oppidulum appellunt, ubi portus quidem nullus erat, ſed ſtationes duntaxat, & prominentia e terra ſaxa, quæ medium ſpatium claudebant utrinque.*

Σαλεύουσα. Fluctuans. Curis æſtuans Σάλα enim *curam* ſignificat.

Σαλούστιος. Saluſtius, Sophiſta. Scripſit commentarium in Demoſthenem, & Herodotum: & alia.

Σαλούστιος. Saluſtius Mopſeates, Medicus. Scripſit de Medicina, ſub Tiberio Imperatore.

Σαλούστιος. Saluſtius. Hic Athenis Alexan-

1 Ἀριστοφάνης] Equit. pag. 335.

2 Τοῦτο] Ariſtoph. habet τουτί: uti etiam hic metri gratia ſcribendum eſt.

3 Σαλευμός] Sic etiam Photius in Lex. MS. At eſt vox ſuſpecta, vel verius adulterina. Dicendum enim potius erat σαλευμός, ſi talis formatio ἀνεμωδῶν ῥημάτων in uſu eſſet.

4 Κατέλαβον πολισμάτιον ἀλίμενον μὲν, κτλ.] Hæc ſunt verba Polybii lib. 1. cap. LIII.

5 Σαλούστιος. οὗτος εἰς Ἀλεξ.] Totum hunc articulum de Saluſtio philoſopho ex Damaſcio depromptum eſſe, patet ex Photio, apud

νηθεν σὺν Ἰσιδώρῳ τῷ φιλοσόφῳ. παράδοξος δὲ ὁ τρόπος Σαλουστίου πᾶσιν ἀνθρώποις, τὰ μὲν φιλοσοφοῦντος ἐπὶ τὸ καρτερώτατον· τὰ δὲ, παίζοντος ἐπὶ τὸ γελοιότερον· ἑκάτερον, οἶμαι πέρα τοῦ μετρίου. καὶ δεῖ κρίσεως, εἴπερ τινὶ ἄλλῳ, τῷδε τῷ βίῳ. καὶ δὴ Σαλούστιος τὰ μὲν πατρόθεν ὥρμητο ἀπὸ Συρίας· τὰ δὲ πρὸς μητρὸς, Ἐμεσηνὸς ἐγεγόνει. ὁ πατὴρ δὲ αὐτῷ Βασιλίδης ὠνομάζετο· Θεόκλεια δὲ ἡ μήτηρ. εὐφυὴς δὲ ἐπὶ πολλὰ γεγονὼς, καὶ τὸ ἦθος αὐστηρὸς καὶ φιλότιμος, τὰ μὲν πρῶτα ἀπέβλεπεν εἰς τὴν πολυήρατον δικανικήν· καὶ ἐπαιδεύετο λόγοις ῥητορικοῖς ὑπὸ Εὐνοΐῳ σοφιστῇ, τότε ὄντι κατὰ Ἔμεσαν. ὕστερον δὲ οὐκέτι [1] δικανικοῦ, ἀλλ' ἤδη τοῦ σοφιστικοῦ βίου προσεῖχε τὸν νοῦν, καὶ ἐπὶ τούτῳ διεμελέτα τοὺς λόγους, οὐδὲν ἧττον τῆς φύσεως ἐπὶ τοῖς πόνοις θαυμαζόμενος. τοὺς μὲν γὰρ δημοσίους τοῦ Δημοσθένους λόγους ὁμοῦ πάντας ἐξέμαθεν. ἀλλὰ πρὸς τούτῳ καὶ λέγειν ἦν ἱκανὸς, [2] οὐ τοὺς νεωτέρους ἐκμιμούμενος σοφιστὰς, ἀλλὰ πρὸς τὸν ἀρχαῖον τύπον τῆς λογογραφίας ἁμιλλώμενος. ἀμέλει καὶ ἔγραψε τοὺς λόγους, οὐ πολύ τι ἐκείνων λειπομένους. τὸν δὲ ἡμέτερον πολίτην Μάρκελλον, ἑταῖρον τοῦ Εὐνοΐου, καὶ τοῦτον ἐκμαθόντα μὲν ἀπεμνημόνευε τὰ ὀκτὼ βιβλία τῆς Θουκυδίδου ἱστορίας· οὐ μήν τι καὶ λέγοντα ἄξιον ἀκοῆς. καὶ Νόννον δέ φασιν ἐκμαθόντα ἑξάκις ὅλον τὸν Δημοσθένην, μὴ δὲ διᾶραι τὸ στόμα δύνασθαι πρός γε λόγων ἐπιεικῶν σύνθεσιν. οὐ γάρ ἐστι ταυτὸν ἐς πλῆθος ἀποστηθίζειν, καὶ γράφειν ἐς κάλλος. ὁ δὲ Σαλούστιος, ἁδρότερον ἤδη ἁπτόμενος τῆς τέχνης, ἐλάττω ἢ καθ' ἑαυτὸν ὑπολαβὼν τὸν Εὐνόϊον, ἀπῆρεν εἰς Ἀλεξάνδρειαν, καὶ ἀπεπειρᾶτο τῶν ῥητορικῶν διδασκάλων.

driam cum Iſidoro philoſopho venit. Saluſtii vero mores omnibus hominibus admirabiles fuerunt; quod partim conſtantiſſime philoſopharetur, partim vero perridicule jocaretur: utrumque, opinor, ultra modum. Hæc enim vita, ſi quæ alia, judicium requirit. Saluſtius vero paternum genus a Syria ducebat; maternum vero, ab urbe Emeſena. Pater ejus Baſilides vocabatur; & mater, Theoclea. Fuit autem ingenioſus ad multa, & moribus auſteris, & ambitioſis. Ac initio quidem vehementer expetitam Juriſprudentiam ſpectabat, & eloquentiæ præceptis ab Eunojo Sophiſta, qui tunc Emeſæ degebat, erudiebatur. Poſtea vero non amplius ad forenſem, at jam ad ſophiſticam vitam animum appulit, & ad hanc ſua ſtudia referebat, cum non minore induſtriæ, quam ingenii admiratione. Publicas enim Demoſthenis orationes ſimul omnes edidicit. Sed præterea ſatis erat diſertus, non recentiores ſophiſtas imitans, ſed antiquam illam orationis elegantiam exprimere ſtudens: nec orationes ſcripſit multo inferiores illis. Noſtrum quoque civem Marcellum, Eunoji ſodalem, octo libros hiſtoriæ Thucydidis edidiciſſe quidem ajebat: nihil tamen auditu dignum dicere potuiſſe. Nonnum etiam ajunt ſexies totum Demoſthenem edidiciſſe; ſed tamen ne os quidem aperire potuiſſe, ut aliquam orationem commodam haberet. Haud enim idem eſt ad populum memoriter recitare, quæ edidiceris, & eleganter ſcribere. Saluſtius autem huic arti ſedulam operam jam navans, cum Eunojum exiſtimaret ſibi melius inſtituendo imparem eſſe, Alexandriam abiit, & eloquentiæ magiſtrorum, qui ibi erant, periculum fecit. *Port.*

Σαλούστιος [3] φιλόσοφος· ὃς ἔφη ἀνθρώποις οὐ ῥᾴδιον εἶναι φιλοσοφεῖν, ἀλλὰ καὶ ἀδύνατον. τοῦτον ἀκούσας, ἀπέστυξα δὴ τοῦτον τὸν λόγον, ὡς οὔτε ἀληθῆ λεγόμενον, οὔτε λέγεσθαι ἄξιον. ἀλλὰ γὰρ ὁ Σαλούστιος ᾔδει τὸ ἐνὸν εἰπεῖν. οὐ γὰρ διεβέβλητο πρὸς φιλοσόφους ἁπλῶς, ἀλλὰ φύσει μισοπόνηρος ἦν, καὶ κατὰ τὸν Ἡράκλειτον, ὀχλολοίδορος, καὶ πᾶσιν ἐπιτιθέμενος τοῖς ἁμαρτάνουσι, καὶ ὁπωσοῦν, ἐκ πάσης προφάσεως ἐλέγχων ἑκάστους καὶ διακωμῳδῶν· ἐνίοτε μὲν σπουδάζων, τὰ δὲ πολλὰ τῷ γελοίῳ χαίρων ἤθει, καὶ φιλοσκώμμονι. καὶ γὰρ ἦν ὁ Σαλούστιος εὐτράπελος ἱκανῶς, καὶ σκώπτειν εὐφυέστατός τε καὶ προχειρότατος, ἐξαιρέτους μὲν ἔχων αὐτὸς, ἐκ γένους δὲ ὅμως τὰς τοιαύτας χάριτας. ὁ γάρ τοι πέμπτην ἀρετὴν ὀνομάσας τὴν περὶ θεῶν δόξαν ἀληθῆ, δοκοῦσαν ἐνεῖναί ποτε τοῖς πονηροτάτοις, Σαλούστιός ἐστιν. ἔτι δὲ πρὸς ἐνίους τῶν ἀλλοφύλων, τὰ μὲν ἄλλα αὐτοῦ ἐπαι-

Σαλούστιος φιλ. Saluſtius Philoſophus dicebat, philoſophari hominibus non eſſe facile, ſed potius impoſſibile. Quo ego audito, ſermonem hunc ſum averſatus, ut neque verum, neque dignum qui diceretur. Cæterum Saluſtius dicere norat id, quod e re nata eſſet. Neque enim philoſophis omnino infeſtus erat, ſed natura oſor improborum; & Heracliti more inſectator turbæ, omnes increpabat delinquentes, & quovis modo, quavis occaſione quoſlibet arguebat, & falſe perſtringebat, interdum ſerio, ſed plerumque nugis & ridiculis gaudens, atque dicteriis. Admodum enim urbanus erat, & ad deridendum etiam ingenioſiſſimus atque promptiſſimus: talibus gratiis ipſe quidem eximie præditus, ſed tamen e familia ſua acceptis. Nam qui virtutem quintam nominarit opinionem de Diis veram, quæ interdum ineſſe improbiſſimis videatur, Saluſtius eſt. Aliquando

quem in Excerptis ex Damaſcio, Cod. ccxlii. pag. 1057. nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur: ut recte monuit Pearſonius. Cæterum, Saluſtii hujus meminit etiam Suidas ſupra v. Ἀθηνόδωρος, v. Ἀπὴη, & v. Μαρκελλῖνος: itemque Simplicius in Commentar. in Epictetum, ſic inquiens: Ἐὰν γυμνάζηταί τις πρὸς ἀλγηδόνας, ἀνάγκη ζηλοῦν τὸν ἐφ' ἡμῶν Σαλλούστιον, [illegible] πεπυρακτωμένον ἐπιθέντα γυμνῷ τῷ μηρῷ, καὶ φυσῶντα αὐτὸν, καὶ δοκιμάζοντα ἑαυτὸν μέχρι πόσου δύναται καρτερεῖν. Hinc autem diſcimus, Saluſtium & Simplicium eodem tempore vixiſſe.

Porro, ex ſcriptis Saluſtii hujus nihil, quod ſciam, ad ætatem noſtram pervenit, præter libellum Περὶ Θεῶν καὶ Κόσμου, qui extat inter Opera Mythologica a Thoma Galeo edita.

1 Οὐκέτι δικανικοῦ——ἐκείνων λειπομένους.] Hæc ad verbum etiam leguntur apud Photium loco laudato.

2 Οὐ τοὺς νεωτέρους ἐκμιμ.——ἁμιλλώμενος.] Confer Noſtrum ſupra v. Νόννος: ubi eadem leguntur.

3 Σαλούστιος φιλόσ.] Et hunc articulum ex Damaſcio deſcripſit Suidas.

νέντας, ἓν δὲ αὐτῷ λείπειν εἰρηκότας, τὸ μὴ δοξάζειν περὶ Θεῶν τὰ αὐτὰ τοῖς πολλοῖς· Ἐᾶτε, ἔφη, τοῦτό γε διὰ τὴν νέμεσιν προσεῖναί μοι. τῷ δὲ Παμπρεπίῳ μέγιστον ἤδη δυναμένῳ ἐντυχών, ἐπειδὴ ἐκεῖνος ὡραϊζόμενος, Τί Θεοὶ πρὸς ἀνθρώπους, ἔφη; Τίς δέ, ἔφη, οὐκ οἶδεν, ὡς οὐκ ἐγὼ πώποτε Θεὸς ἐγενόμην, ὅτι σὺ ἄνθρωπος. ταῦτα περὶ Σαλουστίου. κυνικώτερον δὲ ἐφιλοσόφει.

Σαλούστιος,[1] ὁ τῆς Αὐλῆς Ἔπαρχος ἐπὶ Ἰουλιανοῦ,[2] ἀνὴρ τὴν διαφέρουσαν περιττὸς εἰς φιλανθρωπίαν· ᾧ γε τοσοῦτον ἡμερότητος καὶ πρᾳότητος ὑπῆρχεν εἰς ἅπαντας, ὥστε τὸν Μάρκελλον ἐκεῖνον, τόν, ἡνίκα ἦν Καῖσαρ, ὑβριστικῶς αὐτῷ χρησάμενον, πάνυ περιδεᾶ ὄντα διὰ τὰ προγεγενημένα· καίτοι τοῦ παιδὸς ἐλεγχθέντος ἐπανίστασθαι διὰ τὴν πρὸς Κωνστάντιον φιλίαν, τῷ νεανίσκῳ τὴν δίκην ἐπέθηκε· τὸν δὲ Μάρκελλον καὶ διαφερόντως ἐτίμησε.

Σαλούστιος,[3] Ἔπαρχος Πραιτωρίων· ὃς προεβάλλετο βασιλέα Βαλεντινιανόν. ὁ δὲ βασιλεύσας, διεδέξατο αὐτόν, καὶ ἔθηκε προθέματα, ἵνα, εἴ τις τι ἠδίκηται παρ' αὐτοῦ, προσέλθῃ τῷ βασιλεῖ. οὐδεὶς δὲ προσῆλθεν. ἦν γὰρ ἁγνότατος ὁ Σαλούστιος. οὗτος δὲ ὁ Βαλεντινιανὸς τὸν Πραιπόσιτον [4] Ῥοδανόν, ἀδικήσαντα Βερενίκην τινὰ χήραν, ἧς προσελθούσης τῷ βασιλεῖ, ἔδωκε δικαστὴν Σαλούστιον. ὁ δὲ κατεδίκασε τὸν Πραιπόσιτον. καὶ τούτου καταφρονήσαντος, τὸν Πραιπόσιτον ἐν τῷ Ἱππικῷ πυρὶ παραδίδωσι, καὶ τὴν κτῆσιν τοῦ ἀρχιευνούχου τῇ χήρᾳ δίδωσι· καὶ φοβηθέντες πάσης ἀδικίας ἀπέχοντο.

Σαλώμη. ὄνομα κύριον.

Σάλπιγξ. [5] ἱερατικὸν τοῦτο ὄργανον. ἱερεῖς γὰρ ἐχρῶντο τῇ σάλπιγγι.

Σαλπιγγολογχυπηνάδαι.[6] σάλπιγγα καὶ λόγχας καὶ ὑπήνας ἔχοντες. τοῦτο δὲ εἰς τὸν Φορμίωνα ἀναφέρει, ὡς μέγαν ἔχοντα πώγωνα. εἶπε δὲ συνθέτως, τὸ μὲν ἀπὸ τοῦ πολέμου, τὸ δὲ ἀπὸ τοῦ πώγωνος. Ἀριστοφάνης.

Σάλπιγξ. Σάλπιγξιν Ἰνδοὶ οὐ χρῶνται, ἀλλ' ἀντὶ σάλπιγγος αὐτοῖς εἰσὶν αἱ μάστιγες, ἃς ἀποκτυποῦσιν εἰς τὸν ἀέρα· καὶ τύμπανα φρικώδη τινὰ βόμβον ἐξ αὐτῶν ἀνιέντα.

Σαμαρεύς. ὁ πολίτης. Ἐντεῦθεν ἐχωρίσθησαν ἀπὸ τῶν Ἰουδαίων οἱ Σαμαρεῖται. † Πολλαῖς δὲ ἐχρήσατο τύχαις ἡ Σαμάρεια.

Σαμαρείτης. ἀρσενικῶς. Σαμαρεῖτις δέ, ἡ γυνή.

peregrinis quibuſdam, cætera quidem cum laudantibus, unum vero ei deeſſe dicentibus, quod non ita de Diis ut vulgus ſentiret: *Sinite*, inquit, *propter Nemeſin hoc ſaltem mihi adeſſe*. Cum Pamprepium maxima jam potentia præditum adiiſſet, iſque, qui elegans videri vellet, dixiſſet, *Quid Dii ad homines?* reſpondit: *Quis vero ignorat, neque me unquam Deum, neque hominem te fuiſſe?* Hæc de Saluſtio. Philoſophabatur autem Cynico fere more. *Wolf.*

Σαλούστιος. Saluſtius, Præfectus Prætorio ſub Juliano: cui tantum lenitatis & clementiæ in cunctos ſuperfuit, ut Marcellum eum, a quo, cum ipſe Cæſar eſſet, multis injuriis affectus erat, ob hæc terrore correptum, cum etiam ejus filius ob benevolentiam in Conſtantium res novas agitaſſe convictus eſſet, juvenem quidem ſupplicio affecerit, patrem vero magnopere honoraverit.

Σαλούστιος. Saluſtius, Præfectus Prætorio, Valentinianum deſignavit Imperatorem. Hic cum imperium ſuſcepiſſet, ſucceſſorem ei dedit, & edicta propoſuit, ut, ſi quis ab ipſo affectus eſſet injuria, Imperatorem adiret. Verum nemo queſtus eſt. Fuit enim integerrimus Saluſtius. Hic Valentinianus Præpoſitum Rhodanum [morte mulctavit.] Cum enim is viduam quandam Berenicen injuriis affeciſſet, Imperator mulieri ad ſe accedenti judicem dedit Saluſtium: a quo condemnatus Præpoſitus, cum judicium illius nihili faceret, ab Imperatore in Hippico crematus eſt, omnibus Archieunuchi bonis viduæ aſſignatis. Hoc exemplo territi reliqui, omni injuria abſtinuerunt. *Wolf.*

Σαλώμη. Salome. Nomen proprium [fœminæ.]

Σάλπιγξ. Tuba. Eſt inſtrumentum ſacerdotale. Sacerdotes enim utebantur tuba.

Σαλπιγγολογχυπηνάδαι. Tubam & haſtas & barbas habentes. Eſt enim vox compoſita ex σάλπιγξ, λόγχη, & ὑπήνη. Hoc autem dictum eſt in Phormionem, ut qui magnam barbam habebat. Uſus eſt autem voce partim quidem compoſita ab inſtrumentis bellicis; partim vero a barba. Ariſtophanes.

Σάλπιγξ. Tuba. *Indi non utuntur tubis; ſed tubæ loco ſunt ipſis flagella, quæ cum ſonitu per aerem vibrant: itemque tympana terribilem quendam bombum emittentia.*

Σαμαρεύς. Samareus. Sive, civis urbis Samariæ. *Hinc autem Samaritæ a Judæis ſe ſepararunt.* † *Samaria vero varios caſus experta eſt.*

Σαμαρείτης. Samarites. Eſt generis maſculini. At Σαμαρεῖτις, Samaritis, eſt fœmininum, [& per ι ſcribitur in ſyllaba ultima.]

1 Σαλούστιος, ὁ τῆς Αὐλῆς Ἔπ.] Totum hunc locum ex Eunapio excerptum eſſe ſuſpicatur Valeſius ad Amm. Marcell. lib. XXII. pag. 229. qui recte etiam monuit, Suidam hic omnia confundere, & ad Saluſtium male referre ea, quæ Juliano conveniant.

2 Ἀνὴρ ἐν διαφερόντως περιττ.] Fragmentum hoc legitur etiam ſupra v. Περιττός.

3 Σαλούστιος, Ἔπαρχος Πραιτ.] Confer Suidam ſupra v. Προθέματα, & v. Πραιπόσιτος.

4 Ῥοδανόν] Supra v. Προθέματα, Præpoſitus hic vocatur Χρυσάφιος.

5 Ἱερατικὸν τοῦτο ὄργ.] Confer Artemidorum lib. I. cap. LVIII.

6 Σαλπιγγολογχυπηνάδαι. σάλπιγγ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 257. (168. Ed. Baſ. *P.*)

Σάμβαλα.[1] ὑποδήματα.

Σαμβάρης. ὄνομα κύριον.

Σαμβύκαι.[2] ὄργανα μουσικὰ τρίγωνα, ἐν οἷς τοὺς ἰάμβους ᾖδον. οἱ δὲ, ἰαμβύκαι. ταύτην τὴν ἰαμβύκην πρῶτος Ἴβυκος ἐφεῦρεν. ἔστι δὲ εἶδος κιθάρας τριγώνου. [3] Οἱ δὲ προσεβοήθουν ἐπὶ τὸ διατείχισμα, καὶ πρὸς τοὺς ἀπὸ τοῦ λιμένος, ἀπὸ τῶν ὑποφειδόντων ἐπὶ τὸ τεῖχος τὰς σαμβύκας.

Σάμβυκες.[4] εἶδος μηχανήματος πολιορκητικοῦ, ὡς [5] φησι Πολύβιος. περὶ δὲ τῆς κατασκευῆς αὐτοῦ γέγραπται [6] ἐν τῷ περὶ Ἐκφράσεως.

Σάμη. εἶδος [7] πάθους Σαμιακοῦ. περιέστιξαν γὰρ οἱ Ἀθηναῖοι τοὺς ἁλόντας Σαμίων. μετὰ δὲ ταῦτα οἱ Σάμιοι τοὺς Ἀθηναίους.

Σαμίων ἄνθη. ἐπὶ τῶν ὑστάταις ἡδοναῖς χρωμένων.

Σαμίων[8] ὁ δῆμος. Ἀριστοφάνης Βαβυλωνίοις, ἐπισκώπτων τοὺς ἐστιγμένους. οἱ γὰρ Σάμιοι καταπονηθέντες ὑπὸ τῶν τυράννων, σπάνει τῶν πολιτευομένων, ἐπέγραψαν τοῖς δούλοις ἐκ ε´ στατήρων τὴν ἰσοπολιτείαν· ὡς Ἀριστοτέλης ἐν τῇ Σαμίων πολιτείᾳ. ἢ ὅτι παρὰ Σαμίοις εὑρέθη πρώτοις τὰ κδ´ γράμματα ὑπὸ Καλλιστράτου· ὡς Ἄνδρων ἐν Τρίποδι. τοὺς [9] δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τοῖς τῶν Ἰώνων γράμμασιν Ἀρχῖνος [10] ὁ Ἀθηναίου ἐπὶ Ἄρχοντος Εὐκλείδου. τοὺς δὲ Βαβυλωνίους ἐδίδαξε διὰ Καλλιστράτου Ἀριστοφάνης, [11] ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ ἐπὶ Εὐκλέους. περὶ δὲ τοῦ πείσαντος ἱστορεῖ Θεόπομπος. οἱ δὲ, [12] ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολέμῳ Σαμίους ἔστιζον γλαυκί· Σάμιοι δ' Ἀθηναίους σαμαίνῃ. [13] Σάμαινα δ' ἐστὶ πλοῖον δίκροτον, ὑπὸ Πολυκράτους πρῶτον κατασκευασθὲν, τοῦ Σαμίων τυράννου· ὡς Λυσίμαχος ἐν δευτέρῳ Νόστων. τὸ δὲ πλάσμα Δούριδος. οἱ δὲ τὴν σάμαιναν νόμισμα εἶναι. τάττεται δὲ ἐπὶ τῶν δεδιότων τινὰς ἀνηκέστους κακῶν συμφορὰς, παρόσον Ἀθηναῖοι τοὺς Σαμίους ἔστιξαν.

Σαμῖται. ὄνομα ἔθνους.

Σάμβαλα. Sambala. Species calceamenti.

Σαμβάρης. Sambares. Nomen proprium.

Σαμβύκαι. Sambucæ. Inſtrumenta muſica triquetra, quibus Jambos canebant. Alii vero ſcribunt Ἰαμβύκαι. Hanc *Jambycen primus* Ibycus invenit. Eſt autem genus *citharæ* triquetræ, [Item, genus inſtrumenti bellici.]

Σάμβυκες. Sambyces. Genus machinæ, quæ ad urbes oppugnandas adhibetur, ut ait Polybius. De ejus vero fabricatione ſcriptum eſt in Titulo Collectaneorum, qui περὶ Ἐκφράσεως inſcribitur.

Σάμη. Nota, qua Samii ignominiæ cauſa notabantur. Athenienſes enim Samiis, quos ceperant, notam inurebant; & Samii viciſſim Athenienſibus.

Σαμίων ἄνθη. Samiorum flores. De iis, qui poſtremis voluptatibus utuntur.

Σαμίων ὁ δῆμος. *Samiorum populus [literatus.]* Sic Ariſtophanes in *Babyloniis* inquit, deridens eos, qui notis compuncti erant. Samii enim a tyrannis ad incitas redacti, ob civium penuriam ſervorum frontibus jus civitatis quinque ſtateribus venale inſcripſerunt, ut Ariſtoteles in *Samiorum Republ.* auctor eſt. Vel quia apud Samios XXIV. literæ primum inventæ fuerunt a Calliſtrato, ut Andron in *Tripode* dicit. Archinus vero, Athenæi filius, Archonte Euclide Athenienſibus perſuaſit, ut Ionum literis uterentur. Aſtophanes autem *Babylonios* docuit per Calliſtratum, annis [XX.] ante Euclidem, ſub Archonte Eucle. De eo vero, qui rem iſtam Athenienſibus perſuaſit, ſcribit Theopompus. Alii vero [hoc ideo dictum tradunt,] quod Athenienſes Samios in bello captos ſigno noctuæ notarent: Samii vero Athenienſes ſamæna. Eſt autem ſamæna navigium bireme, a Polycrato Samiorum tyranno primo fabricatum, ut ait Lyſimachus libro ſecundo *Noſtorum.* Hoc autem commentum eſt Duridis. Alii autem tradunt, ſamænam eſſe nummi genus. Dicitur vero [proverbium hoc] de iis, qui graviſſima mala metuunt; quod Athenienſes olim Samios notis compungerent.

Σαμῖται. Samnitæ. Nomen gentis.

1 Σάμβαλα. ὑποδ.] Heſychius: Σάμβαλα. σάνδαλα.

2 Σαμβύκαι. ὄργανα μουσ.] Vide ſupra v. Ἰβύκινον, & v. Ἴβυκος.

3 Οἱ δὲ προσεβοήθ.] Fragmentum hoc eſt calx abſque arena: cujus proinde verſionem conſulto prætermiſi.

4 Σάμβυκες] Scribe, σαμβύκη, vel σαμβύκαι. Cæterum, deſcriptionem machinæ hujus, Polybii, ut puto, verbis, habes apud Plutarchum in *Marcello*, pag. 306. Vide etiam Lipſium in *Poliorcet.* lib. I. Dial. VI. & Rigaltium in notis ad Onoſandri *Strateg.* pag. 59.

5 Ὥς φησι Πολύβιος] Locum Polybii, ad quem Suidas reſpexit, tangit Athenæus lib. XIV. pag. 634.

6 Ἐν τῷ περὶ Ἐκφράσεως] Intellige Titulum Collectaneorum Conſtantini, in quo variarum rerum deſcriptiones continebantur. Vide Valeſium in Præfat. ad Collectanea Conſtantini *de Virt. & Vit.*

7 Εἶδος πάθους Σαμιακοῦ] Confer Noſtrum infra v. Τὰ Σαμίων.

8 Σαμίων ὁ δῆμος] Locus hic Ariſtophanis eſt mutilus & mancus, qui ſic ſuppleri debet:

Σαμίων ὁ δῆμος ἐστὶν ὡς πολυγράμματος.

Sic enim fragmentum hoc citatur a Plutarcho in *Pericle*, pag. 166. & Heſychio, v. Σαμίων. Redditur autem in ſequentibus ratio, quare Samii a Comico dicti fuerint πολυγράμματοι: unde apparet, vocem illam ſalvo ſenſu ab hoc loco abeſſe non poſſe. Confer Salmaſium ad *Inſcript. Vet.* pag. 234.

9 Τοὺς δὲ Ἀθηναίους ἔπεισε χρῆσθαι τῶν Ἰώνων γρ.] Vide Petitum *Miſcell. Var.* lib. I. cap. III. & in Commentario ad *Leg. Att.* pag. 118. itemque Salmaſium ad *Inſcript. Vet.* pag. 235.

10 Ὁ Ἀθηναίου] An potius, Ἀθηναῖος.

11 Ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ ἐπὶ Εὐκλέους] Sic habent MSS. itemque Editt. Mediol. & Ald. At Editt. Baſil. & Genev. pro καὶ exhibent κα´, i. e. XXI. ſed abſque ulla codicum MSS. auctoritate. Apud Michaelem Apoſtolium locus hic ita legitur: *Ἔτεσι πρὸ τοῦ Εὐκλείδου καὶ Ἐπικλέους κ´. Annis ante Euclidem & Epiclem viginti.* Salmaſius vero ad *Inſcript. Vet.* pag. 235. locum hunc ita refingit: Ἔτεσι πρὸ τοῦ Εὐκλείδου κβ´, ἐπὶ Στρατοκλέους. Id eſt: *Annis ante Euclidem* XXII. *ſub Stratocle.* Sed emendationi huic obſtat, quod ſub Stratocle Ariſtophanes *Equites* docuerit, teſte Scholiaſta in Argumento illius fabulæ. Non ergo & *Babylonios* eodem tempore docere potuit. Confer Meurſ. *de Archont. Athenienſ.* lib. III. cap. IV.

12 Ὅτι Ἀθηναῖοι μὲν τοὺς ληφθέντας ἐν πολ.] Contra Plutarchus in *Pericle* pag. 166. refert, Samios Athenienſibus bello captis inuſſiſſe notam noctuæ; Athenienſes vero Samiis notam ſamænæ. Verba ejus hæc ſunt: *Οἱ δὲ Σάμιοι τοὺς αἰχμαλώτους τῶν Ἀθηναίων ἀνθυβρίζοντες, ἔστιζον εἰς τὸ μέτωπον γλαῦκας· καὶ γὰρ ἐκείνους οἱ Ἀθηναῖοι σάμαιναν.*

12 Σάμαινα δ' ἐστὶ πλοῖον δίκρ.] Samænam pluribus deſcribit Plutarchus loco laudato: quem vide.

Σαμοθρᾴκη. νῆσος. κεῖται δὲ κατάντικρυ τῆς Θρᾴκης. φασὶ δὲ Σαμίους οἰκήσαντας αὐτὴν, τὸ ὄνομα θέσθαι τοῦτο. καὶ ἔστι παρὰ Ἀντιφῶντι ἐν τῷ Σαμοθρᾳκικῷ λόγῳ οὕτως εἰρημένον. καὶ γὰρ οἱ τὴν ἀρχὴν οἰκήσαντες τὴν νῆσον, ἦσαν Σάμιοι· [1] ἐξ ὧν ἡμεῖς ἐγενόμεθα. κατῳκίσθησαν δὲ ἀνάγκῃ, οὐκ ἐπιθυμίᾳ τῆς νήσου. ἐξέπεσον γὰρ ὑπὸ τυράννων ἐκ Σάμου, καὶ τύχῃ ἐχρήσαντο ταύτῃ· καὶ λείαν λαβόντες ἀπὸ τῆς Θρᾴκης, ἀφικνοῦνται εἰς τὴν νῆσον.

Ἀλλ' [2] εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τυγχάνει
Μεμυημένος, νῦν ἐστιν εὔξασθαι καλὸν
Ἀποστραφῆναι τοῦ μετιόντος τὼ πόδε.

Ἐν Σαμοθρᾴκῃ ἦσαν τελεταί τινες, ἃς ἐδόκουν τελεῖσθαι πρὸς ἀλεξιφάρμακα κινδύνων τινῶν. ἦν δὲ ἐκεῖσε καὶ τὰ τῶν Κορυβάντων μυστήρια, καὶ τὰ τῆς Ἑκάτης, καὶ τὸ Ζήρινθον ἄντρον, ἔνθα κύνας ἔθυον. ἐν κινδύνοις οὖν γινόμενοι ἐπεκαλοῦντο τούτους τοὺς δαίμονας ἐπιφανῆναι καὶ ἀλεξῆσαι. ἐδόκουν δὲ οἱ μεμυημένοι ταῦτα [3] ἐκ τῶν δεινῶν σώζεσθαι, καὶ ἐκ χειμώνων. ἀποστραφῆναι δὲ, ἀντὶ τοῦ, διακλασθῆναι τοῦ μετιόντος τὸν δοίδυκα. ἢ ἐναντίαν αὐτῷ τὴν εἰς τὸ δεύτερον γενέσθαι ὁδὸν, ὥστε μηκέτι αὐτὸν ἀποστρέψαι.

Σαμόσατα. πόλις. καὶ Σαμοσατεὺς, ὁ ἐκ ταύτης.

Σαμουὴλ, ὁ προφήτης. τοῦτον ἐγέννησεν Ἄννα εὐξαμένη πρὸς [4] Κύριον· ὃν Σαμουὴλ ἐκάλεσε Θεαίτητον, ὡς ἂν τις εἴποι. καὶ ἀναμνησθεῖσα ἡ μήτηρ αὐτοῦ τῆς εὐχῆς, ἣν ηὔξατο πρὸς Ἡλεὶ τὸν Ἀρχιερέα, παρέδωκεν Ἡλεὶ ἀναθεῖσα, προφήτην τῷ Θεῷ γενησόμενον. κόμη τε ἦν αὐτῷ ἀνεῖτο, καὶ ποτὸν ὕδωρ ἦν, καὶ διῆγεν ἐν τῷ ἱερῷ τρεφόμενος. Ἐλκάνῃ δ' ἐκ τῆς Ἄννης υἱοὶ γίνονται τρεῖς, καὶ θυγάτηρ. Σαμουὴλ δὲ πεπληρωκὼς ἔτος δωδέκατον, προεφήτευσε. καί ποτε κοιμώμενον ὀνομαστὶ ἐκάλεσεν ὁ Θεός. ὁ δὲ νομίσας ὑπὸ τοῦ Ἀρχιερέως πεφωνῆσθαι, παρεγένετο πρὸς αὐτόν. οὐ φαμένου δὲ καλέσαι τοῦ Ἀρχιερέως, ὁ Θεὸς εἰς τρὶς τοῦτο ποιεῖ, καὶ Ἡλεὶ διαγασθεὶς φησὶ πρὸς αὐτόν· Ἀλλ' ἐγὼ μὲν, ὦ Σαμουὴλ, σιγῶ ὡς καὶ πρότερον· Θεὸς δ' ἐστὶν ὁ καλῶν. ἀλλὰ σήμαινε πρὸς αὐτὸν, ὅτι παρατυγχάνεις. καὶ τοῦ Θεοῦ φθεγξαμένου πάλιν ἀκούσας, ἠξίου λαλεῖν ἐπὶ τοῖς χρωμένοις. οὐ γὰρ ὑστερήσειν αὐτὸν, ἐφ' αἷς ἂν θελήσειε διακονίαις. καὶ ὁ Θεὸς, Ἐπεὶ παρατυγχάνεις, μάνθανε συμφορὰν Ἰσραηλίταις ἐσομένην, καὶ τοὺς Ἡλεὶ παῖδας μιᾷ ἡμέρᾳ τεθνηξομένους.

Σαμοθρᾴκη. Samothracia, inſula, e regione Thraciæ ſita: cui Samios, qui eam incoluerunt, nomen hoc impoſuiſſe ferunt. Meminit hujus rei Antipho in oratione Samothracica ſic appellata. Primi enim hujus inſulæ incolæ Samii fuerunt; ex quibus & nos nati ſumus. Eo vero migrarunt, neceſſitate coacti, non vero inſulæ cupiditate allecti. Cum enim a tyrannis Samo pulſi fuiſſent, hac fortuna uſi ſunt: prædaque ex Thracia capta, in inſulam illam pervenerunt. [Et Ariſtophanes:] *At ſi quis veſtrum in Samothracia eſt initiatus, nunc eſt precandi tempus opportunum, ut frangantur pedes illius, qui nos inſequitur.* In Samothracia erant initia & ſacra quædam, quibus initiabantur homines, ut a periculis quibuſdam tuti eſſent. Illic etiam erant Corybantum & Hecates myſteria: item Zerinthum antrum, ubi [Hecatæ] canes immolabantur. Qui igitur in periculis verſabantur, dæmones hos invocabant, ut præſentes mala a ſe propulſarent. His autem ſacris initiatos ex periculis & tempeſtatibus ſalvos évadere putabant. Ἀποστραφῆναι vero hic ſignificat, frangi. Optat enim, ut frangantur crura illius, qui ad petendum piſtillum diſceſſerat. Vel, iter ipſi adverſum imprecatur, ut nunquam redeat.

Σαμόσατα. Samoſata, urbs. Et Samoſatenſis, hujus urbis civis.

Σαμουήλ. Samuel, Propheta. Hunc Anna votis Domino factis peperit; quem vocavit Samuelem, quaſi diceres, a Deo petitum ac impetratum. Mater autem ejus recordata voti, quod fecerat apud Heli Pontificem Max. eum Heli tradidit, & Deo conſecravit, futurum Dei Prophetam. Comam igitur promiſſam alebat, & ejus potus erat aqua, & in templo degebat ac educabatur. Helcanæ autem ex Anna tres filii naſcuntur, & una filia. Samuel vero, cum duodecimum ætatis annum impleviſſet, prophetare cœpit. Et eum aliquando dormientem Deus nominatim vocavit. Ille vero exiſtimans ſe a Pontifice Max. vocatum, ad eum acceſſit. Cum autem Pontifex negaret illum a ſe vocatum, Deus hoc ter fecit. Quamobrem Heli miratus, ei dicit, *At ego, o Samuel, tacui, ut & ante: ſed qui te vocat, eſt Deus. Tu igitur illi ſignifica, te adeſſe.* Cum igitur Deum loquentem rurſus audiviſſet, eum oravit, ut ſibi declararet, quidnam per hæc oracula ſignificaretur. Se enim in miniſteriis, quæcunque voluiſſet, non ſegnem fore. Tunc vero Deus ei reſpondit: *Quoniam ades, cognoſce calamitatem Iſraelitis imminentem, & Heli filios uno die morituros.* Port.

Σάμου ὑληέσσης. οὐδέποτε [6] κατὰ τὴν συνήθειαν

Σάμου ὑληέσσης. Sami ſylvoſæ. Secundum

1 Ἐξ ὧν ἡμεῖς ἐγενόμεθα] Male hinc quidam colligunt, Suidæ patriam fuiſſe Samothraciam. Non enim hæc ſunt verba ipſius Suidæ, ſed alterius ſcriptoris, ex quo Suidas iſta excerpſit.

2 Ἀλλ' εἴ τις ὑμῶν ἐν Σαμοθρᾴκῃ τ.] Hic & duo ſequentes Senarii leguntur apud Ariſtophanem in *Pace*, pag. 640. Vide ibi Scholiaſtam, cujus ſcrinia Suidas hic compilavit.

3 Ἐκ τῶν δεινῶν σώζεσθαι, καὶ ἐκ χειμ.] Vide, quæ notavimus ſupra ad v. Ἀλλ' εἴ τις: ubi eadem leguntur.

4 Κύριον] Sic recte MSS. Pariſ. At priores Editt. male, Χριστόν: quod mendum ex compendio ſcripturæ procul dubio ortum eſt. Solet enim vox κύριον in MSS. interdum ſic ſcribi κν: at τὸ Χριστὸν ita, χν: inter quæ cum tenue admodum diſcrimen ſit, non mirum eſt, ea a librariis interdum confundi ſolere.

5 Σάμου ὑληέσσης] Addendum eſt Θρηϊκίης. Referenda enim eſt hæc nota ad locum illum Homericum Il. N. v. 12.

Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης ——— ———

6 Οὐδέποτε κατὰ τὴν συνήθ.] Imo contra potius. Nam κατὰ συνήθειαν ſemper dici ſolet Σαμοθρᾴκη, voce compoſita. At Homerus eandem inſulam διαλελυμένως ſemper Σάμον Θρηϊκίην appellat. Confer Heſychium.

λέγε-

λέγομεν Σαμοθράκην, ἀλλὰ διαλελυμένως· ὥσπερ ἐν πόλει ἄκρῃ, τῇ ἀκροπόλει.

Σαμωνᾶς. ὄνομα κύριον.

Σαμύθας.

——Κεκρύφαλον¹ τόνδε λαβεῖν Σαμύθας.

Δαιδάλεός τε γάρ ἐστι, καὶ ἁδύ τι νέκταρος ὄζει.

ἐν Ἐπιγράμμασι.

Σαμφόρας.² εἶδος ἵππου ἐγκεχαραγμένου τὸ Σ σημεῖον. οἱ δὲ Δωριεῖς τὸ Σ σὰν λέγουσι.

Σαμψῆραι. σπάθαι βαρβαρικαί. Δῶρα φέρει Τραϊανῷ ὑφάσματα σηρικά, καὶ σαμψήρας. αἱ δὲ εἰσὶ σπάθαι βαρβαρικαί.

Σαμψών.³ παῖς Μανωὲ, κριτὴς Ἑβραίων, ἀνὴρ ἰσχυρός. ἄχρι μὲν οὖν οὗτος ἐκράτει τῶν τοῦ σώματος ἡδονῶν, τῶν πολεμίων κατεδυνάστευεν. ἐπειδὴ δὲ ὑπὸ Δαλιλᾶς τῆς πόρνης ὑπεκλάπη τὸν νοῦν, ἅμα καὶ τῆς σωφροσύνης καὶ τῆς ἰσχύος ἐξέπεσεν· ὑπό τε τῶν ἐναντίων ἁλοὺς, δέσμιος ἐς Γάζαν ἀπήχθη, καὶ τῶν ὄψεων στερηθεὶς, ἐδόθη ἀλήθειν ἐν μύλωνι. διὸ δὴ καὶ συμπεσὼν τοῖς τοῦ ἱεροῦ κίοσι, συναπώλετο τοῖς ἐναντίοις, εἰπὼν, Ἀπελθέτω δὴ Σαμψὼν μετὰ τῶν Ἀλλοφύλων. καὶ ὁ μὲν οὕτω διεφθάρη, κρίνας τὸν λαὸν ἔτη κ'.

Σαμψών. ὅτι ἐπὶ Σαμψὼν ἀνήρ τις πορευόμενος ἐν πόλει Φυλῆς Βενιαμὶν, ὑπὸ τῶν ἐμφυλίων ἁρπαγεῖσαν τὴν ἑαυτοῦ γαμετὴν ἐθεάσατο, καὶ καταισχυνθεῖσαν ὑπὸ πλήθους ἀπέλαβε νεκράν· αὐτὸς δὲ κατατεμὼν αὐτὴν ἐπὶ τὰς ιβ'. ἐξαπέστειλε Φυλὰς, εἰς μαρτύριον τῆς ἀνομίας Βενιαμίν. καὶ οἱ μὲν παραχρῆμα λαβόντες αὐτὴν, ἀναβάντες ἐπὶ τὰς πόλεις, ἐξεῖλον τὴν Φυλὴν Βενιαμὶν, ὀγδοήκοντα καὶ ἑπτὰ καταναλώσαντες χιλιάδας.

Σανατρούκης,⁴ Ἀρμενίων βασιλεὺς, ὃς τὸ μὲν σῶμα ξύμμετρον εἶχε, τὴν γνώμην δὲ μέγας ἐτύγχανεν εἰς ἅπαντα· οὐχ ἥκιστα δὲ εἰς τὰ ἔργα τὰ πολεμικά. ἐδόκει δὲ καὶ τοῦ δικαίου Φύλαξ ἀκριβὴς γενέσθαι, καὶ τὰ εἰς τὴν δίαιταν ἴσα καὶ τοῖς κρατίστοις Ἑλλήνων τε καὶ Ῥωμαίων κεκολασμένος.

Σάνδων, Ἑλλανίκου, Φιλόσοφος. ἔγραψεν ὑποθέσεις εἰς Ὀρφέα, βιβλίον ά.

Σάνδυξ. χρῶμα κόκκινον.

Σανὶς, σανίδος.

Σαννυρίων,⁵ Ἀθηναῖος, κωμικός. δράματα αὐτοῦ ἐστι ταῦτα· Γέλως, Δανάη, Ἰὼ, Ψυχασταί· ὡς ⁶Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Σάος,⁷ καὶ Δράος, ποταμοί, παραλαμβάνοντες

vulgarem uſum loquendi nunquam dicimus Σαμοθράκην, [voce compoſita;] ſed diſſolute [Σάμον Θράκης:] ut ἐν πόλει ἄκρῃ, pro ἐν ἀκροπόλει, in arce.

Σαμωνᾶς. Samonas. Nomen proprium.

Σαμύθας. Samythæ. [Genitivus, a recto Σαμύθα, quod eſt nomen proprium mulieris.] *Reticulum hoc accipere Samythæ. Nam & affabre factum eſt, & ſuavem quendam nectaris odorem ſpirat.* In Epigrammate.

Σαμφόρας. Samphoras. Species equi, qui literæ Σ notam impreſſam habet. Dorienſes enim literam Σ vocant σάν.

Σαμψῆραι. Sampſeræ. Spathæ barbaricæ. *Dona fert Trajano telas ſericas, & ſampſeras.* Hæ vero ſunt gladii barbarici.

Σαμψών. Sampſon, filius Manoi, Judex Hebræorum, vir robuſtus fuit. Hic quamdiu voluptates corporis coercuit, ſemper victoriam de hoſtibus retulit: ſed poſtquam a Dalila meretrice eſt corruptus; ſimul continentiam ac fortitudinem amiſit; captuſque ab hoſtibus, Gazam in vinculis perductus eſt: ubi excœcatus ad piſtrinum damnatus eſt. Poſtea vero cum columnas templi ſuccuſſiſſet, ipſe cum Palæſtinis eliſus interiit; cum hæc ante dixiſſet: Moriatur cum Allophylis Sampſonus. Hic exitus fuit Sampſoni, qui xx. annis Judex fuerat.

Σαμψών. Sampſon. Sub Sampſone vir quidam in urbem Tribus Benjaminiticæ profectus, uxorem ſuam ab incolis ejus loci raptam & ſtupratam vidit: quam cum recepiſſet mortuam, eam in [xii. partes] diſſecuit, & ad xii. Tribus [Iſraelis] miſit, ut teſtimonium eſſet nefandi facinoris a Benjaminitis perpetrati. Illi igitur, cum eam accepiſſent, confeſtim expeditione adverſus urbes ſuſcepta, Tribum Benjaminiticam deleverunt, 87. millibus hominum eo bello abſumptis.

Σανατρούκης. Sanatruces, Armeniorum Rex, corpore mediocri, animo ad omnia magno, in primis vero ad res bellicas. Fuit & juſtitiæ accuratus cuſtos, & in victu non minus quam optimi quique Græcorum & Romanorum frugalis. *Wolf.*

Σάνδων. Sandon, Hellanici F. Philoſophus. Scripſit Argumenta in Orpheum, lib. unum.

Σάνδυξ. Sandyx. Color coccinus.

Σανίς. Aſſer. Tabula.

Σαννυρίων. Sannyrion, Athenienſis, Comicus. Ejus fabulæ ſunt hæ: *Riſus, Danae, Io, Pſychaſtæ;* ut tradit Athenæus in *Dipnoſophiſtis.*

Σάος καὶ Δρ. Saus & Draus, fluvii: qui

1 Κεκρύφαλον τόνδε λαβ.] Duo hi verſus decerpti ſunt ex Epigrammate Noſſidis, quod ex codice MS. Anthologiæ ineditæ integrum cum Lectore communicavimus ſupra v. Δαιδάλεον.

2 Σαμφόρας] Confer Scholiaſtam Ariſtophanis ad verba illa Comici in *Nubibus:*

Ὅτ' ἐπριάμην τὸν κοππατίαν· οἴμοι τάλας.

Vide etiam Noſtrum ſupra v. Κοππατίας: itemque Scaligerum ad Euſeb. pag. 116. & Salmaſium ad Solinum.

3 Σαμψών. παῖς Μανωὲ, κριτὴς Ἑβραίων, ἀνὴρ ἰσχ.] Hæc, & quæ ſequuntur, ſunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 781.

4 Σανατρούκης, Ἀρμενίων βασιλ.] Hæc Valeſius in Excerpt. pag. 776. ad Dionem refert.

5 Σαννυρίων] Vide Meurſium in *Bibliotheca Attica.*

6 Ὡς Ἀθήναιος] Atqui apud Athenæum Sannyrion ſemel tantum, & quidem ἐν Γέλωτι laudatur. Vide Caſaub. ad Athen. lib. vii. cap. ix.

7 Σάος καὶ Δράος, ποταμ.] Confer Noſtrum ſupra v. Δράος, ubi eadem leguntur.

τὴν δευτέραν Παννονίαν, εἰς τὸν ποταμὸν Ἴστρον καταφέρονται.

Σάου. σῶζε. φύλαττε. ἐν Ἐπιγράμματι· Ἄρτεμι,

Τόξῳ μὲν κλῶπας βάλλε, σάου δὲ φίλους.

Καὶ αὖθις·

Τὸν [1] μὲν, ἵνα ψυχὴν· τὸν δ', ἵνα σῶμα σάοι.

Σαοὺλ,[2] βασιλεὺς τῶν Ἰουδαίων, ὃς ὑπὸ δαίμονος ἠλαύνετο, καὶ οὔτε ἐκάθευδεν, οὔτε ἐκοιμᾶτο· ὅντινα ὁ Δαβὶδ ταῖς μελῳδίαις κατέθελγε.

Σαοὺλ[3] ἐν προφήταις. οὗτος ἐχρίσθη ὑπὸ Σαμουὴλ εἰς βασιλέα καὶ προφήτην· καὶ ἰδὼν αὐτόν τις, ἔφη· Καὶ Σαοὺλ ἐν προφήταις; καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς παραβολήν. τὰς γὰρ ὄνους τὰς ἀπολωλυίας ζητῶν, βασιλείαν εὗρε.

Σαῦλος. ὅτι Σαούλῳ τῷ Ἰουδαίων βασιλεῖ ἀρχὴ τῆς παρὰ πάντων τιμῆς πρὸς Νάασον τὸν Ἀμανιτῶν βασιλέα γίνεται. οὗτος γὰρ πολλὰ κακὰ τοὺς Ἰουδαίους διατίθησι, καὶ πρὸς τοῖς ἄλλοις κακοῖς, ὅσους ἐχειροῦτο πολέμου νόμῳ, τοὺς δεξιοὺς ὀφθαλμοὺς ἐξέκοπτεν, ὅπως τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ θυρεῶν σκεπομένης, ἄχρηστοι παντελῶς εἶεν. τοῦτον οὖν ὁ Σαοῦλος κατηγωνίσατο.

Σαώτερος. σῶος.

Σάπειρ.[4] ὅτι κατὰ τὴν πολιορκίαν τῆς πόλεως τῶν Περσῶν Βειουδαῆς, ἣν ἐπολιόρκει Ἡράκλειος, ὁ Ἡρακλείου τοῦ βασιλέως πατὴρ, Σάπειρ ἦν τις ἀνὴρ, τὸ μὲν σῶμα, ὡς ὁ παρ' Ὁμήρῳ Τυδεὺς ἀνυμνούμενος· τὴν δὲ γνώμην, καὶ περαιτέρω Τυδέως. Ἡρακλῆς γὰρ ἦν τὴν ψυχὴν, καὶ εἴ τις τούτου ἐγεγόνει ποτὲ ἀλκιμώτερος, (οὐ γὰρ [5] ἀποκναίω τῷ μεγέθει τῆς ἀρετῆς τὸν Ἡρακλέα ἐν δευτέροις τιθεὶς· εἰ καὶ ἐν τῷ παραλλήλῳ λειπόμεθα) σκόλοπας ὀξεῖς ἐπιφερόμενος, ἐνάλλεται τῷ ὀχυρώματι, καὶ μετεωροποιεῖ, καὶ τὸν μὲν ἕνα σκόλοπα ἐνείρας τῷ πύργῳ ἀνὰ τὰς ἁρμογὰς τοῦ οἰκοδομήματος, (ἦν γὰρ λίθῳ σκληρῷ διεσκευασμένον τὸ φρούριον) ἐπιβαίνει ἐπὶ τοῦ σκόλοπος τῷ ποδί. εἶτα τὸν ἕτερον αὖθις ἐγκεντρίσας σκόλοπα, τὸν λειπόμενον τοῖν ποδοῖν ἐπερείδει, καὶ τῶν ἐξηρτημένων λίθων ἐπειλημμένος, ἀπρὶξ εἴχετο ταῖς χερσὶν καὶ οὕτω τὴν ἄνοδον ἐσοφίζετο. τῶν δὲ πολιορκουμένων τὴν [6] θέαν τῶν βελῶν μὴ ὑπομένειν οἵων τε ὄντων, ἰσχυρῶς εἴχετο τῆς ἐπάλξεως ὁ Σάπειρ ἐκεῖνος ἀνήρ. καὶ ἂν ἦλω κατὰ τὴν πρώτην ἐκείνην ἐπιβολὴν τὸ ὀχύρωμα, εἰ μή τις τῶν τῆς Περσικῆς συμμορίας ἀθρόον ἐπιφανεὶς, ἐπὶ τῶν θυρεῶν, τῶν προβεβλημένων τοῦ ὀχυρώματος, ἐκεῖνον αὐτὸν τὸν ἀριστέα ἐξώθησεν. ὁ δὲ κατολισθήσας, εἰς τὸ κάτω ἐφέρετο μετὰ τοῦ θυρεοῦ,

Κύμβαχος ἐν κονίῃσιν ἐπὶ βρεχμόν τε καὶ ὤμους,

Ὁμηρικῷ τῷ συμπτώματι· ὅμως οὐ διόλωλεν. ὑπεδέχοντο γὰρ αὐτὸν ταῖς ἀσπίσιν οἱ συμπονοῦντες, καὶ τραυματίαν διεσώζοντο. προσούτησι γὰρ αὐτὸν τὰ τῶν ἀκοντίων σιδήρεια μικρὸν κομιδῆ. ὁ δὲ καρτερικὸς αὐ-

Pannoniam ſecundam includentes, in fluvium Iſtrum ſe exonerant.

Σάου. Serva. Cuſtodi. In Epigrammate: *Diana, arcu tuo feri fures: at ſerva amicos.* Et iterum: *Hunc quidem, ut animam: illum vero, ut corpus ſervet.*

Σαοὺλ. Saul, Rex Judæorum, qui a dæmone agitatus nec dormire neque quieſcere poterat. Hunc David canticorum ſuorum modulis demulſit.

Σαοὺλ ἐν πρ. *Saul inter Prophetas.* Hic a Samuele unctus eſt in Regem & Prophetam: quem cum quidam vidiſſet, dixit, *Et Saul inter prophetas?* Hic ſermo in proverbium [poſtea] abiit. Aſinas enim amiſſas quærens, regnum invenit.

Σαῦλος. Saulus. Saulo Judæorum Regi magnam apud omnes auctoritatem peperit bellum, quod geſſit cum Naaſe, Amanitarum Rege. Hic enim Judæos graviter vexavit, & præter cætera mala, omnibus in bello captis oculos dextros eruit, ut ſiniſtro oculo a ſcutis tecto, ad bellum prorſus inepti eſſent. Hunc igitur Saulus debellavit.

Σαώτερος. Salvus. Sanus.

Σάπειρ. Sapirus. In obſidione urbis Perſarum Bejudaes, quam obſidebat Heraclius, Heraclii Imperatoris pater, Sapirus vir quidam fuit, corpore ſimilis Tydeo, quem Homerus celebrat; animo autem ſupra Tydeum: Hercules ipſe, inquam, & ſi quis Hercule aliquando animoſior inventus eſt. Non enim verebor magnitudine virtutis Herculem poſtponere; tametſi alioqui quem cum eo conferamus, non habeamus. Hic, inquam miles, palos acutos ferens, in munitionem inſilit, & in ſublime ſcandit, & uno quidem in turre defixo, qua lapidum juncturæ erant, (conſtructum enim erat caſtellum cæſo lapide) pede in palum adſcendit: rurſus alterum palum ceu ſurculum in murum inſerens, alterum pedem in eo firmat, eminentiaque ſaxa manibus firmiter comprehenſa tenens, adſcenſum ita machinatur. Et cum obſeſſi telorum vim ferre non poſſent, Sapirus propugnaculum valida vi tenebat: captumque fuiſſet primo illo impetu caſtellum, niſi quidam de cohorte Perſica repente coortus, uno ex clypeis, qui munimento objecti erant, bellatorem illum animoſum deturbaſſet. Ille igitur cum clypeo devolvebatur, *Præceps in pulverem, in ſynciput & humeros cadens*, caſu Homerico. Non tamen periit. Nam cum vulneratum commilitones ſcutis ſuſceperunt, & ſic ſervarunt. Cuſpides enim jaculorum

1 Τὸν μ. ἵνα ψυχ.] Pentameter hic decerptus eſt ex Epigrammate Diogenis Laertii in Platonem, quod integrum legitur apud ipſum Laertium; itemque Anthol. lib. III. cap. XXXIII. pag. 418.

2 Σαοὺλ, βασιλεὺς τῶν Ἰουδ.] Hæc leguntur apud Joannem Antiochenum, in Excerptis a Valeſio editis, pag. 781.

3 Σαοὺλ ἐν προφήταις] Sic reſcripſi auctoritate MStorum Pariſ. Ante enim minus recte legebatur, Σαοὺλ ὁ προφήτης.

4 Σάπειρ. ὅτι κατὰ τ.] Totus hic articulus ſumptus eſt ex Theophylacti Simoc. *Hiſtor. Maur.* lib. II. cap. XVIII. ut Pearſonius etiam obſervaverat.

5 Ἀποκναίω] Scribe, ἀποκνέω, ut habet Theophylactus. Vel potius, ἀποκνῶ. Confer Noſtrum ſupra v. Ἀποκναίω, ubi idem fragmentum legitur.

6 Τὴν θέαν] Malim, τὴν βίαν.

θυ

θις ἐπ' ἐκεῖνο τὸ ἔργον ἐχώρει, καὶ αὖ πάλιν ἀνέθορε, τῇ ἐπάλξει τὰς χεῖρας ἐπιβαλὼν, οἷα πολύπους ἀφύκτους πλεκτάνας τινὰς, καὶ εἴχετο καρτερᾷ τινι λαβῇ τῆς ἐπάλξεως. ὁ δ' ἀντίπαλος Πέρσης ἀδελφὴν τῆς ἑτέρας ἐπιβουλῆς ἐξειργάσατο, καὶ σαθρωθείσης ἔναγχος τῆς ἐπάλξεως ταῖς Ῥωμαϊκαῖς προσβολαῖς, μετ' ἐκείνης τὸν ἀριστέα ἀνατρέψας, παρεῖα εἰς τὸ κάτω χωρεῖν. καὶ τοίνυν κατήγετο ὁ στρατιώτης ὁ Φιλοκίνδυνος μετὰ [1] τῆς εἰρημένης ἐπάλξεως. τὸ δὲ συμμαχικὸν τὴν προτέραν σωτηρίαν ὀρέγουσι μετὰ φοβεροῦ τοῦ θεάματος τῷ πάντα τολμηρῷ. ἀτὰρ ἐξάντης τοῦ πτώματος ὁ τραυματίας γενόμενος, καὶ τρίτον ἆθλον ἀσπάζεται, ὥσπερ ἀμάχου τινὸς καὶ θείας δυνάμεως ἐς τὸν πόνον παροξυνούσης αὐτόν. ἐπεὶ δ' ἀνείρπυσε, τῆς στεφάνης τοῦ ἔρκους λοιπὸν ἐπιβὰς, τὸν ἀκινάκην σπασάμενος, τὸν κηφῆνα τῆς ἑαυτοῦ ἀρετῆς ἐκεῖνον αὐτὸν τὸν Πέρσην ἀπέκτεινε. καὶ οὖν τὴν κεφαλὴν ἀπὸ τῆς δέρης ἀφελόμενος, τοῖς πολιορκοῦσιν ἀπέπεμπεν. οἱ δὲ Ῥωμαῖοι τὸ γεγονὸς θεασάμενοι, ἀνεθάῤῥησαν, καὶ τῶν κινδύνων ὠρέγοντο. ἀδελφὸς δέ τις τοῦ Σάπειρ ἐκείνου, (πρεσβύτης ἦν δ' οὗτος τὴν ἡλικίαν) ἐπεὶ γέγονε τῆς ἀρετῆς θεατὴς, καὶ ζηλωτὴς παράδειγμα τοῦ ἐγχειρήματος γίνεται, καὶ ἄνεισι καὶ αὐτὸς, ἀδελφὰ τῷ ἀδελφῷ μηχανώμενος. εἶτα μετ' ἐκεῖνον ἕτερος, καὶ μετὰ τοῦτον πολλοί. κάλοις γὰρ λοιπὸν ἀνεδύοντο οἱ προκαταειληφότες τὸ ὀχύρωμα, καὶ ταῖς [2] πύλαις διαρραγείσαις, καὶ εἰσαγώγιμον λοιπὸν ἦν τὸ τῶν Ῥωμαίων στρατόπεδον· καὶ οὕτω κρείττους τῶν πολεμίων γενόμενοι, τὸ φρούριον παρεστήσαντο.

perparum etiam læſerant. Ille autem invicti animi vir ad idem opus redit, iterumque ad propugnaculum aſſiliens, injectis manibus pinnam tenaciter retinet, quemadmodum polypus, qui cum cirris aliquid complexus eſt, inde avelli nequit. Tum Perſa adverſarius facinus priori ſimile fecit, & una cum pinna, ictibus telorum a Romanis paulo ante labefactata, ſtrenuum virum deturbat. Cum dicta igitur pinna miles audaciſſimus in præceps fertur. Socii autem virum intrepidum eodem, quo antea, modo ſervant, cum ſpectaculo terribili. At enim vulneratus, cum denuo convaluiſſet, tertium certamen aggreditur, ac ſi invicta quædam ac divina virtus ad facinus illum exſtimularet. Cum igitur adſcendiſſet, & in ſumma muri parte conſtitiſſet, acinace ſtricto Perſam illum virtutis ſuæ fucum interfecit, caputque amputatum ad ſuos dejecit. Romani factum conſpicati, reſumunt animos, & experiri fortunam concupiſcunt. Frater autem Saperii illius, magno jam natu, virtutem fratris conſpicatus, extemplo eam æmulans, ipſe quoque adſcendit, & facinus fraterno ſimile auſus eſt. Mox poſt illum alius, & poſt hunc plures adſcendunt, primis illis, qui in murum evaſerant, funibus reliquos ſubducentibus. Poſtea portis perfractis, reliquus exercitus introductus eſt: & ſic hoſtibus ſuperatis, Romani caſtellum in poteſtatem ſuam redegerunt.

Σάπων, Σάπωνος. ὄνομα κύριον.

Σάπων, ωνος. Sapon, Saponis. Nomen proprium.

Σάπωρις. ὁ τῶν Περσῶν βασιλεύς.

Σάπωρις. Saporis. Rex Perſarum.

Σαπρᾶς. παλαιᾶς. [3] Ἀριστοφάνης· Εἰρήνης σαπρᾶς. ἢ ἀρχαίας.

Σαπρᾶς. Putridæ. Putris. Vel, antiquæ, & vetuſtate corruptæ. Ariſtophanes: [*Omnia jam ſunt plena*] *pacis antiquæ.*

Σαπρόν. οὐ τὸ μοχθηρὸν καὶ φαῦλον, ἀλλὰ τὸ παλαιὸν, Εὔπολις.

Σαπρόν. Non, putre & malum, ſed ſenio confectum & vetuſtum [ſic vocat] Eupolis.

Σαπρός. καὶ ἐπὶ τοῦ παλαιοῦ.

Σιμωνίδης; πῶς; ὅτι γέρων ὢν καὶ σαπρὸς,
Κέρδους ἕκατι κἂν ἐπὶ ῥιπὸς πλέοι.

Τουτέστι, φρυγάνου.

Σαπρός. [Putris. Putridus. Item,] vetuſtus, ætate confectus. [Ariſtophanes] *Simonideſne? Quomodo? Senex nimirum cum ſit & ætate confectus, lucri gratia vel in vimine naviget.* Vel, ſuper cremio.

Σάπφειρα. ὄνομα κύριον. καὶ σάπφειρος, εἶδος λίθου πολυτίμου.

Σάπφειρα. Sapphira. Nomen proprium. Et ſapphirus, genus lapilli pretioſi.

Σαπφὼ, Σίμωνος, οἱ δὲ, [4] Εὐνομίνου· οἱ δὲ, Ἠεριγύου· οἱ δὲ, Ἐκρύτου· οἱ δὲ, Σήμου· οἱ δὲ, Κάμωνος· οἱ δὲ, Ἐτάρχου· οἱ δὲ, Σκαμανδρωνύμου· μητρὸς Κλειδὸς, Λεσβία, ἐξ Ἐρεσοῦ, λυρική· [5] γεγονυῖα κατὰ τὴν μβ'. ὀλυμπιάδα, ὅτε καὶ Ἀλκαῖος ἦν, καὶ Στησίχορος, καὶ Πιττακός. ἦσαν δὲ αὐτῆς καὶ ἀδελφοὶ τρεῖς, Λάρυχος, [6] Χάραξος, Εὐρύγιος. ἐγαμήθη δὲ ἀνδρὶ Κερκώλᾳ, πλουσιωτάτῳ, ὁρμωμένῳ ἀπὸ Ἄνδρου·

Σαπφώ. Sappho, Simonis filia: vel, ut alii, Eunomini: ut alii, Eerigyi: ut alii, Ecryti: ut alii, Semi: ut alii, Camonis: ut alii, Etarchi: ut alii, Scamandronymi. Matrem habuit Clidem: fuitque Lesbia, Ereſo oriunda, & Lyrica. Vixit Olympiade XLII. quo tempore & Alcæus & Steſichorus & Pittacus floruerunt. Fratres ejus tres fuerunt, Larychus, Charaxus, Eurygius. Nupſit cuidam Cercolæ, viro ditiſſimo, Andrio, ex

1 Μετὰ τῆς εἰρημένης ἐπάλξεως] Hinc corrige Simocattam, apud quem male legitur, μετὰ τῆς ἐρωμένης ἐπάλξεως: quod interpres bona quidem fide, ſed nullo ſenſu vertit, *Cum amata pinna.*

2 Ταῖς πύλαις] Conſtructionis gratia ſcribendum eſt, τὰς πύλας.

3 Ἀριστοφάνης] In *Pace*, pag. 662. (454. Ed. Baſ. *P.*) ubi ſic legitur:

Ὡς ἅπαντ' ἤδη 'στι μεστὰ τἄνδοθεν εἰρήνης σαπρᾶς.

4 Εὐνομίνου] MSS. Pariſ. habent, Εὐμήνου.

5 Γεγονυῖα κατὰ τὴν μβ'. Ὀλυμπιάδα] Ætas Sapphus etiam ex Athenæo patet, quippe qui lib. XIII. pag. 599. eam ſub Alyatte Crœſi patre vixiſſe refert. Euſebius in Chronico eandem refert ad Olymp. XLIV.

6 Χάραξος] Hujus meminit etiam Suidas ſupra v. Αἴσωπος, & v. Ἰάδμων: & Athenæus lib. XIII. pag. 596.

καὶ θυγατέρα ἐποιήσατο ἐξ αὐτοῦ, ἣ Κλεῒς ὠνομάσθη. [1] ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγόνασι τρεῖς, Ἀτθὶς, Τελεσίππα, Μεγάρα· πρὸς ἃς καὶ διαβολὴν ἔσχεν αἰσχρᾶς φιλίας. μαθήτριαι δὲ αὐτῆς, Ἀναγόρα Μιλησία, Γογγύλα Κολοφωνία, Εὐνίκα Σαλαμινία. ἔγραψε δὲ μελῶν λυρικῶν βιβλία θ'. καὶ πρώτη πλῆκτρον εὗρεν. ἔγραψε δὲ καὶ [2] Ἐπιγράμματα, καὶ ἐλεγεῖα, καὶ ἰάμβους, καὶ μονῳδίας.

Σαπφὼ [3] Λεσβία, ἐκ Μιτυλήνης, ψάλτρια. αὕτη δι' ἔρωτα Φάωνος τοῦ Μιτυληναίου [4] ἐκ τοῦ Λευκάτου κατεπόντωσεν ἑαυτήν. τινὲς δὲ καὶ ταύτης εἶναι λυρικὴν ἀνέγραψαν ποίησιν.

Σαράβαρα. [5] ἐσθὴς Περσική. ἔνιοι δὲ λέγουσι βρακία.

Σάραβον. τὸ γυναικεῖον αἰδοῖον οἱ κωμικοὶ λέγουσι· καὶ σάκταν, καὶ σάμβυτον, καὶ σέλινον, καὶ [6] ταῦρον, καὶ ἕτερα πολλά.

Σαράγουροι. ὄνομα ἔθνους. [7] Ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθέντες κατὰ ζήτησιν γῆς πρὸς τοῖς Ἀκατίροις Οὔννοις ἐγένοντο.

Σαρακηνός. ἐθνικόν.

Σάραμβος. [8] οὕτως ἐκάλουν οἱ Ἀθηναῖοι κάπηλόν τινα.

Σαραωνίς. πέτρας ὄνομα.

Σαραπίων, ὁ Αἴλιος χρηματίσας, ῥήτωρ, Ἀλεξανδρεύς. ἔγραψε περὶ τῶν ἐν ταῖς μελέταις ἁμαρτανομένων. Ἀκροάσεων βιβλία ζ'. Πανηγυρικὸν ἐπὶ Ἀδριανοῦ τοῦ βασιλέως. Βουλευτικὰ Ἀλεξανδρεῦσιν. Εἰ δικαίως Πλάτων Ὅμηρον ἀπέπεμψε τῆς πολιτείας· καὶ ἄλλα συχνά. καὶ Τέχνην Ῥητορικήν.

Σαραπίων. [9] τοῦτον ἐποιήσατο φίλον ὁ Ἰσίδωρος, τὸν λαθόντα πάντας ἀνθρώπους ἐπὶ εὐσεβείᾳ τε καὶ ὅλῃ βίου φιλοσοφίᾳ, πλὴν αὐτοῦ τοῦ Ἰσιδώρου. τοσοῦτον δὲ τῷ ἀνδρὶ περιῆν τοῦ ἀληθοῦς τρόπου τε καὶ λόγου, τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος, ἔργῳ δὲ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ Λάθε βιώσας· [10] ὥστε οὐδένα τῶν τότε ζώντων ἀνθρώπων, οὔτε τῶν νεωτέρων, οὔτε τῶν πρεσβυτέρων ἐλπίσαιμι ἂν εἰδέναι οἷον λέγω. οὐδὲ ἔγνω τις ἄλλος, οἷος ἦν ὁ Σαραπίων ἐκεῖνος, οὐδὲ ἂν ἔγωγε νῦν ἠπιστάμην, εἰ μή μοι ὁ αὐτὸς φιλόσοφος ὑπέδειξε τὸν Σαραπίωνα τῷ λόγῳ. οὐ γὰρ ἔργῳ ποτὲ ἔφη πείσεσθαι αὐτὸν ἐντυχεῖν ἑτέρῳ ἀνδρὶ ἄλλως τε, καὶ ὅτε ἐγήρα, μηκέτι καταβαίνειν θαμὰ ἀπὸ τῆς σφετέρας οἰκίας· οἰκεῖν δὲ μόνον ἐν οἰκίσ-

quo ſuſcepit filiam, quæ Clis vocabatur. Sodales ejus & amicæ fuerunt tres, Atthis, Teleſippa, Megara: cum quibus etiam turpem conſuetudinem habuiſſe dicebatur, adeo ut eo nomine male audiret. Diſcipulæ ejus fuerunt, Anagora Mileſia, Gongyla Colophonia, Eunica Salaminia. Scripſit carminum Lyricorum libros IX. & prima plectrum invenit. Scripſit etiam Epigrammata, & Elegias, & Jambos, & Monodias.

Σαπφὼ Λεσβ. Sappho Lesbia, Mitylenæa, pſaltria. Hæc propter amorem Phaonis Mitylenæi e Leucata ſe in mare dejecit. Quidam hujus etiam Lyricam poeſin eſſe tradiderunt.

Σαράβαρα. Sarabara. Veſtis Perſica. Quidam vero ſic vocari dicunt braccas.

Σάραβον. Sarabum. Sic Comici pudendum muliebre vocant: itemque σάκταν, & σάμβυτον, & σέλινον, & ταῦρον, & multis aliis nominibus.

Σαράγουροι. Saraguri. Nomen gentis. *Quemadmodum & Saraguri ſuis ſedibus pulſi, ad Acatiros Hunnos iverunt.*

Σαρακηνός. Saracenus. Nomen gentis.

Σάραμβος. Sarambus. Sic Athenienſes cauponem quendam vocabant.

Σαραωνίς. Saraonis. Petræ nomen.

Σαραπίων. Sarapion, Ælius cognominatus, Orator, Alexandrinus. Scripſit de Vitiis Declamationum. Auſcultationum libros VII. Panegyricum in Adrianum Imperatorem. Conſultationes ad Alexandrinos. Rectene Plato Homerum ex Republ. ſua ablegarit: & alia multa. Item, Artem oratoriam.

Σαραπίων. Serapion. Hunc Iſidorus amicum ſibi fecit: cujus pietatem & totam vitæ philoſophiam latentem nullus mortalium norat, excepto Iſidoro. In eo autem viro tantum erat veritatis ſtudium, & rectæ rationis ac orationis tanta vis, ut id, quod proverbio dici conſuevit, *Late vivens*; ab illo re ipſa fuerit confirmatum. [Sic enim perpetuo vixit,] ut nullus illius ætatis hominum, vel juniorum, vel ſeniorum [eum vixiſſe ſciret,] aut ſe ſciturum ſperaret id, quod ego dico. Nec ullus alius novit, qualis fuerit ille Serapion; nec ego nunc illum cognoſcerem, niſi ille ipſe Philoſophus mihi verbis Serapionem demonſtraſſet. Dicebat enim ipſum re ipſa nunquam adduci potuiſſe, ut alium virum

1 Ἑταῖραι δὲ αὐτῆς καὶ φίλαι γεγ.] Confer Noſtrum ſupra v. Ἤριννα.

2 Ἐπιγράμματα] Sapphus Epigrammata quædam hodie adhuc ſuperſunt in Anthologia tam edita, quam inedita.

3 Σαπφὼ Λεσβ.] Hujus mentionem facit Athenæus lib. XIII. pag. 596.

4 Ἐκ τοῦ Λευκάτου κατεπ.] Vide Strabonem lib. X. pag. 452.

5 Σαράβαρα] Vide Salmaſ. ad Æl. Lamprid. pag. 212. Edit. Pariſ. Briſſon. *de Regn. Perſ.* pag. 42. & Heſych. v. Σαράβαρα.

6 Ταῦρον] Atqui ταῦρος eſt pudendum virile, non vero muliebre. Vide Noſtrum infra h. v.

7 Ὥσπερ καὶ οἱ Σαράγουροι ἐλαθ.] Hæc ſunt verba Priſci Rhetoris, in *Excerpt. Legat.* pag. 43. Edit. Pariſ. eademque leguntur ſupra v. Ἄβαρες.

8 Σάραμβος] Hujus meminit Plato in *Gorgia* pag. 310. Θεαρίων, inquit, ὁ ἀρτοποιὸς, καὶ Μίθαικος, ὁ τὴν ὀψοποιίαν συγγεγραφὼς τὴν Σικελικὴν, καὶ Σάραμβος ὁ κάπηλος. Ad hunc locum Platonis Suidas reſpexit. Meminerunt ejus & alii ſcriptores. Themiſtius in *Sophiſta*, pag. 297. Κάπηλος οὔτις ἐν αὐτοπώλαις κομψότερος μικροῦ Σαράμβου τοῦ Θεαρίωνος. Ariſtides Orat. ὑπὲρ τῶν τεττάρων, Tom. III. pag. 317. Ἦπου ἔτι Μίθαικος, ὁ τὴν Σικελικὴν ὀψοποιίαν συγγεγραφὼς, ἢ Σάραμβος ὁ κάπηλος, ταῦτα συγγεγράφθαι δοκεῖ. Reſpexerunt & hi ad dictum locum Platonis. His adde Athenæum, qui ipſa verba Platonis, ſupra citata, in quibus Sarambi fit mentio, repetit lib. III. *Dipnoſoph.* pag. 112.

9 Σαραπίων. τοῦτον ἐποιήσατο φίλ.] Totum hunc articulum ex Damaſcio in Vita Iſidori deſcriptum eſſe & ſtilus & argumentum facile mihi perſuadent.

10 Ὥστε οὐδένα τῶν τότε ζώντων ἀνθρ.] Male Portus, & ante eum Wolfius, locum hunc interpretati ſunt, qui ſic vertendus eſt, *Ut neminem illorum, qui tunc vivebant, ſive juniorum, ſive ſeniorum, exiſtimem noſſe illum, de quo loquor.* Confer Noſtrum ſupra v. Λάθε βιώσας.

κα

κῳ μικρῷ τῷ ὄντι, μονάδα βίον [1]ἀναδεδειγμένον· πρὸς μόνα τὰ ἀναγκαιότατα χρώμενον τῶν γειτόνων ἐνίοις. εὐκτικὸν μὲν οὖν εἶναι τὸν Σαραπίωνα διαφερόντως ἔλεγε, καὶ ἐν ἰδιώτου σχήματι πανταχοῦ περιφοιτᾶν τῶν ἱερῶν χωρίων, ὅπου ἦν γε ὁ τῆς ἑορτῆς νόμος. τὰ πολλὰ δὲ ἐπ' οἴκου διημερεύοντα ζῆν, οὔ τινα ἀνθρωπίνην ζωήν, ἀλλ' ἀτεχνῶς θείαν εἰπεῖν, εὐχάς τε ἀεὶ καὶ ἀρετὰς πρὸς ἑαυτόν, ἢ πρὸς τὸ θεῖον φθεγγόμενον, μᾶλλον δὲ σιγῇ διανοούμενον. ζητητικὸς δὲ ὢν τῆς ἀληθείας, καὶ φύσει θεωρητικός, οὐ περὶ τὰ τεχνικώτερα τῆς φιλοσοφίας ἠξίου διατρίβειν, ἀλλὰ τοῖς ἁδροτέροις καὶ ἐνθουσιαστικωτέροις νοήμασιν ἐνεφύετο. διὸ μόνον σχεδὸν τὸν Ὀρφέα ἐκέκτητο καὶ ἀνεγίνωσκεν, ἐρωτῶν ἐφ' ἑκάστοις ἀεὶ τοῖς παραπίπτουσι ζητήμασι τὸν Ἰσίδωρον, ἄκραν, ὡς εἰπεῖν, ἐπιστήμην ἐν θεολογίᾳ προβεβλημένον· ὃν μόνως οἰκεῖον ἐγνώριζεν ὄντα, καὶ προσεδέχετο. καὶ δὴ ἐν αὐτῷ θεάσασθαι ἐδόκει τὸν μυθευόμενον Κρόνιον βίον. οὐδὲν γὰρ ἄλλο τι πράττων καὶ λέγων ἐκεῖνος ἦν, ἢ συνάγων ἑαυτὸν ἀεὶ καὶ συναιρῶν, ὡς οἷόν τε, πρὸς τὸ εἴσω καὶ τὸ ἀμερέστερον. ὃς οὕτω κατεφρόνει χρημάτων, ὥστε κεκτῆσθαι μηδέν, ἢ μόνα δύο ἢ τρία βιβλία· ὧν ἦν καὶ ἡ Ὀρφέως ποίησις. οὕτω δὲ ἡδονῶν τῶν περὶ τὸ σῶμα, ὥστε ἐξ ἀρχῆς τὰ ἀναγκαῖα εὐθὺς καὶ μόνα προσφέρειν τῷ σώματι· ἀφροδισίων δὲ ἄχραντος εἶναι διὰ παντὸς τοῦ βίου. οὕτω δὲ ἠμέλει τιμῆς τῆς παρ' ἀνθρώπων, ὥστε οὐδὲ ὄνομα αὐτοῦ ἦν ἐν τῇ πόλει. οὐδ' ἂν ἐγνώσθη μετὰ ταῦτα, εἰ μὴ θεῶν τις ἠβουλήθη παράδειγμα τοῖς ἀνθρώποις χαρίσασθαι τοῦ Κρονίου βίου, ἵνα μὴ δοκῇ μῦθος εἶναι ὁ λόγος, μὴ ἔχων ἐπιμαρτυροῦσαν τὴν ἱστορίαν. ὁ μὲν γὰρ Χείρων λεγόμενος ἐν μεθορίῳ μᾶλλον εἱστήκει τῆς Κρόνου καὶ Διὸς ἀρχῆς· ὅθεν Διφυής. Σαραπίων δὲ οὗτος ὑπὸ τοῦ φιλοσόφου γνωσθείς, ἀναγεγράφθω τοιοῦτος. ὃς κληρονόμῳ τῷ Ἰσιδώρῳ ἐχρήσατο, μηδένα πρὸς γένους ἔχων, μηδὲ ἄξιον ἄλλον ὑπολαμβάνων εἶναι τῆς ἑαυτοῦ οὐσίας, δυοῖν λέγω ἢ τριῶν βιβλίων. ἐν δὲ τούτῳ τῷ χρόνῳ ἕτερος ἀνὴρ ἀφίκετο εἰς Ἀλεξάνδρειαν, κατὰ διάμετρον ὅλην τοῦ Σαραπίωνος ἀφεστώς, μᾶλλον δὲ ἔτι καὶ τῆς διαμέτρου μειζόνως, εἰ οἷόν τε φάναι. ὁ μὲν γὰρ ἦν τὴν ζωὴν Κρόνιός τις, ἢ Δῖος· ὁ δέ, Τυφώνιος, καὶ Τυφῶνος ἔτι πολυπλοκώτερον θηρίον, καὶ μᾶλλον ἐπιτεθυμμένον. οὐ γάρ τις ἀγνοεῖ τῶν νῦν ζώντων ἀνθρώπων, οἷος ὁ Παμπρέπιος ἐγεγόνει τήν ψυχήν τε καὶ τὴν τύχην.

convenirет. Præcipue vero, cum jam ſenuiſſet, non amplius ex ſua domo frequenter alio deſcendiſſe: habitaſſe vero ſolum in exigua domuncula, ſolitariam omnino vitam amplexum, & ad res maxime neceſſarias duntaxat utentem vicinorum quorundam opera. Dicebat igitur, Serapionem precibus addictum inſigniter fuiſſe, & idiotæ habitu omnia templa frequentaſſe, & loca ſacra, prout feſtivitatis ratio ferebat. Plerumque vero domi per totum diem degentem vixiſſe non aliquam humanam vitam, ſed prorſus, ut ita dicam, divinam; & ſemper preces ac virtutes vel apud ſe, vel apud Deum recitaſſe, vel potius tacite cogitaſſe. Cum autem eſſet veritatis indagandæ cupidus, & natura contemplationi deditus, non in ſubtilioribus Philoſophiæ quæſtionibus verſari volebat; ſed grandioribus & divinioribus cogitationibus addictus erat, & in has intentus. Quamobrem ſolum fere Orpheum habebat & legebat; ſubinde Iſidorum de ſingulis quæſtionibus occurrentibus interrogans, virum, ut breviter dicam, ſumma Theologiæ ſcientia inſtructum: quem ſolum familiarem norat & admittebat. Etenim putabat ſe in eo perſpexiſſe vitam illam Saturniam, Poetarum fabulis celebratam. Nihil enim aliud vel faciens vel dicens conſpiciebatur, niſi ſeſe ſubinde colligens & contrahens, quantum fieri poterat, in interiores ſuæ domunculæ partes, & in arctiores anguſtias. Qui pecuniam adeo contemnebat, ut nihil poſſideret præter duos tantum aut tres libellos; inter quos erat & Orphei poeſis. Voluptates autem corporis parvi adeo faciebat, ut a prima ſtatim ætate rebus ad vitam ſuſtentandam neceſſariis tantum uteretur: a rebus vero venereis per totam vitam purus permaneret. Honorem ab hominibus tribui ſolitum adeo contemnebat, ut ne nomen quidem ejus in urbe notum eſſet. Neque poſtea cognitum fuiſſet, niſi Deorum quiſpiam vitæ Saturniæ manifeſtum exemplum hominibus largiri voluiſſet, ne illa narratio videretur eſſe fabula, quæ teſtem hiſtoriam non haberet. Nam ille quidem [Poetarum ſcriptis] celebratus Chiron in Saturnii & Jovii regni confinio potius conſtitit, unde biformis fuiſſe traditur. Iſte vero Serapion a Philoſopho cognitus, talis ſit deſcriptus, qui Iſidorum hæredem ſcripſit, quod nullum cognatum haberet, nec ullum alium ſuarum facultatum, duorum inquam, aut trium libellorum, hæredem dignum eſſe judicaret. Hoc autem tempore vir alius Alexandriam venit, ex tota diametro, & magis etiam quam ex diametro, ſi ſic dicere liceat, a Serapione diſtans, [eique prorſus contrarius.] Nam hic quidem Saturnius quidam aut Jovius fuit: ille vero, Typhonius, & Typhone bellua multo verſutior atque furioſior. Nullus enim eorum, qui nunc vivunt, hominum, ignorat, quo animo & qua fortuna fuerit Pamprepius. *Port.*

Σάραπις. τούτου ἐν Ἀλεξανδρείᾳ καθεῖλε Θεόφιλος ὁ Ἀρχιεπίσκοπος τὸ ξόανον, ἐπὶ Θεοδοσίου τοῦ Μεγάλου. [2]τοῦτον δὲ οἱ μὲν Δία ἔφασαν εἶναι· οἱ δέ,

Σάραπις. Serapis. Hujus ſtatuam Theophilus Archiepiſcopus Alexandriæ evertit, ſub Theodoſio Magno: quem alii Jovem eſſe

1 Ἀναδεδειγμένον] Lege, ἀναδεδειγμένον.

2 Τοῦτον δὲ οἱ μὲν Δία ἔφ.] Cedrenus pag. 325. Τοῦτον τὸν Σάραπιν οἱ μὲν τὸν Δία εἶναι λέγουσιν· οἱ δέ, τὸν Νεῖλον, διὰ τὸ τὸν μόδιον ἔχειν ἐν τῇ κεφαλῇ, καὶ τὸν πῆχυν. οἱ δὲ Ἆπιν τινὰ ἄνθρωπον εὔπορον ἐν Αἰγύπτῳ γεγονέναι, ὃς ἐν καιρῷ λιμοῦ ἐκ τῶν ἰδίων ἐπήρκεσεν Ἀλεξανδρεῦσιν· ᾧ καὶ τελευτήσαντι ναὸν καὶ στήλην ἀνέστησαν. καὶ βοῦς αὐτῷ ἐτρέφετο, ὃν καὶ Ἆπιν ἐκάλουν, ὁμωνύμως τοῦ δεσπότου. σύμβολον ὄντος ἦν τοῦ γεωργοῦ. Hæc iis, quæ Suidas hic habet, adeo affinia ſunt, ut utrumque ex eodem fonte ſua hauſiſſe ſatis appareat.

τὸν Νεῖλον, διὰ τὸ μόδιον ἔχειν ἐν τῇ κεφαλῇ, καὶ τὸν πῆχυν, ἤγουν τὸ τοῦ ὕδατος μέτρον. ἄλλοι δὲ, τὸν Ἰωσήφ. ἕτεροι δὲ, Ἆπιν τινὰ γεγονέναι ἄνθρωπον εὔπορον καὶ βασιλέα ἐν Μέμφιδι, πόλει τῆς Αἰγύπτου. οὗ λιμοῦ δὲ γενομένου, τοῖς Ἀλεξανδρεῦσιν ἐκ τῶν ἰδίων τροφὴν παρέσχε. τετελευτηκότι δὲ αὐτῷ ναὸν ἀνέστησαν, ἐν ᾧ βοῦς ἐτρέφετο, σύμβολον φέρων τοῦ γεωργοῦ, καί τινα δὲ ἔχων ἐν τῇ χροιᾷ ἐπίσημα· ὅστις ἐκ τῆς προσηγορίας αὐτοῦ καὶ αὐτὸς Ἆπις ἐκαλεῖτο. τὴν δὲ σορὸν τούτου τοῦ Ἄπιδος, ἐν ᾗ τὸ σῶμα ἔκειτο αὐτοῦ, ἐν Ἀλεξανδρείᾳ μετήνεγκαν, καὶ ἀπὸ τῆς σοροῦ καὶ τοῦ Ἄπιδος σύνθετον ὄνομα πεποιηκότες, ἐκάλουν αὐτὸν Σόραπιν· οἱ δὲ μετὰ ταῦτα, Σάραπιν. τούτου ναὸς ὑπὸ Ἀλεξάνδρου ἐκτίσθη παμμεγέθης, καὶ πάνυ λαμπρός.

Σαράπους.[1] οὕτως ἐκάλει Ἀλκαῖος Πιττακὸν τὸν φιλόσοφον, διὰ τὸ πλατύπουν εἶναι, καὶ σύρειν τὼ πόδε. Χειροπόδην δὲ, διὰ τὰς ἐν τοῖς ποσὶ ῥαγάδας, ἃς [2] χειράδας ἐκάλουν. [3] Γαύρικά τε, ὡς εἰκῆ γαυριῶντα. Φύσκωνα δὲ, καὶ Γάστρωνα, διότι παχὺς ἦν. ἀλλὰ μὴν καὶ [4] Ζοφοδορπίδα, ὡς ἄλυχνον. [5] Ἀγασύρταστον δὲ, ὡς ἐπισεσυρμένον καὶ ῥυπαρόν.

Σαργάνη. οἱ μὲν, σχοινίον τί φασιν· οἱ δὲ, πλέγμα τι ἐκ [6] σχοινίου.

Σαρδάζων.[7] μετὰ πικρίας γελῶν.

Σαρδανάπαλος,[8] Ἀσσυρίων βασιλεὺς, ἀπὸ Νίνου καὶ Σεμιράμιδος, οἴκησιν ἔχων ἐν Νίνῳ, ἔνδον τὸ σύμπαν ἐν τοῖς βασιλείοις διατέτριβεν· ὅπλον μὲν οὐχ ἁπτόμενος, οὐδ' ἐπὶ θήραν ἐξιὼν, ὥσπερ οἱ πάλαι βασιλεῖς· ἐγχριόμενος δὲ τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακίδας ἁμιλλώμενος περὶ κάλλους καὶ ἐμπλοκῆς, τό, τε σύμπαν γυναικείῳ ἤθει χρώμενος. κατὰ δὲ τὰ πρότερον συντεταγμένα ἐπὶ τὰς θύρας αὐτοῦ παρῆσαν οἵ τε τῶν ἄλλων ἐθνῶν Σατράπαι, ἄγοντες τὰς δυνάμεις. οὗτος ἐσφάγη ὑπὸ Περσέως. [9] οἱ δὲ κόλακες, καὶ μιμηταὶ τῆς ἐκείνου φιλοσαρκίας καὶ γαστριμαργίας καὶ οἰστρηλασίας, ἐπέγραψαν ὡς ἐξ αὐτοῦ δῆθεν ἐν τῷ τάφῳ αὐτοῦ, τὸ, [10] Τόσσ' ἔχω· καὶ τὰ ἑξῆς· ψευδῶς ταῦτα ἐπιγράψαντες. οὐ γὰρ ἔχει ὁ τελευτήσας ἅπερ ἔφαγε καὶ ἔπιεν, ἀλλ' εἰς τὴν δυσώδη φθορὰν ἐκεῖνα πάντα κεχώρηκεν· ἔχει δὲ μόνην τὴν τοῦ παρανόμου βίου δυσωδίαν, ἥτις διηνεκῶς τὴν ἀθλίαν αὐτοῦ ψυχὴν ἀλγύνει καὶ ἀνιᾷ, συνειδυῖαν ἑαυτῇ τὰ κάκιστα, καὶ μεμνημένην ὧν παρανόμως καὶ ἀκολάστως ὁ τάλας εἰργάσατο.

dicebant: alii Nilum, quod modium & cubitum in capite geſtaret: aquæ menſuram ſcilicet. Alii, Joſephum. Alii, Apidem hominem opulentum & Regem Memphidis urbis Ægypti fuiſſe dicunt: qui Alexandrinis fame laborantibus de ſuo victum præbuerit. Huic mortuo templum fuiſſe exſtructum; in quo bos aleretur, agricolæ ſymbolum, & notis quibuſdam coloris diſtinctus: qui & ipſe nomine ejus dictus fuerit Apis. Hujus autem Apidis loculo, in quo corpus ipſius jacebat, Alexandriam tranſlato; nomine ex σορὸς & Ἆπις compoſito eum vocatum eſſe Σόραπιν, & deinde Σάραπιν. Huic templum maximum & ſplendidiſſimum ab Alexandro conditum eſt.

Σαράπους. Alcæus Pittacum Philoſophum ita vocabat, quod latipes eſſet, & pedes traheret. *Chiropoden* vero, propter fiſſuras & rimas, quas in pedibus habebat: quas alii χειράδας vocant. Item *Gaurica*, quod temere gloriaretur. *Phyſconem* vero & *Gaſtronem*, quod pinguis & craſſus eſſet. Præterea, *Zophodorpidem*, ut qui abſque lychno in tenebris cœnaret. Et *Agaſyraſtum*, ut ſqualidum & ſordidum.

Σαργάνη. Sargana. Alii funem quendam ita vocant. Alii vero vas quoddam ex junco textum.

Σαρδάζων. Riſum Sardonium, i. e. amarum ridens.

Σαρδανάπαλος. Sardanapalus, Aſſyriorum Rex, a Nino & Semiramide originem ducens, aſſidue intra palatium in urbe Nino degebat, neque arma tractans unquam, nec venatum egrediens, more ſuperiorum Regum; ſed faciem liniens, atque oculos pingens, & cum pellicibus de forma ac comæ compoſitione contendens, prorſuſque muliebri diffluens mollitie. Porro, ex more inſtitutoque veteri ad portas palatii aderant gentium omnium Satrapæ, imperatas adducentes copias. Hic a Perſeo occiſus eſt. Adulatores vero, & illi, qui ejus mollitiem & luxuriam & furorem imitabantur, ſepulcro ejus carmen hoc inſcripſerunt, tanquam ab ipſo prolatum, *Tantum habeo*, &c. Sed hoc falſum eſt. Non enim defunctus habet, quæ edit & bibit; ſed illa omnia in fœtida excrementa abierunt. Solum vero vitæ male actæ habet fœtorem, qui miſeram illius animam perpetuo affligit & excruciat, peſſimorum criminum ſibi conſciam, memoremque delictorum & flagitiorum, quæ miſer ille admiſit.

1 Σαράπους. οὕτως ἐκάλει Ἀλκαῖος Πιττ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Laertii in *Pittaco*. Segm. LXXXI. Vide ibi Menagium.

2 Χειράδας] Sic recte MS. A. itemque Laertius loco laudato. At MSS. B. & C. nec non priores Editt. male, χοιράδας. Confer Heſychium v. Χειράδας, qui ad hunc ipſum locum Laertii reſpexiſſe videtur.

3 Γαύρικα] Sic etiam Laertius. At cum Menagio ſcribere malim, γαύρηκα, per η in ſyllaba ſecunda. Vide Heſychium v. Γαύρηξ.

4 Ζοφοδορπίδα] Laertius rectius Ζοφοδορπίδαν, a recto, Ζοφοδορπίδας, quod Dorice dictum eſt pro Ζοφοδορπίδης.

5 Ἀγασύρταστον] Scribe, Ἀγάσυρτον, ut habet Laertius.

6 Ἐκ σχοινίου] Forte, ἐκ σχοίνου.

7 Σαρδάζων] Confer Noſtrum ſupra v. Διασαρδάνιον, & infra v. Σαρδάνιος.

8 Σαρδανάπαλος, Ἀσσυρίων βασιλ.——ἄγοντες τὰς δυνάμεις] Hæc ſunt verba Nicolai Damaſceni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 425.

9 Οἱ δὲ κόλακες καὶ μιμ.——ἐν τῷ τάφῳ αὐτοῦ] Hæc αὐτολεξεὶ etiam leguntur apud Joannem Malelam, pag. 21.

10 Τόσσ' ἔχω, καὶ τὰ ἑξῆς] Integrum Epigramma, cujus initium tantum Suidas hic adducit, legitur Anthol. lib. III. cap. VII.

Σαρδανάπαλυς ἐν β΄ Περσικῶν δύο φησὶ γεγονέναι Καλλισθένης, ἕνα μὲν, δραστήριον καὶ γενναῖον· ἄλλον δὲ μαλακόν. ἐν Νίνῳ δ' ἐπὶ τοῦ μνήματος αὐτοῦ τοῦτ' ἐπιγέγραπται· [1] Σαρδανάπαλος, ὁ Ἀνακυνδαράξου παῖς, Ἀγχίαλον καὶ Ταρσὸν ἐν ἡμέρᾳ μιᾷ ἐδείματο. σὺ δὲ, ὦ ξένε, ἔσθιε, καὶ πῖνε, καὶ [2] παῖζε· ὡς τά γε ἄλλα τὰ ἀνθρώπεια οὐκ ὄντα τούτου ἄξια. τουτέστι, τοῦ τῶν δακτύλων ἀποκροτήματος. τὸ γὰρ ἐφεστὼς τῷ μνήματι ἄγαλμα ὑπὲρ τῆς κεφαλῆς ἔχον τὰς χεῖρας πεποίηται, ὡς [3] ἂν ἀποληκοῦν τοῖς δακτύλοις. ταυτὸ καὶ ἐν Ἀγχιάλῳ τῇ πρὸς Ταρσῷ ἐπιγέγραπται, ἥτις νῦν καλεῖται Ζεφύριον. Καὶ παροιμία· [4] Καταγηράσαις Τιθωνοῦ βαθύτερον, Κινύρου πλουσιώτερον, καὶ Σαρδαναπάλου τρυφηλότερον· ὅπως τὸ τῆς παροιμίας ἐπὶ σοὶ πληρωθῇ, Δὶς παῖδες οἱ γέροντες. ἐπὶ τῶν ὑπεργήρων. ὁ γὰρ Τιθωνὸς κατ' εὐχὴν τὸ γῆρας ἀποθέμενος, εἰς τέττιγα μετέβαλε. Κινύρας δὲ, ἀπόγονος Φαρνάκου βασιλέως Κυπρίων, πλούτῳ διαφέρων. Σαρδανάπαλος δὲ, Ἀσσυρίων βασιλεύς· ὃς ἐπ' ἀκολασίᾳ καὶ τρυφῇ διαβιοὺς κατέλυσε τὴν ἰδίαν ἀρχήν. [5] Ἦν δὲ υἱὸς Ἀνακυνδαράξου, βασιλέως Νίνου, Περσικῆς χώρας· ὃς ἐν μιᾷ ἡμέρᾳ Ἀγχίαλον καὶ Ταρσὸν ἔκτισε. Φασὶ δὲ αὐτὸν αἰσχρῶς καλλωπίζεσθαι, τοῖς τε οἰκείοις μὴ ὁρᾶσθαι, εἰ μὴ εὐνούχοις καὶ κόραις. πεπυρπολημένου δὲ τοῦ οἴκου, ἔνδον εὑρεθεὶς ἀπέθανεν. ἐπέγραψαν δὲ ἐν τῷ τάφῳ αὐτοῦ Ἀσσυριακοῖς γράμμασι, τὸ, Σαρδανάπαλος Ἀνακυνδαράξου, καὶ τὰ ἑξῆς.

Σαρδανάπαλυς ἐν β΄ Περσ. Calliſthenes libro II. de Rebus Perſicis duos Sardanapalos fuiſſe tradit; unum ſtrenuum & fortem: alterum vero mollem & effœminatum. In hujus monumento Nini inſcriptum erat: *Sardanapalus, Anacyndaraxi filius, Anchialum & Tarſum uno die condidit. Tu vero, hoſpes, ede, bibe, & lude. Nam cætera humana ne tanti quidem facienda ſunt.* Id eſt, ne iſto quidem digitorum crepitu digna ſunt. Simulacrum enim ſepulcro impoſitum, manus ſupra caput attollens, digitis crepabat. Idem etiam inſcriptum eſt [monumento ejus] Anchiali prope Tarſum, quæ nunc Zephyrium vocatur. Et proverbium: *Senectus tibi contingat longævior quam Tithono; opulentior quam Cinyræ; & mollior quam Sardanapalo: ut de te vere dici poſſit proverbium illud: Senes bis pueri.* Dicitur de hominibus valde longævis. Tithonus autem cum ex voto ſenectutem depoſuiſſet, in cicadam mutatus eſt. At Cinyras, a Pharnace Rege Cypri genus ducens, valde opulentus fuit. Sardanapalus vero, Rex Aſſyriorum, cum totam vitam in voluptatibus & deliciis tranſegiſſet, propria culpa regno excidit. Fuit autem filius Anacyndaraxi, Regis Nini, quæ eſt urbs Perſicæ ditionis; & uno die *Anchialum* & Tarſum condidit. *Ajunt* autem illum faciem turpiter fucaſſe, & a nullo ſuorum domeſticorum, præterquam ab eunuchis & puellis conſpectum fuiſſe. Cum vero domus ejus incendio correpta fuiſſet, intus flamma conſumptus eſt: cujus ſepulcro literis Aſſyriacis inſcripſerunt: *Sardanapalus Anacyndaraxi filius*, &c.

Σαρδάνιος [6] γέλως. ὁ προσποίητος. καλεῖσθαι δὲ αὐτόν φασιν ἀπὸ τοῦ σεσηρέναι τοῖς ὀδοῦσι. καὶ Σαρδώνιος γέλως. παροιμία, ἐπὶ τῶν ἐπ' ὀλέθρῳ τῷ σφῶν αὐτῶν γελώντων· ἣν Δήμων μὲν διαδοθῆναι, ὅτι οἱ Σαρδόνα κατοικοῦντες αἰχμαλώτων τοὺς καλλίστους τε καὶ πρεσβυτέρους ὑπὲρ ο΄ ἔτη τῷ Κρόνῳ ἔθυον, γελῶντας, ἕνεκα τοῦ τὸ εὔανδρον ἐμφῆναι· τουτέστιν, ἀνδρεῖον. [7] Τίμαιος δὲ, τοὺς ἱκανὸν βεβιωκότας χρόνον ἐν Σαρδοῖ, συνωθουμένους σχίζαις ὑπὸ τῶν υἱῶν εἰς ὃν ἔμελλον θάπτεσθαι βόθρον, γελᾶν. οἱ δὲ, ἀπὸ τοῦ σεσηρέναι [8] μετ' ἀνίας. καί φασιν ἄλλοι τε, καὶ Κλείταρχος, ἐν Καρχηδόνι ἐν ταῖς μεγάλαις εὐχαῖς παῖδα ταῖς χερσὶ τοῦ Κρόνου ἐπιτιθέντας, (ἵδρυται δὲ χαλκοῦς, προβεβλημένας ἔχων τὰς χεῖρας, ὑφ' ᾧ κρίβανος) ἔπειτα ὑποκαίειν. τὸν δὲ συνελκόμενον ὑπὸ τοῦ πυ-

Σαρδάνιος γέλως. Sardanius riſus. Id eſt, ſimulatus. Eum autem ſic dictum eſſe ajunt a σεσηρέναι, quod dentes reſtringere ſignificat. Et, Riſus Sardonius. Proverbium de iis, qui, cum pereunt, rident. Id autem inde ortum eſſe Demon tradit, quod Sardi captivorum pulcherrimos & ſeptuagenariis majores Saturno immolarent; qui ad conſtantiam & fortitudinem ſuam declarandam riſerint. Timæus vero auctor eſt, natu jam grandes in Sardinia, cum fuſtibus in foveam, in qua ſepeliendi erant, a filiis compellerentur, ridere ſolitos fuiſſe. Alii hoc dictum eſſe volunt a σεσηρέναι, quod ſignificat, dentibus reſtrictis ridere; & ἀνία, triſtitia: quod nempe triſtem riſum riderent. Adhæc, Clitarchus & alii ſcribunt, Carthaginenſes in ſolennibus ſupplicationibus puerum Saturni manibus impo-

1 Σαρδανάπαλος, ὁ Ἀνακυνδ.] Vide Stephanum *de Urbibus*, v. Ἀγχιάλη; Athenæum lib. VIII. pag. 336. Arrianum libro II. Ἀναβάσεως, pag. 91. & Scholiaſtam Ariſtophanis ad *Aves*, pag. 590.

2 Καὶ παῖζε] Alii, καὶ ὄχευε, ut Mich. Apoſtolius, & auctor Vaticanæ Appendicis. Et ſic etiam legitur in MSS. Pariſ. niſi quod vocula καὶ ibi deeſt.

3 Ὡς ἂν ἀποληκοῦν] Mich. Apoſtolius habet, ὡς ἀνακρουστεῖν. Confer Noſtrum ſupra v. Ἀναπολήκουν.

4 Καταγηράσαις Τιθωνοῦ βαθ.———Δὶς παῖδες οἱ γέροντες] Hæc ſunt verba Juliani Imperatoris Epiſt. LIX. in fine: quæ etiam leguntur ſupra v. Καταγηράσαις.

5 Ἦν δὲ υἱὸς Ἀνακυνδαράξου, βασιλ.] Hæc ad verbum etiam leguntur apud Scholiaſtam Ariſtoph. ad *Aves*, pag. 590.

6 Σαρδάνιος] Sic habent MSS. Pariſ. itemque Editio Mediolan. At reliquæ Editt. Σαρδώνιος; quæ lectio propter literarum ſeriem hic locum habere non poteſt. Paulo tamen poſt, in hoc ipſo articulo, conſentientibus etiam MSS. legitur Σαρδώνιος, per ω in ſyllaba ſecunda. Apud poetas nomen hoc ἐθνικὸν plerumque ſcribitur per ο in ſyllaba ſecunda: ut apud Apollonium lib. IV. *Argonaut.* v. 633.

Τῇ δ' ἐπὶ Σαρδόνιον πέλαγος, κοὶ ἀπείρονα κόλπον.

Σαρδάνιον, per α in ſyllaba ſecunda, habes apud Homerum Odyſſ. Υ. v. 302. Varia ergo vocis hujus eſt ſcriptura. Cæterum, cum hoc loco Suidæ conferendus eſt Zenobius Centur. V. Adag. LXXXV. & Scholiaſta Homeri ad Odyſſ. Υ. v. 301. & 302.

7 Τίμαιος δὲ, τοὺς ἱκανὸν βεβ.] Scholiaſta Homeri loco laudato: Τί μοι (lege, Τίμαιος) δέ φησι, τοὺς γεγηρακότας τῶν γονέων ἄγειν αὐτοὺς πρὸς βόθρον καὶ καταβάλλειν εἰς αὐτόν. τοὺς δὲ ὡς μακαρίως ἀποθνήσκοντας γελᾶν.

8 Μετ' ἀνίας] Sic MSS. Pariſ. At priores Editt. minus recte, μετ' ἀνοίας.

ρὸς, δοκεῖν γελᾶν. Σιμωνίδης δὲ, Τάλων τὸν ἡφαιστότευκτον Σαρδανίους οὐ βουλομένους περαιῶσαι πρὸς Μίνωα, εἰς πῦρ καθαλλόμενον, ὡς ἂν χαλκοῦν, προστερνιζόμενον ἀνελεῖν ἐπιχάσκοντας. [1] Σιληνὸς δὲ ἐν τῷ δευτέρῳ τῶν περὶ [2] Συρακούσας, λάχανον εἶναι παρὰ Σαρδωνίοις ἡδὺ, σελίνῳ ἐμφερές· οὗ τοὺς γευσαμένους τάς τε σιαγόνας καὶ τὰς σάρκας αὐτῶν ἀποδάκνειν. ἔνιοι δὲ τοὺς ἐπὶ [3] κακῷ γελῶντας· ὡς καὶ ἐν Ὀδυσσείᾳ φησὶν [4] Ὅμηρος·

—— Μείδησε δὲ δῖος Ὀδυσσεὺς
Σαρδόνιον. ——

καὶ ἐν ἄλλοις.

—— Ἡδὺ [5] γέλασε χείλεσιν,
Ἡδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν ἰάνθη.

nere conſueviſſe, (ſtatua autem Saturni erat ænea, manus habens protenſas, quibus ſubjectus erat clibanus) poſteaque ignem ei ſubjeciſſe; cujus calore puer excruciatus ridentis ſpeciem præbuerit. Simonides vero refert, Talum, quem Vulcanus fabricaverat, in ignem inſilientem, (erat enim æneus) Sardonios ad Minoem trajicere nolentes ad pectus appreſſiſſe, eoſque necaſſe in morte hiantes. Silenus vero libro ſecundo *Rerum Syracuſanarum* ait, apud Sardos eſſe herbam quandam dulcem, apio ſimilem, quam qui guſtarint, & maxillas & carnes ſuas præmordere. Alii vero tradunt, proverbium hoc dici de iis, qui malo ſuo rideant: ut & Homerus in *Odyſſea* inquit: *Riſit autem divus Ulyſſes riſum Sardanium.* Et alibi: *Illa riſit labiis: non tamen frons ſuper ſupercilia nigra exporrecta eſt.*

Σαρδαῖος. [6] ὁ ἀπὸ πόλεως Σάρδεων. καὶ Σάρδεις, πόλις.

Σαρδαῖος. Sardæus. Id eſt, incola vel civis Sardium. Et Sardes, urbs.

Σαρδιανός. ἀπὸ τόπου.

Σαρδιανός. Sardianus. A loco [deductum nomen.]

Σάρδιοι [7] λίθοι, ἐναργῶς διαφανεῖς, λευκοὶ ὄντες κατὰ τὸ βάθος· οἵτινες δοκοῦσι μέχρι βάθους τοῦ αὐτοῦ χρώματι κεχρῶσθαι, ἅτε δὴ μὴ ἀντιλαμβανομένης τῆς ὄψεως τοῦ βάθους.

Σάρδιοι λίθοι. Sardii lapilli. Hi manifeſte ſunt pellucidi, & in fundo albi: qui ad imum uſque eodem colore imbuti eſſe videntur, quod viſus non percipiat ea, quæ in imo ſunt.

Σαρδόθεν. ἀπὸ τῆς Σάρδεων πόλεως.

Σαρδόθεν. Ab urbe Sardibus.

Σαρδόνιον πέλαγος. καὶ Σαρδονικὸν, ὁμοίως. Σαρωνικὸν δέ.

Σαρδόνιον πέλαγος. Sardonium pelagus. Et Σαρδονικὸν, pariter. At Σαρωνικὸν, [per ω ſcribitur.]

Σαρδώ. [8] νῆσός ἐστι μεγίστη ἡ Σαρδὼ πρὸς τῇ Ἰταλίᾳ· ἐν ᾗ γίνονται πορφύραι διάφοροι καὶ ὀξύταται. καὶ παροιμία· [9] Βάμμα Σαρδωνικόν. ἀντὶ τοῦ ἐρυθρὸν, φοινικοῦν.

Σαρδώ. Sardinia. Inſula maxima juxta Italiam, in qua inſignes & intenſi admodum coloris purpuræ naſcuntur. Et proverbium: *Tinctura Sardonica.* Id eſt, rubra & purpurea.

Σαρδῷον.

Σαρδῷον. Sardoum.

Σάρισσα. εἶδος ἀκοντίου Ἑλληνικοῦ. δόρυ μακρὸν παρὰ Μακεδόσι.

Σάρισσα. Sariſſa. Genus Græcanici jaculi. Sive, haſta longa apud Macedones.

Σαρκάζων. μετὰ πικρίας καὶ θυμοῦ γελῶν. [10] καὶ σαρκάζοντες, ὑποσεσηρότες, καὶ ἀνοίγοντες τὸ στόμα, ὥσπερ κυνίδια, ὅταν προσλιπαρῇ τινα, καὶ ἀφέλκῃ τοῖς ὀδοῦσιν. ἢ σαρκάζοντες, ἀντὶ τοῦ ἐξισχνωμένοι καὶ ἡττηκότες, καὶ διὰ τὸν λιμὸν ἕλκοντες μόλις. ἢ ἕλκοντες κατὰ τὸν τῶν κυνιδίων τρόπον, οἳ τὰ ὀστέα περιτρώγουσι, καὶ οὐκ ἔχοντες ἐμφορηθῆναι ὑπ' αὐτῶν, τῷ δοκεῖν ἐσθίουσι. σαρκάζειν δὲ κυρίως, τὸ τὸν κύνα πεινῶντα τὰ λεπτὰ τῶν σαρκῶν τοῦ ὀστέου ἀπογλύφειν.

Σαρκάζων. Cum amaritudine & ira ridens. Et σαρκάζοντες, dentes reſtringentes, & os aperientes, ut catelli, cum alicui adblandiuntur, carneſve arrodunt. Vel σαρκάζοντες, attenuati & debilitati. Vel, propter famem ægre trahentes [funem.] Vel, trahentes more catellorum, qui oſſa circumrodunt, &, cum iis ſatiari nequeant, edere tamen videntur. Σαρκάζειν vero proprie dicitur, cum canis famelicus exiguas carnium reliquias ab oſſe abradit.

1 Σιληνός] Sic recte MSS. Pariſ. itemque Photius in Lexico MS. At priores Editt. Σιμωνίδης: quæ lectio vel ideo ferri non poteſt, quod vox Σιμωνίδης paulo ante præceſſerit, nec hic abſque manifeſta ταυτολογίᾳ repeti poſſit. Scripſiſſe autem Silenum de rebus Siculis, patet ex Athenæo, qui eum ἐν τρίτῳ Σικελικῶν laudat. Hujus operis partem fuiſſe exiſtimo libros de Syracuſis, quos Suidas hic laudat.

2 Περὶ Συρακούσας] Rectius, περὶ Συρακουσῶν.

3 Ἐπὶ κακῷ] Sic habet MS. A. At in MSS. B. & C. itemque in prioribus Editt. & Lexico Photii MS. male legitur ἐπὶ καλῷ.

4 Ὅμηρος] Odyſſ. Υ. v. 302.

5 Ἡδὺ γέλασε χειλ.] Hæc ſunt verba Homeri, ſed corruptiſſima, quæ apud ipſum poetam Il. Ο. v. 101, 102. recte ſic leguntur:

——— Ἡ δ' ἐγέλασσε
Χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
Ἰάνθη. ———

Verba ibi ſunt de Junone irata, quæ reſtrictis labiis ridere quidem videbatur, ſed frontem minime exporrigebat, ut facere ſolent illi, qui ex animo lætantur & rident. Scholiaſta ad eum locum: Οὗτος ὁ γέλως Σαρδώνιος καλεῖται, ὅτ' ἄν τις μὴ ἐκ διαθέσεως γελᾷ.

6 Σαρδαῖος] An pro Ἀρδαῖος. Vide Holſtenium ad Steph. v. Σάρδις.

7 Σάρδιοι λίθοι, ἐναργῶς διαφ.] Hæc, & quæ ſequuntur, ſunt verba Philoponi in lib. II. Ariſtot. *de Anima*, K. 2. b.

8 Σαρδὼ. νῆσός ἐστι μεγ.] Ex Scholiaſta Ariſtophanis ad *Acharn.* pag. 376.

9 Βάμμα Σαρδωνικόν] Imo, βάμμα Σαρδιανικόν: quod ſic dictum eſt ab urbe Sardibus, non vero ab inſula Sardinia. Ariſtoph. *Acharnenſibus*, pag. 376.

Ἵνα μή σε βάψω βάμμα Σαρδιανικόν.

Sic enim ibi legendum eſt pro Σαρδινιακόν. Idem in *Pace*, p. 710.

Ἦν ἐκεῖνός φησιν εἶναι βάμμα Σαρδιανικόν.

Confer Nos ſupra ad v. Βάμμα Κυζικηνόν, & ad v. Ἵνα μή σε βάψω.

10 Καὶ σαρκάζοντες, ὑποσεσηρ.] Nota hæc pertinet ad locum illum Ariſtoph. in *Pace*, pag. 655.

Οὐδ' οἱ Μεγαρῆς δρῶσ' οὐδὲν, ἕλκουσιν δ' ὅμως,
Γλισχρότατα σαρκάζοντες ὥσπερ κυνίδια.

Confer ibi Scholiaſtam.

Σάρ-

Σάρκας [1] μελαίνειν, οὐ καλὸν [2] πᾶσιν τόδε.
Λευκὰς ὁρᾶν τὰς σάρκας, εὔθετον λίαν.
Ὅλον [3] καθαίρειν, φροντίδων δηλοῖ λύσιν.

Σαρκασμός. εἶδος εἰρωνείας.

Σαρκασμοπιτυοκάμπται. [4] Ἀριστοφάνης φησί. ἀντὶ τοῦ, μεγάλοι, ὡς ἁρπάζοντες καὶ προσποιούμενοι τὰ πολεμικά. οὐκ ἀληθῶς δὲ τοιοῦτοι· ἰσχύος δὲ ἐπιμελούμενοι. διὸ καὶ τὸν Μεγαίνετον Μάνην εἶπεν, οὐ πάντως βάρβαρον, ἀλλ' ἀναίσθητον. ἐπίτηδες δὲ ἐχρήσατο τοῖς συνθέτοις, διὰ τὸ Αἰσχύλου ἦθος.

Σαρκίδης. ὄνομα κύριον.

Σαρκικὸς ἄνθρωπος. ζήτει ἐν τῷ Ψυχικός.

Σαρκίον. ἡ σάρξ.

Σάρκινος. προπαροξυτόνως. ὡς κέδρινος. † [5] Ἀπὸ τῶν πτηνῶν ἡ νυκτερὶς μόνη σαρκοτοκεῖ, τῶν λοιπῶν ὠοτοκούντων· ὥσπερ πάλιν καὶ ἐπὶ τῶν τετραπόδων ἡ χελώνη μόνη ὠοτοκεῖ.

Σαρκοφαγία. ἡ κρεωφαγία. [6] Ἐδεῖτο μὲν γάρ οἱ τὸ σῶμα σαρκοφαγίας, ἀθύτου δὲ οὐκ ἠνέχετο μεταλαβεῖν, τὸ παλαιὸν [7] παράγγελμα θνησειδίων ἀπέχεσθαι, τοῦτο σημαίνειν ὑπολαμβάνων.

Σαρμυδησσός. τόπος Θρᾴκης.

Σάρξ. ὅτι [8] Ἀριστοτέλης [9] αἰσθητήρια λέγει τὴν σάρκα, καὶ λέγει ὅτι ἡ ἁπτικὴ αἴσθησις μία, καὶ μεταξύ.

Σάρος. ποταμός.

Σαρώματα. φιλοκαλήματα. καὶ σάρωσις, ὁμοίως.

Σαρῶν. κορῶν. καὶ σαίρων, κοσμῶν. αἰτιατικῇ.

Σαρπηδονία [10] ἀκτή. ἄκρα τῆς Θρᾴκης. [11] Κράτης τὴν μεγάλην. καὶ νῆσον πρὸς τῷ Ὠκεανῷ, ἐν ᾗ αἱ Γοργόνες.

Σαρπηδών, [12] Σαρπηδόνος. ὄνομα κύριον. ἡ κλητική, ὦ Σαρπηδών, καὶ ὦ Σαρπῆδον· ὡς ἀπὸ τοῦ Σαρπήδοντος.

Σάροι. μέτρον, καὶ ἀριθμὸς παρὰ Χαλδαίοις. οἱ γὰρ ρκʹ. Σάροι ποιοῦσιν [13] ἐνιαυτοὺς βσκβʹ. κατὰ τὴν τῶν Χαλδαίων ψῆφον, εἴπερ ὁ σάρος ποιεῖ μῆνας σεληνιακοὺς σκβʹ. οἱ γίνονται ιηʹ. ἐνιαυτοί, καὶ μῆνες ἕξ.

Σάρκας. Carnes. *Carnes habere nigras, pueris malum eſt ſomnium.* † *Albas videre carnes, valde eſt utile.* † *Totum* [*corpus*] *purgare, liberationem a curis ſignificat.*

Σαρκασμός. Sarcaſmus. Ironiæ genus. Jocus amarulentus.

Σαρκασμοπιτυοκάμπται. Sarcaſmopityocamptæ. Ariſtophanes inquit. Id eſt, magni, & qui ſpeciem quidem bellicæ fortitudinis præferunt, ſed revera tales non ſunt: at virium curam gerunt. Unde etiam Megænetum vocavit Manen, non quod omnino barbarus eſſet, ſed ſtupidus. De induſtria vero compoſitis nominibus uſus eſt, quod Æſchylus iis gauderet.

Σαρκίδης. Sarcides. Nomen proprium.

Σαρκικὸς ἄνθρωπος. Carnalis homo. Quære in voce Ψυχικός.

Σαρκίον. Caruncula. Caro.

Σάρκινος. Carneus. Scribitur cum acuto in antepenultima, ut κέδρινος. † Inter volucres ſolus veſpertilio vivos fœtus parit, reliquis ova parientibus: ut contra inter quadrupedes ſola teſtudo ova parit.

Σαρκοφαγία. Carnium eſus. *Ejus enim corpus indigebat quidem carnium eſu, ſed eo, quod immolatum non fuiſſet, veſci non ſuſtinebat, antiquum illud præceptum, quod morticinis abſtinere jubet, hoc ipſum ſignificare putans.*

Σαρμυδησσός. Sarmydeſſus. Locus Thraciæ.

Σάρξ. Caro. Ariſtoteles carnem vocat inſtrumentum ſenſus, dicitque tactum eſſe ſenſum peculiarem, & medium quid [eſſe inter corpus tangens, & id, quod tangitur.]

Σάρος. Sarus. Fluvius.

Σαρώματα. Ornamenta. Elegantia. Et σάρωσις, mundatio, purgatio.

Σαρῶν. Verrens. Scopis mundans. Et σαίρων, ornans. Accuſativo jungitur.

Σαρπηδονία ἀκτή. Sarpedonia Acte. Thraciæ promontorium. * * * * * * * Item, inſula, juxta Oceanum, in qua Gorgones habitant.

Σαρπηδών, όνος. Sarpedon. Nomen proprium. Vocativus, ὦ Σαρπηδών, & ὦ Σαρπῆδον: ut a genitivo Σαρπήδοντος.

Σάροι. Sari. Apud Chaldæos eſt menſura, & numerus. Nam cxx. Sari faciunt annos MMCCXXII. ſecundum calculũ Chaldæorum: quandoquidem Sarus continet menſes Lunares CCXXII. qui ſunt anni XVIII. & VI. menſes.

1 Σάρκας μελ.] Hic & duo ſequentes verſus ὀνειροκριτικοὶ leguntur apud Aſtrampſychum: unde eos compilator mutuatus eſt.

2 Πᾶσιν] Aſtrampſychus, παισίν.

3 Ὅλον] Aſtrampſychus habet, Ὅλμον, i. e. mortarium. At in MS. A. in quo verſus hi onirocritici non in textu ſed ad marginem ſcripti erant, rectius, ut puto, legitur, Σάρκας καθαίρειν, &c. Confer etiam Noſtrum infra v. Σῶμα, ubi hic ipſe verſus repetitur.

4 Ἀριστοφάνης] Pag. 257. (168. Ed. Baſ. P.) ubi vide veterem Enarratorem.

5 Ἀπὸ τῶν πτηνῶν ἡ νυκτ.] Deeſt hic caput articuli, quod oportebat eſſe σαρκοτοκεῖ.

6 Ἐδεῖτο μὲν γάρ οἱ τὸ σ.] Ex Damaſcio. Vide Noſtrum ſupra v. Ἀθύτου.

7 Παράγγελμα] Sic rectius MS. A. quam MSS. B. & C. itemque priores Editt. quæ habent, παράδειγμα.

8 Ὅτι Ἀριστ.] Loci hujus ſenſus eſt mutilus, qui ſuppleri debet ex Philopono in lib. II. Ariſtot. *de Anima*, N. 1. 2. Eo Lectorem remitto.

9 Αἰσθητήρια] Scribe, αἰσθητήριον.

10 Σαρπηδονία ἀκτή] Confer Zenob. Centur. V. Adag. LXXXVI.

11 Κράτης τὴν μεγάλην] Locus eſt corruptus, & forte mutilus, qui abſque meliorum Codicum ope haud facile in integrum reſtitui poteſt.

12 Σαρπηδών] Ejus crebro mentio fit apud Homerum.

13 Ἐνιαυτοὺς βσκβʹ. κατὰ τὴν τῶν Χαλδ.——σεληνιακοὺς σκβʹ] Inſignem hujus loci lacunam ex MS. Pariſ. A. ſupplevi. In prioribus enim Editt. deſunt verba hæc, κατὰ τὴν τῶν Χαλδαίων ψῆφον, εἴπερ ὁ Σάρος ποιεῖ μῆνας σεληνιακοὺς σκβʹ. Pro ἐνιαυτοὺς βσκβʹ. autem ſcribendum eſt, ἐνιαυτ. βσκʹ. expuncto poſteriori β; ut & ante nos monuit exquiſitiſſimæ eruditionis vir Joannes Pearſonius in notis ad verba illa Symb. Apoſt. *Creatorem cœli & terræ*: ubi etiam modo dictam loci hujus lacunam ex MS. Vatic. ſupplevit, & de *Saris* nonnulla in medium affert. Eum igitur vide. Præterea de *Saris* conſulendus eſt Scaliger ad Græca Euſebii, pag. 406.

Σάτα. μέτρον Ἑβραϊκόν. δηλοῖ δὲ μόδιον ὑπερπεπληρωμένον· ὡς εἶναι μόδιον [1] ἕνα καὶ ἥμισυν. ὑγρῶν δὲ [2] ξεστῶν ιέ, ἤτοι λιτρῶν κέ.

Σατάν. ὁ Διάβολος.

Σατανᾶς. ὅτι Σατανᾶς κατὰ τὴν Ἑβραίων γλῶσσαν ὁ ἀποστάτης λέγεται. ὁ αὐτὸς καὶ Διάβολος, ὡς τὸν Θεὸν πρὸς τοὺς ἀνθρώπους συκοφαντῶν, καὶ αὐτοῖς γε τοῖς ἀνθρώποις ἔριν πρὸς ἀλλήλους ἐμβάλλων καὶ μάχην. οὐ πονηροὶ δὲ ἀπ' ἀρχῆς οἱ δαίμονες παρὰ τοῦ Θεοῦ τῶν ὅλων ἐδημιουργήθησαν, ἀλλὰ τῇ παρατροπῇ τῆς γνώμης ἀπὸ τῶν ἀμεινόνων ἐπὶ τὰ χείρω ἔπεσον αὐτεξουσίως καὶ αὐθαιρέτως, καὶ τοῖς παρὰ Θεοῦ παρασχεθεῖσιν οὐκ ἀρκεσθέντες, ἀλλὰ μειζόνων ὀρεχθέντες, εἰσδέξασθαι τῷ τύφῳ τὸ πάθος, καὶ ἐκπεσεῖν τῆς ἀρχῆθεν δοθείσης τιμῆς, καὶ τὸν κατὰ τῶν ἀνθρώπων ἀναδέξασθαι πόλεμον, καὶ κατ' αὐτῶν ὡς εἰκόνι θείᾳ τετιμημένων λυπῆσαι· ἐπιστασίᾳ δὲ τῶν Ἀγγέλων φρουρεῖσθαι. τὴν δὲ ἀγωνιστικὴν ὁ Θεὸς οὐκ ἐκώλυσε διαμάχην, ἵνα δείξῃ τοὺς ἀρίστους ἡ πάλη.

Σάτωρ, σάτωρος.

Σατραπεία. ἐπαρχία. Σατράπης δὲ, Σατράπου, εἶδος ἀξιώματος.

Σάτυρος. ὁ χορευτής.

Σαυλοπρωκτιᾶν.

Καὶ [3] μὴν προθυμοῦμαί γε σαυλοπρωκτιᾶν.

Σαυρίων.[4] εἶδος σημαίας, ἢ φλαμούλου.

Σαῦρα, καὶ σαῦρος. ἑρπυστικὸν ζῷον.

Σαύρῳ δὲ λοιπὸν ἐμφερὴς ἐγίνετο.
Ἑρπυστικὸν δὲ τοῦτο τὸ ζῷον γένος,
Ὃν εἰ τέμοι τις καὶ διασπάσοι μέσον,
Ἕλκει μὲν αὐτοῦ σὺν κλόνῳ τὰ τμήματα,
Συνέρχεται δὲ καὶ πάλιν τὰ λείψανα.

Ἔστι δὲ καὶ ἰχθὺς σαῦρος.

Σαυρομάται. ὄνομα ἔθνους.

Σαυρωτῆρσι. τοῖς στύραξι, τοῖς ὄπισθεν τῶν δοράτων. [5] Ἔκτανε θηκτῷ σαυρωτῆρι. † Καὶ ταχὺ περιστρέψας τὸν ἵππον, τὸν εἰσπεσόντα παίει τῷ σαυρωτῆρι διὰ τοῦ τραχήλου. ἢ ξυστὸν δόρυ. ἢ στύραξ, ὃν ἔνιοι χαλκοῦν οὐρίαχον.

Σαυτὴν[6] ἐπαινεῖς, ὥσπερ Ἀστυδάμας ποτέ. Ἀστυδάμα τῷ Μορσίμου εὐημερήσαντι ἐπὶ τραγῳδίας διδασκαλίᾳ Παρθενοπαίου, δοθῆναι ὑπ' Ἀθηναίων εἰκόνος ἀνάθεσιν ἐν θεάτρῳ. τὸν δὲ εἰς αὐτὸν ἐπίγραμμα ποιῆσαι ἀλαζονικὸν τοῦτο·

Σάτα. Sata. Menſura Hebraica. Significat autem modium ad ſummum uſque repletum: ut ſit modius unus & dimidius. Cum vero de liquidis dicitur, eſt ſextariorum xv. hoc eſt, librarum xxv.

Σάταν. Satan. Diabolus.

Σατανᾶς. Satanas. Sic Hebræorum lingua dicitur Apoſtata. Idem & Diabolus vocatur, i.e. Calumniator: quod Deum apud homines calumnietur, & inter ipſos homines contentionem & pugnam excitet. Dæmones autem initio ab Univerſitatis hujus auctore Deo non ſunt conditi mali, ſed animi perverſitate a melioribus ad pejora defecerunt, idque libere & ultro. Cum enim ſorte, quam Deus ipſis dederat, contenti non eſſent, ſed majora appeterent; ſuperbia elati, honore priſtino exciderunt, bellumque adverſus homines ſuſceperunt, & adverſus eos, ut divina imagine decoratos, rabiem ſuam exeruerunt. Sed illi Angelorum præſidio tuti ſunt. Certamen vero Deus non prohibuit, ut lucta fortes demonſtraret.

Σάτωρ. Sator. [Vox Latina.]

Σατραπεία. Satrapia. Præfectura. Provincia. Et Σατράπης, Satrapa. Genus dignitatis.

Σάτυρος. Satyrus. Saltator.

Σαυλοπρωκτιᾶν. Nates laſcive movere. Cevere. [Ariſtophanes:] *Vehementer cupio cevere.*

Σαυρίων. Genus vexilli, vel flammuli.

Σαῦρα. Lacerta. Et σαῦρος, lacertus. Serpentis genus. *Lacerto vero deinceps ſimilis evaſit: quod ſerpentis genus ſi quis diſſecet & medium dividat, trahit ſua cum ſtrepitu ſegmenta: reliquiæque ejus rurſus coeunt.* Eſt & piſcis lacertus.

Σαυρομάται. Sauromatæ. Nomen gentis.

Σαυρωτῆρσι. Poſterioribus haſtæ cuſpidibus. [In Epigrammate:] *Interfecit* [*eum*] *acuta haſtæ cuſpide.* [Et iterum:] *Equo celeriter converſo,* [*adverſarii*] *irruentis cervicem inferiore haſtæ cuſpide ferit.* Vel, haſta. Idem quod σαυρωτὴρ ſignificat etiam στύραξ & οὐρίαχος.

Σαυτὴν ἐπαιν. *Te ipſa laudas, ut quondam Aſtydamas.* Aſtydamanti, Morſimi filio, cum fabulam *Parthenopæum* docens palmam tuliſſet, Athenienſes conceſſerunt, ut imaginem ſuam in Theatro poneret. Is vero Epigramma hoc jactantiæ plenum in ſe ipſum

1 Ἕνα καὶ ἥμισυν] Hæc in MSS. non integris vocibus exarata ſunt: ſed pro ἕνα quidem ſcriptum reperitur α; pro ἥμισυν vero, nota quædam, cujus figura in uno codice ſimilis pene eſt τῷ ∂. Hanc compendioſam ſcribendi rationem cum non intelligerent librarii, adulterinam inde vocem ἀσθεῖν, quæ in prioribus Editt. reperitur, & Porto ſuum N.L. i.e. *Non liquet*, expreſſit, conflarunt. Cæterum, me recte notam codicum MSS. interpretatum eſſe, liquido probare poſſum auctoritate Joſephi & Hieronymi, (*ut* alios ſcriptores taceam) qui expreſſe teſtantur, *Satum* cepiſſe unum & dimidium modium. Prior enim lib. IX. *Antiq. Jud.* cap. 2. pag. 305. ſic inquit: *Ἰσχύει τὸ σάτον μόδιον καὶ ἥμισυ Ἰταλικόν.* Hieronymus vero in Matth. XIII. ait: *Satum genus eſt menſuræ juxta morem Palæſtinæ provinciæ, unum & dimidium capiens modium.* Plura de *Sato* vide apud Caſp. Waſerum lib. I *de Menſur. Hebr.* cap. IV.

2 Ξεστῶν ιέ, ἤτοι λιτρῶν κέ] Magnus Pearſonius ad oram libri ſequentia notaverat: *Pro ιέ. lege ν'. Nam ex Euſebio MS. ξέστης λιτρῶν β'. Ergo λίτραι κέ. ξεσταὶ ν'.*

3 Καὶ μὴν προθυμ.] Senarius hic legitur apud Ariſtoph. *Veſpis* pag. 514. (354. Ed. Baſ. *P.*)

4 Σαυρίων] Eſt vox Græco-barbara, quam tamen non reperi in Gloſſario Meurſii & Dufrenii.

5 Ἔκτανε θηκτῷ σαυρ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod integrum legitur Anthol. lib. VI. cap. XV. ut Portus etiam monuit.

6 Σαυτὴν ἐπαιν.] Confer Zenobium, & alios Parœmiographos

Εἰθ

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ' ἡμῖν,
Οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν·
Ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·
Νῦν δὲ χρόνῳ παρέχουσ', οἷς φθόνος οὐχ ἕπεται.

διὰ οὖν τὴν ὑπερβάλλουσαν ἀλαζονείαν παραιτήσασθαι τὴν ἐπιγραφήν. καὶ παροιμία παρὰ τοῖς κωμικοῖς ἐγένετο, ὡς παρὰ Φιλήμονι. λέγεται δὲ καὶ κατ' ἀποκοπὴν τὸ, Σαυτὴν ἐπαινεῖς.

fecit: *Utinam nos illorum temporibus vixiſſemus, aut illi noſtris, qui linguæ facundia excelluiſſe creduntur. Certe enim, ſi in certamen cum illis deſcendiſſemus, pares illis judicati fuiſſemus. Nunc vero palma adjudicatur antiquioribus, quos nulla invidia comitatur.* Ob hanc igitur enormem & nimiam jactantiam [Athenienſes] inſcriptionem illam repudiaſſe dicunt: ortumque inde eſt apud Comicos proverbium, quod etiam apud Philemonem legitur. Dicitur vero etiam dempto fine verſus, Σαυτὴν ἐπαινεῖς.

Σάφα. σαφῶς. φανερῶς. καὶ [1] Ὅμηρος·
Μὴ ψεύδε' ἐπιστάμενος σάφα εἰπεῖν.

Σάφα. Perſpicue. Plane. Aperte. Homerus: *Ne mentiaris, cum poſſis aperte loqui.*

Σαφέστερον εἰπὲ, κἀμαθέστερον.
Ὅταν [2] τὰ νῦν ἄπιστα πίσθ' ἡγώμεθα,
Τὰ δ' ὄντα πίστ' ἄπιστα. πῶς; οὐ μανθάνω.
Ἀμαθέστερόν πως εἰπὲ, καὶ σαφέστερον. παρὰ τὴν παροιμίαν· Σαφέστερόν μοι κἀμαθέστερον φράσον. ὁ δὲ εἶπεν·
Εἰ τῶν πολιτῶν, οἷσι νῦν πιστεύομεν,
Τούτοις ἀπιστήσαιμεν· οἷς δ' οὐ χρώμεθα,
Τούτοισι χρησαίμεσθα, σωθείημεν ἄν.
Εἰ νῦν γε δυστυχοῦμεν ἐν τούτοισι, πῶς
Τἀναντία πράξαντες οὐ σωζοίμεθ' ἄν;
Εὖ γ' ὦ, Παλάμηδες, ὦ σοφωτάτη φύσις,
Ταυτὶ πότερ' αὐτὸς εὗρες, ἢ Κηφισοφῶν;

Σαφέστερον εἰπ. *Planius aliquanto dic & rudiore Minerva.* [Ariſtophanes:] *Cum ea, quæ nunc ſunt infida, fida ducemus: quæ vero fida, infida. Quid hoc? Non intelligo. Rudiore Minerva hæc dicas, & aliquanto planius. Si civibus, quibus nunc fidimus, diffidamus; & quibus non utimur, illis utamur; ſalvi forſan erimus. Si enim nunc eam ob cauſam infelices ſumus, quid ni his contraria facientes ſalvi erimus? Euge, Palamedes, o ingenium ſapientiſſimum! Tune ipſe hæc inveniſti, an vero Cephiſophon?*

Σαφήνεια. καὶ σαφηνίζω, ἑρμηνεύω. σαφῶ δὲ, σαφήσω.

Σαφήνεια. Perſpicuitas. Et σαφηνίζω, explano, interpretor.

Σαφής. ἀληθής. καὶ Ὅμηρος·
—— Ἐπιστάμενος σάφα εἰπεῖν.
ἀντὶ τοῦ ἀληθῶς. καὶ [3] Σοφοκλῆς·
Εἰ Ζεὺς ἔτι Ζεὺς, χ' ὡ Διὸς Φοῖβος σαφής.

Σαφής. [Interdum ſignificat,] Verus. Homerus: *Cum ſcias vere loqui.* Et Sophocles: *Si Jupiter adhuc eſt Jupiter, & ille Jovis filius Phœbus verax.*

Σάχωνος. ὄνομα κύριον.

Σάχωνος. Sachonis. Nomen proprium. [A recto Σάχων.]

Σβεννύντος. καὶ σβεννύω, αἰτιατικῇ. καὶ σβεννῦσα.

Σβεννύντος. Extinguentis. Et σβεννύω, extinguo. Et σβεννῦσα, extinguens.

Σβέσαι. παῦσαι.

Σβέσαι. Extinxiſſe. Sedaſſe. Compeſcuiſſe.

Σαίνεσθαι. κολακεύειν. τὸ ῥῆμα, σαίνω.
Ἀλλὰ [4] κύον, σαίνοις, Κέρβερε, τόν με κύνα.
καὶ αὖθις·
Σαίνεις [5] δάκνουσα, καὶ κύων λαίθαργος εἶ.
ἐπὶ τῶν ὑποκρινομένων δῆθεν εὐνοεῖν, ἐπιβουλευόντων δὲ λάθρα. καὶ σαίνω, αἰτιατικῇ.

Σαίνεσθαι. Adulari. Blandum eſſe alicui. [In Epigrammate:] *At canis Cerbere, ſis blandus mihi cani* [*Diogeni.*] Et iterum: *Blandiris, dum mordes, inſtar canis ſubdoli.* Dicitur in eos qui ſub falſa amicitiæ ſpecie clam alicui inſidiantur.

Σαίνουροι. τὰς οὐρὰς σείοντες.

Σαίνουροι. [Eſt epithetum canum,] qui cauda alicui blandiuntur.

Σαίρει. κοσμεῖ. ἢ χαίνει.

Σαίρει. Scopis verrit. Mundat. Vel, hiat.

Σεβάζω. αἰτιατικῇ. καὶ σέβω, ὁμοίως.

Σεβάζω, & σέβω. Colo. Veneror.

Σέβας. τιμή. ἔκπληξις. παρὰ δὲ Καλλιμάχῳ τὸ θαῦμα. Τόδ' ἔχω σέβας. καὶ σεβίσαι, ἀντὶ τοῦ εὐλογῆσαι.

Σέβας. Cultus. Honor. Stupor. Apud Callimachum vero ſignificat admirationem. Ut, *Hujus rei admiratione teneor.* Et σεβίσαι, colere, laudibus celebrare.

Σεβάστεια. πόλις. καὶ Σεβαστειανὸς, ὁ πολίτης.

Σεβάστεια. Sebaſtia. Urbs. Et Sebaſtianus, ejus civis.

Σεβαστιανός. [6] οὗτος ἐπὶ Οὐάλεντος ἦν. ἐγένετο δὲ ἐπὶ τούτου ἀνδρῶν πολεμικῶν ζήτησις. εὑρέθη δὲ οὗτος ὁ ἀνὴρ πάσης ἐλπίδος κρείττων, οὐδεμιᾶς περι-

Σεβαστιανός. Sebaſtianus. Hic tempore Valentis fuit: ſub quo cum virorum bellicoſorum delectus haberetur, hic vir omni ſpe

1 Ὅμηρος] Il. Δ. v. 404.
2 Ὅταν τὰ νῦν ἄπ.] Hic, & ſequentes Senarii Jambici leguntur apud Ariſtophanem in *Ranis.* pag. 279. (185. Ed. Baſ. *P.*)
3 Σοφοκλῆς] *Oedip. Colon.* pag. 292. ut Portus obſervaverat.
4 Ἀλλὰ κύον, σαίν.] Integrum Epigramma, cujus diſtichum hoc pars eſt, legitur Anthol. lib. III. cap. XXXIII. pag. 420.
5 Σαίνεις δάκνουσα, καὶ κύων λ.] Hæc, & quæ ſequuntur, ſumpta ſunt ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 348. eademque leguntur ſupra v. Λαίθαργος.
6 Σεβαστιανός. οὗτος ἐπὶ Οὐάλ.] Aſſentior Henr. Valeſio, qui ad Amm. Marcell. pag. 428. articulum hunc ex Eunapii Sardiani hiſtoria excerptum eſſe exiſtimat.

τῆς ἀποδείξεων. οὐδενὸς γὰρ μὴ ὅτι τῶν καθ' αὐτὸν ἀνθρώπων, ἀλλὰ καὶ τοῖς παλαιοῖς δίκαιος ἦν παραβάλλεσθαι, καὶ τούτων τοῖς ἄγαν εὐδοκιμοῦσιν εἰς ἅπαντας. ὅς γε φιλοπόλεμος μὲν ὤν, ἥκιστα φιλοκίνδυνος ἦν οὐ δι' ἑαυτόν, τῶν ἀρχομένων δὲ ἕνεκεν. χρημάτων δὲ αὐτῷ πλῆθος ἔμελεν, ὅσα τὸ σῶμα διὰ τῶν ὅπλων κοσμήσειν ἔμελλε. τροφὴν δὲ προῃρεῖτο σκληρὰν καὶ τραχεῖαν, καὶ ὅση καμόντι ἤρκει, καὶ ὁρμωμένῳ πρὸς κάματον οὐκ ἦν κώλυμα. φιλοστρατιώτης δὲ ὢν διαφερόντως, στρατιώταις οὐκ ἐχαρίζετο, ἀλλὰ πᾶσάν τε ἀφῄρει πλεονεξίαν τὴν ἀπὸ τῶν οἰκείων, καὶ τὸ ἁρπακτικὸν ἐπὶ τοὺς πολεμίους ἔτρεπεν. ἐκόλαζε δὲ ἰσχυρῶς τοὺς παραβαίνοντας ταῦτα, καὶ τοῖς πειθομένοις εἰς τὸ εἶναι συνηγωνίζετο. ἁπλῶς δὲ εἰπεῖν, ὑπόδειγμα καὶ χαρακτῆρα παρεῖχεν ἑαυτὸν ἀρετῆς. γεγονὼς δὲ ἐπὶ μεγάλαις καὶ λαμπραῖς στρατηγίαις, [1] ὥσπερ ὁ Ῥοδίων Κολοσσὸς διὰ μέγεθος καταπληκτικὸς ὤν, οὐκ ἔστιν ἐράσμιος· κἀκεῖνος διὰ τὸ ἀφιλοχρήματον θαυμαστὸς ὤν, οὐκ εἶχε χάριν. [2] προσκεκρουκὼς δὲ διὰ γνώμης ὀρθότητα τοῖς κατακοιμισταῖς εὐνούχοις τῶν βασιλέων, εὔκολος ὢν διὰ πενίαν, καὶ κοῦφος εἰς μετανάστασιν, διεδέχθη τῆς στρατηγίας.

melior eſt inventus, nulliuſque virtutis expers. Nullus enim erat non ſolum illius ætatis hominum, ſed ne priſcorum quidem, & eorum, qui apud omnes valde celebrantur, cum quo non poſſet jure comparari. Qui, cum bella amaret, minime tamen periculorum amans erat; non propter ſe, ſed propter eos, quibus imperabat. Pecuniæ copiam curabat, tantum ut corpus armis ornaret. Victu utebatur duro & aſpero, & eo, qui ipſi defatigato ſufficeret, nec ad laborem eunti impedimento eſſet. Quamvis autem milites maxime amaret, non tamen eorum vitiis indulgebat, ſed omnem illorum avaritiam & rapacitatem a ſuis avertens, in hoſtes convertebat. Illos vero, qui ipſius mandata violaſſent, graviter puniebat: obtemperantibus vero & imperata facientibus nunquam opera & auxilio ſuo deerat. Et, ut rem paucis expediam, verum virtutis exemplar aliis ſe præbebat. Cum vero ſummis & ampliſſimis honoribus functus fuiſſet; ut Rhodiorum Coloſſus propter magnitudinem terribilis quidem erat, non vero amabilis: ſic & Sebaſtianus ob pecuniæ contemptum admirationem quidem, non autem amorem in hominum animis excitabat. Tandem vero ob animum rectum in offenſionem eunuchorum cubiculariorum incurrit; & cum ob paupertatem promptus & expeditus eſſet ad mutandam ſedem, ſucceſſor ei datus eſt.

Σεβαστός. προσκυνητός. καὶ σεβίζει, σέβεται. καὶ σεβίσαι, ἀντὶ τοῦ εὐλογῆσαι. Ἀριστοφάνης· Εὐπίστως τοὐμὸν δαίμονας ἔχει σεβίσαι. τουτέστιν εὐπίστως ἔχω πρὸς τὸ τὸν Θεὸν ὑμνῆσαι καὶ εὐλογῆσαι.

Σεβαστός. Venerandus. Auguſtus. Et σεβίζει, colit. Et σεβίσαι, colere, laudibus celebrare. Ariſtophanes: *Bona fide Deos colo & celebro.*

Σεβαστοφόροι. ζήτει ἐν τῷ Αὐγουστεῖον.

Σεβαστοφόροι. Quære in voce Αὐγουστεῖον.

Σεβηριανός,[3] ἀπὸ Δαμασκοῦ, τῶν εἰς τὰ πρῶτα γένους ἀνηκόντων, Αὐξεντίου τοῦ Καλλινίκου υἱός, εἰς Ῥωμαίους ἀναγόμενος προγόνους, πατέρας τὴν Ἀλεξάνδρειαν ἐπῳκηκότας. παιδείας τε τυχὼν πρὸς τῇ τῆς φύσεως ὀξύτητι, ποιητικῆς τε καὶ ῥητορικῆς· ἔτι δὲ καὶ τῆς περὶ νόμους τοὺς Ῥωμαίων διατριβούσης, διαφέρων ἔδοξεν εἶναι τῶν ἡλικιωτῶν. [4] στερρὸς δὲ τὸ ἦθος ὤν, καὶ ἅπερ ἂν διανοηθείη, ταῦτα πράττειν ἐσπουδακώς, ἔφθανε τῷ πρακτικῷ τὸ βουλευτικόν. καὶ διὰ τοῦτο ὁ βίος αὐτῷ πολλαχῇ διεσφάλη. προυθυμήθη μὲν γὰρ ἐξ ἀρχῆς ἐπὶ φιλοσοφίαν τραπῆναι, καὶ τῷ Πρόκλῳ φέρων ἑαυτὸν ἐπιδοῦναι. ἤκμαζε γὰρ τότε καὶ ἤνθει ὁ Πρόκλος Ἀθήνησιν. ἐγένετο δὲ αὐτῷ ὁ πατὴρ ἐμποδών. ἠβούλετο γὰρ αὐτὸν δίκας λέγειν, καὶ χρηματίζεσθαι τὸν ἐπιμίσθιον τοῦτον χρηματισμόν. ὁ μὲν δὴ πατὴρ αὐτῷ ὡς τάχιστα τελευτᾷ τὸν βίον· αὐτὸς δὲ ἐπὶ τὰς Ἀθήνας ὁρμήσας, ὄνειρον ἐθεάσατο τοιόνδε. ἐδόκει ἐπὶ ῥάχει τινὸς ὄρους ἐπικαθῆσθαι ὥσπερ ὀχήματι, καὶ οἷον ἐλαύνειν τὸ ὄρος. ἐξῆγε δὲ αὐτὸν ἄρα ἡ εἱμαρμένη καὶ τὸ χρεών, ἔτι δὲ τὸ αὐθαί-

Σεβηριανός. Severianus, Damaſcenus, unus ex primarii generis viris, Auxentii Callinici F. generis ſui ortum ad Romanos referens, qui patriam Alexandriam incoluerunt. Hic præter ingenii celeritatem, poetica quoque & oratoria doctrina eruditus erat. Præterea, Juris quoque civilis Romanorum peritia inter ſuos æquales excellere viſus eſt. Cum autem eſſet animo firmo, & quæ ſecum ipſe cogitaſſet, ea peragere ſtuderet, agendi celeritate conſilium antevertebat. Quamobrem etiam in vita ſæpe offendit. Et ab initio quidem ad Philoſophiam animum appellens, Proclo ſe inſtituendum tradere cupiebat: (tunc enim Proclus Athenis florebat:) ſed pater ipſi impedimento fuit. Volebat enim ipſum cauſarum eſſe patronum, & hac mercenaria parandæ pecuniæ ratione locupletari. Patre autem paulo poſt defuncto, ipſe profectus Athenas hujuſmodi ſomnium vidit. Videbatur ſibi montis cacumini tanquam vehiculo inſidere, & montem ipſum aurigæ inſtar agitare. Fatum autem & decretum divinum, præterea vero etiam ipſa voluntas, quæ mala erat,

1 Ὥσπερ ὁ Ῥοδίων Κολοσσ.——ἔχε χάριν] Hæc leguntur etiam ſupra v. Κολοσσός.

2 Προσκεκρουκὼς δὲ διὰ γν.] Fragmentum hoc legitur etiam ſupra v. Προσκεκρουκώς.

3 Σεβηριανός, ἀπὸ Δαμ.] Totus hic articulus excerptus eſt ex Damaſcio in Vita Iſidori, ut in nota ſequente oſtendemus. Cæterum, verſionem Porti pleriſque in locis hic intactam reliquimus, non quod eam probaremus, ſed quod per temporis anguſtias omnia de integro nobis vertere non liceret. Hoc autem ideo moneo, ne Lector miretur, quare nonnulla, quæ vel frigide, vel minus accurate a Porto verſa erant, abſque litura dimiſerimus.

4 Στερρὸς δὲ τὸ ἦθος——διεσφάλη] Hæc αὐτολεξεὶ leguntur etiam apud Photium in Excerptis ex Damaſcio, Cod. CCXLII. pag. 1057. unde patet, & reliqua, quæ Suidas de Severiano hic affert, ex Damaſcio deprompta eſſe.

ϛέτον, ὅ, τι ἐστὶ χαλκόν, εἰς βίον ἄλλον, ὑψηλὸν μὲν εἶναι δοκοῦντα καὶ μεγαλοφυῆ· τραχὺν δέ τινα, καὶ ἀνήνυτον· ὃ καὶ αὐτὸς ἐπέκρινε, καὶ ἡ πεῖρα τῆς ἐκβάσεως ἀποδέδειχεν. ἀντὶ γὰρ φιλοσοφίας καὶ ἀπραγμοσύνης εὐδαίμονος εἰς τὴν πολιτείαν ἑαυτὸν καὶ εἰς ἀρχὰς ἐξέωσε φέρων. φύσει δὲ ὢν φιλόνεικος καὶ ἀήττητος ἐφ' ὅ, τι ἂν ὁρμήσειε, καὶ φιλόδοξος, ὡς οὐκ οἶδ' εἴ τις ἕτερος, ἀλλ' ἐπὶ τιμίοις ἔργοις τε καὶ λόγοις καὶ τὴν ἀρετὴν εἰς τὸ ἔξω προάγουσι τῆς ψυχῆς, περὶ μὲν χρηματισμὸν οὐ διετέλεσεν οὐδὲ ὁπωστιοῦν, οὐδὲ πρὸς ἀδικίαν αὐτόθεν καὶ πλεονεξίαν ἐπίφορος ἦν, προσκρουστικὸς δὲ καὶ ἁμιλλητικὸς ἀεὶ πρὸς τοὺς ὑπερέχοντας, καὶ οὐδενὶ τῶν μειζόνων ἀρχόντων ἀξιῶν παρὰ τὰ νομιζόμενα δίκαια εἶναι ἐξίστασθαι. δικάζων δὲ πικρότατος ἦν. καὶ δήποτε ἐξαγόμενος ὑπὸ θυμοῦ, καὶ τὸ ἀκαταφρόνητος εἶναι σπουδάζων, φόνους τε εἰργάσατό τινας οὐκ εὐαγεῖς οὐδὲ εὐτυχεῖς, καὶ ἐς τούτους ἀνέφερε τὴν αἰτίαν τῆς ὕστερον ἐπιγενομένης αὐτῷ τοῦ βίου κακοπραγίας. ἐπεὶ δὲ καὶ Ἀρδαβουρίῳ προσκρούσας, ὄντι μὲν υἱεῖ τοῦ πάνυ Ἄσπερος, βαρβάρου μὲν ἀνθρώπου, τὰ μέγιστα δὲ παρὰ βασιλεῖ δυναμένου, στρατηγοῦντι δὲ τῶν ἑῴων ταγμάτων, πολλὰ μὲν ἐκείνῳ παρέσχετο πράγματα, καὶ πατρὶ τῷ ἐκείνου· πλείω δὲ καὶ ἀτοπώτερα πεπονθὼς καὶ ὑβρισθείς, οὐδὲν ἀπώνατο τῆς πολλῆς ταύτης ἐνστάσεως. ἱερώτατος δὲ ἦν εἰς ὑπερβολήν, καὶ Ἕλλην, καὶ ὑπὸ πολλῶν ἀπειλῶν καὶ φόβων οὐκ ἐνέδωκεν ὁ ἀλιτήριος.[1] ἐμοὶ δὲ καὶ ἐξηγεῖτο λόγους Ἰσοκρατείους, τοὺς μείζους καὶ πολιτικωτέρους, οὐ τὸν τεχνικόν τε καὶ σοφιστικόν, ἀλλὰ τὸν ἔμφρονα καὶ φιλόσοφον τρόπον· ὅτε καὶ εἶδον ἄνθρωπον εὐρεῖν τε ἅμα καὶ ἀμφιλαφῆ τὴν διάνοιαν πρὸς τὰς πολιτικὰς ἐξηγήσεις· ἔτι δὲ καὶ κριτὴν ἄριστον ὄντα τῶν λεγομένων. τὸν δὲ ἐμὸν νεώτερον ἀδελφὸν Ἰουλιανὸν οὕτω παρώξυνεν εἰς φιλολογίαν, ὥστε καὶ ἐκμαθόντος ἠνείχετο τά τε ποιητικά, τῶν τε ῥητόρων τοὺς εὐδοκιμοῦντας· μισθόν τε ἐδίδου τῆς προθυμίας φιλοτιμίαν, προσήκουσαν ἑτέρῳ ἑστίασιν. τὰ μὲν οὖν τῶν ἄλλων ποιητῶν ἀπεδέχετο μετρίως· τὸν δὲ Καλλίμαχον εἰς χεῖρας λαβών, οὐκ ἔστιν ὅτε οὐ κατέσκωπτε τὸν Λίβυν ποιητήν· ἀνιώμενος δὲ ἐπὶ μᾶλλον, ἤδη πολλαχοῦ καὶ τῷ βιβλίῳ προσέπτυε. τούτῳ κατεπηγγείλατο Ζήνων βασιλεύς, εἰ[2] γένοιτο τῶν κρατούντων, τὴν μετὰ βασιλέα μεγίστην ἀρχήν. ἀλλ' οὐδὲ ὡς ἔπειθεν, οὐδὲ ἐμέλλησε πείσειν. καὶ ἡμῖν δὲ ὑπανέγνω τὴν ἐπαγγελλομένην ἐπιστολήν, καὶ μὴ πείθουσαν. καὶ Ἀρκαδίῳ δὲ τῷ ἀπὸ Λαρίσσης δι' ἐπιστολῆς ἐπετίμησε. καὶ γὰρ ἐπιστέλλειν δεινὸς ἦν ὁ Σεβηριανός, καὶ ἔμφρων, ὡς ἔστι μαθεῖν ἐντυχόντα ταῖς τοῦ ἀνδρὸς ἐπιστολαῖς.

ipſum traduxit ad aliam vitam, quæ excelſa quidem & magnifica videbatur eſſe, ſed tamen erat aſpera & inanis: quod & ipſe ſuo judicio confirmavit, & eventus experientia demonſtravit. Nam Philoſophiæ beatique otii loco ad Rempub. gerendam & ad Magiſtratus adipiſcendos ſe magno ſtudio contulit. Cum autem natura contentioſus eſſet & pertinax in omni re, ad quam gerendam ſe contuliſſet, & gloriæ cupidus, ut haud ſciam an aliquis alius, ita tamen, ut dictis factiſque præclaris, & animi virtutem prodentibus, ſtuderet; in pecunia quidem paranda ne vel minimum quidem occupabatur, neque ad injuriam & avaritiam proclivis erat, ſed ita comparatus, ut alios facile offenderet, & cum eminentioribus ſemper contenderet, nec ulli majorum Magiſtratuum quidquam præter id, quod juſtum & æquum eſſe putabatur, concedere vellet. Idem in jure dicendo acerbiſſimus erat. Quinetiam interdum ab ira abreptus, & ſtudens efficere ne ab ullo contemneretur, quaſdam cædes nec pias nec felices fecit. Et calamitatis poſtea ſuam vitam ſequutæ cauſam in has contulit. Cum autem etiam in odium incidiſſet Ardaburii, qui filius erat magni illius Aſparis, hominis quidem Barbari, ſed maximæ apud Regem auctoritatis, & Orientalium legionum ducis; multas quidem moleſtias illi illiuſque patri exhibuit, ſed pluribus & gravioribus injuriis & contumeliis affectus, nullum iſtius pertinaciæ fructum percepit. Sanctiſſimus autem fuit, & ſupra modum religionis Græcæ cultor. Quamvis autem & multæ minæ & terrores ipſi intentarentur, non ceſſit tamen infelix ille. Iſocrateas etiam orationes prolixiores & de Repub. agentes mihi enarravit, non artificioſo & ſophiſtico, ſed prudenti & philoſophico more; quo tempore etiam perſpexi hominem ſimul felici dicendi copia præditum, & ob ingenii amplitudinem ad res civiles enarrandas aptiſſimum. Præterea vero rerum etiam, quæ dicuntur, judicem optimum eſſe eum cognovi. Idem quoque Julianum fratrem meum natu minorem ſic ad eloquentiæ ſtudium inflammavit, ut eum & poetas & celebres oratores ediſcere pateretur. Is vero pro hoc ſtudio mercedem ei dabat honorem; quo ſcilicet maxime delectabatur. Ac aliorum quidem poetarum ſcripta mediocriter probabat. Cum vero Callimachum in manus ſumpſiſſet; Afrum illum poetam nunquam non deriſit. Quin etiam lectione ejus adeo interdum offendebatur, ut librum ejus conſpueret. Huic Zeno Imperator ſummam & ſibi proximam dignitatem pollicitus eſt, ſi Chriſtianus fieri vellet. At ne ſic quidem rem ei perſuaſit, nec unquam perſuaſurus erat. Et ipſe nobis epiſtolam pollicitationes illas continentem, ſed nihil apud ſe proficientem, nobis recitavit. Arcadium etiam Lariſſæum per epiſtolam objurgavit. Nam Severianus in epiſtolis ſcribendis acer & cordatus erat, ut quilibet perſpiciet, qui eas legerit.

1 Ἐμοὶ δὲ καὶ ἐξηγ. ——— πολιτικὰς ἐξηγήσεις] Hæc leguntur etiam ſupra v. Ἀμφιλαφῆ.

2 Εἰ γένοιτο τῶν κρατούντων] Verum hujus loci ſenſum, quem Wolfius & Portus non fuerant aſſecuti, in verſione expreſſimus. Chriſtianos enim a ſcriptoribus gentilibus, qualis erat Damaſcius, interdum appellatos fuiſſe *κρατοῦντας*, quaſi dicas, *rerum potientes*, erudite oſtendit Valeſius ad Euſeb. *Hiſtor. Eccleſ.* pag. 62, 63, cujus verba adduximus ſupra ad v. Ἱεροκλῆς.

Σεβῆρος. ὅτι [1] Σεβῆρος, ὁ τῶν Ῥωμαίων βασιλεὺς, ἔπεμψε τοὺς πολιορκήσοντας τὸ Βυζάντιον· (ἦσαν γὰρ ἔτι ἐκεῖ οἱ στρατηγοὶ τοῦ Νίγρου καταφυγόντες) ὅπερ ἑάλω ὕστερον λιμῷ, πᾶσά τε ἡ πόλις κατεσκάφη, καὶ θεάτρων τε καὶ λουτρῶν, παντός τε κόσμου καὶ τιμῆς ἀφαιρεθὲν τὸ Βυζάντιον, κώμη δουλεύειν Περινθίοις δῶρον ἐδόθη· ὥσπερ καὶ Ἀντιόχεια Λαοδικεῦσιν. Ὅτι ἀπείρητο τοῖς στρατιώταις γυναιξὶ μίγνυσθαι. Σεβῆρος δὲ τοῦτο ἐπέτρεψε, καὶ χρυσοῖς δακτυλίοις αὐτοὺς ἐφιλοτιμήσατο. Ὅτι Σεβῆρος ἧκεν εἰς τὸ Βυζάντιον. ὡς δὲ εἶδε τοὺς πολίτας μετὰ ἐλαιοκλάδων εὐφημοῦντας καὶ δεομένους σωτηρίας, ἀπολογίας προσφέροντας, ἐφείσατο μὲν τοῦ φονεύειν· Περινθίοις δὲ αὖθις ὑπέταξε, καὶ [2] παρέσχεν αὐτοῖς θεάτρου καὶ κυνηγίων στοὰς, καὶ ἱπποδρόμιον ᾠκοδόμησεν, ἰκρίοις καὶ ἐμβόλοις διακοσμήσας, ἀγοράσας οἰκήματα καὶ κήπους ἀπό τινων ἀδελφῶν ὀρφανῶν· καὶ τὰ παρακείμενα τῷ ἱπποδρομίῳ διακόψας δένδρα, εἰς τὸ νῦν ὁρώμενον διεκόσμησε σχῆμα, συζεύξας αὐτῷ καὶ λουτρὸν ἐν τῷ ἱερῷ τοῦ Διὸς, ὅπερ ἐκαλεῖτο Ζεύξιππον. ἀνενέωσε δὲ καὶ τὸ καλούμενον Στρατήγιον. ἀλλὰ τούτων μὲν ἁπάντων Σεβῆρος προκατήρξατο· ὁ δὲ τούτου υἱὸς Ἀντωνῖνος ἐπελεσιούργησεν. Ὅτι Σεβῆρος ἐλθὼν ἐπὶ τὴν Ἀλεξάνδρειαν, εὗρεν ἐπιγραφὴν ἐν [3] τῇ πόρτῃ, Τοῦ Κυρίου Νίγρου ἡ πόλις. καὶ ἀγανακτοῦντος αὐτοῦ πρὸς τοῦτο, ὑπήντησεν ὁ τῶν Ἀλεξανδρέων δῆμος, κράζων, Οἴδαμεν, εἰρήκαμεν τοῦ Κυρίου Νίγρου ἡ πόλις. σὺ γὰρ εἶ ὁ κύριος τοῦ Νίγρου. καὶ δεξάμενος τὸ ἕτοιμον τῆς ἀπολογίας, συνεχώρησεν αὐτοῖς.

Σεβῆρος, σοφιστὴς Ῥωμαῖος. [4] οὗτος εἰς Ἀραβίαν ἐκ τῆς Συρίας καὶ εἰς τὴν Παλαιστίνην ἦλθε, καὶ εἰς τὴν Αἴγυπτον τὴν ἄνω διὰ τοῦ Νείλου ἀνέπλευσε, καὶ εἶδε πᾶσαν αὐτὴν, πλὴν βραχέων. οὐ γὰρ ἠδυνήθη πρὸς τὰ τῆς Αἰθιοπίας μεθόρια διὰ λοιμώδη νόσον ἐσβαλεῖν. καὶ ἐπολυπραγμόνησε πάντα, καὶ τὰ πάνυ κεκρυμμένα. ἦν γὰρ οἷος μηδὲν μήτ' ἀνθρώπειον, μήτε θεῖον ἀδιερεύνητον ἐᾶν. κἀκ τούτου τά τε βιβλία πάντα, τὰ ἀπόρρητόν τι ἔχοντα, ὅσα γε καὶ εὑρεῖν ἠδυνήθη, ἐκ πάντων τῶν ἀδύτων ἀνεῖλε, καὶ τῷ τοῦ Ἀλεξάνδρου μνημείῳ συνέκλεισεν, ἵνα μηδεὶς ἔτι μήτε τὸ τούτου σῶμα ἴδῃ, μήτε τὰ ἐν ἐκείνοις γεγραμμένα ἀναλέξηται. † [5] Οὗτος τὸ γένος ἦν Λίβυς, ἐς πραγμάτων διοίκησιν γενναῖος ἅμα καὶ θυμοειδής· σκληρῷ τε καὶ τραχεῖ βίῳ ἐνειθισμένος, πόνους τε ἀνέχων ῥᾷστα, νοῆσαί τε ταχὺς, καὶ τὸ νοηθὲν ἐπιτελέσαι ὀξύς. οὗτος μετὰ τὸ εἰσελθεῖν εἰς τὰ βασίλεια, τῶν Ἀλβίνου φίλων ἐπὶ τῆς συγκλήτου κατηγό-

Σεβῆρος. Severus, Romanorum Imperator, exercitum miſit, qui Byzantium obſideret. Illic enim tunc erant Nigri duces, qui eo confugerant. Urbs igitur fame capta, totaque everſa eſt: eademque theatris, & balneis, omnique ornatu & honore privata, & in vici formam redacta, Perinthiis dono data eſt, ut iis ſerviret; ut & Antiochia Laodicenſibus. † Militibus interdictum fuerat, ne cum mulieribus rem haberent. Severus autem hoc illis permiſit, eoſque aureis annulis donavit. † Cum Severus Byzantium veniſſet, vidiſſetque cives ramos oleaginos manibus præferentes, fauſta quæque ſibi apprecari, ſalutemque & delicti veniam petere; a cædibus quidem abſtinuit, ſed Perinthiis eos iterum ſubjecit, theatrique & amphitheatri porticus eis præbuit, & Circum condidit, tabulatis & roſtris ornatum, emptis ædibus & hortis quorundam pupillorum fratrum. Arboribus quoque reciſis, quæ Circo imminebant, ea figura, quæ nunc cernitur, eum exornavit, adjuncto ei balneo prope templum Jovis, quod Zeuxippum dicitur. Renovavit etiam Prætorium. Sed hæc omnia Severus auſpicatus eſt; ejus vero filius Antoninus perfecit. † Severus Alexandriam profectus, inſcriptonem hanc in porta invenit *Domini Nigri hæc urbs*. Illo autem ideo indignante, populus Alexandrinus obviam ei proceſſit, vociferans, *Scimus nos dixiſſe, hanc urbem eſſe Domini Nigri. Tu enim es Dominus Nigri.* Imperator igitur, cum promptam hanc apologiam probaſſet, veniam illis dedit.

Σεβῆρος. Severus, Sophiſta Romanus. Hic in Arabiam ex Syria, & in Palæſtinam venit, & in ſuperiorem Ægyptum adverſo Nilo adſcendit, eamque totam, paucis locis exceptis, perluſtravit. Nam in Æthiopiæ confinia propter peſtilentiam ingredi non potuit, & omnia, vel occultiſſima perſcrutatus eſt. Is enim erat, qui nec humanarum nec divinarum rerum quidquam imperveſtigatum relinquere poſſet. Et ideo libros omnes, qui aliquid arcani habebant, & quoſcunque reperire potuit, ex omnibus adytis ſuſtulit, & in Alexandri monumento concluſit, ut nec illius corpus quiſquam amplius cerneret, nec res in illis ſcriptas legeret. Hic [Severus] erat Afer natione, in rebus gerendis ſtrenuus ſimul & iracundus, duro & aſpero victui aſſuetus, laborum patientiſſimus, promptuſque in excogitandis, & acer in perficiendis rebus. Hic Palatium ingreſſus, Albini amicos apud Se-

1 Ὅτι Σεβῆρος, ὁ τῶν Ῥωμ. ——— ὥσπερ καὶ Ἀντιόχεια Λαοδικεῦσι] Hæc ſunt verba Herodiani in *Severo*, pag. 523. ut Pearſonius ad oram libri notaverat.

2 Παρέσχεν αὐτοῖς θεάτρου καὶ κυνηγ.] Cum toto hoc loco confer omnino Heſychium Illuſtrium in libello *de Orig. CPolitanis*, ſub finem; itemque Codinū in opere ejuſdem argumenti, Num. XI. & XII.

3 Ἐν τῇ πόρτῃ] Sic recte MSS. Pariſ. At priores Editt. ἐν τῇ πρώτῃ: quod Wolfius & Portus bona quidem fide, ſed nullo ſenſu verterant, *in prima*.

4 Οὗτος εἰς Ἀραβίαν ἐκ τῆς Συρ. ——— γεγραμμένα ἀναλέξηται] Quis non exſtimet hæc de Severo Sophiſta, cujus proxime ante mentionem fecit Suidas, intelligenda eſſe? At aliter ſe res habet. Pertinent enim iſta ad Severum Imperatorem, ſuntque ipſiſſima verba Dionis in *Severo*, pag. 411. At non ſolum iſta, verum & ea, quæ ſequuntur, de eodem Severo Imperatore intelligenda ſunt ut monuit etiam Salmaſius in notis ad Æl. Spart. pag. 139. Edit Pariſ. Sed non ideo cum laudato viro ſummo ſtupendæ negligentiæ Suidam accuſaverim: cum jurare auſim, verba iſta, Σεβῆρος σοφιστὴς Ῥωμαῖος, initio ab hoc loco abfuiſſe, & reliqua, quæ ſequuntur, cum præcedenti articulo, in quo de Severo Imperatore agitur, cohæſiſſe. Cum enim verba iſta initio ad marginem ſcripta vel ſaltem alibi poſita eſſent, poſtea inconſultus aliquis librarius ea in locum hunc, prorſus alienum, intruſit, & ſic ea, quæ ante continua ſerie legebantur, & recte cohærebant, violenter divulſit qua ratione & pluribus aliis in locis Lexici hujus peccatum eſſe video

5 Οὗτος τὸ γένος ἦν Λίβ. ——— τὸ στρατηγικὸν τῆς ἀνδρείας Hæc ſunt verba Joannis Antiocheni de Severo Imperatore, quæ leguntur in Collectaneis a Valeſio editis, pag. 825.

ει, γράμματά τε αὐτῶν, καὶ ἐλέγχους προσέφερεν, ἄλλας τε ἄλλοις ἐπιφέρων αἰτίας, πάντας τοὺς ἐξέχοντας τότε τῆς συγκλήτου, καὶ τοὺς κατὰ ἔθνη πλούτῳ τε καὶ γένει ὑπερέχοντας, διέφθειρε. πάνυ δὲ ἦν αὐτῷ καὶ τὸ φιλόχρυσον, ὡς ὑπερβάλλειν τὰ πλεονεκτήματα τῆς ἀνδρείας. † [1]Ὁ Σεβῆρος οὗτος ἐπὶ Ἀνθεμίου βασιλέως ἦν. ἐν Ἀλεξανδρείᾳ δὲ ἀφικόμενος, τὸν ἀπράγμονα βίον ἔζησε φιλοσοφῶν, ἐν βιβλίοις ἀφθόνοις οὖσιν αὐτῷ καὶ παντοδαποῖς. εἴπερ δέ τις ἕτερος ἱκανὸς ἦν ἐπαγαγέσθαι τοὺς ἐπὶ παιδείᾳ διενέγκαντας ὡς αὐτὸν ἰέναι πολλάκις· ἐπιεικής τε. λείπει.

natum accuſavit, eorumque literas, quibus convincerentur, protulit, & aliis alia crimina objiciens, omnes, qui tunc erant Senatus principes, & ſingularum provinciarum nobiliſſimos & ditiſſimos quoſque perdidit. Erat etiam auri cupidiſſimus, ut fortitudinem avaritia ſuperaret. † Hic Severus ſub Anthemio Imperatore fuit. Alexandriam vero profectus, in otio philoſophico vitam tranſegit, variorum librorum copia abunde inſtructus. Viros autem doctrina præſtantes, ſi quiſquam alius, ad ſe facile pertrahere notat. Cætera deſiderantur. *Port.*

Σεβίσαι. ἀντὶ τοῦ εὐλογῆσαι. Ἀριστοφάνης· Εὐπίστως δὲ τοὺς ἐμοὺς δαίμονας ἔχει σεβίσαι. καὶ ἑξῆς, ὡς [2]πρὸ ὀλίγων ἐγράφη.

Σεβίσαι. Colere. Laudibus celebrare. Ariſtophanes: *Fideliter Deos colere & celebrare conſuevi*, &c. ut paulo ante ſcriptum eſt.

Σέδας. καθέδρας.

Σέδας. Sedes. Cathedras.

Σεδεκίας. ὅτι Σεδεκίας ἀσεβῶν κατὰ πάντα, καὶ τοῦ βασιλέως ἀπέστη Ναβουχοδονόσορ, τὸν ὅρκον παραβὰς, ὃν ὤμοσε κατὰ τοῦ Θεοῦ, μὴ ἀποστήσεσθαι. ὁ δὲ ἐπελθὼν ἐπολιόρκει τὴν Ἱερουσαλὴμ ἔτη β΄.

Σεδεκίας. Sedecias. Hic cum impietati prorſus addictus eſſet, a Rege Nabuchodonoſore quoque defecit, violato jurejurando, quod per Deum jurarat, ſe ab eo non defecturum. Ille vero exercitu adducto Hieroſolyma per biennium obſedit.

Σὲ δὲ ταῦτ᾽ ἀρέσκει· μ᾽ [3]ἀλλὰ πλεῖν ἢ μαίνομαι. πλέον ἢ μαίνομαι ἐπ᾽ αὐτῷ. τουτέστιν, ὑπερβαλλόντως μοι ἀρέσκει. Ἀττικῶς. μᾶλλον ἢ μαίνομαι.

Σὲ δὲ ταῦτ᾽ ἀρ. *Tibi vero hæc placent. At ego plus inſanio* [*amore hujus.*] Id eſt, ſupra modum hoc mihi placet. Πλεῖν hic Attice dictum eſt pro πλέον, vel μᾶλλον.

Σέδετον.[4] τὸ φωσσάτον.

Σέδετον. Locus foſſa cinctus. Stativa. Sedes.

Σεκοῦνδος,[5] Ἀθηναῖος, σοφιστής· ὃς [6]ἐχρημάτισε Πλίνιος. ἐπωνομάζετο δὲ [7]Ἐπίουρος, ὡς υἱὸς τέκτονος. καθηγητὴς δὲ γέγονε καὶ [8]Ἡροδότου τοῦ σοφιστοῦ. ἔγραψε Μελέτας ῥητορικάς.

Σεκοῦνδος. Secundus, Athenienſis, Sophiſta, qui vocatus eſt Plinius. Idem cognominatus eſt Epiurus, ut fabri filius: fuitque Herodis Sophiſtæ magiſter. Scripſit Declamationes oratorias.

Σέκρετον.

Σέκρετον. [Latinum vocabulum.] Secretum.

Σελαγεῖται. ἀντὶ τοῦ λάμπεται, ἐκπυροῦται. παρὰ τὸ σέλας.

Σελαγεῖται. Lucet. Splendet. Ardet. A nomine σέλας, fulgor, ſplendor.

Σελαγίζω. λάμπω.

Σελαγίζω. Luceo. Fulgeo. Splendeo.

Σέλας. πῦρ. ἢ τὸν κεραυνὸν, καὶ τὸ φῶς τῆς σελήνης. ἢ λαμπηδών. καὶ σελαγεῖται, λάμπεται.

Σέλας. Ignis. Vel fulmen, & Lunæ lumen. Vel, ſplendor. Et σελαγεῖται, ſplendet.

Σελάχιον. ἰχθύδιον, ὃ μόνον ζωοτοκεῖ, πρῶτον ὠοτοκῆσαν ἐν αὐτῷ, πλὴν βατράχου. εἴρηται δὲ ἀπὸ τοῦ ἔσω [9]λεχάζειν. Καλλίστρατος δὲ, τὸ τοῦ ἰχθύος κόπαιον. λέγεται δὲ καὶ [10]μαλάχιον.

Σελάχιον. Selachium. Piſciculus, qui ſolus vivum fœtum parit, poſtquam prius ova in utero peperit: excepta rana. Dictum vero eſt σελάχιον, ab ἔσω, intus, & λεχάζειν, cubare. Calliſtratus vero ſic vocat fruſtum piſcis. Dicitur etiam μαλάχιον.

1 Ὁ Σεβῆρος οὗτος ἐπὶ Ἀνθ.] Hunc transferenda erant verba illa, quæ in principio hujus articuli leguntur, Σεβῆρος, σοφιστὴς Ῥωμαῖος. Quæ enim Suidas hic tradit, ex Damaſcio excerpta ſunt, nec accipienda ſunt de Severo Imperatore, ſed Severo Sophiſta quodam Romano, cujus & Photius in Excerptis ex Damaſcio pag. 1040. & 1049. mentionem facit. Salmaſius tamen ad Æl. Spart. pag. 139. Ed. Pariſ. & hæc æque ac præcedentia ad Severum Imperatorem pertinere putat; & ſimul ſtuporis Noſtrum arguit, qui non ſolum Severo Sophiſtæ iſta tribuat, ſed etiam Sophiſtam illum ſub Anthemio vixiſſe ſcribat. At ſi inſpexiſſet Photium locis laudatis, vidiſſet utique mentionem ibi fieri Severi cujuſdam Romani, qui tempore Anthemii vixit: quem quidem eſſe ipſum illum Severum, de quo Suidas hic loquitur, nemini dubium forte puto, qui Photium ipſum conſulere voluerit.

2 Ὡς πρὸ ὀλίγων ἐγρ.] Nimirum v. Σεβαστός.

3 Μ᾽ ἀλλὰ πλεῖν ἢ μ. πλ. ἢ μαίνομαι] Sic locum hunc refinxi auctoritate MS. Pariſ. A. Ante enim minus recte legebatur, μᾶλλον πλὴν ἢ μαίνομαι. πλέον ἢ μάχομαι, &c. Cæterum vox μοι ante ἀλλὰ videtur eſſe ſupervacanea: qua expuncta ſenſus erit planior.

4 Σέδετον] Vide Dufreſnium in Gloſſario. Pro φωσσάτον autem rectius ſcribes φωσσάτον, per duplex σσ.

5 Σεκοῦνδος, Ἀθην.] De hoc vide Philoſtratum lib. 1. *de Vit. Sophiſt.* in fine.

6 Ὃς ἐχρημάτισε Πλίνιος] Hæc a ſciolo quodam adjecta eſſe puto: qui cum legiſſet Plinium juniorem appellatum fuiſſe *Secundum*, de eo Suidam hic loqui exiſtimabat. Sed Plinium Secundum diverſum eſſe a Secundo Sophiſta Athenienſi, de quo Suidas hic agit, adeo manifeſtum eſt, ut imperitiam ſuam palam prodat, qui eos confundat.

7 Ἐπίουρος] Philoſtratus loco laudato eum Ἐπίθουρον dictum fuiſſe ſcribit. Sed lectio Suidæ magis placet. Ἐπίουρος enim, vel ἐπίκουρος dicebatur clavus ligneus, teſtibus Grammaticis. Heſychius: Ἐπίουροι. ἐπίσκοποι, καὶ ἧλοι ξύλινοι. Idem alibi: Ἐπίκουροι. ἧλοι ξύλινοι. Gloſſæ: Ἐπίουρος, *compages, ſudis.* Hinc detorta eſt vox *epigrus*, quæ apud Gloſſographos Latinos legitur. Iſidorus in Gloſſis: *Epigri, clavi lignei ſunt, quibus lignum ligno adhæret.* Eadem ex Iſidoro repetit Papias. Confer Mauſſacum in Diſſertat. Crit. ſub finem. Hinc autem apparet, quare Secundus, filius fabri lignarii, Ἐπίουρος dictus ſit.

8 Ἡροδότου] Meurſius *Lect. Att.* lib. VI. cap. IX. recte monuit, legendum eſſe Ἡρώδου. Intelligitur hic enim Herodes Atticus, cujus præceptor Secundus Sophiſta fuit. Philoſtratus in *Secundo*, pag. 543. Ἡρώδης δὲ ἐκπαιδεύσας, ἐς διαφορὰν αὐτῷ ἀφίκετο παιδεύοντι ἤδη. Idem in Vita Herodis Attici, pag. 562. Καὶ ὡς Σεκούνδῳ τῷ Ἀθηναίῳ ἐφοίτησεν, εἰρημένον μοι ἤδη.

9 Λεχάζειν] MS. A. λοχάζειν. At MS. B. λεχώζειν.

10 Μαλάχιον] Reineſius *Var. Lect.* pag. 475. obſervante etiam Pearſonio, reponendum putat, σμαλάχιον. Sed fallitur vir ſummus. Vide Noſtrum ſupra v. Μαλάχια.

Σελάχια. ὅσα λεπίδα οὐκ ἔχει· οἷον σμύραινα, βοῦς, νάρκη, τρυγών· οὐδὲ ᾠοτοκεῖ.

Σέλλαι. σελλάρια. [1] σωτήρια. ἕδραι.

Σέλγη, [2] πόλις Πισιδίας, ὅπου κακῶς ἔζων οἱ ἄνθρωποι, καὶ ἀλλήλοις ἐκοινώνουν. ὅθεν καὶ τὸ ἀσέλγεια κατ᾽ ἐπίτασιν, καὶ τὸ ἀσελγαίνειν.

Σελεύκεια. ὄνομα πόλεως. καὶ Σελευκεῖς, οἱ Ἴσαυροι. Σελευκία δὲ, ὄνομα κύριον.

Σελευκίς. [3] ὄρνεον ἐστὶν εὔπεπτον, καὶ ἀκόρεστον, καὶ πανοῦργον, καὶ τὰς ἀκρίδας χανδὸν λαφύσσον.

Σέλευκος [4] Ἀλεξανδρεύς, γραμματικός, ὃς ἐπεκλήθη Ὁμηρικός. ἐσοφίστευσε δὲ ἐν Ῥώμῃ. ἔγραψεν ἐξηγητικὰ εἰς [5] πάντα, ὡς εἰπεῖν, ποιητήν. Περὶ τῆς ἐν συνωνύμοις διαφορᾶς. Περὶ τῶν ψευδῶς πεπιστευμένων. Περὶ τῶν παρ᾽ Ἀλεξανδρεῦσι παροιμιῶν. Περὶ θεῶν βιβλία ρ΄. καὶ [6] ἄλλα σύμμικτα.

Σέλευκος Ἐμεσηνός, γραμματικός. [7] Ἁσπαλιευτικὰ δι᾽ ἐπῶν, βιβλία δ΄. Εἰς τοὺς λυρικοὺς ὑπόμνημα. [8] Παρθικά, δύο. καὶ ἄλλον δέ τινα Σέλευκον εὗρον ἐμπαράθετον, βιβλία δὲ οὐκ εἶχε.

Σέλευκος [9] οὗτος ἐπεκέκλητο [10] Νικάνωρ· ὃς τῷ ἰδίῳ υἱῷ Ἀντιόχῳ δίδωσι τὴν ἑαυτοῦ γυναῖκα Στρατονίκην, ἐρασθέντι αὐτῆς, καὶ διὰ τὸν πρὸς αὐτὴν ἔρωτα ἀσθενήσαντι, καὶ ἐπικρυπτομένῳ, γνωσθέντι δὲ ὑπὸ Ἐρασιστράτου τοῦ ἰατροῦ. Φασὶ δὲ Σέλευκον συνόντα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, ταῦρον θυομένῳ ἀποδράντα, μόνον Σέλευκον περιγενέσθαι αὐτοῦ, τῶν κεράτων κρατήσαντα. καὶ διὰ τοῦτο τῷ ἀγάλματι αὐτοῦ ἐν τῇ κεφαλῇ προστιθέασι κέρατα.

Σελλήεις. ποταμός.

Σελῆναι. [11] πέμματα πλατέα κυκλοτερῆ. καὶ ἐν Ἐρεχθεῖ τὰς σελήνας πελάνους εἴρηκεν Εὐριπίδης.

Καί μοι πολὺν γὰρ πέλανον ἐκπέμπει δόμων.
Φράσον σελήνας τάσδε [12] πυρίμου χλόης.

Ἐπὶ δὲ ἓξ σελήναις βοῦν ἕβδομον ἔπεττον, κέρατα ἔχοντα, κατὰ μίμησιν τῆς [13] πρωτοφυοῦς σελήνης.

Σελήνη. τὸ ἄστρον. [14] Φασὶ τὴν σελήνην μὴ μόνον ὑγρὰν εἶναι, ἀλλὰ καὶ θερμαίνειν ὁμοίως τῷ ἡλίῳ τὰ σώματα. [15] Δαβίδ· Ἡμέρας ὁ ἥλιος οὐ συγκαύσει

Σελάχια. Selachia. Sic appellantur piſces, qui ſquamis carent, nec ova pariunt: ut muræna, bos, torpedo, paſtinaca.

Σέλλαι. Sellæ. Latrinæ. Sedes.

Σέλγη. Selge, urbs Piſidiæ: ubi homines flagitioſam vitam agebant, & in promiſcuos concubitus ruebant: unde etiam dicta eſt ἀσέλγεια, addito α intenſivo; & ἀσελγαίνειν.

Σελεύκεια. Seleucia. Nomen urbis. Et Seleucenſes, ejus urbis cives. At Σελευκία, [per ι in ſyllaba penultima,] eſt nomen proprium [mulieris.]

Σελευκίς. Seleucis. Avis, cibos facile concoquens, & inſatiabilis, & aſtuta, & locuſtas avide devorans.

Σέλευκος Ἀλεξ. Seleucus Alexandrinus, Grammaticus, cognominatus Homericus: qui Romæ eloquentiam docuit. Scripſit commentarios in totum pene Poetam. De Synonymorum differentia. De iis, quæ falſo creduntur. De proverbiis apud Alexandrinos uſitatis. De Diis libros c. Item, alia miſcellanea.

Σέλευκος Ἐμεσ. Seleucus Emeſenus, Grammaticus. [Scripſit] Piſcatoria verſibus, lib. II. Commentarium in Lyricos. Parthicorum libros II. Inveni & alium Seleucum, reliquis additum, ſed qui nullos ſcripſerat libros.

Σέλευκος. Seleucus. Hic cognominatus eſt Nicanor: qui uxorem ſuam Stratonicen Antiocho filio ſuo dedit, amore ejus capto, & ideo ægrotanti, ſed morbum diſſimulanti; quem Eraſiſtratus medicus detexit. Fertur autem Seleucus taurum, quem Alexander Macedo immolaturus erat, aufugientem ſolus retinuiſſe prehenſis cornibus. Quæ ratio eſt, quare ſtatuæ ejus capiti cornua addant.

Σελλήεις. Selleis. Fluvius.

Σελῆναι. Lunæ. Id eſt, placentæ latæ & rotundæ. Et Euripides in *Erechtheo* placentas illas vocavit πελάνους. *Et mihi magnam pelanorum copiam domo mittit. Voca [placentas has] lunas, ex tritico confectas.* Poſt ſex vero lunas, i. e. placentas ita dictas, bovem ſeptimum pinſebant, cornua habentem, ad imitationem lunæ, cum primum apparere incipit.

Σελήνη. Luna. Ajunt Lunam non ſolum humidam eſſe, ſed etiam calefacere corpora, æque ac ipſum Solem. David: *Interdiu Sol*

1 Σωτήρια] Vide Nos ſupra v. Ἀφ᾽ ἱδρῶν, ubi locum hunc, quem Portus non intellexerat, abunde expoſuimus.

2 Σέλγη, πόλις Πισιδίας, ὅπου κακ.] Confer Noſtrum ſupra v. Ἀσέλγεια, ubi eadem leguntur.

3 Σελευκίς] Hujus aviculæ ex Theodoro Tharſenſi meminit Photius. Cod. ccxxIII. pag. 681.

4 Σέλευκος Ἀλεξ.] Vide Voſſium in opere *de Hiſt. Gr.*

5 Εἰς πάντα ποιητήν] Wolfius, Portus, & Voſſius, locum hunc ita interpretati ſunt, ac ſi legeretur, εἰς πάντας τοὺς ποιητάς, i. e. *in omnes poetas.* Sed ego lectionem vulgatam retinendam cenſeo, dummodo ante ποιητὴν addatur articulus τὸν, & ſcribatur, εἰς πάντα τὸν ποιητήν, i. e. *in totum Poetam*: Homerum ſcilicet. Is enim κατ᾽ ἐξοχὴν Poeta dici ſolet. Πᾶς vero interdum poni pro ὅλος, nemini non notum eſt.

6 Καὶ ἄλλα σύμμικτα] Laudatur Seleucus ἐν Συμμίκτοις a Scholiaſta Apoll. Rhod. ad lib. II. v. 1055. Cæterum, Seleuco huic tribuendas etiam puto *Gloſſas*, quas laudat Athenæus pluribus in locis; & Euſtathius ad *Odyſſ.* pag. 1963. Eundem quoque eſſe puto, quem Suidas v. Ὀργεῶνες laudat ἐν τῷ ὑπομνήματι τῶν Σόλωνος Ἀξόνων; & cujus librum ſecundum περὶ Βίων memorat Harpocratio v. Ὁμηρίδαι: item quem ἐν πρώτῳ περὶ Φιλοσοφίας citat Laertius in *Platone*, ſub finem. Voſſius porro eidem tribuit opus περὶ Ἑλληνισμοῦ, quod laudatur ab Athenæo lib. IX. pag. 367. & 398.

7 Ἁσπαλιευτικά] At Athenæus opus hoc Seleuco Tarſenſi tribuit.

8 Παρθικά] In MS. B. legitur, Παρθενικά.

9 Σέλευκος. οὗτος ἐπεκέκλητο Νικ.] Hæc, & quæ ſequuntur, leguntur etiam apud Codinum *de Orig. CPol.* pag. 16. Confer etiam Noſtrum ſupra v. Ἐρασίστρατος, ubi eadem hiſtoria refertur.

10 Νικάνωρ] Ab aliis Νικάτωρ dicitur.

11 Σελῆναι. πέμματα κτλ.] Vide Noſtrum ſupra v. Ἀνάστατοι, ubi eadem leguntur.

12 Πυρίμου χλόης] Hæc corrupta ſunt, quæ quidem ob fragmenti brevitatem haud facile emendari & illuſtrari poſſunt. Pro πυρίμου autem forte ſcribendum eſt πυρίνου: a πυρὸς, frumentum.

13 Πρωτοφυοῦς] Scribe, πρωτοφαοῦς.

14 Φασὶ τὴν σελ. ——— τὰ σώματα] Hæc ſunt verba Theodoreti ad Pſalm. cxx. v. 6.

15 Δαβίδ] Pſalmo modo dicto.

σε, οὐδὲ ἡ σελήνη τὴν νύκτα. καὶ σεληναία. καὶ σεληναῖος, ὁ τῆς σελήνης.

¹ Φωστῆρας ἰδεῖν, πραγμάτων δηλοῖ φάος.

non aduret te, neque luna noctu. Et σεληναία, [poetice pro σελήνη.] Et σεληναῖος, lunaris. *Luminaria videre, lucem rerum ſignificat.*

Σεληνίτης.

Σεληνίτης. Selenites. [Lapis.]

Σελίδιον. ² τὸ ἀπὸ τοῦ ἄνωθεν ἀναγινωσκόμενον ἐπὶ τὰ κάτω.

Σελίδιον. Pagella: quæ ſcilicet a parte ſuperiore ad inferiorem legitur.

Σελλίζειν. ³ τὸ ἀλαζονεύεσθαι. ἀπὸ Σέλλου τινὸς πένητος, καὶ προσποιουμένου τὸ πλουτεῖν.

Σελλίζειν. Selli more gloriari. Sellus enim pauper erat, qui ſe divitem eſſe falſo jactabat.

Σέλινον. εἶδος λαχάνου.

Σέλινον. Apium. Oleris genus.

Σελίνου ⁵ δεῖται ὁ νοσῶν. ⁶ ἐπὶ τῶν ἐν ἐσχάταις νόσοις ὄντων, ἐπειδὴ τοὺς τάφους, ὅπου ἔμελλον τοὺς νεκροὺς θεῖναι, σελίνοις ἐστρώννυον.

Σελίνου δεῖται ὁ νοσ. *Ægrotus indiget apio.* Dicitur de iis, qui animam agunt. Sepulcra enim, in quibus defunctos conditurі erant, apio ſpargebant.

Σελίνου ⁷ στέφανος. πένθιμος. τὸ γὰρ σέλινον πένθεσι προσήκει· ὡς ἔφη καὶ Δοῦρις ἐν τῷ περὶ ἀγώνων.

Σελίνου στέφ. Apii corona. Id eſt, lugubris. Apium enim luctui convenit: ut & Duris in libro de certaminibus tradit.

Σέλλιος, ⁸ ἢ Σίλλιος, ὁ καὶ Ὅμηρος, γραμματικὸς ⁹ περὶ Μενάνδρου.

Σέλλιος. Sellius, ſive Sillius, qui & Homerus [dictus eſt,] Grammaticus ante Menandrum.

Σελίς. ¹⁰ τὸ μέσον τῶν δύο καταβατῶν ἄγραφον τυγχάνον. καὶ τὸ βιβλίον. ἐν Ἐπιγράμματι·

Καὶ ¹¹ σελίδων κανόνισμα φιλόρθιον.

Σελίς. Spatium ſcriptura vacuum inter duas lineas deorſum verſus ductas. Item, liber, [vel potius, pagina.] In Epigrammate: *Et regulam paginarum directricem.*

Σελμῶν. σανίδων. καὶ ὄνομα τόπου. σημαίνει δὲ καὶ ¹² ἀνταπόδοσιν.

Σελμῶν. Tabulatorum. Tranſtrorum. Item nomen loci. Significat etiam [Hebraice] retributionem.

Σελλοί. ¹³ ἐθνικόν.

Σελλοί. Selli. Nomen gentis.

Σεμεΐ. ὄνομα κύριον.

Σεμεΐ. Semei. Nomen proprium.

Σεμίδαλις, σεμιδάλεως. καὶ σεμιδαλίτης ἄρτος, ὁ καθαρός. ¹⁴ Τὰ τρία μέτρα τῆς σεμιδάλεως, ἐξ ὧν ὁ ἐγκρυφίας ἐγίνετο, τὴν τριήμερον τοῦ ἄρτου τῆς ζωῆς ταφὴν ὑπαινίττεται.

Σεμίδαλις. Siligo. Simila. Similago. Et σεμιδαλίτης ἄρτος, panis ſiligineus, i.e. purus. Tres menſuræ ſimilaginis, unde fiebat panis ſubcineritius, triduanam panis vitæ ſepulturam adumbrant.

Σεμιράμεια τείχη. Ἱεριχοῦντα δέ.

Σεμιράμεια τείχη. Semiramia mœnia. [Scribitur per ει in ſyllaba penultima.] At Ἱεριχοῦντα, Hierichuntia, [per ι ſimplex.]

Σεμίραμις. ¹⁵ αὕτη βασιλεύσασα τῶν Ἀσσυρίων πρώτη, καὶ καταδυναστεύσασα, καὶ πολλοὺς ἀνθρώπους ἀνελοῦσα, πρῶτον μὲν ἐξεῦρε τὰ μέταλλα, τοῖς δὲ αἰχμαλώτοις τὴν τούτων ἐργασίαν ἐπέτρεψε. περιέθηκε δὲ καὶ τείχη πρώτη τῇ Νινευΐ, μετονομάσασα ταύτην Βαβυλῶνα. καὶ τοῖς ποταμοῖς περιέβαλε χώματα, καὶ τὰς Πυραμίδας ἀνήγειρε, καὶ περὶ τὸν ὠκεανὸν διαπλεύσασα, τοὺς περὶ αὐτὸν οἰκοῦντας ἱστόρησεν. εἰσὶ δὲ οἱ Αἰθίοπες. Φησὶ δὲ καὶ Ὅμηρος·

Ζεὺς γὰρ ἐς ὠκεανὸν, μετ' ἀμύμονας Αἰθιοπῆας,
Χθιζὸς ἔβη. ———

Καὶ τοὺς μὲν εἶπεν ἄτριχας εἶναι ὑπὸ τοῦ τοῦ ἡλίου θέρμης κεκαυμένους, ἀλογώδη βοσκομένους δίαιταν· τοὺς

Σεμίραμις. Semiramis. Hæc Aſſyriorum prima Regina & Domina, multis mortalibus interfectis, metalla primum invenit, in quorum fodinis captivos opus facere juſſit. Prima quoque Niniven mœnibus cinxit, eamque mutato nomine Babylonem vocavit: flumina item aggeribus coercuit & Pyramides erexit, enavigatoque Oceano, accolas ejus Æthiopes luſtravit. Nam & Homerus ait: *Jupiter enim ad Oceanum, ad Æthiopes probos, heri profectus eſt.* Ac quoſdam eorum dixit pilis carere, a Sole adustos, pecudumque more viventes: oræ au-

1 Φωστῆρας ἰδ.] Eſt verſus ὀνειροκριτικὸς, qui legitur apud Aſtrampſychum & Nicephorum. Pro ἰδεῖν autem metri gratia ſcribendum eſt εἰδεῖν: quod tamen minus uſitatum eſt.

2 Σελίδιον] Confer Noſtrum paulo poſt v. Σελίς.

3 Σελλίζειν. τὸ ἀλαζ.] Vide omnino Suidam ſupra v. Θεογένης, & infra v. Σισυμβρίου.

4 Πένητος, καὶ προσποιουμένου τὸ πλ.] Hoc genus homines Græci eleganter πτωχαλαζόνας vocant. Confer Scholiaſtam Ariſtophanis ad *Veſp.* pag. 451.

5 Σελίνου δεῖται ὁ νοσ.] Confer Noſtrum infra v. Τοῦ σελίνου δεῖ.

6 Ἐπὶ τῶν ἐν ἐσχάταις ν. ὄντων, ἐπειδὴ τ.] Locum hunc ex MSS. emendavi, qui in prioribus Editt. minus recte ſic legitur, ἐπὶ τῶν ἐν ἐσχάταις νοσοῖς ὄντων τοὺς τάφους, &c.

7 Σελίνου στέφανος. πένθιμος] Artemidorus lib. I. cap. LXXIX. Σέλινον δὲ στέφανος ἐπιταφίῳ ἀγῶνι ἐπιτήδειός ἐστι.

8 Σέλλιος] Vide Noſtrum ſupra Ὅμηρος Σέλλιος.

9 Περὶ Μενάνδρου] Puto Suidam initio ſcripſiſſe, πατρὸς Μενάνδρου, i.e. patrem habens Menandrum: quo genere loquendi Grammatici ſæpe uti conſueverunt. Vox πατρὸς autem in MSS. non raro per compendium ſic exarari ſolet, προς, addita lineola tranſverſa: quod a librariis aliud agentibus facile in περὶ mutari potuit.

10 Σέλις. τὸ μέσ.] Vide Salmaſium ad Flav. Vopiſcum, pag. 447, 448. Edit. Pariſ.

11 Καὶ σελίδων καν.] Verba hæc decerpta ſunt ex Epigrammate Phaniæ, quod ex codice MS. integrum cum Lectore communicavimus ſupra v. Λεάντειραν.

12 Ἀνταπόδοσιν] Reſpexit ad vocem Hebraicam שלם, quam LXX. Interpretes pluribus in locis vertunt ἀποδιδόναι, i.e. *reddere*, vel *rependere*.

13 Σελλοί] Vide Schol. Homeri ad Il. Π. v. 234. & Holſtenium ad Stephanum, v. Ἑλλοπία.

14 Τὰ τρία μέτρα τῆς σεμιδ.] Hæc referenda ſunt ad locum illum *Geneſ.* XVIII. 6. Φύρασον τρία μέτρα σεμιδάλεως, καὶ ποίησον ἐγκρυφίας.

15 Σεμίραμις. αὕτη βασ.] Hæc puto deſcripta eſſe ex Joanne Antiocheno, non eo, qui Malelas cognominatur, & hodie adhuc exſtat, ſed altero ejuſdem nominis, ex quo Excerpta tantum hodie ſuperſunt in Collectaneis a Valeſio editis.

δὲ τὴν παραλίαν οἰκοῦντας ἀγνοεῖν καὶ τὰς ἐν γῇ φυομένας βοτάνας, τῇ δὲ τῶν ἰχθύων ἀρκεῖσθαι βρώσει. ἐκεῖ δὲ εἶναι καὶ τὸν παράδεισον. πάντα γὰρ ὅσα εὐώδη καὶ ἀναγκαῖα, ἐν τοῖς τόποις ἐκείνοις εὑρίσκεται. τὴν δὲ Σεμίραμιν καὶ Ῥέαν ἐκάλουν. Σεμίραμις λέγει Δερκεταίῳ· Ἄπιθι, καὶ διευτρέπιζε εἰς τρίτον ἔτος στρατείαν, ἀρξάμενος ἔκ τε Ἑλλησπόντου καὶ Λιβύης, ἄχρι Βάκτρων, πεζῶν μὲν μυριάδας τ', ἱππικοῦ δὲ ἑκατόν· δρεπανηφόρων δὲ ἁρμάτων μυριάδας δέκα· ἀνδρῶν ἐπὶ καμήλων μαχομένων τὸ ἴσον πλῆθος· ἄλλων δὲ καμήλων, ἐς ὅ, τι ἂν ἐγὼ δέωμαι, μυριάδας εἴκοσι· βύρσας δὲ βοῶν ὠμοδεψητῶν εἰς λ' μυριάδας. ναῦς δὲ ἐν Βάκτροις ναυπηγεῖσθαι τρισχιλίας μακρὰς χαλκεμβόλους, πληρώματα δὲ αὐταῖς ὁμοίως ἔκ τε Συρίας καὶ Φοινίκης καὶ Αἰγύπτου καὶ Κύπρου καὶ Κιλικίας, τῶν τε παραλίων μερῶν, ἄχρι Ἑλλησπόντου. ἡ αὐτὴ ὁρμῶσα ἐπ' Ἰνδοὺς, εἴδωλα ἐλεφάντινα ξύλινα ξυμπήγνυται εἰς μυριάδας κ'. ἃ ἔμελλον οἴσειν αἱ κάμηλοι, τὰ ἐντὸς πεπλησμένα φρυγάνου καὶ φορυτοῦ, ὡς εὐβάστακτα εἴη· τὰ δ' ἔξωθεν αὐτῶν περιεβύρσωσεν. ἐπιβάτας δὲ ἐφ' ἑκάστην κάμηλον δύο ἔταξεν Αἰθίοπας τοξεύειν καὶ ἀκοντίζειν. καὶ ἐπέρασε τὸν Ἰνδὸν ποταμὸν, ὅστις ἐστὶν ὑπὲρ ἑκατὸν σταδίους τὸ πλάτος, καὶ ζεύγνυσι γέφυραν, ᾗ στενότατος εἶναι ἐδόκει. ἦν δὲ μῆκος μὲν ξ' σταδίων· πλάτος δὲ, τριακοσίων. τὰ δὲ εἴδωλα ἦσαν εἴκοσι μυριάδες. ἡ αὐτὴ ἐκπεύσασα τὸν ποταμὸν Ἰνδὸν, καὶ [1] τῆς ἐντὸς κοίτης κτίσασα παλάτια ἐπὶ ὑψωμάτων ἐγχορήγων ἠσφαλτωμένων, αὖθις ἀπέλυσεν εἰς τὴν κοίτην.

Σεμνά. τὰ τίμια, καὶ σεβάσμια. Κατά τι πυθόχρηστον ἧκε Θεῶν κομίζων ἱερὰ εἰς τὴν μετοίκησιν σεμνὰ ἐφόδια. Αἰλιανὸς ἐν τῷ περὶ προνοίας.

Σεμναὶ [2] Θεαί. οὕτω καλοῦσιν οἱ Ἀθηναῖοι τὰς Ἐριννύας.

Σεμνεῖον. τὸ μοναστήριον, ἐν [3] ᾧ μονούμενοι οἱ Ἀσκηταὶ τὰ τοῦ σεμνοῦ βίου μυστήρια [4] τελοῦσι, μηδεὶς μηδὲν κομίζοντες, μὴ ποτὸν, μὴ σιτίον, μήτε τι τῶν ἄλλων, ὅσα πρὸς τὰς τοῦ σώματος χρείας ἀναγκαῖα· ἀλλὰ νόμους, καὶ λόγια θεσπισθέντα διὰ Προφητῶν, καὶ ὕμνους, καὶ τ' ἄλλα, οἷς ἐπιστήμη καὶ θεοσέβεια συναύξονταί τε καὶ τελειοῦνται. τὸ δ' ἐξ ἑωθινοῦ μέχρις ἑσπέρας διάστημα σύμπαν ἐστὶν αὐτοῖς ἄσκησις. σιτίον γὰρ ἢ ποτὸν οὐδεὶς ἂν αὐτῶν προσενέγκοιτο πρὸ ἡλίου δύσεως.

Σεμνὴν, [5] τρυφῶσαν. οὐ τὴν σώφρονα, (οὐ γὰρ ἐπαινεῖ αὐτήν) ἀλλὰ τὴν ἀλαζόνα καὶ ὑπέρογκον καὶ ἐφ' ἑαυτῇ μέγα φρονοῦσαν. Ἀριστοφάνης Νεφέλαις.

Σεμνομυθοῦσιν. ὑπερηφανεύονται ἐν λόγοις. [6] Ὁ

tem maritimæ accolas ipſas etiam herbas e terra naſcentes ignorare, piſcium eſu contentos. Ibi etiam Paradiſum eſſe: quod omnia odorata & neceſſaria in locis illis inveniantur. Semiramidem Rheam etiam vocabant. † Semiramis ait Dercetæo: Abi, & expeditionem in tertium annum para, initio facto ab Helleſponto & Libya, uſque ad Bactra, cogens ter millena millia peditum; equitum millena millia; falcatorum curruum centena millia, & virorum e camelis pugnantium totidem: aliorum vero camelorum ad quoſvis alios uſus, ducenta millia: pellium bubularum, earumque crudarum, ad trecenta millia. Præterea, naves longæ Bactris ædificentur ad ter mille, æneis roſtris munitæ, quarum remiges & milites claſſiarii ex Syria, Phœnicia, Cypro, Cilicia, & ora maritima, Helleſpontum uſque, conſcribantur. Eadem adverſus Indos expeditionem faciens, lignea elephantorum ſimulacra ad ducenties mille fabricavit, intus repleta virgultis & omnis generis materia leviori, quo facilius ferri poſſent; extrinſecus vero coriis contecta. In ſingulos autem camelos duos Æthiopes ſagittarios & jaculatores impoſuit: Indumque flumen, qui eſt amplius C. ſtadiorum latitudine, trajecit, eundemque ponte junxit, qua anguſtiſſimus eſſe videbatur. Longitudo vero erat LX. ſtadiorum: at latitudo CCC. Simulacrorum vero erant ducenta milla. Eadem trajecto Indo flumine, & in interiori regione palatiis conditis, * * * *, in lectum ſuum diſceſſit.

Σεμνά. Veneranda. Auguſta. *Oraculo quodam Pythio juſſus venit, afferens Deorum ſacra, veneranda migrantium viatica.* Sic Ælianus inquit in libro *de Providentia.*

Σεμναὶ Θεαί. Venerandæ Deæ. Sic Athenienſes vocant Furias.

Σεμνεῖον. Sacellum, ſive locus ſecretus, in quo Aſcetæ a turba remoti ſanctioris vitæ myſteriis initiantur, nemine quicquam eo afferente, non cibum, non potum, nec quicquam eorum, quæ ad corporis uſum neceſſaria ſunt; ſed leges, & oracula Prophetarum, & hymnos, cæteraque quibus cognitio & pietas augentur & perficiuntur. Et toto quidem tempore, a mane uſque ad veſperam, jejuniis & precibus vacant, nec quiſquam eorum ante Solis occaſum cibum vel potum guſtat.

Σεμνὴν, τρυφῶσαν. [Hoc loco Comicus σεμνὴν] non vocat gravem, vel modeſtam, (non enim eam laudat) ſed arrogantem, & ſuperbam, faſtuque elatam. Ariſtophanes *Nubibus.*

Σεμνομυθοῦσιν. Superbe loquuntur. [Et σεμ-

1 Καὶ τῆς ἐντὸς κοίτης κτίσασα παλ. ἐπὶ ὑψ. ἐγχορ.] Hæc corrupta ſunt, & nullum pene ſenſum habent, quæ aliis illuſtranda & emendanda relinquimus.

2 Σεμναὶ Θεαί] Confer Noſtrum ſupra v. Θησεῖον.

3 Ἐν ᾧ μονούμενοι οἱ ἀσκ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Philonis in libro *De vita contemplativa*: quæ etiam leguntur ſupra v. Θεραπευταί, & apud Cedrenum pag. 200.

4 Τελοῦσι] Supra v. Θεραπευταὶ legitur πλοῦνται.

5 Σεμνὴν, τρυφῶσαν] Ariſtophanes *Nubibus*, pag. 126. (61. Ed. Baſ. *P.*)

Σεμνὴν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.

Scholiaſta ad eum locum: Σεμνὴν, οὐ τὴν σώφρονα, (οὐ γὰρ ἐπαινεῖ αὐτὴν) ἀλλ' ἀλαζόνα, καὶ ὑπέρογκον, καὶ σοβαρὰν τῷ εἴδει· τρυφῶσαν δὲ ἱματίοις καὶ τῇ ἄλλῃ δαπάνῃ.

6 Ὁ δὲ σεμνὸς Ἀσδρ.] Valeſius fragmentum hoc Polybio tribuit.

δ

ἡ σεμνὸς Ἀσδρούβας συνέπεσε τῷ στρατηγῷ περὶ τὰ γόνατα, ἐπιλελησμένος τῆς μεγαλορῥημοσύνης.

Σεμνόν. ἐπὶ τοῦ ἀξιωματικοῦ λέγουσιν. ἔσθ᾽ ὅτε δὲ καὶ ἐπὶ τοῦ ὑπερηφάνου τιθέασιν. [1] Εὐριπίδης Μηδείᾳ·

> Οἶδα γὰρ πολλοὺς βροτῶν
>
> Σεμνοὺς γεγονότας.

καὶ ἐν [2] Ἱππολύτῳ·

> Μισεῖν τὸ σεμνὸν, καὶ τὸ μὴ πᾶσιν φίλον.

Καὶ ἔνδοξον. [3] Εὐριπίδης Ἱππολύτῳ·

> Πῶς οὖν σὺ σεμνὸν δαίμον᾽ οὐ προσεννέπεις.

καὶ τὸ μέγα, καὶ τοὺς τιμίους. Τοῖς δ᾽ αὖ σεμνοῖσι τῶν ὀρνίθων. [4] Ἀριστοφάνης. ἀντὶ τοῦ τιμίοις. [5] Ὁ αὐτὸς σεμνότατος ὢν καὶ αὐστηρότατος, ὅμως ἐπίχαρις ἦν ἐν ταῖς ὁμιλίαις, οὐδενὸς ἧττον τῶν ἐπὶ χάρισιν θαυμαζομένων. Δέξιππος· Σεμνὸν γὰρ αὐτὸν ἀπέφαινε τά τε ἄλλα, καὶ ὅτι οἱ εὖ ὁ πατὴρ στρατηγήσοι.

Σεμνοπροσωπεῖς. τουτέστι σεμνὴν τὴν ὄψιν ἔχεις. εἰσὶ γὰρ ἄνθρωποι σεμνοὶ μὲν φαίνεσθαι, οὐ κατὰ τὴν πρόσοψιν δὲ ἔχοντες καὶ τὰ ἐπιτηδεύματα.

Σκεπεινὸς τόπος.

Σκέπη. παρὰ Ἡροδότῳ, θήκη, δέρμα.

Σκέρβολλε. λοιδόρει. [4] Μὴ σκέρβολλε πονηρά. τουτέστι, μὴ λοιδόρει πικρά. μὴ ποίκιλλε. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ κερτομεῖν.

Σκευή. ὅπλισις. ἡ στολή. Ὁ δὲ ἱερεὺς σκευὴν ἐσκευάζετο τὴν τοῦ δημίου, μεταλαβὼν ἀντὶ τῶν σεμνοτάτων τὰ αἴσχιστα. † Τὰ δὲ πολλὰ τῶν θηρίων εἰς βάθος νηξάμενα, τῆς θαλάσσης αὐτοῖς εἰς τὰς σκευὰς ἐμπεσούσης, ἀπεπνίγη. † Ὁ δὲ [5] καρτερὸς τῆς τε σκευῆς τῇ λαμπρότητι διαφέρων ἦν.

Σκεῦος. χωρητικόν τινος εἶδος ἀγγεῖον. Πολύβιος· [6] Ἦν δὲ ὁ Δαμοκλῆς σκεῦος εὐφυὲς, πολλὰς ἔχων ἀφορμὰς εἰς πραγμάτων οἰκονομίαν. καὶ, [7] Σκευοποιοῦντα τὸ πρᾶγμα. Ὑπερείδης ἐν τῷ κατ' Ἀντιθέτου. ἀντὶ τοῦ, σκευωρούμενον, καὶ κατασκευάζοντα, καὶ πλαττόμενον.

ſtultus homo, ſed anus ſubantis bona conſumere norat. Vel, adulari norat, & pecuniam, qua anus res ad victum neceſſarias ſibi comparabat, abſumere. Et iterum: *Ille vero in congreſſibus quidem erat moroſus & minime blandus: at in factis contra humanus admodum, & ſatis ſolers.* Et σκαιόθεν, adverbium. Inepte, ſiniſtre. Dicitur & σκαιοσύνη apud Ariſtophanem.

Σκαιότατον. Ineptiſſimum. Indoctiſſimum. Ariſtophanes *Nubibus: Ineptiſſimus ſenecio.*

Σκαιότης. Stultitia. Inſcitia. Ruſticitas. Ineptia. Fraus. Deceptio.

Σκαιωρία. Malum conſilium. Malitia. Dolus. Fraus.

Σκαίροντες. Saltantes. Tripudiantes. Salientes.

Σκεδάζει. Diſſipat. Diſpergit.

Σκεδάννυσθαι. Diſpergi. Diſſipari.

Σκελετός. Siccus. Aridus.

Σκελλίου υἱός. Scelliæ filius. Id eſt, Ariſtocrates. Ait igitur Ariſtophanes: *Et filium Scelliæ deteſtor.* Id eſt, Ariſtocratem. Senſus vero hic eſt: Odio proſequor Ariſtocratiam, quia & Ariſtocratem; qui illo nomine vocatur.

Σκεμμούς. Conſilia. Deliberationes. *Partim vero Regis conſilia indicabat.*

Σκέπανον. Tegmen. Velamentum.

Et pileum capitis non pii tegmen.

Dicitur & σκέπας. *Cauſia, quæ ante Macedonibus commodum fuiſti capitis tegmen, tam nivem propulſans, quam galeæ uſum in bello præſtans.*

Σκεπεινὸς τόπος. Tectus locus.

Σκέπη. Tegmen. Apud Herodotum, theca, pellis.

Σκέρβολλε. Convitiis inſectare. Maledic. *Ne mala convitia faxis.* Vel, *Ne acerbis maledictis [alios] inceſſas.* Significat etiam idem, quod κερτομεῖν, i. e. cavillari, & ſalſis dictis aliquem irritare.

Σκευή. Armatura. Vel, veſtis. *Sacerdos autem veſtem carnificis aſſumpſit, honeſtiſſimo veſtitu in miſerrimum mutato.* † *Pleræque autem feræ, quæ in profundo natabant, cum mare in ſarcinas earum incidiſſet, ſuffocatæ ſunt.* † *Craterus vero ſplendido cultu præ cæteris inſignis erat.*

Σκεῦος. Vas alicujus rei capax. [Inſtrumentum.] Polybius: *Damocles vero erat inſtrumentum aptiſſimum, & quo ad multas res opportune uti poſſes.* Et σκευοποιοῦντα τὸ πρᾶγμα. Hyperides in oratione adverſus Mantitheum. Id eſt, qui dolum aliquem & fraudem componit & machinatur, vel comminiſcitur.

1 Σκαιωρία] Imo, σκευωρία. Vide infra h. v.

2 Φησὶν οὖν Ἀριστοφάνης] *Avibus*, pag. 547. (373. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam.

3 Καυσίη, τὸ πάρ.] Scribe, Καυσίη, ἡ τὸ πάροιθε Μακηδόσιν εὔκολον, &c. Sic enim recte legitur in Anthologia inedita, ex qua Epigramma integrum, cujus diſtichum hoc pars eſt, publici juris fecimus ſupra v. Καυσία.

4 Μὴ σκέρβολλε πονηρά] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 337. (236. Ed. Baſ. *P.*) Vide ibi veterem Enarratorem.

5 Καρτερὸς] Lego, Κρατερὸς, ut ſit nomen proprium Crateri, qui erat unus ex ducibus Alexandri Magni.

6 Ἦν δὲ ὁ Δαμοκλῆς σκ.] Fragmentum hoc Polybii legitur etiam ſupra v. Εὐφυᾶ.

7 Σκευοποιοῦντα τὸ πρ.] Ex Harpocratione: ſed apud quem pro Ἀντιθέτου legitur Μαντιθέου. uti etiam hic apud Suidam ſcribendum eſt. Oratio enim Hyperidis κατὰ Μαντιθέου laudatur etiam ab Athenæo.

Σκευο-

Σκευοφορεῖον, καὶ σιτοφυλακεῖον. σκευοφυλάκιον δὲ, καὶ χαρτοφυλάκιον.

Σκευωρία. κατασκευὴ, ἐπιβουλή. βλάβη.

Σκιρωθέντος [1] ἥπατος. σκίρωμα γὰρ πάθος [2] περὶ τὸ ἧπαρ ἀνίατον.

Σκίρων. ὄνομα λῃστοῦ. καὶ Σκιρωνίδης, ὄνομα πατρωνυμικόν. καὶ Σκιρωνὶς πέτρα, ἡ τραχεῖα. καὶ διφορεῖται.

Σκηνή. [3] Σκηνή ἐστιν ἡ μέση θύρα τοῦ θεάτρου. Παρασκήνια δὲ, τὰ ἔνθεν καὶ ἔνθεν τῆς μέσης θύρας. ἵνα δὲ σαφέστερον εἴπω, μετὰ τὴν σκηνὴν εὐθὺς καὶ τὰ παρασκήνια, ἡ ὀρχήστρα. αὕτη δέ ἐστιν ὁ τόπος, ὁ ἐκ σανίδων ἔχων τὸ ἔδαφος· [4] ἀφ' οὗ θεατρίζουσιν οἱ μῖμοι. ἔστι μετὰ τὴν ὀρχήστραν βωμὸς τοῦ Διονύσου, ὃς καλεῖται θυμέλη· παρὰ τὸ θύειν. μετὰ δὲ τὴν θυμέλην ἡ κονίστρα, τουτέστι, τὸ κάτω ἔδαφος τοῦ θεάτρου. καὶ [5] σκηνίτης, ὁ ἐπὶ τῇ σκηνῇ.

Αἰεί [6] τοι λιπαρῷ ἐπὶ σήματι, δῖε Σοφόκλεις,
Σκηνίτης μαλακοὺς κισσὸς ἄλοιτο πόδας.

Σκηνίτης. [7] Ἰσοκράτης Τραπεζιτικῷ· Πυθόδωρον γὰρ τὸν Σκηνίτην καλούμενον. ἔοικε δὲ ἐπώνυμον εἶναι. μή ποτε δὲ ὡς εἰς ἀγοραῖον λεγόμενον· ἐπεὶ ἐν σκηναῖς ἐπιπράσκετο πολλὰ τῶν ὠνίων. καὶ σκηνίτης βίος, ὁ ἀπερινόητος. Καὶ, Σκηνὴν δὲ, ἣν ἔχουσιν. οὐδὲ γὰρ ταύτην λαβόντες ἀναφέρουσιν. [8] Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν. ἔοικε δὲ σκεῦός τι εἶναι· ὅπερ οἱ μὲν κόσμον τινὰ γυναικεῖον εἶναί φασιν· οἱ δὲ, σκιάδειον. καὶ, σκηνὴν ἐπήξατο. τουτέστι, τένδαν, κατὰ γλῶσσαν.

Σκευοφορεῖον, & σιτοφυλακεῖον. [Per ει ſcribuntur in ſyllaba penultima.] At σκευοφυλάκιον, & χαρτοφυλάκιον, [per ι.]

Σκευωρία. Machinatio. Inſidiæ. Damnum.

Σκιρωθέντος ἥπατος. *Hepate ſciromate laborante.* Sciroma autem eſt morbus hepatis inſanabilis.

Σκίρων. Sciron. Nomen latronis. Et Scironides, nomen patronymicum. Et Σκιρωνὶς πέτρα, Scironis petra. Duplici autem modo effertur.

Σκηνή. Scena. Id eſt, media janua Theatri. Paraſcenia vero dicuntur loca in Theatro, quæ ſunt ab utraque parte mediæ illius januæ. Vel, ut clarius loquar, poſt Scenam & Paraſcenia proxima eſt Orcheſtra, pavimentum habens ex tabulis conſtans, in qua hiſtriones fabulas agunt. Orcheſtram excipit ara Bacchi, Thymele dicta; a verbo θύειν, ſacrificare. Thymelen vero, Coniſtra; quæ eſt infimum pavimentum Theatri. Et σκηνίτης, ſcenicus, ſive, qui eſt in ſcena. [In Epigrammate:] *Semper in ſplendido ſepulcro tuo, divine Sophocles, ſcenica circa molles pedes tuos ſaliat hedera.*

Σκηνίτης. Scenites. Scenicus. Iſocrates in oratione *Trapezitica: Pythodorum illum, Sceniten vocatum.* Videtur autem eſſe cognomen. Videndum tamen annon forte hoc [in Pythodorum dictum ſit,] ut hominem, qui in foro mercaturam faceret. In tentoriis enim variæ merces venum exponi ſolebant. Et σκηνίτης βίος, vita eorum, qui in tentoriis degunt. Id eſt, vita vaga. Et Demoſthenes in oratione adverſus Spudiam: *Et ſcenam, quam habent. Nam neque hanc acceptam proferunt.*

Hoc in loco vocem σκηνὴ quidam ſignificare ajunt ornamentum muliebre: nonnulli vero, umbellam. Et, σκηνὴν ἐπ. Tentorium fixit. Vel, ut Græci recentiores vocant, τένδαν.

Σκηνωμάτων. τῶν οἰκήσεων. [9] Χειμέριον νύκτα τηρήσαντες ἐξῆλθον, ἐν ᾗ οὐδ' ἄν τις τῶν βαρβάρων τῶν ἠθάδων ἄνευ τινὸς ἐξαισίου ἀνάγκης ἔξω τῶν σκηνωμάτων ἐγένετο. καὶ σκηνίτης, ὁ ἐπὶ τῇ σκηνῇ.

Σκηνορράφος. ὁ δέρματα συρράπτων.

Σκῆνος. σκήνωμα. Σκήνωμα τοῦ Θεοῦ. ὁ ναὸς τοῦ Θεοῦ.

Σκηπάνιον. σκῆπτρον.

Σκήπτος. ὁ προφασιζόμενος.

Σκηπίων. ὅτι Σκηπίων ὁ Ῥωμαίων στρατηγὸς πρὸς Ἀννίβαν τὸν Καρχηδονίων στρατηγὸν ἐποιεῖτο συμβάσεις. ἦν δὲ δὴ συνελθόντων ἰδεῖν τὸν μὲν Σκηπίωνα εὐπρεπῆ τε τὸ σῶμα, καὶ ὑψηλόφρονα, καὶ πρὸς τὸ χάριεν μᾶλλον ἢ φοβερὸν πεφυκότα· Ἀννίβα δὲ καταπληκτικὸν ἦν τοῦ δεινοῦ τε καὶ συνεστραμμένου τοῦ

Σκηνωμάτων. Tabernaculorum. Tentoriorum. *Obſervata procelloſa nocte, exiverunt, qua nullus Barbarorum locis illis aſſuetorum abſque maxima aliqua neceſſitate ex tentoriis prodiiſſet.* Et σκηνίτης, ſcenicus.

Σκηνορράφος. Pellium conſutor, ex quibus tentoria conficiuntur.

Σκῆνος, & σκήνωμα. Tentorium. Tabernaculum. Tabernaculum Dei. Id eſt, Templum Dei.

Σκηπάνιον. Scipio. Baculus. Sceptrum.

Σκήπτος. Qui cauſam aliquam prætexit. Qui cauſatur.

Σκηπίων. Scipio, Romanorum Imperator, cum Annibale Carthaginienſium duce pacem certis conditionibus facere volebat. Cum autem eſſent congreſſi, vidiſſes Scipionem quidem & corpore formoſo & excelſo animo præditum, & natura venuſtum potius, quam formidabilem: Annibalis vero vultui truci

1 Σκιρωθέντος] MS. A. σκειρωθέντος, per diphthongum, ει. Et ſic σκείρωμα, quod ſtatim ſequitur.

2 Περὶ τὸ ἧπαρ.] Sic rectius MS. A. quam priores Editt. quæ habent παρὰ τὸ ἧπαρ.

3 Σκηνή ἐστι ἡ μ.] Confer cum loco Suidæ Pollucem lib. IV. cap. XIX.

4 Ἀφ' οὗ] Lego potius, ἐφ' οὗ.

5 Σκηνίτης] Sic non ſolum legitur in MS. A. ſed etiam in Anthologia Epigrammatum; unde ſequens fragmentum depromptum eſt. At MSS. B. & C. itemque priores Editt. habent σκηνήτης, per η: quod minus placet.

6 Αἰεί τοι λιπαρ.] Diſtichum hoc legitur Anthol. lib. III. cap. XXV. pag. 396. ubi integrum Epigramma vide.

7 Σκηνίτης. Ἰσοκρ.] Ex Harpocratione.

8 Δημοσθένης ἐν τῷ πρὸς Σπουδίαν] Pag. 650.

9 Χειμέριον νύκτα τηρ.] Fragmentum hoc legitur etiam ſupra v. Ἠθάδων.

προσώπου μεμιγμένον. οὐ συμβαινόντων δὲ ἐπὶ τοῖς εἰρημένοις, ἀλλὰ τάχος συμπίπτειν τοῖς Ῥωμαίοις διεκελεύοντο. † Ὅτι ἄνδρες τινὲς τῶν Καρχηδονίων, οἱ ἐπὶ κατασκοπῇ τῶν ἐναντίων σταλέντες ὑπὸ Ἀννίβου, τοῖς Ῥωμαίοις περιπίπτουσιν· οὓς ἀχθέντας ὡς αὐτὸν ὁ Πόπλιος κακὸν μὲν οὐδὲν εἰργάσατο· περινοστῆσαι δὲ κελεύει τὸ στρατόπεδον, καὶ δεῖπνον ἑλομένους, ὑποχωρεῖν σώους, ἀπαγγελοῦντας Ἀννίβᾳ τὰ περὶ τὴν στρατιὰν ὡς ἔχει Ῥωμαίοις.

Σκήπων. ῥόπαλον. παρ' ὃ καὶ σκηπάνιον.

Ἦ που[1] σοφὸς ἦν, ὃς ἔφασκε πρὶν ἂν ἀμφοῖν τὸν μῦθον ἀκούσῃς,
Οὐκ ἂν δικάσαις. σὺ δ' ἤδη πολλῷ νενίκηκας.
Ὥστ' ἤδη τὴν ὀργὴν χαλάσας, τοὺς σκήπωνας καταβάλλω.

Σκήπτεται. προφασίζεται.

Σκηπτόμενος. ἐπερειδόμενος. στηριζόμενος. καὶ σκηριπτόμενος, ὁμοίως.

Σκηπτός. κεραυνός, ἄνωθεν διὰ[2] πυρός. [3]Ὥσπερ τις λαῖλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐξαπιναίως ἐπεφοίτησε. καὶ αὖθις· Σκηπτοὶ τοίνυν κατηνέχθησαν, καὶ τὸ στρατόπεδον κατέπρησαν. καὶ αὖθις· Νέφη συνέδραμε, καὶ ὑετοὶ πολλοὶ καὶ σκηπτοὶ κατώλισθον.

Σκηπτοῦχος. βασιλεὺς σκηπτροφόρος.

Σκῆπτρον. βασιλικὴ ῥάβδος.

Σκηριπτόμενος. ἐπερειδόμενος. στηριζόμενος.

Σκήρων. ὄνομα ἔθνους. καὶ Σκηρωνεύς, ἐθνικόν.

Σκῆτις, Σκήτεως. ὄνομα τόπου.

Σκήψας. ἐπιβαλών. ἐπιφέρων. [4]Σοφοκλῆς·

— Ἐν δ' ὁ πυρφόρος θεὸς
Σκήψας, ἐλαύνει λοιμὸς ἔχθιστος πόλιν.

Καὶ σκηψαμένων τινῶν προδοσίαν ὁμογλώσσων τοῖς Σκύθαις, τοῖς καλουμένοις Γρουθίγγοις.

Σκῆψις. περικάλυμμα, πρόφασις, ἢ φροντίς, ἀναβολή. καὶ σκήπτομαι. Ἀριστοφάνης Πλούτῳ· Ναὶ σκήπτομαί γ', ὅταν τύχω. ἀντὶ τοῦ, προφασίζομαι. καὶ Σοφοκλῆς·

Ἀλλ' εἴσορα, μὴ σκῆψιν οὐκ οὖσαν τίθῃς.

Σκῆψις.[5] πόλις ἐστὶν ἐν τῇ Τροίᾳ· ἧς μνημονεύει Δημοσθένης ἐν τῷ κατ' Ἀριστοκράτους.

Σκιά. ζήτει ἐν τῷ Δεκάτου σκιά.

Σκιαγραφῶ. αἰτιατικῇ.

Σκιάδιον.[6] κατασκεύασμά τι, ὅπερ [7]ἐφόρουν αἱ Κανηφόροι ἀπιοῦσαι εἰς τὰ Ἐλευσίνια, ἕνεκεν τοῦ μὴ καίεσθαι ὑπὸ τοῦ ἡλίου. ἢ ὅπερ ἡμεῖς καμηλαύκιον λέγομεν.

& torvo formidabile quiddam immixtum erat. Cum autem inter eos de conditionibus non conveniſſet, confeſtim Annibal ſuis imperavit, ut cum Romanis congrederentur. † Quidam Carthaginienſium, ad exploranda hoſtium caſtra ab Annibale miſſi, in Romanos inciderunt: quos Publius ad ſe deductos nullo malo affecit: ſed caſtra circumire juſſit, & ſumpta cœna ſalvos redire, ut Annibali renuntiarent qualia eſſent Romanorum caſtra.

Σκήπων. Baculus. Scipio. Unde etiam [deductum eſt nomen] σκηπάνιον, [quod idem ſignificat.] *Vere ſapiens erat ille, qui dixit, Priuſquam utramque partem audiveris, ſententiam ne feras. Tu vero illum longe ſuperaſti. Quare ira remiſſa, ſcipiones abjicio.*

Σκήπτεται. Cauſatur. Tergiverſatur.

Σκηπτόμενος. Innixus. Fultus. Qui alicui rei innititur. Et σκηριπτόμενος, idem.

Σκηπτός. Fulmen. Ignis cœleſtis. *Tanquam procella quædam marina, vel fulmen violentum, repente in eos irruit.* Et iterum: *Fulmina igitur cœlitus deſcendentia, caſtra combuſſerunt.* Et iterum: *Cœlo nubibus obducto, multæ pluviæ & fulmina deciderunt.*

Σκηπτοῦχος. Sceptrifer. Epithetum Regis.

Σκῆπτρον. Sceptrum, regiæ poteſtatis ſymbolum.

Σκηριπτόμενος. Qui nititur. Qui fulcitur.

Σκήρων. Sceron. Nomen gentis. Et Sceroneus, nomen gentile.

Σκῆτις. Scetis. Nomen loci.

Σκήψας. Ingruens. Irruens. Sophocles: *Ignifera vero Dea, Peſtilentia inimiciſſima, ingruens urbem exagitat.* [Et σκήπτεσθαι, cauſari, prætexere.] *Cum autem quidam, eadem lingua utentes, qua Scythæ, Grutingi vocati, proditionem cauſarentur.*

Σκῆψις. Prætextus. Cauſa. Vel, cura, dilatio, tergiverſatio. Et σκήπτομαι, cauſor, tergiverſor. Ariſtophanes *Pluto*: *Næ, tergiverſor, cum rem conſequor.* Et Sophocles: *Sed vide, ne falſam cauſam prætexas.*

Σκῆψις. Scepſis. Urbs eſt Troicæ: cujus meminit Demoſthenes in oratione contra Ariſtocratem.

Σκιά. Umbra. Quære in v. Δεκάτου σκιά.

Σκιαγραφῶ. Adumbro.

Σκιάδιον. [Sic vocabatur] inſtrumentum, quod Caniſtriferæ ad ſacra Eleuſinia euntes ferebant, ne a Sole adurerentur. Umbella. Vel, tegmen capitis, quod nos camelaucium vocamus.

1 Ἦ που σοφὸς ἦν, ὃς ἔφ.] Hæc ſunt verba Ariſtophanis pag. 484. ſed ubi verſus ſecundus rectius ſic legitur:

Οὐκ ἂν δικάσαις. σὺ γὰρ ἂν νῦν μοι νικᾶν πολλῷ δεδόκησαι.

2 Διὰ πυρός] Lego una voce, διάπυρος.

3 Ὥσπερ τις λαῖλαψ ἐπιθ.] Fragmentum hoc excerptum eſt ex Theophylacti Simoc. lib. II. cap. VII.

4 Σοφοκλῆς] Oedip. *Tyran.* pag. 149. ut Portus monuit.

5 Σκῆψις. πόλις ἐστὶν ἐν τῇ Τρ.] Ex Harpocratione.

6 Σκιάδιον. κατασκ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis in *Avibus* pag. 610.

Τουτὶ λαβών μου τὸ σκιάδειον ὑπέρεχε.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

7 Ὅπερ ἐφόρουν αἱ Κανηφόροι] Alibi tamen legas, non ipſas Caniſtriferas, ſed pediſſequas earum in pompis ſacris umbellas geſtaſſe. Ariſtophanes in eadem fabula, pag. 611.

Φέρε μοι σκιάδειον, ἵνα με κἂν ὁ Ζεὺς ἴδῃ
Ἄνωθεν, ἀκολουθῶ δῆθεν κανηφόρῳ.

Scholiaſta ad eum locum: Ταῖς γὰρ κανηφόροις σκιάδειον καὶ δίφρον ἠκολούθει τις ἔχουσα. Quæ totidem verbis repetit Suidas v. Διφροφ. Confer Meurſii *Panathenæa*, cap. XXIII.

Σκιαδείων. κυψελίων.

Σκιὰ [1] θανάτου. οἱ πρὸς θάνατον ἄγοντες κίνδυνοι.

Σκίαθος. [2] νῆσός ἐστι πλησίον Εὐβοίας, ἧς μέμνηται Δημοσθένης ἐν Φιλιππικοῖς.

Σκιαμαχῶ. ἐπὶ τῶν ἀδυνάτων. τῇ σκιᾷ μάχομαι.

Σκιὰ ὀνείρων. ἐπὶ τῶν ἀδήλων πραγμάτων. Δαμάσκιος· Ὅταν ἀντὶ πραγμάτων γεγενημένων εἴδωλα ἄττα συγγραφώμεθα, σκιὰν ὀνείρων, κατὰ Πίνδαρον.

Σκιάποδες. ἐν Λιβύῃ ἔθνος, πλατεῖς ἔχον τοὺς πόδας· οἳ ἐν τῷ καύματι ἐκ τῶν ποδῶν ἑαυτοῖς σκιὰν ποιοῦσιν, παρὰ τὸν δυτικὸν ὠκεανόν, πρὸς τῇ κεκαυμένῃ ζώνῃ.

Σκιάποδες. τούτους ἔχειν βήματά φασι τοῦ παντὸς σώματος μείζονα. διὰ δὲ τὸ μὴ ἔχειν οἴκους, ἀλλ' ὑπὸ τοῦ καύματος ἀναλίσκεσθαι, [3] τετραποδηδὸν βαδίζοντας, ἀνορθοῦν τὸν ἕτερον τῶν ποδῶν, καὶ σκιάζειν τὸ λοιπὸν σῶμα. τοῦτο γὰρ αὐτοῖς ἐχαρίσατο ἡ φύσις, ἴσης οὔσης τῆς γῆς αὐτῶν, καὶ τραχείας, καὶ κατάδυσιν μὴ ἐχούσης εἰς ἀποφυγὴν τοῦ καύματος.

Σκιάποδες. [4] Ἀντιφῶν ἐν τῷ περὶ ὁμονοίας. ἔθνος ἐστὶ Λιβυκόν. Κτησίας ἐν τῷ Περίπλῳ Ἀσίας φησίν· Ὑπὲρ δὲ τούτων Σκιάποδες· οἳ τούς τε πόδας ὡς χῆνες ἔχουσι κάρτα πλατέας, καὶ ὅταν θέρμη ᾖ, ὕπτιοι ἀναπεσόντες, ἄραντες τὰ σκέλη, σκιάζονται τοῖς ποσί.

Σκιάς. [5] ἀναδενδράς. σημαίνει δὲ καὶ τὸν παρὰ Ἀθηναίοις λεγόμενον θόλον.

Σκιδνάμενος. σκορπιζόμενος.

Σκιερά. Ἀριστοφάνης· Πάρες, ὦ σκιερά.

Σκίλλα. εἶδος βοτάνης πικρᾶς καὶ θανατηφόρου τοῖς ἐσθίουσι.

Σκιμαλίσω. [6] ἐξουδενώσω. χλευάσω. [7] τῷ μέσῳ δακτύλῳ τῶν γυναικείων πυγῶν ἅψομαι. λέγεται δὲ καὶ σκιμαλίζειν κυρίως, τὸ τῷ μέσῳ δακτύλῳ ἀποπειρᾶσθαι, εἰ ὠοτοκοῦσιν αἱ ἀλεκτορίδες. † [8] Δυοῖν ὑπερανακειμένοιν ἐν πότῳ τοῦ Ζήνωνος, καὶ τοῦ ὑπ' αὐτὸν τὸν ὑφ' ἑαυτὸν σκιμαλίζοντος τῷ ποδί, αὐτὸς ἐκεῖνον τῷ γόνατι. ἐπιστραφέντος δέ, Τί οὖν, οἴει, τὸν ὑποκάτω σου πάσχειν ὑπὸ σοῦ;

Σκίμπους. [9] κράβατος. ἢ σκάμνος. καὶ σκίμποδος. Ἱερὸν σκίμποδα φησὶν Ἀριστοφάνης ἐν Νεφέλαις, ἢ τὴν τῶν φιλοσόφων καθέδραν, ἢ κράβατον.

Σκιαδείων. Umbraculorum. Umbellarum.

Σκιὰ θανάτου. Umbra mortis. Id eſt, pericula ad mortem ducentia.

Σκίαθος. Sciathus. Inſula eſt prope Eubœam, cujus meminit Demoſthenes in *Philippicis*.

Σκιαμαχῶ. Cum umbra pugno. De rebus, quæ fieri nequeunt.

Σκιὰ ὀνείρων. Umbra ſomniorum. Dicitur de rebus obſcuris ac incertis. Damaſcius: *Quum pro rebus geſtis ſimulacra quædam conſcribimus, umbram ſomniorum, ſecundum Pindarum.*

Σκιάποδες. Sciapodes. Sic dicitur gens quædam in Africa, latos habens pedes, quæ in æſtu pedibus umbram ſibi facit: ad Oceanum Occidentalem, prope Zonam torridam.

Σκιάποδες. Sciapodes. Hos ajunt pedum plantas toto corpore majores habere: &, cum non habeant domos, ſed æſtu Solis adurantur, quadrupedum inſtar ingredientes erecto altero pede reliquum corpus obumbrare. Hoc enim beneficium Natura illis dedit, quod terra illorum ſit plana, & aſpera, nec latebras habeat, quas incolæ ſubeuntes æſtum vitare poſſint.

Σκιάποδες. Sciapodes. Antiphon in oratione *de Concordia*. Gens eſt Libyca. Cteſias vero in *Periplo Aſiæ* inquit: *Supra iſtos* [*ſiti ſunt*] *Sciapodes, qui pedes anſerum inſtar valde latos habent, &, cum æſtus eſt, ſupini jacentes, crura tollunt, & pedibus umbram ſibi faciunt.*

Σκιάς. Vitis arbuſtiva. [Sic dicta, quod umbram faciat.] Item, Tholus, apud Athenienſes ſic dictus.

Σκιδνάμενος. Qui diſpergitur. Qui diſſipatur.

Σκιερά. Umbroſa. Ariſtophanes: *Adeſdum, o umbroſa.*

Σκίλλα. Scilla. Genus herbæ amaræ, & letiferæ illis, qui eam edunt.

Σκιμαλίσω. Nihili faciam. Contemnam. Deridebo. Medio digito nates muliebres attrectabo. Proprie autem σκιμαλίζειν ſignificat, medio digito explorare gallinas, an ova pariant. † *Duobus in convivio infra Zenonem accumbentibus, cum is, qui ei accumbebat, inferiorem ſocium pulſaret pede, ipſe eum genu pulſavit. Converſo illo, Quid ergo, ait, illum abs te pati arbitraris, qui infra te accumbit?*

Σκίμπους. Grabatus. Vel, ſcamnum. Et σκίμποδος, [genitivus.] Ariſtophanes in *Nubibus ſacrum ſcimpoda* vocat, vel Philoſophorum cathedram, vel grabatum. Dicunt autem

1 Σκιὰ θανάτου] Pſalm. LXXXVII. v. 6.

2 Σκίαθος. νῆσ.] Ex Harpocratione.

3 Τετραποδηδὸν βαδ.] Confer Noſtrum infra v. Τετραποδηγόν, ubi hæc repetuntur.

4 Σκιάποδες. Ἀντιφ.] Ex Harpocratione.

5 Σκιάς] Confer omnino Heſychium & Etymologum h. v.

6 Σκιμαλίσω——ὠοτοκοῦσιν] Ex Scholiaſta Ariſtoph. ad *Acharn.* pag. 393. (280. Ed. Baſ. P.) Idem Enarrator ad *Pacem*, pag. 662. vocem σκιμαλίζειν ſic explicat: Σκιμαλίσαι ἐστὶ κυρίως, τὸ τὸν δάκτυλον εἰς τὸν πρωκτὸν τῆς ὄρνιθος βαλεῖν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ὅταν βουλόμενοι ἐφυβρίσαι τινά, τὸν μέσον δάκτυλον ἐκτείνοντες, δείξωσιν αὐτῷ. Confer etiam Suidam ſupra v. Ἐσκιμάλισε.

7 Τῷ μέσῳ δακτύλῳ] Hanc lectionem ex MS. A. revocavi. Antea enim minus recte legebatur, τῷ μικρῷ δακτύλῳ. Et ſic paulo poſt.

8 Δυοῖν ὑπερανακειμένοιν ἐν π.] Hæc, & quæ ſequuntur, ſunt verba Laertii in *Zenone Citt.* Lib. VII. Segm. XVII. ut Pearſonius obſervaverat. Pro ὑπερανακειμένοιν vero, ut legitur etiam apud Laertium, ſenſus ſuadet, ut ſcribatur ὑπανακειμένοιν: quam lectionem in verſione expreſſimus.

9 Σκίμπους. κράβ.] Eadem fere leguntur apud Scholiaſtam Ariſtoph. ad *Nubes*, pag. 138. (73. Ed. Baſ. P.)

Φασὶ δὲ σκιμπόδιον ἰδίως λέγεσθαι τὸ χωλοκράβατον. σκιμβάζειν γὰρ τὸ χωλαίνειν παρὰ τοῖς παλαιοῖς. ἢ τὸν σκαμβοὺς ἔχοντα πόδας.

Σκινδάλαμοι. τὰ τῶν καλάμων ἀποξύσματα. ἢ σκόλοπες. ἢ ἐπεξεργασία τῶν ἀκριβῶν. † Σκινδάλαμοι. τοῦτο δὲ ἐπὶ μὲν εὐθείας, ὀξύνεται· ἐπὶ δὲ τῶν πλαγίων, παροξύνεται. Σκινδαλάμους οὖν, λεπτολογίας. [1] Ἀριστοφάνης Νεφέλαις·

Λόγων ἀκριβῶν σκινδαλάμους μαθήσομαι.

καὶ, [2] Σκινδαλμῶν παραξόνια. Σκινδαλμὸς δὲ κυρίως, τὸ περὶ τὸν φλοιὸν τοῦ καλάμου ξέσμα. παραξόνια δὲ, οἷον κινδυνώδη καὶ παράβολα. περὶ τὸν τροχὸν ἑλκόμενα.

Σκινδαψός. ὄργανον μουσικόν. περὶ Ζήνωνος τοῦ Κιτιέως·

——— Ὁ [3] δ' ἔρρει γύργαθος αὐτοῦ

Μικρὸς ἰών· νοῦν δ' εἶχεν ἐλάσσονα σκινδαψοῖο.

Σκινδαψὸς, [4] ἀφάνα.

Σκινθίζεται. λακτίζεται.

Σκιόεις, σκιόεντος κλίνεται. καὶ σκιόεντα, σύσκια.

Σκιόθηρα. εἶδος πλοίου.

Σκιώνην.

——— [5] Ἦ μοι κρεῖττον ἦν

Τηρεῖν Σκιώνην ἀντὶ τούτου τοῦ πατρός.

Σκιωρεῖται. [6] λόχος ἀνδρῶν χ'. [7] Ἀρκαδικὸς, ὁ ἀρχόμενός τε ἐν τοῖς πολέμοις, καὶ τελευταῖος ἀναχωρῶν.

Σκιπίων. [8] οὗτος στρατηγὸς γέγονε Ῥωμαίων, ὃς χρησμὸν εἴρηκεν, οὐ λόγον. καὶ γὰρ μετὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων, ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξονται τοῦ χρόνου, παρελθὼν εἰς μέσους, Νῦν μέν τοι χρὴ νομίζειν, ἔφη, πολέμων ἀρχὰς τὰ παρόντα. κινδυνεύσομεν γὰρ μήτε οὓς φοβήσομεν, μήτε οὓς φοβηθῶμεν ἀπολελοιπότες. ἀλλὰ Ῥωμαίοις μὲν, καὶ Καρχηδονίων ἀνῃρημένων, ἐπικλυσθέντες ἕτεροι πόλεμοι πρὸς τὸ σωφρονεῖν ἤρκεσαν. † Τῷ [9] γὰρ βασιλεῖ ἐς ἄδειαν προσελθόντι τοῦ ποιεῖν ὅ, τι ἂν βούληται, παράλογοί τινες ἀρχαὶ παθῶν τὴν ψυχὴν ὑπολαβοῦσαι, πρὸς ὑπερορίους ἔτι καὶ ἀτοπωτέρας ὁρμάς τε καὶ ἐνεργείας τὴν ὅλην βασιλείαν ἐξέωσαν.

Σκίῤῥα. γῆ λευκὴ, ὥσπερ γύψος.

Σκίπωνος. τῆς ῥάβδου. καὶ σκίπωνος.

Σκιράδος. τῆς Ἀθηνᾶς.

σκιμπόδιον proprie dici grabatum exiguum, & quaſi claudum. Σκιμβάζειν enim claudicare ſignificat apud veteres: a σκαμβὸς pravus, diſtortus: quod, qui claudicant, diſtortos pedes habere ſoleant.

Σκινδάλαμοι. Calamorum ramenta. Vel, ſurculi, corporibus inhærentes. [Item, metaphorice,] curioſa circa res leves diligentia. Hæc vox in caſu recto acuitur: at in caſibus obliquis penacuitur. Σκινδαλάμους igitur Ariſtophanes in *Nubibus* ſubtiles nugas vocat. [Ait enim:] *Verborum ſubtiles nugas accurate diſcam.* Et, Σκινδαλμῶν παραξόνια, *Nugæ ſubtiles commiſſionibuſque aptæ.* Σκινδαλμὸς vero proprie vocatur ramentum, quod a cortice calami abraditur. Παραξόνια vero, pericoloſa, temeraria, audacia. Proprie, quæ ſunt circa axem rotæ.

Σκινδαψός. Scindapſus. Inſtrumentum Muſicum. De Zenone Cittieo [Timon dixit:] *Ille vero ibat ut gyrgathus, exigua corporis ſtatura præditus; mentem vero minorem habens ſcindapſo.* Scindapſus [hic metaphorice ſignificat,] affanias, vel nugas.

Σκινθίζεται. Calcitrat.

Σκιόεις. Declinatur, σκιόεντος. Umbroſus. Et σκιόεντα, umbroſa.

Σκιόθηρα. Sciothera. Navigii genus.

Σκιώνην. Scionen. [Ariſtophanes:] *Satius fuiſſet me cuſtodire Scionen, quam hujus patrem.*

Σκιωρεῖται. Sciorita. Cohors Arcadica DC. virorum, quæ & initium faciebat pugnæ, & poſtrema e prœlio recedebat.

Σκιπίων. Scipio. Hic fuit Romanorum Imperator, qui oraculum potius quam dictum protulit. Cum enim Carthagine everſa Romani ſperarent, imperium ſuum pacatum in poſterum & tranquillum fore; in medium progreſſus, Hoc, inquit, tempus bellorum eſſe initium exiſtimare debetis. Metuendum enim eſt, ne de medio ſuſtulerimus tam quos terreamus, quam quos formidemus. Sed & Carthaginenſibus ſublatis Romani ex aliis bellis, quæ eos exceperunt, ſatis documenti capere potuerunt. † Cum enim Rex liberam poteſtatem adeptus fuiſſet quidvis agendi arbitratu ſuo, miri quidam affectus in animo ejus ſtatim exorti ſunt, qui ad externa bella abſurdaſque molitiones totum regnum impulerunt.

Σκίῤῥα. Scirrha. Terra alba, ut gypſus.

Σκίπωνος, & σκίπωνος. Scipionis. Baculi.

Σκιράδος. Sciradis. [A recto Σκιράς: quod eſt epithetum] Minervæ.

1 Ἀριστοφάνης Νεφέλαις] Pag. 130. (66. Ed. Baſ. *P.*)

2 Σκινδαλμῶν παραξόνια] Hæc ſunt verba Ariſtoph. in *Ranis*, pag. 250. (162. Ed. Baſ. *P.*)

3 Ὁ δ' ἔρρει γύργ.] Eſt fragmentum Timonis Sillographi, quod exſtat apud *Laertium in Zenone Citt.* Lib. VII. Segm. XV. unde id Suidas mutuatus eſt. Ibi autem rectius ſic legitur:

———Ὁ δ' ἔρρει γύργαθος ὥς τις,

Μικρὸς ἰὼν, &c.

Vide ibi Interpretes.

4 Ἀφάνα] Potius, ἀφάννα. Vide Stephanum Byzantium v. Ἀφάνναι.

5 Ἦ μοι κρεῖττ.] Hæc ſunt verba Ariſtophanis *Veſpis*, pag. 443.

6 Σκιωρεῖται] Hi Σκιρῖται appellantur a Xenophonte, Thucydide, & Diodoro Siculo: quæ lectio præferenda eſt. Heſychius: Σκιρίτης λόχος, ὕπο καλέσμενος, ὁ προκινδυνεύων. ἦν δὲ Ἀρκαδικός. Etymologus: Σκίρτης λόχος, ἀνδρῶν ἑξακοσίων, οἱ αὐτοὶ καθ' αὑτοὺς ἐστρατεύοντο, καὶ ἐξ ἀρχῆς τοῖς ἄλλοις Λακεδαιμονίοις. Scribe, Σκιρίτης. Confer Meurſ. *Lect. Attic.* lib. I. cap. XVI.

7 Ἀρκαδικός] Imo, Λακωνικός. Sciritarum enim cohorte Lacedæmonios olim uſos fuiſſe, ſcriptores uno ore teſtantur. Scholiaſta Thucydidis ad lib. V. cap. LXVII. Σκιρῖται. λόχος Λακωνικὸς οὕτω λεγόμενος. Vide Meurſium loco laudato

8 Οὗτος στρατηγὸς γέγ.] Confer Noſtrum infra v. Χρησμὸς, ubi eadem leguntur.

9 Τῷ γὰρ βασιλεῖ ἐς ἄδ.] Quid hæc ad v. Σκιπίων faciant, haud ſane video.

Σκιραφεῖον.[1] κυβευτήριον. ἐπειδὴ διέτριβον ἐν Σκίρῳ οἱ κυβευόντες, ὡς Θεόπομπος.

Σκίῤῥον.[2]

> Κυνῶν [3] ἁπάντων ἄνδρα μονοφαγίστατον,
> Ὅστις περιπλεύσας τὴν θυείαν ἐν κύκλῳ,
> Ἐκ τῶν πόλεων τὸ σκίῤῥον ἐξεδήδοκε.

τουτέστι, τὸ ῥυπῶδες τὸ ἐπὶ τοῦ τυρῶν.

Σκιῤῥόν. τὸ ξηρόν.

Σκίρον.[4] Σκίρα, ἑορτὴ παρ' Ἀθηναίοις, ἀφ' ἧς καὶ ὁ μὴν Σκιροφοριών. Φασὶ δὲ οἱ γράψαντες περί τε μηνῶν καὶ ἑορτῶν Ἀθήνησιν, ὡς τὸ σκίρον σκιάδιόν ἐστι, μεθ' οὗ φερόμενοι ἐξ Ἀκροπόλεως εἴς τινα τόπον, καλούμενον Σκίρον, πορεύονται ἥ τε τῆς Ἀθηνᾶς ἱέρεια, καὶ ὁ τοῦ Ποσειδῶνος ἱερεὺς, καὶ ὁ τοῦ Ἡλίου. κομίζουσι τοῦτο Ἐτεοβουτάδαι. σύμβολον δὲ τοῦτο γίνεται τοῦ δεῖν οἰκοδομεῖν καὶ σκέπας δὲ ποιεῖν, ὡς τούτου τοῦ χρόνου ἀρίστου ὄντος πρὸς οἰκοδομίαν. καὶ Ἀθηνᾶν δὲ Σκιράδα τιμῶσιν Ἀθηναῖοι, ἣν Φιλόχορος μὲν ἐν β'. Ἀτθίδος ἀπὸ Σκίρου τινὸς Ἐλευσινίου μάντεως κεκλῆσθαι· Πραξίων δὲ, ἐν β'. Μεγαρικῶν, ἀπὸ Σκίρωνος.

Σκίρος.[5] σκιάδιον. ἑορτή τις ἀγομένη τῇ Ἀθηνᾷ, ὅτε σκιαδίων ἐφρόντιζον ἐν ἀκμῇ τοῦ καύματος. Σκίρα δὲ, τὰ σκιάδια. οἱ δὲ οὐ διὰ τοῦτό φασιν, ἀλλὰ διὰ τὴν ἀπὸ Σκίρων Ἀθηνᾶν, ἣν Θησεὺς ἐποίησεν, ὅτε ἐπανῄει ἀποκτείνας τὸν Μινώταυρον. ἡ σκίρα δέ ἐστι γῆ λευκὴ, ὥσπερ γύψος. οἱ δὲ φασὶν ἀπὸ Σκίρου τοῦ Ἐλευσινίου μάντεως γενέσθαι τὴν ἐπωνυμίαν ταύτην. ἄλλοι δὲ, ἀπὸ Σκίρου τοῦ συνοικίσαντος Σαλαμῖνα.

Σκίῤῥος. ὁ γύψος.

Σκιροφοριών. μὴν Ἀθηναίων δωδέκατος. ὠνομάσθη δὲ ἀπὸ τῆς Σκιράδος Ἀθηνᾶς. ζήτει ἐν τῷ Διὸς κώδιον.

Σκίρωμα. πάθος περὶ τὸ ἧπαρ ἀνίατον. ὅθεν καὶ ἧπαρ τὸ σκιρωθὲν τῷ πάθους ἀχθηδόνι.

Σκίρταλος. ὅτι Διογένης ὁ Σινωπεὺς γηραιὸς γεγονὼς ὑπὸ πειρατοῦ Σκιρτάλου ἐλήφθη.

Σκίταλοι. παρὰ Ἀριστοφάνει οἱ εὐτελεῖς καὶ πονηροί. ἦν Σκίτων κναφεύς τις, καὶ εὐτελὴς, ἐπὶ πονηρίᾳ κωμῳδούμενος.[6] Ἀριστοφάνης·

> Ἄγε δὴ Σκίταλοί τε, καὶ Φένακες, ἦν δ' ἐγὼ,
>
> [7] Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθωνες,
> Ἀγορά τ', ἐν ᾗ παῖς ὢν ἐπαιδεύθην ἐγώ·

Σκιραφεῖον. Sciraphiū. Locus ubi alea luditur. Forum aleatorium. In Sciro enim aleatores commorabantur, ut Theopompus auctor eſt.

Σκίῤῥον. Sordes, quæ ſunt in ſuperficie caſei. [Ariſtophanes:] *Hominem ſeorſim ab aliis cibum capientem, & canibus omnibus voraciorem; qui, poſtquam oram mortarii circumnavigaverat, vel ipſas caſeorum ſordes in urbibus repertas devoravit.*

Σκιῤῥόν. Aridum. Siccum.

Σκίρον. Scirum. Scira, feſtum apud Athenienſes: a quo & menſis Scirophorion appellatus eſt. Dicunt autem illi, qui de Menſibus & Feſtis Athenienſium ſcripſerunt, *ſcirum* umbellam fuiſſe, cum qua Minervæ ſacrificula & Neptuni Soliſque ſacerdos ex Arce in locum quendam, qui Scirus dicebatur, deducerentur: Eteobutadis umbellam iſtam ferentibus. Ea autem res ſignificabat, domos tunc & tecta exſtruenda eſſe, quod tempus illud ædificationi maxime opportunum eſſet. Et Minervam Sciradem Athenienſes colunt; quam Philochorus lib. II. *Rerum Atticarum*, a Sciro quodam, vate Eleuſinio, ſic dictam eſſe tradit. Praxion vero, libro II. *Rerum Megaricarum*, a Scirone quodam.

Σκίρος. Umbraculum. Umbella. [Et Σκίρα,] feſtum in honorem Minervæ celebrari ſolitum, eo tempore, quo ob ſummum æſtum homines umbellas ſibi parabant. Σκίρα enim dicuntur umbellæ: Alii vero feſtum hoc non indè ſic appellatum eſſe ajunt, ſed a Minerva, quam ex terra alba Theſeus fecit, cum occiſo Minotauro domum rediiſſet. Σκίρα enim eſt terra alba, ut gypſus. Alii tradunt, cognomen hoc a Sciro quodam Eleuſinio vate deductum eſſe. Alii a Sciro, qui in Salaminem colonos deduxit.

Σκίῤῥος. Gypſus.

Σκιροφοριών. Scirophorion. Menſis Athenienſium duodecimus, ſic dictus a Minerva Scirade. Quære in v. Διὸς κώδιον.

Σκίρωμα. Sciroma. Morbus inſanabilis in hepate. Unde etiam hepar σκιρωθὲν dicitur, quod illo morbo laborat.

Σκίρταλος. Scirtalus. Diogenes Sinopenſis, cum jam eſſet ſenex, a Scirtalo pirata captus eſt.

Σκίταλοι. Scitali. Apud Ariſtophanem ita vocantur vilis ſortis homines, & improbi. Fuit enim quidam Sciton, fullo, & homo vilis, qui propter improbitatem a Comicis carpebatur. Ariſtophanes:

> *Agite igitur Scitalique & Phenaces, inquiebam,*
> *Bereſchethique, & Cobali, & Mothones,*
> *Forumque, in quo puer inſtitutus ſum:*

1 Σκιραφεῖον. κυβευτ.] Ex Harpocratione: ſed apud quem pro ἐν Σκίρῳ legitur ἐν Σκίρωνι; minus recte. Stephanus Byzantius v. Σκίρος: Τὸ σκιράφιον δηλοῖ τὸν τόπον, εἰς ὃν οἱ κυβισταὶ (ſcribe, κυβευταὶ) συνίασι. καὶ ὁ σκιροφόρος σημαίνει τὸν ἀκόλαστον καὶ κυβευτὴν, ἀπὸ τῶν ἐν Σκίρῳ διατριβόντων. Vide etiam Pollucem, & Euſtath. ad *Odyſſ.* pag. 1397. 25.

2 Σκίῤῥον] Confer Heſych. v. Σκίῤῥος.

3 Κυνῶν ἁπάντων ἄνδ.] Hi tres Senarii leguntur apud Ariſtoph. *Veſpis*, pag. 496. (343. Ed. Baſ. P.)

4 Σκίρα, ἑορτὴ παρ' Ἀθ.] Ex Harpocratione. Confer. Meurſ. in *Græc. Fer.* v. Σκίρα.

5 Σκίρος] Sic rectius MSS. Pariſ. quam priores Editt. quæ habent σκίρας.

6 Ἀριστοφάνης] *Equit.* pag. 326. (225. Ed. Baſ. P.)

7 Βερέσχεθοί τε, καὶ Κ.] Verſus hic claudicat, quem Biſetus ſic in ordinem redigit,

> Βερέσχεθοί τε, καὶ Μόθωνες, καὶ κόβαλοι.

Sed nec ſic metro ſatis conſuluit, quoniam ſyllaba ſecunda in κόβαλοι longa eſt; ut patet ex alio verſu Ariſtophanis in *Equit.* p. 312.

> Καὶ νὴ Δί', ἄλλα γ' ἐστὶ μία κόβαλα παιδὸς ὄντος.

Quare ſcribendum eſt,

> Βερέσχεθοί τε, καὶ Κόβαλοι, καὶ Μόθων.

Certe Scholiaſtam hic legiſſe Μόθων, non vero Μόθωνες, ex ejus interpretatione patet.

Νῦν

Νῦν μοι θράσος καὶ γλῶτταν εὔπορον δότε,

φωνήν τ' ἀναιδῆ. ———

Ὀνοματοποίησεν ἀναπλάσας Δαίμονάς τινας ἀναιδεῖς ἐπὶ χλεύῃ, καὶ προφέρεται αὐτὰ ὡς Θεῶν· οἷον προτρεπόμενος αὐτὸν καὶ θρασύνων εἰς εὐτολμίαν καὶ ἀναίδειαν. Σκίταλοι μὲν οὖν, οἱ εὐτελεῖς καὶ πονηροί. Βερέσχεθοι δέ, οἱ ἀνόητοι. πέπλασται γὰρ ἡ λέξις. Κοάλεμοι δέ, οἱ ἀνόητα κοοῦντες καὶ νοοῦντες. Μόθων δέ, ὁ εὐτελής. Μόθωνας γὰρ ἐκάλουν οἱ Λάκωνες τοὺς παρεπομένους τοῖς ἐλευθέροις. ἔστι καὶ γένος ὀρχήσεως. τὸ δέ, ἦν δ' ἐγώ, ἀντὶ τοῦ, ἔφην δὲ ἐγώ, ὡς παρὰ Πλάτωνι.

Σκίφη.[1] Καὶ[2] τινος ποιητοῦ τοὺς στίχους ἔφη Κράντωρ ὁ Φιλόσοφος σκίφης εἶναι μεστούς.

Σκίφος. ὁ παρ' ἡμῖν λεγόμενος σκνιπός. ἢ τὸ ξίφος.

Σκνὶψ, καὶ σκνίψ. εἴδη ζωϋφίων. καὶ αἱ σκνῖπες.

Σκλαβηνόν. ἔθνος τὸ πέραθεν τοῦ Ἴστρου.

Σκληρὰ βροντή. Καὶ ἐν τούτῳ βροντάς τε σκληρὰς κτυπεῖν, καὶ ὕδωρ ἐξ οὐρανοῦ ἐμπίπλον χαλάσαι τοῖς βαρβάροις τὰς νευράς.

Σκληρᾶς[3] ἀοιδοῦ. τῆς Σφιγγός. τουτέστι, τῆς δυσκόλου, διὰ τὸ αἴνιγμα. ἢ τῆς φονικῆς.

Ὅς γ' ἐξέλυσας ἄστυ Καδμείων μολὼν
Σκληρᾶς ἀοιδοῦ δασμόν, ὃν παρείχομεν.

Σκληραύχενας. ἀκαμπεῖς.

Σκληροί.[4] Αἰλιανός· Οἱ ἄνεμοι οἱ σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα ἐκόπασαν· τὸ δὲ κῦμα ἐστορέσθη. καὶ παροιμία· Σκληρότερον ὑλακτῶν Ἠπειρώτου κυνός, συμφορὰς προσετρίβετο, καὶ ἐμεμήνει.

Σκληρόκηροι δέλτοι. αἳ μόλις μὲν γράφονται, διατηροῦσι δὲ τὰ γραφέντα.

Σκληφρός. ὁ σκληρός, καὶ παρηβηκώς. ὁ τὰ σκληρὰ φέρειν δυνάμενος. † Ἐκωμῳδοῦντο οἱ Ἀχαρνεῖς ὡς ἄγροικοι καὶ σκληροί. καὶ ζήτει ἐν τῷ Δραχαρνεῦ.

Σκνίψ. ζῶον κωνωπῶδες. [5] Καὶ σκνῖπες ἐν τοῖς ὁρίοις αὐτῶν. καὶ παροιμία· Σκνὶψ ἐκ χώρας. ἐπὶ τῶν ταχὺ μεταχινούντων ἡ παροιμία. ἔστι γὰρ ὁ σκνὶψ ζῶον μικρόν, ξυλοφάγον.

Σκοίπας. ὄνομα κύριον, καὶ Σκόπας.

Σκολιά.

[6] Σκολιῶν Μελίτου, Καρικῶν αὐλημάτων.

ὁ Μέλιτος οὗτος τραγικὸς ἦν ποιητής, ὁ Σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ

Nunc mihi audaciam & verborum copiam date,

Vocemque impudentem.———

Nomina Dæmonum quorundam impudentium riſus gratia confinxit, eaque ut Deorum profert, ad audaciam & impudentiam ipſe ſe adhortans & exſtimulans. Σκίταλοι igitur ſunt, vilis ſortis homines & improbi. Βερέσχεθοι, amentes. Eſt autem vox ficta. Κοάλεμοι, ſtulta conſilia animo agitantes. Μόθων, abjectæ ſortis homo. Lacones enim mothonas vocabant ingenuorum pediſſequos. Eſt item [μόθων] genus ſaltationis [ſervilis.] Illud autem ἦν δ' ἐγὼ poſitum eſt pro ἔφην δ' ἐγώ: ut apud Platonem.

Σκίφη. Sciphe. Crantor Philoſophus poetæ cujuſdam verſus ſciphes plenos eſſe dixit.

Σκίφος. Eſt idem, qui apud nos dicitur σκνιπὸς, i.e. avarus, ſordidus. Vel [ponitur pro] ξίφος, i.e. gladius.

Σκὶψ, & σκνίψ. Animalculorum genera. [Vermiculi ligna erodentes.]

Σκλαβηνόν. Sclaveni. Gens ultra Iſtrum.

Σκληρὰ βροντή. Horribile tonitru. Ingens cœli fragor. *Interea vero cœlum magno cum fragore tonuiſſe, imbreſque cadentes Barbaris nervos laxaſſe [ajunt.]*

Σκληρᾶς ἀοιδοῦ. Duræ vatis. Sphingis ſcilicet. Id eſt, difficilis: propter ænigma nimirum. Vel, crudelis, & cæde gaudentis. *Qui adventu tuo urbem Cadmeorum a duræ Sphingis tributo, quod ei pendebamus, liberaſti.*

Σκληραύχενας. Duræ cervicis homines. Contumaces.

Σκληροί. Duri. Aſperi. Vehementes. *Venti vehementes & adverſi confeſtim ceſſarunt, & fluctus ſtratus eſt.* Et proverbium: *Aſperius latrans cane Epirotico, malaque aliis inferens inſaniebat.*

Σκληρόκηροι δέλτοι. Tabellæ, in quibus propter ceræ duritiem difficulter quidem exarantur literæ, ſed quæ inſcripta diu ſervant.

Σκληφρός. Durus. Qui florem ætatis jam præteriit. Ætate provectus. Qui res duras ferre poteſt. † Acharnenſes ut agreſtes & duri a Comicis carpebantur. Quære in v. Δραχαρνεῦ.

Σκνίψ. Scnips. Animal culici ſimile. *Et ſcnipes erant in eorum finibus.* Et proverbium: *Scnips ex regione.* Hoc proverbium dicitur de illis, qui cito & facile locum mutant. Scnips enim eſt animal parvum, quod ligna erodit.

Σκοίπας. Scoipas. Nomen proprium. Et Scopas, pariter.

Σκολιά. Scolia. Carmina convivalia. *Scoliorum Meliti & Caricorum aulematum.* Melitus iſte fuit Poeta Tragicus, qui Socratem accuſavit. Perſtringitur autem a Comicis ut

1 Σκίφη] Quid vox iſta ſignificet, non conſtat, Grammaticis de ea tacentibus.

2 Καί τινος ποιητοῦ τοὺς ς.] Hæc ſunt verba Laertii in *Crantore*, Segm. xxvii.

3 Σκληρᾶς ἀοιδοῦ. τῆς Σφιγ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Tyran.* pag. 150. ut Portus monuit.

4 Σκληροί. Αἰλιανός· Οἱ ἄν.] Locum hunc ex MSS. ſupplevi. Ante enim legebatur, Σκληροί τε καὶ ἐχθροὶ παραχρῆμα, &c. Cæterum, fragmentum hoc Æliani ampliari poteſt ex ipſo Suida ſupra v. Ἐνέρσεσι: quem locum confer.

5 Καὶ σκνῖπες ἐν τοῖς ὁρίοις αὐτῶν] Hæc ſunt verba Davidis: Pſalm. civ. 31. ſecundum verſionem lxx. Interpretum.

6 Σκολιῶν Μελ.] Senarius hic exſtat apud Ariſtoph. *Ranis*, pag. 273. (180. Ed. Baſ. *P.*) ſed ubi minus recte legitur, ——— καὶ Καρικῶν αὐλημάτων. Particula enim καὶ, ut ſuperflua & metro verſus repugnans, expungenda eſt.

ποιήσῃ, καὶ ὡς πονηρὸς τὸν τρόπον. τὰ δὲ Καρικὰ αὐλήματα, μέλη θρηνώδη ἐστί.

Σκολιόν.[1] ἡ παροίνιος ᾠδή. ὡς μὲν Δικαίαρχος ἐν τοῖς περὶ μυσικῶν ἀγώνων,[2] ὅτι τρία γένη ἦν ᾠδῶν· τὸ μὲν ὑπὸ πάντων ᾀδόμενον καθ' ἕνα ἑξῆς· τὸ δ' ὑπὸ τῶν συνετωτάτων, ὡς ἔτυχε, τῇ τάξει· ὃ δὴ καλεῖσθαι διὰ τὴν τάξιν σκολιόν. ὡς δ' Ἀριστόξενος καὶ Φύλλις ὁ Μυσικὸς, ὅτι ἐν τοῖς γάμοις περὶ μίαν τράπεζαν πολλὰς κλίνας τιθέντες, παρὰ μέρος ἑξῆς μυρσίνας ἔχοντες ᾖδον γνώμας καὶ ἐρωτικὰ σύντονα. ἡ δὲ περίοδος σκολιὰ ἐγίνετο, διὰ τὴν θέσιν τῶν κλινῶν.

rent. Circuitus autem erat obliquus, quod

Σκολιόν. ὑπόμνημα ἔγραψεν Τυραννίων περὶ τοῦ σκολιοῦ μέτρου, ὃ προσετέθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος.

Σκολιόν. τὸ[3] ῥᾴδιον, κατ' ἀντίφρασιν. μέλος τι ὀλιγόστιχον.[4] Τῶν ἀγαθῶν τῶν ἀνθρωπικῶν τὸ μὲν πρεσβύτερον· τὸ δὲ, δεύτερον· ὡς καὶ[5] Πλάτων φησὶ, καὶ[6] τὸ Σκολιὸν ᾄδει. οἷον πλοῦτος, καὶ ὑγίεια.

Σκολιόν.[7] Τιμοκρέων ὁ Ῥόδιος, ἐποποιὸς, τοιοῦτον ἔγραψε τὸ Σκολιὸν κατὰ τοῦ πλούτου, οὗ ἡ ἀρχή·

[8]Ὤφελες, ὦ τυφλὲ πλοῦτε,
Μήτε ἐν γῇ, μήτε ἐν θαλάσσῃ, μήτε ἐν ἠπείρῳ
Φανήμεναι·
Ἀλλὰ τάρταρόν τε ναίειν, κ' Ἀχέροντα.
Διὰ σὲ γὰρ πάντ' ἐν ἀνθρώποις κακά.

τούτοις ἔοικε τὰ ὑπὸ Περικλέους εἰσηνεχθέντα. ἔγραψε γὰρ ψήφισμα τοιοῦτο ὁ Περικλῆς· Μεγαρέας μήτ' ἀγορᾶς, μήτε θαλάσσης, μήτ' ἠπείρου μετέχειν·[9] ὁμοια τιθεὶς Σκολιὰ τοῖς τοῦ Τιμοκρέοντος. καὶ αὖθις·

Νόμους ἐτίθει ὥσπερ Σκολιὰ γεγραμμένους.

περὶ Περικλέους.[10] ὃς ἦν Ῥόδιος, καὶ μελῶν ποιητής. καὶ σκολιὸς, ὁ πανοῦργος.

Σκολόπενδρα. ἑρπετόν.

Σκόλοψ. ξύλον ὀξύ. καὶ οἱ τῶν Φοινίκων. καὶ σκόλοπες, πληθυντικῶς.[11] Σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντεμπαγῶ. παροιμία. Σχοῖνος, εἶδος φυτοῦ, κατὰ τὸ ἄκρον ὀξέος. λέγει οὖν, ὅτι τρώσω αὐτοὺς ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός. ἐπειδὴ εἰώθεσαν σκόλοπας ἐγκρύπτειν ἐν ταῖς ἀμπέλοις, ἵνα μηδεὶς ἐξ ἐπιδρομῆς καὶ[12] εὐχερῶς κακουργῇ. Σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντιμπαγῶ ἵνα μηκέτι πατῶσι τὰς ἀμπέλους τὰς ἐ-

poeſi frigidus, & moribus improbis præditus. Carica vero carmina, erant carmina lugubria.

Σκολιόν. Scolium. Id eſt, carmen, quod inter pocula cani ſolebat. Ut Dicæarchus in libro de Muſicis certaminibus tradit, tria cantionum erant genera: unum, quod ab omnibus ſingulatim ordine canebatur: alterum, quod a doctioribus tantum, prout ordo ferret: idque ob ordinem [obliquum] σκολιὸν vocatum eſſe [ajunt.] Ut vero Ariſtoxenus & Phyllis Muſicus [ſcribunt, Scolium inde appellatum eſt,] quod in nuptiis circa unam menſam pluribus lectis collocatis, [ii, qui aderant,] myrtos tenentes, alter poſt alterum ſententias & carmina amatoria ordine canerent. Circuitus autem erat obliquus, quod lecti ſic collocati eſſent.

Σκολιόν. Obliquum. Tyrannion ſcripſit commentarium de metro obliquo, quod ei propoſitum fuit a C. Cæſare.

Σκολιόν. [Proprie, obliquum. At] per antiphraſin, facile. Item, carmen quoddam paucorum verſuum. *Bonorum humanorum unum eſt præſtantius; alterum vero, ſecundum ab eo locum tenens: ut Plato ait, & Scolium canit.* Nimirum, divitiæ, & ſanitas.

Σκολιόν. Scolium. Timocreon Rhodius, poeta Epicus, tale Scolium contra divitias ſcripſit, cujus initium eſt: *O cœcæ divitiæ, utinam nec in terra, nec in mari, nec in continente unquam viſæ fuiſſetis: ſed in Tartaro & Acheronte habitaretis. Vos enim omnium malorum inter homines cauſa eſtis.* His ſimile eſt pſephiſma a Pericle ſcriptum, quo Megarenſes foro, mari, & continenti arcebantur. [Ait enim Ariſtophanes de Pericle:] *Leges ferebat tanquam Scolia ſcriptas.* [Intelligit autem Scolium Timocreontis,] qui erat Rhodius, & poeta Melicus. Et σκολιὸς, aſtutus, fraudulentus.

Σκολόπενδρα. Scolopendra. Animal reptile.

Σκόλοψ. Palus. Lignum acutum. Vallus. Et σκόλοπες, in plurali. *Tanquam acutus ſurculus & juncus eis infixus hærebo.* Proverbium. Juncus autem eſt genus plantæ in ſummo acutæ. Ait igitur, Vulnerabo eos tanquam juncus acutus & pungens. Solebant enim palos acutos in vineis occultare, ne quis temere ingreſſus vites facile læderet. [Poſtquam igitur dixiſſet,] *Tanquam acutus ſurculus & juncus illis infixus hærebo*; [me-

1 Σκολιόν. ἡ παροίνιος ᾠδή. ὡς μὲν Δικ.] Hæc omnia etiam leguntur apud Scholiaſtam Ariſtophanis loco citato.

2 Ὅτι τρία γένη ἦν ᾠδῶν] Confer omnino Athen. lib. xv. pag. 694.

3 Τὸ ῥᾴδιον, κατ' ἀντίφρασιν] Negat hoc Proclus apud Photium, Cod. ccxxxix. pag. 988.

4 Τῶν ἀγαθῶν τῶν ἀνθρ.] Hæc leguntur etiam ſupra v. Ἀρχίας: ubi Nos vide.

5 Πλάτων φησί] In *Gorgia*, pag. 283.

6 Τὸ Σκολιὸν ᾄδει] Verba ipſa Scolii habes apud Athenæum loco ante laudato.

7 Σκολιόν. Τιμοκρέων ὁ Ῥόδ.] Hæc omnia leguntur etiam apud Scholiaſtam Ariſtophanis ad *Acharnenſ.* pag. 396, 397. (183. Ed. Baſ. P.)

8 Ὤφελες, ὦ τυφλὲ πλ.] Scolium hoc Timocreontis in divitias legitur etiam apud Scholiaſtam Ariſtoph. ad *Ranas*, pag. 273. Ejuſdem quoque meminit Iſidorus Peluſiota lib. II. Epiſt. CXLVI. pag. 173. ſic inquiens. Ἔθος γὰρ ἦν παλαιὸν, μετὰ τὴν συνεστίασιν ἅπτεσθαι λύρας, καὶ ᾄδειν· Ἀπόλοιο, ὦ πλοῦτε, καὶ μήτε ἐν γῇ φανείης, μήτε ἐν θαλάσσῃ.

9 Ὅμοια τιθεὶς Σκολιὰ τοῖς τοῦ Τιμ.] Locus hic ita ſcribendus eſt. Ὁμοίους τιθεὶς νόμους τοῖς Σκολιοῖς τοῦ Τιμοκρέοντος. φησὶ γὰρ Ἀριστοφάνης· Νόμους ἐτίθει. &c.

10 Ὃς ἦν Ῥόδιος, καὶ μελῶν ποιητής] Cave hæc de Pericle accipias. Sunt enim intelligenda de Timocreonte Rhodio. Vide paulo ante.

11 Σκόλοψ αὐτοῖς καὶ σχοῖνος ἀντ.] Locum hunc ante mutilum ex MSS. ſupplevi. In prioribus enim Editt. ſic legitur, Σκόλοψ αὐτοῖς καὶ σχοῖνος. εἶδος φυτοῦ, &c. omiſſis nimirum verbis illis, ἀντεμπαγῶ. παροιμία. Σχοῖνος. Cæterum, pro ἀντεμπαγῶ ſcribendum eſt, ἅτ' ἐμπαγῶ, ut legitur apud Ariſtoph. *Acharnenſ.* pag. 382. unde hæc excerpſit Suidas. Ἅτε autem hic idem ſignificat quod ὡς, i. e. tanquam. Confer etiam Noſtrum infra v. Σχοῖνος.

12 Εὐχερῶς κακουργῇ. Σκόλοψ αὐτ.] Locus hic ex Scholiaſta Ariſtophanis ſic ſupplendus eſt: Εὐχερῶς κακουργῇ. ἐπειδὴ οὖν προεῖπε, Σκόλοψ αὐτοῖς ὡς σχοῖνος ἅτ' ἐμπαγῶ· εἰκότως ἐπήνεγκε τοῦτο, Ἵνα μηκέτι πατῶσι, &c.

μάς.

μάς. † Καὶ τοὺς σκόλοπας, οἳ ἀνεῖχον ἀπὸ τῆς ὑλοτομίας, προσεκκόπτειν, καὶ τὰ ἐδάφη ὁμαλίζειν.

Σκολύθεια. ὑποπόδια.

Σκόλυθρον. σκνιπὸν, καὶ ἀνελεύθερον.

Σκομβρίζει. γογγύζει.

Σκομβρίσαι. παρὰ Ἰόβα ἐν δευτέρῳ [1]Φθορᾶς λέξεως, [2]παιδιᾶς ἀσελγοῦς εἶδος ἀποδίδοται, καὶ κατὰ τὸ ἦτρον πλατεῖ τῷ ποδὶ πλήσσοντος, ὡς ψόφον ἐργάσασθαι.

Σκόπας,[3] Αἰτωλῶν στρατηγὸς, ὃς ἀποτυχὼν τῆς ἀρχῆς, ἧς χάριν ἐτόλμα γράφειν τοὺς νόμους, μετέωρος ἦν. ἀφικόμενος γὰρ εἰς Ἀλεξάνδρειαν, ταῖς ἐκεῖθεν ἐλπίσι πεπεισμένος ἀναπληρώσειν τὰ λείποντα τοῦ βίου καὶ τὴν τῆς ψυχῆς πρὸς τὸ πλεῖον ἐπιθυμίαν, οὐκ ἔστεργε τοῖς παροῦσιν, ἀλλ᾽ ἀκόρεστος ἦν. πρὸς γὰρ ταῖς ὠφελείαις, ὧν ἦν αὐτὸς κύριος, διὰ τὸ πιστεύεσθαι περὶ τῶν ὅλων, καὶ τῆς ἡμέρας ἑκάστης ὀψώνιον ἐξέθηκεν ὁ βασιλεὺς αὐτῷ δεκαμναιαῖον· τοῖς δὲ ἐπί τινος ἡγεμονίας μετὰ ταῦτα τεταγμένοις, μναιαῖον. ἀλλ᾽ ὅμως οὐκ ἠρκεῖτο τούτοις· [4]οἷς τὸ πρότερον προσκαρτερῶν τῷ [5]πλείονι διετέλεσε μέχρι τέλους διὰ τὴν ἀπληστίαν. καὶ παρ᾽ αὐτοῖς τοῖς διδοῦσι φθονηθεὶς, καὶ πνεῦμα προσαπέθηκε τῷ χρυσίῳ.

Σκόπας. ὄνομα κύριον. [6]Ὁ μὲν Σκόπας ἠδόξει, τῆς πολιορκίας ῥεμβώδους γενομένης. τουτέστιν, ἠμελημένης.

Σκοπελιανὸς,[7] Κλαζομένιος, σοφιστὴς, γεγονὼς ἐπὶ Νέρβα, σοφιστεύσας ἐν Σμύρνῃ. ἀκροατὴς δὲ ἐγένετο Νικήτου, συγχρονῶν Ἀπολλωνίῳ τῷ Τυανεῖ· πρὸς ὃν καὶ ἐπιστολὰς ἔγραψεν Ἀπολλώνιος.

Σκοπέλῳ. ὑψηλῷ τόπῳ.

Σκοπιά. ὑψηλὸς τόπος. Καὶ ἕτεροι τὰς ὑπερδεξίους τῶν πεδίων καταλαμβάνουσι σκοπιάς. Αἰλιανός· Οὐκ ἐπαινεῖ Θεὸς οὐδὲ τοὺς τὰ μέτρια πατοῦντας, γλιχομένους γεμῶν τῶν ὑπὲρ ἑαυτούς τι, καὶ ὑψηλὰς σκοπιάς.

Σκοπιάζων. σκοπῶν, ἀποβλέπων. καὶ σκοπιαζέμεν.

Σκοπιήτης. κατάσκοπος. ἐν Ἐπιγράμμασι·

> Σοὶ[8] τάδε, Πὰν Σκοπιῆτα, παναίολα δῶρα σύναιμοι
>
> Τρίζυγες ἐκ τρισσῆς θέντο λινοστασίης.

Σκοπιμώτατον. ζήτει ἐν τῷ Γεννικκή.

Σκοπιωροῦντα. φυλακτικῶς σκοποῦντα ἀπὸ μετεώρου.

Σκοπόν. τύπον, ᾧ στοιχοῦσι καὶ ἀκολουθοῦσι.

rito ſubjungit:] *Ne amplius vineas meas conculcent.* † *Et ſtipites, qui poſt ſylvam ſuccisſam eminebant, inſuper reſecare, & ſolum complanare* [*juſſi ſunt.*]

Σκολύθεια. Scabella, quæ pedibus ſubjiciuntur.

Σκόλυθρον. Sordidum, & illiberale.

Σκομβρίζει. Muſſitat. Murmurat.

Σκομβρίσαι. Apud Jubam libro II. de corrupta dictione vox hæc ſignificare dicitur genus laſcivi ludi: cum quis nempe planta pedis imum alicujus ventrem feriens ſtrepitum edit.

Σκόπας. Scopas, Ætolorum Prætor, fruſtratus principatu, cujus maxime cauſa leges ſcribere auſus fuerat, Alexandriam cogitabat, ratus ſeſe illius urbis opibus inopiam ſuam atque immenſam animi cupiditatem facile expleturum: ſed revera cupiditate erat inexplebili. Nam præter commoda atque emolumenta militiæ, cui ipſe præfectus erat, cum rerum ſumma ejus fidei committeretur, in ſingulos dies decem minas ſtipendii nomine a Rege accipiebat; cum cæteris in inferiori gradu conſtitutis unica mina daretur. Neque his tamen contentus, adhuc plura, ut antea, concupiſcebat: donec ob hujuſmodi cupidinem etiam ipſis, qui ei tantas opes largiebantur, inviſus, cum auro ſimul & ſpiritum amiſit.

Σκόπας. Scopas. Nomen proprium. *De Scopa ſiniſtra hominum erant judicia, quod obſidio eſſet remiſſior.*

Σκοπελιανός. Scopelianus, Clazomenius, Sophiſta, qui ſub Nerva vixit, & Smyrnæ eloquentiam docuit. Fuit autem auditor Nicetæ, æqualis Apollonii Tyanenſis: ad quem etiam Apollonius epiſtolas ſcripſit.

Σκοπέλῳ. Scopulo. Excelſo loco.

Σκοπιά. Specula. Locus editus. *Alii vero ſpeculas planitiei imminentes occupant.* Ælianus: *Non probat Deus illos, qui modica pedibus conculcant, petunt autem ea, quæ ſupra ſe ſunt poſita, altaſque ſpeculas.*

Σκοπιάζων. Speculans. Spectans. Intuens. Et σκοπιαζέμεν, [pro σκοπιάζειν,] ſpeculari.

Σκοπιήτης. Speculator. In Epigrammate: *Hæc tibi, Pan Speculator, varia dona conſanguinei fratres tres triplici venatione parta dedicarunt.*

Σκοπιμώτατον. Id quod tanquam finis primarius nobis propoſitum eſt. Quære in v. Γεννικκή.

Σκοπιωροῦντα. Ex loco ſublimi ſpeculantem, ut [hoſtes] obſervet.

Σκοπόν. Scopum, ſive typum, quem aliqui ſequuntur, & imitandum ſibi proponunt.

1 Φθορᾶς λέξεως] Sic reſcripſi auctoritate MStorum Pariſ. Antea enim legebatur, Φορᾶς λέξεως: quod nihili eſt. Eandem emendationem & Pearſonius ad oram libri ſui notaverat: utrum ex ingenio, an vero ex cod. MS. affirmare non habeo.

2 Παιδιᾶς ἀσελγοῦς εἶδος] Confer Heſych. v. Ῥαθαπυγίζειν.

3 Σκόπας, Αἰτωλῶν στρατηγὸς, κ.τ.λ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis, pag. 61.

4 Οἷς τὸ πρότερον] Lego, ἀλλ᾽ ὡς τὸ πρότερον.

5 Τῷ πλείονι διετέλεσε μέχρι τ.] Locum hunc ſic potius legerim & diſtinxerim, τῷ πλείονι διετέλεσε μέχρι τέλους. ἕως διὰ τὴν ἀπληστίαν καὶ παρ᾽ αὐτοῖς, &c.

6 Ὁ μὲν Σκόπας ἠδ.] Fragmentum hoc, quod Valeſius Polybio aſſignat, legitur etiam ſupra v. Ῥεμβώδης.

7 Σκοπελιανὸς, Κλαζ.] Ejus vitam deſcribit Philoſtratus lib. 1. *de Vit. Soph.* pag. 514. & ſeqq.

8 Σοὶ τάδε, Πὰν Σκοπ.] Diſtichum hoc legitur *Anthol.* lib. VI. cap. XV. ubi integrum Epigramma vide.

Σκο-

Σκοπός. κατάσκοπός τις, καὶ ἔφορος, καὶ ἀποσκοπῶν τὰ πόῤῥω.

Σκοπῶν. ἀντὶ τοῦ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων, περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ. καὶ ἄσκοπος, [1] ᾧ μὴ ἔστι τύπος.

Ἄσκοπον, ἀγγελίαρχον, ἀσώματον, εἴδεϊ μορφῆς
Ἆ μέγα τολμήεις κηρὸς [2] ἀπεπλάσατο.

Σκοπῶ. τὸ βλέπω. αἰτιατικῇ.

Σκορακίζειν. οἷον ἐς κόρακας ἀποπέμπειν. ἀπὸ τούτου γὰρ εἴρηται· ὡς καὶ τὸ οἰμώζειν, ἀπὸ τοῦ οἴμοι. καὶ σκορακισμός.

Σκορδινᾶσθαι. τὸ παρὰ φύσιν ἀποτείνεσθαι τὰ μέλη μετὰ τοῦ χασμᾶσθαι διακλώμενον. [3] Ἀριστοφάνης Ἀχαρνεῦσι·

Στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι.

τινὲς δὲ περὶ τοὺς ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη· ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλως πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη.

Σκορδινῶμαι. [4] ἀντὶ τοῦ κλῶμαι. σπασμῷ συνέχομαι. οἱ γὰρ ἀπὸ πληθωρίας σκορόδων ἐμοῦντες, διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσοῦν κενοῦσθαι, σκορδινᾶσθαί ἐστιν. οἱ δὲ κυρίως τὸ σκορδινᾶσθαί φασιν ἐπὶ τῶν κυνῶν, τῶν ἐξ ὕπνου ἀνισταμένων, ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσιν. ἔστιν οὖν σκορδινᾶσθαι, τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. γίνεται δὲ [5] ἀπὸ ἀναλογίας τὸ τοιοῦτο.

Σκοροδίοις. τοῖς τῶν σκορόδων φύλλοις. Ἀριστοφάνης Πλούτῳ·

—Ἀποψώμεθα δ' οὐ λίθοις ἔτι,
Ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.

[6] Γελοίως ἀντὶ τοῦ, [7] σαβάνοις. ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόροδα, τοῦτό φησιν, ὅτι ὡς πλουτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. εἴρηται δὲ σκόροδον ἴσως, σκαιόν τι ῥόδον ὄν· παρὰ τὸ σκαιὸν ὄζειν. τινὲς δὲ σκοροδίοις, τοῖς τῶν σκορόδων καυλοῖς. λιμῷ δὲ περιπεσόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. οὐχ ἁπλῶς δὲ τοῦτο, ἀλλ' ἵνα δείξῃ, ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε, ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφοδεύοντες ἀποματτόμεθα. μήποτε δέ φησι τοῦ σκορόδου τὸν καυλόν. ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος, ὡς κἀκεῖνος, ἐπιτήδειος εἰς τοῦτο. εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς. καὶ αὖθις·

[8] Ἀπόλλυμαι τὰ σκόροδα πορθούμενος.

ἐκ τῶν ἀγρῶν ἔρχεται ἔχων φορτίον σκόροδα, καὶ ἐπηρεά-

Σκοπός. Speculator, vel cuſtos, & qui ea, quæ longe remota ſunt, e ſpecula ſpectat.

Σκοπῶν. [Speculans. Spectans. Vel,] accurate & diligenter aliquid perpendens & conſiderans. Et ἄσκοπος, qui nullam habet figuram, quæ ſpectari poſſit. Nulla arte imitabilis. [In Epigrammate:] *Nulla arte imitabilem, Angelorum Rectorem, corporis expertem, ſpecie formæ* [*humanæ,*] *o nimis audax cera effinxit.*

Σκοπῶ. Speculor. Specto.

Σκορακίζειν. Idem eſt, ac ſi diceres, ἐς κόρακας ἀποπέμπειν. Ad corvos amandare. Inde enim vox hæc dicta eſt: ut & οἰμώζειν, lugere, lamentari, ab οἴμοι.

Σκορδινᾶσθαι. Pandiculari, ſive, præter naturam membra corporis cum oſcitatione extendere, & veluti diſtorquere. Ariſtophanes *Acharnenſibus: Gemo, hio, pandiculor, pedo.* Quidam hoc de iis dici tradunt, qui, cum ex ſomno expergiſcuntur, oſcitantes membra totius corporis extendunt: quod etiam accidit illis, quorum membra cruciatibus diſtorquentur.

Σκορδινῶμαι. Diſtorqueor. Convulſione laboro. Pandiculor. [A σκόροδον, allium.] Qui enim ob nimium alliorum eſum vomunt, propter acrimoniam eorum graviores convulſiones ſentiunt. Vomere vero, & quocunque modo evacuari, dicitur σκορδινᾶσθαι. Secundum alios vero τὸ σκορδινᾶσθαι proprie dicitur de canibus, qui, cum ex ſomno excitantur, totius corporis membra extendunt. Σκορδινᾶσθαι igitur eſt, cum oſcitatione corpus diſtorquere, vel extendere.

Σκοροδίοις. [Alliis. Vel,] alliorum foliis. Ariſtophanes *Pluto: Non amplius nates lapidibus abſtergimus, ſed ſemper alliorum foliis, præ luxu.* Ridicule [hoc a Comico dictum eſt,] pro σαβάνοις, i. e. linteis. Quoniam vero antea allia ſemper edere ſolebant, [ideo Comicus] hoc dicit, [ſignificare volens,] eos, poſtquam divites evaſiſſent, antiquam victus rationem contemnere cœpiſſe. Σκορόδιον autem fortaſſe dictum eſt, quaſi σκαιόν τι ῥόδον, i. e. roſa quædam ſiniſtra, vel ingrata; quod nempe ingratum odorem ſpiret. Quidam vero σκοροδίοις [interpretantur,] alliorum caulibus. Illis enim Athenienſes fame laborantes veſcebantur. Non ſimpliciter autem hoc [dicit,] ſed ut oſtenderet, eos victus rationem adeo mutaſſe, ut, quorum eſu ante contenti eſſent, iis nates nunc tergerent. [Aliter.] Videndum eſt, annon forte intelligat caulem allii. Eſt enim aſphodelo ſimilis, &, ſicut ille, ad nates tergendas aptus. Si quam vero mordacem vim habet, fortaſſe præter expectationem hoc [Comicus] dixerit. Et iterum: *Perii! Allia enim* [*ab Odomantibus*] *mihi auferuntur.* [Dicæopolis nimirum] ex agro ve-

1 Ὧ μὴ ἔστι τύπος] In MS. A. rectius legitur, οὗ μὴ ἔστι σκοπός.
2 Ἀπεπλάσατο] Malim, ἀνεπλάσατο ut legitur ſupra Tom. 1. pag. 1.
3 Ἀριστοφάνης] *Acharnenſ.* pag. 371. (262. Ed. Baſ. *P.*)
4 Σκορδινῶμαι. ἀντὶ τοῦ κλῶμαι, σπασμῷ σ.] Ex Scholiaſta Ariſtophanis ad locum citatum.
5 Ἀπὸ ἀναλογίας] Apud Enarratorem Comici legitur, ἀπὸ ἀλογίας. Sed neutra lectio ſenſum habet ſanum.
6 Γελοίως ἀντὶ τοῦ, σαβ.——παρὰ τὴν ὑπόνοιαν εἰρηκώς] Hæc omnia leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Plutum*, pag. 82. (41. Ed. Baſ. *P.*)
7 Σαβάνοις] Eſt vox Græco-barbara, de qua vide Dufreſnium in Gloſſario Græco.
8 Ἀπόλλυμαι τὰ σκόρ.] Ariſtophanes *Acharnenſ.* pag. 378. (268. Ed. Baſ. *P.*)

——Οἴμοι τάλας, ἀπόλλυμαι
Ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

ζεται

ζεται ὑπὸ τῶν ξένων λιμωττόντων, καὶ διαρπαζόντων αὐτά· παρ' ὅσον οἱ πορθμευόμενοι ἀπόλλυνται. ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες οὐκ ἀπεικότως. θερμὰ γάρ εἰσιν. οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται. καὶ παροιμία· Σκόροδον ἐν δικτύοις. οἱ Ἀθηναῖοι μέλλοντες πλεῖν καὶ ἐξιέναι, ταῦτα ὠνοῦντο, καὶ ἐν λίνοις ἔβαλλον.

nit, faſcem alliorum geſtans; quem peregrini fame laborantes adoriuntur, alliaque ei eripiunt. Thraces vero alliis delectantur, idque merito. Sunt enim calida. Thraces vero frigidam regionem incolunt. Et proverbium: *Allium in retibus.* Athenienſes enim, cum navigaturi vel peregre profecturi erant, allia empta in retia conjiciebant.

Σκορπίδια. μηχανικὸν ἀλέξημα. [1]Ὁ δὲ Ἀρχιμήδης πάλιν ἑτέραν ἡτοιμάκει παρασκευὴν πρὸς τοὺς μαχομένους ἐκ τῶν πλοίων. ἀπ' ἀνδρομήκους ὕψους κατεπύκνωσε τρήμασι τὸ τεῖχος, ὡς παλαιστιαίοις τὸ μέγεθος κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορπίδια παραστήσας ἐντὸς τοῦ τείχους, διὰ τούτων ἀχρήστους ἐποίει τοὺς ἐπιβάτας.

Σκορπίδια. Parvi ſcorpiones. Machinæ bellicæ. [Polybius:] *Archimedes vero alium rurſus apparatum adverſus eos, qui e navibus dimicabant, inſtruxit. Murum enim crebris cavis ad humanæ ſtaturæ modum, ſed qui extrinſecus palmares eſſent, aperuit. Ibi ſagittariis ac ſcorpiunculis ab interiore muri parte appoſitis, per iſtos petens hoſtem, inutiles* [*navium Romanarum*] *epibatas reddebat.*

Σκορπιαίνεσθαι. ἀποθηριοῦσθαι. τραχύνεσθαι. αὐθαδίζεσθαι. Ἐς [2]μέν τοι τὰς συνθεατρίας εἰώθει ἐσαεὶ σκορπιαίνεσθαι. βασκανίᾳ γὰρ πολλῇ εἴχετο. Προκόπιος. [3]Ἦν δὲ ἄγαν ἡ Θεοδώρα σκορπιώδης (τουτέστι, πληκτική) καὶ ὀργὴν σκοτεινή.

Σκορπιαίνεσθ. [Scorpiorum inſtar] efferari. Trucem eſſe. Exaſperari. Pervicacem & arrogantem ſe præbere. *Erga mulieres ejuſdem theatri ſemper aſperam & trucem ſe præbere ſolebat, quippe ingenti adverſus eas invidia flagrans.* Procopius. [Et idem alibi:] *Theodora enim erat maxime maligna, & ad nocendum parata, occultamque animo iram fovebat.*

Σκορπίος.

Σκορπίος. Scorpius. Sive, Scorpio.

Σκοταῖος ἦλθεν. ἀντὶ τοῦ, ἔτι σκοτίας οὔσης. Οἱ δὲ στρατιῶται ἐλθόντες σκοταῖοι, εἶδον τὰ σώματα, καὶ νόμῳ τῶν Βαβυλωνίων ἐπέῤῥιψαν αὐτοῖς, ὁ μὲν, κάνδυν, ὁ δὲ, χλαμύδα, ὁ δὲ, ψωμοὺς, ὁ δὲ, ἀκρόδρυα· καὶ μέγα κεφάλαιον ἠθροίσθη μικρῶν κερματίων. † Οἱ δὲ ὕστεροι σκοταῖοι παρεστῶτες ηὐλίζοντο.

Σκοταῖος ἦλθεν. Tunc venit, cum adhuc eſſent tenebræ. *Milites vero, cum noctu veniſſent, cadavera viderunt, & Babyloniorum more in ea conjecerunt, alius candyn; alius chlamydem; alius fruſta panis; alius fructus arboreos: & magna ſumma minutorum nummorum collecta eſt.* † *Poſtremi vero, qui noctu acceſſerant,* [*ibi*] *pernoctarunt.*

Σκοτεινόν. ἀφεγγές.

Σκοτεινόν. Tenebroſum. Obſcurum.

Σκόπος. [4]Ἦν δὲ Ἰουστινιανὸς δολερὸς, κατάπλαστος, σκότιος ὀργήν. καὶ σκότιος, ὁ τοῦ σκότους.

[5]Φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες. οὔτι πενιχρὴ
Μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.

[6]Σκότιον δέ ἑ γείνατο μήτηρ. τουτέστιν, ἐκ λαθραίας μίξεως. Σκότιος οὖν, ὅπερ ἐστὶ λαθραῖος. Παρθένιος δὲ, ὁ ἀπὸ παρθένου δοκούσης γεγονώς.

Σκότιος. Obſcurus. Occultus. *Juſtinianus vero erat homo doloſus, & fictus, & qui iram callide occultare ſciret.* Et σκότιος, in tenebris degens. Tenebrarum amans. [In Epigrammate:] *Fugite ex tugurio mures tenebrarum amantes. Haud enim paupercula arca panaria Leonidæ mures paſcere novit.* Et, *Ille vero ex furtiva venere matri natus eſt.* Σκότιος enim hic dicitur ille, qui ex clandeſtino concubitu natus eſt. At παρθένιος eſt ille, qui ex ea, quæ virgo eſſe creditur, natus eſt.

Σκοτοδινιᾷ. σκοτοῦται. μετὰ σκότους ὀφθαλμῶν συστρέφεται· ὅ ἐστιν, ἰλιγγιᾷ.

Σκοτοδινιᾷ. Caligat. Vertigine laborat.

Σκοτόμαινα. σκότωσις. Σκοτομήνη δὲ, νὺξ ἀσέληνος. καὶ σκοταῖος, ὁ ἔτι σκότους ὄντος παραγενόμενος.

Σκοτόμαινα. Caligo. Tenebræ. Σκοτομήνη vero, nox illunis. Et σκοταῖος, qui tunc venit, cum adhuc ſunt tenebræ.

Σκότος. ἀρσενικόν. Αἰλιανός· Καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος. καί τοι τὰ τῆς ὥρας οὐδαμῆ χειμέρια ἦν.

Σκότος. [Caligo. Tenebræ. Nox. Obſcuritas. Eſt interdum] maſculinum. Ælianus: *Et toto die denſiſſimæ erant tenebræ, quamvis anni tempeſtas neutiquam eſſet hyberna.*

Σκότος. ζήτει ἐν τῷ Ἀόρατον.

Σκότος. Tenebræ. Quære in v. Ἀόρατον.

Σκότος. [7]αἱ θλίψεις. Φῶς δὲ, ἡ τούτων ἀπαλλαγή. [8]Δαβίδ· Φωτιεῖς τὸ σκότος μου.

Σκότος. Tenebræ. [Sic in S. Scriptura vocantur] calamitates. Lux vero, liberatio a malis. David: *Illuminabis tenebras meas.*

1 Ὁ δὲ Ἀρχιμήδης πάλ.] Fragmentum hoc legitur apud Polybium lib. VIII. cap. VI.

2 Ἐς μέν τοι τὰς συνθεατρ.] Hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. IX.

3 Ἦν δὲ ἄγαν ἡ Θεοδ.] Hæc apud Procopium Hiſt. Arc. cap. I. (inde enim ea Suidas mutuatus eſt) de Antonina, Beliſarii uxore, non vero de Theodora, dicuntur.

4 Ἦν δὲ Ἰουστινιανὸς δολ.] Et hæc ſunt verba Procopii *Hiſtor. Arc.* cap. VIII.

5 Φεύγεθ' ὑπ' ἐκ καλ.] Diſtichum hoc legitur Anthol. lib. I. cap. XXVIII. pag. 70. ubi integrum Epigramma vide.

6 Σκότιον δέ ἑ γείνατο μήτηρ.] Hæc ſunt verba Homeri Il. Z. v. 24. ubi Scholiaſtes: Σκότιον. ἐκ λαθραίας μίξεως. τὸν λάθρα γεγεννημένον, καὶ οὐκ ἐκ τοῦ κατὰ νόμον γαμηθείσης. τὸν ἐξ ἀδιαδεχήτου γάμου.

7 Σκότος. αἱ θλίψεις. φῶς δ.] Ex Theodoreto ad Pſalm. XVII. 29.

8 Δαβίδ.] Pſalmo laudato.

Σκότος παρὰ τῇ θείᾳ γραφῇ, ποτὲ μὲν, ἡ ἄγνοια· ποτὲ δὲ, αἱ συμφοραί. καὶ φῶς ὡσαύτως ἡ γνῶσις, καὶ ἡ τῶν κακῶν ἀπαλλαγή.

Σκώληξ. εἶδος ζωϋφίου.

Σκώλια.[1] τὰ Σκώλια ἦγον ἑορτὴν οἱ Ἀθηναῖοι ἐν ᾗ ἥλλοντο τοῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. καὶ ζήτει ἐν τῷ Ἀσκοῦ μορμολύττεσθαι.

Σκῶλος. εἶδος ἀκάνθης. ἢ σκάνδαλον.

Τοῦ μὲν ἐγὼ ζώοντος [2] ἀναιδέσιν ἐμπήξαιμι
Σκώλους ὀφθαλμοῖς, καὶ, εἰ θέμις, ὠμὰ πασαίμην.

καὶ αὖθις·

Ἔκ μοι σκῶλον ἔρυσον, ὅ μοι κακὸν ἔμπεσεν ὁπλῇ.

ὁ ὄνος φησὶ πρὸς τὸν λύκον.

Σκωμμάτιον. καὶ σκώμματα. [3] Ἀριστοφάνης·

Οὐδὲν ἄρ' ἐμοῦ μέλον. οἷον δὲ μόνον εἰδέναι,
Σκωμμάτιον εἴ ποτέ τι θλιβόμενος ἐκβαλῶ.
Ταυτὶ κατιδὼν ὑπό τι μικρὸν ἐπεθήκισα.

Σκώπτης. ὁ λοίδορος. καὶ σκωπτόλης, ὁ Λυσίστρατος. † Ἡ κωμῳδία τὸν σκωπτικὸν ἐπίχαριν καλεῖ. καὶ ζήτει ἐν τῷ Ἀνασεσυρμένην.

Σκωπτόλαι. φιλοσκώμμονες. [4] Σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες, καὶ δεδώκασι τῇ ὀθόνῃ μᾶλλον ἢ σοφίᾳ Ἀθηναῖοι.

Σκῶρ. κόπρος. ἀποπάτημα. καὶ κλίνεται σκατός.

Σκῶρ [5] ἀεὶ νῶν. τινές φασι τὸ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν Ἀταλάντης δράματι. ψεῦδος δέ. πολλῷ γὰρ ὕστερον τῶν Βατράχων. Σκῶρ δὲ ἀεὶ νῶν, τὸ ἀεὶ ῥέον. νάον, νῶν. σκῶρ δὲ, ἀποπάτημα, κόπρος. καὶ ἔστιν ἑτερόκλιτον. ἡ γὰρ γενικὴ, σκατός. Ἀριστοφάνης Βατράχοις·

——Εἶτα βόρβορον πολὺν
Καὶ σκῶρ ἀεὶ νῶν.——

Καὶ σκωραμίς. ἀμὶς μὲν, ἐν ᾗ οὐροῦσι. σκωραμὶς δὲ, ἐν ᾗ ἀποπατοῦσιν.

Ἵνα [6] μὴ γένωμαι σκωραμὶς κωμῳδική.

καὶ σκωροποιῶ, ἐξ αὐτοῦ.

Σκωρεία. οὕτως ἡ παράδοσις.

Σκώψ. εἶδος ὀρνέου νυκτερινοῦ.

Σκρίβων. [7] Σκρίβων κατὰ Λατίνους, ὁ τῶν σωματοφυλάκων ὑπερφερόμενος.

Σκρινιάριος. [8] ὁ χαρτουλάριος τοῦ Ἐπάρχου. ὁ αἴρων τὸ σκρίνιον, ἤτοι τὸ κιβώτιον.

Σκυβαλίζεται. ἀποδοκιμάζεται. ἀτιμάζεται ὡς σκύβαλον. κυρίως δὲ σκύβαλον, κυσίβαλόν τι ὄν, τὸ τοῖς

Σκότος. Tenebræ. Sic in S. Scriptura modò quidem vocatur ignorantia: modo vero, calamitates. Et contra, Lux, cognitio, & liberatio a malis.

Σκώληξ. Animalculi genus. Vermis. Lumbricus.

Σκώλια. Aſcolia. Feſtum, apud Athenienſes celebrari ſolitum, in quo in honorem Bacchi per utres ſaliebant. Quære in v. Ἀσκοῦ μορμολύττεσθαι.

Σκῶλος. Genus ſpinæ. Spina. Lignum præacutum. Feſtuca. Vel, ſcandalum. *Hujus ego viventis impudentibus oculis ſpinas infigam, & , ſi fas ſit, carnes ejus vel crudas devorem.* Et iterum: *Spinam extrahe, ungulæ meæ infixam.* Aſinus hoc ad lupum dicit.

Σκωμμάτιον. Cavillulus. Parvum ſcomma. Et σκώμματα, cavilli, ſalſi joci. Ariſtophanes: *Nulla mei habita ratione illud tantum ſcire cupiebant, an, dum verberibus cæderer, ſalſo aliquo cavillulo [Cleonem] petiturus eſſem. Hoc cum viderem, paululum ei aſſentatus ſum.*

Σκώπτης. Cavillator. Deriſor. Dicax. Et σκωπτόλης, idem. † Comici dicacem & cavillatorem vocant jucundum & facetum. Quære in v. Ἀνασεσυρμένην.

Σκωπτόλαι. Cavillatores. Deriſores. Dicaces. *Athenienſes omnes ſunt cavillatores & petulantes, & velo nautico magis ſe addixerunt, quam ſapientiæ.*

Σκῶρ. Merda. Stercus. Declinatur, σκατός.

Σκῶρ ἀεὶ νῶν. Stercus ſemper fluens. Quidam ajunt primum Strattin in *Atalante* fabula uſum eſſe voce σκῶρ: quod falſum eſt. Nam [fabula illa Strattis] multo poſterior eſt *Ranis* [Ariſtophanis.] Σκῶρ ἀεὶ νῶν vero eſt, ſtercus ſemper fluens. [A νάω, fluo: unde] νάον, [& contracte,] νῶν. Σκῶρ vero eſt, excrementum, merda: eſtque nomen heteroclitum. Declinatur enim σκατός. Ariſtophanes *Ranis. Deinde cœnum multum & ſtercus ſemper fluens.* Et σκωραμίς, [compoſitum eſt ex σκῶρ, & ἀμίς.] Et ἀμὶς quidem eſt, matula. Σκωραμὶς vero, laſanum, ſive vas, in quo ventris onus deponitur. *Ne fiam laſanum Comicum.*

Σκωρεία. Sic Grammatici vocem hanc ſcribendam eſſe tradunt. Scoria. Excrementum metallorum. [Alii vero ſcribunt σκωρία, per ι.]

Σκώψ. Scops. Genus avis nocturnæ. Noctua.

Σκρίβων. Scribon. Sic ſecundum Latinos vocatur ſatellitum regiorum præfectus.

Σκρινιάριος. Scriniarius. Chartularius Præfecti. Sive, qui ſcrinium ſervat.

Σκυβαλίζεται. Rejicitur. Contemnitur ut quiſquiliæ. Proprie vero σκύβαλον dicitur id,

1 Σκώλια] Mira hallucinatio Suidæ. Scribendum enim erat Ἀσκώλια, idque ſuo loco ponendum. Vide ſupra v. Ἀσκὸς, ubi luſus hic pluribus deſcribitur.

2 Ἀναιδέσιν] Sic recte MS. A. At in prioribus Editt. vitioſe legitur ἀναιδέσιος.

3 Ἀριστοφάνης] In *Veſpis*, pag. 523. (358. Ed. Baſ. P.)

4 Σκωπτόλαι τε καὶ ὑβρ.] Hæc ſunt verba Philoſtrati lib. 1. *de Vita Apoll.* cap. v. pag. 8. quæ etiam leguntur ſupra v. Εὐθύδημος.

5 Σκῶρ ἀεὶ νῶν. τινές φ.] Ex Scholiaſta Ariſtoph. ad *Ranas*, pag. 218. (136. Ed. Baſ. *P.*) Confer Nos ſupra ad v. Ἀεννάν.

6 Ἵνα μὴ γέν.] Senarius hic legitur apud Ariſtophanem *Ranis*, pag. 734 (493. Ed. Baſ. *P.*)

7 Σκρίβων κατὰ Λατ.] Hæc ſumpta ſunt ex Theophylacti Simoc. lib. 1. cap. iv. ut & ante nos monuit Dufrenius in Gloſſario Græco, v. Σκρίβων.

8 Σκρινιάριος. ὁ χαρτ.] Vide de hac voce Dufrenium in utroque Gloſſario.

κυσὶ βαλλόμενον. [1]Ἐν Ἐπιγράμμασι·

Οὐδ' ἀπὸ δειπνιδίου γευόμενος σκυβάλου,
Σπεύδων εἰς ἄλλους οἴκους ἴθι.

Σκυδμαίνω. ὀργίζομαι.

Σκυζᾷν. ἐπὶ συνουσίᾳ ὁρμᾷν. Ἡ κάμηλος κύει μῆνας δέκα· τῷ δὲ ἑνδεκάτῳ τίκτει· καὶ πάλιν διαλιποῦσα ἐνιαυτὸν, σκυζᾷ.

Σκύζομαι. ὀργίζομαι.

Σκύθαινα. ἡ ὑπηρέτις. [2]Ἀριστοφάνης· Ποῦ 'σθ' ἡ Σκύθαινα.

Σκύθαι. [3]ὅτι ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων, Σκυθῶν οἱ περιλειφθέντες ἐκ τῶν προλαβουσῶν ἐπαρθέντες ἐφόδων ἐπὶ Γαλιηνοῦ τοῦ μικροῦ, Ἐρούλους καὶ Πευκέστας καὶ Γότθους παραλαβόντες, καὶ περὶ τὸν Τύραν ποταμὸν ἀθροισθέντες, εἰσέβαλον εἰς τὸν Πόντον. ναυπηγησάμενοι δὲ [4]πλοῖα ἐννακόσια, καὶ τούτοις ἐμβιβάσαντες δύο καὶ τριάκοντα μυριάδας, ἄραντες διὰ τοῦ Πόντου, πόλει [5]Τόμῃ προσβαλόντες ἀπεκρούσθησαν. ὡσαύτως καὶ Μαρκιανουπόλει. ἐπεὶ δὲ τὰ στενὰ τῆς Προποντίδος κατέλαβον, ἐκ τοῦ ῥεύματος τὰ πλοῖα ἀλλήλοις προσήρασσε, καὶ ἐπεφέρετο τὰ σκάφη σὺν οὐδενὶ κόσμῳ, τῶν κυβερνητῶν μεθιέντων τοὺς οἴακας· ὥστε τὰς μὲν καταδῦναι αὐτάνδρους· τινὰς δὲ καὶ ἀνδρῶν ἐρήμους ὀκεῖλαι· καὶ πλεῖστοι ἀπώλοντο. οἱ δὲ περιλειφθέντες τὴν ἐπὶ Κύζικον ἔπλεον, καὶ ἄχρι τοῦ Ἄθω περιενεχθέντες, καὶ τῶν πλοίων ἐπιμέλειαν ποιησάμενοι, Κασσάνδρειαν καὶ Θεσσαλονίκην ἐπολιόρκουν. ἀποκρουσθέντες δὲ, ἐς τὴν μεσόγειον ἀναβάντες, πᾶσαν χώραν ἐλῄζοντο, καὶ κατὰ διαφόρους χώρας διεφθείροντο. ὅσοι δὲ διεσώθησαν, Ῥωμαίοις συνηριθμήθησαν, καὶ πρὸς γεωργίαν ἐτράποντο.

Σκύθης [6]ὁρᾷ. καὶ παροιμία· [7]Σκύθης τὸν ὄνον. ἐπὶ τῶν ἀκκιζομένων τῷ λόγῳ, ἔργῳ δὲ ἐφιεμένων. ἰδὼν γάρ τις νεκρὸν ὄνον, ἔφη· Δεῖπνόν σοι, ὦ Σκύθα. ὁ δὲ ἐμυσάξατο μὲν πρῶτα. αὖθις δὲ πολυπραγμονήσας περὶ αὐτὸν ἐπονεῖτο. † Ὅτι Ἀνάχαρσις Σκύθης ἦν, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν· ὃς ἔθηκε νόμους Σκύθαις.

Σκυθικαί. [8]εἶδός τι ὑποδήματός εἰσιν, ὡς Ἀλκαῖος ἐν η. Σκυθικὰς ὑποδυσάμενοι.

Σκυθρωπάζω. τὸ στυγνάζω. μεταφορικὴ ἡ λέξις. ἀπὸ τοῦ Σκύθης, καὶ τοῦ ὤψ, ὠπός· ὃ σημαίνει τὸ πρόσωπον. ὄψ γὰρ, ἡ φωνὴ, διὰ τοῦ ο μικροῦ.

——————[9]Ὦ Πλάτων,

quod canibus projicitur: quaſi dicas κυσίβαλον. In Epigrammate: *Ne vilibus quidem cœnæ reliquiis guſtatis, propere in alias domos abi.*

Σκυδμαίνω. Iraſcor.

Σκυζᾷν. Venerem, vel coitum appetere. *Camelus decem menſes fœtum in utero geſtat; undecimo vero parit: & anno intermiſſo rurſus coitum appetit.*

Σκύζομαι. Iraſcor.

Σκύθαινα. Scythæna. Id eſt, famula. Ancilla. Ariſtophanes: *Ubinam eſt ancilla?*

Σκύθαι. Scythæ. Sub Claudio Romanorum Imperatore, quotquot Scythæ erant ſuperſtites, ſucceſſu, quo in ſuperioribus irruptionibus ſub Galieno juniore uſi fuerant, elati, Herulis & Peuceſtis & Gothis ſibi adjunctis, & circa fluvium Tyram collecti, in Pontum irruperunt. Fabricatis vero nongentis navibus, impoſitiſque in eas trecentis & viginti millibus hominum, navigatione per Pontum inſtituta, Tomos urbem & Marcianopolin aggreſſi ſunt; ſed irrito conatu. Poſtea, cum ad anguſtias Propontidis perveniſſent, ob fluxus celeritatem naves inter ſe collidebantur, & lembi nullo ordine ferebantur, gubernatoribus clavos e manibus dimittentibus: adeo ut partim cum hominibus ipſis demergerentur; partim vacuæ vadis & ſcopulis illiderentur; plurimique perirent. Reliqui vero Cyzicum verſus navigarunt: cumque ad montem Atho delati naves ſuas refeciſſent, Caſſandriam & Theſſalonicen obſederunt. Inde vero repulſi, in regionem mediterraneam irruptionem fecerunt, eamque longe lateque populati, variis in locis perierunt. Superſtites vero Romanis annumerati ſunt, & agros deinceps coluerunt.

Σκύθης ὁρᾷ. Scytha videt. Et proverbium: *Scytha aſinum.* Dicitur de illis, qui rem, quam verbis ſe aſpernari ſimulant, revera appetunt. Quidam enim aſinum mortuum conſpicatus, dixit: *En tibi cœnam, Scytha.* Ille vero rem primum quidem averſatus eſt. Poſtea vero aſinum diligenter quæſivit, & eo veſci cœpit. † Anacharſis fuit Scytha, ſed matre Græca natus, & ideo bilinguis: qui Scythis leges tulit.

Σκυθικαί. Scythicæ. Genus quoddam calceorum, ut ait Alcæus libro VIII. *Scythicis induti.*

Σκυθρωπάζω. Triſti & tetrico ſum vultu. Eſt vocabulum metaphoricum, [compoſitum] ex Σκύθης, & ὤψ, vultus. Ὄψ enim, per ο, ſignificat vocem. *O Plato, qui nihil aliud noſti, quam vultum contrahere, & coch-*

1 Ἐν Ἐπιγράμμασι] Integrum Epigramma exſtat Anthol. lib. I. cap. XXXIII. pag. 70.

2 Ἀριστοφάνης] *Lyſiſtrata*, pag. 846.

3 Ὅτι ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.] Locus hic ſumptus eſt ex Zoſimi Hiſtor. lib. I. ut dudum ante monuit Henr. Valeſius ad Amm. Marcell. lib. XXXI. pag. 423.

4 Πλοῖα ἐννακόσια] Zoſimus habet, πλοῖα ἑξακισχίλια: quæ immanis eſt differentia. Ammianus Marcellinus *vero lib.* XXXI. pag. 445. eandem hiſtoriam narrans, Scythas duo millia navium habuiſſe refert.

5 Τόμῃ] Zoſimus rectius, Τόμοις. Sic enim plurali numero nomen urbis illius a ſcriptoribus efferri ſolet.

6 Σκύθης ὁρᾷ] MSS. Pariſ. Σκύθης ὁ ῥῶς. Sed quid hoc? An, Σκύθης ὁρῶς?

7 Σκύθης τὸν ὄνον. ἐπὶ τῶν ἀκκ.] Hæc totidem pene verbis leguntur etiam in Vaticana Proverbiorum Appendice. Confer Noſtrum ſupra v. Ἀκκιζόμενος, & v. Ὁ Σκύθης.

8 Σκυθικαί. εἶδός τι ὑποδ.] Ex Harpocratione. Apud Heſychium vero male legitur, Σκυδικαί.

9 Ὦ Πλάτων, ὡς οἶδ.] Eſt fragmentum Amphidis Comici, quod legitur etiam apud Laertium in *Platone*, Segm. XXVIII. unde id Suidas mutuatus eſt.

Ὡς οὐδὲν οἶδα πλὴν σκυθρωπάζειν μόνον,
Ὥσπερ κοχλίας σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

Σκῦλα. [1] τὰ ἀπὸ τῶν πολεμίων ἀνῃρημένα, τὰ ἐκ τῶν νεκρῶν. λάφυρα δὲ, τὰ ἐκ τῶν ζώντων. καὶ σκυλοφόρος. [2] ἐν Ἐπιγράμματι·

Ἑσπερίας Μάρκελλος ἀνερχόμενος πολέμοιο
Σκυλοφόρος ταναῆς τέρμα παρ' Ἰταλίης.

καὶ σκυλοδεψῶν. [3] Ἀριστοφάνης·

Ὅσοις δὲ κλίνη μηδ' ἔστι, μηδὲ στρώματα,
Ἰέναι καθευδήσοντας ἐς τῶν σκυλοδεψῶν.

ἐπὶ τῶν λαθεῖν μὴ δυναμένων.

Σκύλλα. [4] ἐν τῷ Τυῤῥηνικῷ πελάγει θηρίον ἐμυθεύετο εἶναι, [5] μέχρι μὲν ὀφθαλμῶν γυναικὸς περικαλλοῦς σχῆμα ἔχον· ἑκατέρωθεν δὲ κυνῶν κεφαλὰς ϛʹ. τὸ δὲ ἄλλο σῶμα ὀφιῶδες.

Σκύλαξ [6] Καρυανδεὺς, (πόλις δὲ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα) μαθηματικὸς, καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς τῶν Ἡρακλέους στηλῶν. Τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα. Γῆς περίοδον. Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

Σκυλεύω. αἰτιατικῇ.

Σκυμνεία γονή. ἡ τῶν σκύμνων.

Σκύμνος. σκύλαξ λέοντος.

[7] Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.
Μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν.
Ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

Αἰσχύλος λέγει περὶ Ἀλκιβιάδου, μὴ [8] ἀνατρέφειν φρόνιμον· ἐὰν δὲ ἀνατραφῇ, μὴ ἐρεθίζειν, ἀλλὰ πιθασσεῦσαι. καὶ ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέξασθαι. ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, μὴ καταδέξασθαι, ἢ καταδεξάμενον προσφορεῖν. καὶ ὁ μὲν Αἰσχύλος σοφῶς εἶπεν· ὁ δὲ Εὐριπίδης σαφῶς.

leæ inſtar ſupercilia cum gravitate quadam ſubducere.

Σκῦλα. Spolia, quæ hoſtibus cæſis detrahuntur. Λάφυρα vero, ſpolia, quæ viventibus detrahuntur. Et σκυλοφόρος, qui ſpoliis onuſtus ex prælio redit. In Epigrammate: *Heſperio Marcellus ex bello ſpoliis onuſtus ad longæ fines Italiæ revertens.* Et σκυλοδεψῶν, coriariorum. Ariſtophanes: *Quibus vero lectus non eſt, neque ſtragula, eant dormituri in coriariorum ædes.* Dicitur de iis, qui latere non poſſunt.

Σκύλλα. Scylla. In Tyrrheno mari monſtrum eſſe fabulæ ferebant, ad oculos uſque formam pulcherrimæ mulieris habens: utrinque ſena capita canina: reliquo vero corpore ſerpentem referens.

Σκύλαξ. Scylax Caryandenſis, (Caryanda vero eſt urbs Cariæ prope Halicarnaſſum) Mathematicus, & Muſicus. [Scripſit] Periplum locorum extra columnas Herculis. De Heraclide Mylaſſorum Rege. Terræ periodum. Librum adverſus Polybii hiſtoriam.

Σκυλεύω. Accuſativo jungitur. Spolio.

Σκυμνεία γονή. Leonina progenies.

Σκύμνος. Catulus leonis. *Non oportet catulum leonis in civitate alere: multo vero minus leonem. Si quis vero in ea nutritus fuerit, moribus ejus obſequendum eſt.* Æſchylus [apud Ariſtophanem hæc] de Alcibiade [dicit. Significare autem vult,] virum elati animi non eſſe [in civitate] alendum: ſi vero nutritus fuerit, eum non eſſe irritandum, ſed obſequio demulcendum. Et Euripides quidem ſuaſit, [ejuſmodi virum] non eſſe [in civitatem] recipiendum. Æſchylus vero talem ſententiam dixit: Aut non eſſe recipiendum; aut, ſi cum receperis, ingenio ejus obſequendum. Et Æſchyli quidem dictum eſt ſapiens; Euripidis vero, planum & perſpicuum.

Σκυρίαν [9] δίκην. οἱ σκηπτόμενοι ἐν ταῖς δίκαις ἔφασκον εἰς Σκῦρον ἀποδημεῖν. Σκῦρος δὲ, νῆσός ἐστι.

Σκυρίπτω. κερατίζω. καὶ κυρίπτω.

Σκυτάλαι. στρογγύλα καὶ λεῖα ξύλα. παρὰ δὲ Ἡροδότῳ, ῥάβδος.

Σκυτάλη. βακτηρία ἀκροπαχής. ἢ φραγγέλιον.

Σκυτάλη. [10] ἐπιστολὴ Λακωνική. ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπιμηκές. δύο δὲ παρὰ Λακεδαιμο-

Σκυρίαν δίκην. Scyrium judicium. Qui in judiciis prætextu utebantur, dicebant, ſe in Scyrum profectos domo abfuiſſe. Scyrus autem eſt inſula.

Σκυρίπτω, & κυρίπτω. Cornu peto. Cornu ferio.

Σκυτάλαι. Scytalæ. Rotunda & polita ligna. Sed apud Herodotum [ita vocatur,] baculus.

Σκυτάλη. Scytale. Baculus, craſſum habens caput. Vel, ſcutica.

Σκυτάλη. Scytale. Epiſtola Laconica. Scytale autem erat lignum politum & oblongum.

1 Σκῦλα. τὰ ἀπὸ τ.] Eandem differentiam vocum σκῦλον & λάφυρον docet etiam Etymologus; ſed apud quem pro θνητῶν ſcribendum eſt, τεθνεώτων.

2 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XXII. ubi integrum Epigramma vide.

3 Ἀριστοφάνης] In *Eccleſiaz.* pag. 736. (494. Ed. Baſ. *P.*) ubi ſic legitur:

Ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα,
Ἰέναι καθευδήσοντας ἀπονενιμμένους
Ἐς τῶν σκυτοδεψῶν.

Hinc Suidam ſupplebis. At apud Ariſtophanem pro σκυτοδεψῶν ex Suida reponendum eſt σκυλοδεψῶν. Syllaba enim prima in σκυτοδεψῶν longa eſt; at in σκυλοδεψῶν, anceps: quæ proinde metro verſus non adverſatur. Σκυλοδέψης autem & σκυτοδέψης idem ſignificant. Photius in Lexico MS. Σκυλοδέψος. ὁ τὰ κῶδια ἐργαζόμενος. Vide etiam Heſych. v. Σκυλοδέψιος, & v. Σκύλον; & Enarratorem Comici ad *Ranas*, pag. 251.

4 Σκύλλα. ἐν τῷ Τυῤῥηνικῷ πελ.] Hæc totidem pene verbis leguntur etiam apud Nonnum in Gregorii Nazianzeni *Steliteut.* pag. 144. ut Pearſonius obſervaverat.

5 Μέχρι τῶν ὀφθαλμῶν] Scribendum eſt, μέχρι τοῦ ὀμφαλοῦ, i. e. uſque ad umbilicum: ut habet Nonnus loco laudato.

6 Σκύλαξ Καρυανδ.] De hoc vide omnino Voſſium in opere *de Hiſt. Gr.* lib. I. cap. XIX. ubi Suidam diverſos Scylaces confundere contendit.

7 Οὐ χρὴ λέοντος σκ.] Tres hi Senarii Jambici leguntur apud Ariſtophanem *Ranis*, pag. 279. (185. Ed. Baſ. *P.*)

8 Μὴ ἀνατρέφειν φρ.] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis: ſed apud quem pro φρόνιμον rectius legitur, φρόνημα ἔχοντα.

9 Σκυρίαν δίκην. οἱ σκ.] Aliter proverbium hoc interpretatur Heſychius: quem vide.

10 Σκυτάλη. ἐπιστολὴ Λακων.] Hæc omnia totidem verbis leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Aves*, pag. 601.

νίοις σκυτάλαι. καὶ τὴν μὲν μίαν κατεῖχον οἱ Ἔφοροι τῶν Λακεδαιμονίων· τὴν δὲ ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν περιείλουν τὴν σκυτάλην, καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον. καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. ὁ δὲ στρατηγὸς δεχόμενος τὸν ἱμάντα, τῇ ἑαυτοῦ σκυτάλῃ περιειλίττε, καὶ ἐγίνωσκεν οὕτω τὰ γεγραμμένα. λέγεται οὖν καὶ ἡ ἐπιστολή, καὶ αὐτὸ τὸ ξύλον, ἐφ' ᾧ ἡ ἐπιστολή. Διοσκορίδης δ' ἐν τοῖς περὶ νομίμων, τοὺς δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην, δύο παρόντων μαρτύρων, καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι. καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι· τὸ δὲ, δι' ἑαυτοῦ ἔχειν. ἐχρῶντο δ' αὐτῷ καὶ ἀλλοίως, ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ, [1] μβ'.

Duæ vero ſcytalæ erant apud Lacedæmonios: quarum alteram Lacedæmoniorum Ephori retinebant; alteram vero tradebant duci, quem ad bellum emittebant. Et quoties aliquid ei mandare volebant, afferebant album lorum, quo ſcytalem involvebant, & in eo [mandatum] ſcribebant. Deinde lorum replicantes, id tabellario tradebant abſportandum. Hoc autem faciebant, ne tabellarii, qui ſcytalas ferebant, ſcire poſſent, quid in eo ſcriptum eſſet. Dux vero lorum illud accipiens, circa ſuam ſcytalen circumplicabat, & ita res in eo ſcriptas cognoſcebat. Dicitur igitur ſcytale, & epiſtola, & ipſum lignum, in quo ſcripta eſt epiſtola. Dioſcorides vero in opere de Moribus & Inſtitutis dicit, fœneratores Spartæ dividere ſcytalen, duobus teſtibus præſentibus, & in utraque ejus parte contractum ſcribere: & alteram quidem uni ex teſtibus dare; alteram vero ſibi reſervare. Utebantur autem ſcytala & alio modo, ut Ariſtoteles in Ithacenſium Republica ſcribit. *Port.*

Σκυταλίδες. [2] πυροβόλα ἐργαλεῖα. ἦσαν δὲ τοιαῦτα σκυτάλια ξύλινα, τὰ μὲν, ποδιαῖα, τὰ δὲ, πηχυαῖα· πάντα δὲ ταῖς κατασκευαῖς ἦσαν ἀκροθιγῆ. ταῦτα κέντροις σιδηροῖς διείληπται τὰς κεφαλάς. διὰ δὲ τῶν κέντρων διεπέπλεκτο στυππεῖον, καὶ δᾶδες· κατὰ δὲ αὐτῶν πίττα κατακέχυτο. καὶ οἱ μὲν ἀνεδίδοσαν ἐνάπτοντες· οἱ δὲ ἔβαλλον ἀπὸ τόνου ταῦτα περὶ τὰς πρώτας οἰκίας· ὧν προσπιπτόντων μετὰ βίας, καὶ τῶν κέντρων ταῖς σανίσι ἐμπηγνυμένων, προσέμενε τὸ πῦρ, καὶ ταχέως ἧπτε.

Σκυταλίδες. Scytalides, vel ſcytalia. Inſtrumenta ignem jaculantia. Hæc vero ſcytalia erant lignea: & alia quidem unius pedis magnitudinem habentia: alia vero, unius cubiti. Omnia vero ſic erant fabricata, & adeo acuta, ut ea vix ſummo digito quis auderet attingere. Hæc ferreis ſtimulis in capitibus erant diſtincta. In ipſis vero ſtimulis implicita erat ſtuppa, & faces, eademque erant perfuſa pice. Et alii quidem hæc incenſa in altum tollebant; alii vero magno niſu in primas ædes jaculabantur. Facibus igitur magna cum vi in ædes incidentibus, cum ſtimuli tabulatis infigerentur, ignis perſeverabat, & celeriter ædes incendebat. *Port.*

Σκυτάλι' [3] ἐφόρουν. ἀντὶ τοῦ, ἐλακώνιζον.

Σκυτάλι' ἐφόρουν. Scytalas ferebant. Id eſt, laconiſſabant.

Σκύταλον. τὸ ῥόπαλον.

Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην.

ὅ ἐστι, βακτηρία ἀκροπαχής. [4] Ἀριστοφάνης·

Τὸ σκύταλον ἐξήνεγκα τὸ τοῦ Λαμίου.

οὗτος δὲ πένης, ἀπὸ ξυλοφορίας ζῶν· διὸ καὶ βακτηρίαν ἐξενέγκας αὐτοῦ φησιν εἶναι. κωμῳδεῖται γὰρ ὡς δεσμοφύλαξ.

Τουτέστ' ἐκεῖνο τῶν σκυταλῶν, ὧν πέρδεται.

ἀντὶ τοῦ, ὧν φέρει. ἢ ἴσως ὑπὸ τοῦ βάρους ἐπέρδετο.

Σκύταλον. Clava. Fuſtis. *Ego clavam protuli.* Vel, baculum, craſſum habentem caput. Ariſtophanes: *Clavam Lamiæ protuli.* [Hic Lamias] erat pauper, qui lignis bajulandis victum ſibi quærebat. Quare etiam dicit, eum protuliſſe baculum Lamiæ. A Comicis enim perſtringitur ut carceris cuſtos. *Hæc eſt una ex clavis, quarum cauſa [Lamias] pedit.* [Πέρδεται] præter expectationem dixit,] pro Φέρει, i.e. fert. Vel fortaſſe nimio onere gravatus pedebat.

Σκύτινος. δερμάτινος. σκῦτος, τὸ δέρμα. [5] Ἀριστοφάνης·

Ἁμαξίδας τε σκυτίνας εἰργάζετο.

τουτέστι, δερματίνας ἁμάξας ἐποίει. † Ἐπὶ [6] τῇ κεφαλῇ κράνη σκύτινα, οἷά περ τὰ Παφλαγονικά, κρώβυλον ἔχοντα κατὰ μέσον ἐγγυτάτω τιαροειδῆ.

Σκύτινος. Coriaceus. Σκῦτος enim eſt corium. Ariſtophanes: *Plauſtellaque coriacea conficiebat.* Et, *In capite ferebant galeas coriaceas, cujuſmodi ſunt Paphlagonicæ, quæ criſtam habent in medio, proxime accedentem ad tiaræ ſpeciem.*

Σκυτίς, σκυτίδος.

Σκυτίς. Pellicula. Parva pellis.

Σκυτοδέψης. Ἀττικόν. βυρσοδέψης δὲ, Ἀσιανόν.

Σκυτοδέψης. Eſt nomen Atticum. Βυρσοδέψης vero, Aſiaticū. Utrumq; ſignificat coriarium.

1 Μβ.] Notæ hæ numerorum deſunt in Lexico Photii MS. & recte quidem, ut puto.

2 Σκυταλίδες. πυροβ.] Miror, unde hæc Suidas ſumpſerit. Forſan ex Titulo Collectaneorum Conſtantini Porphyrogenneti, qui περὶ Ἐκφράσεως inſcribebatur, & variarum rerum deſcriptiones, ex veteribus ſcriptoribus excerptas, continebat. Tituli autem hujus meminit Suidas ſupra v. Σάμβυκαι.

3 Σκυτάλι' ἐφόρουν] Eſt initium Senarii Jambici, qui legitur apud Ariſtoph. *Avibus*, pag. 601. (416. Ed. Baſ. *P.*)

4 Ἀριστοφάνης] *Ecclesiaz.* pag. 726. (487. Ed. Baſ. *P.*) ubi totus locus rectius ſic legitur:

Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην,
Τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρα.
Τοῦτ' ἔστ' ἐκεῖνο τῶν σκυταλῶν, ὧν πέρδεται.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

5 Ἀριστοφάνης] *Nubibus*, pag. 175. [105. Ed. Baſ. *P.*]

6 Ἐπὶ τῇ κεφ.] Hæc ſunt verba Xenophontis, lib. v. Ἀναβ. pag. 352. Vide etiam ſupra v. Κρώβυλος, ubi idem fragmentum legitur.

Σκυτοδέψης. δερματομαλάκτης. καὶ βυρσοδέψης. Κλέων ὁ Ἀθηναῖος, ὁ Κλεαινέτου, στρατηγός, μανιώδης ἀνήρ, βυρσοδέψου παῖς.

Σκυτοδέψης. Coriarius. Et βυρσοδέψης, idem. [Sic autem ab Ariſtophane vocatur] Cleon Athenienſis, Clexneti filius, exercitus dux, homo furioſus, & coriarii filius.

Σκῦτος. πᾶν δέρμα. ἀφ' οὗ καὶ σκυτεύς. Ὁ δὲ εἰς τὸ κράνος φέρει τὸ δόρυ, οὐ μὴν τοι διεῖλέ γε, περιολισθούσης οἱ τῆς αἰχμῆς ἐπὶ τὸ ξίφος.

Σκῦτος. Quævis pellis. Quodvis corium. Et σκυτεύς, coriarius. *Ille vero haſta galeam ferit: non tamen eam diviſit, quod cuſpis ejus in gladium incidiſſet.*

Σκυτοτόμος. σκυτεύς. λωροτόμος. [1] Ἀριστοφάνης· Καὶ δῆτα πάντα σκυτοτόμοις εἰκάζομεν. ἀλλ' ὑπερφυῶς ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ ἐκκλησία. περὶ τῶν γυναικῶν λέγει, ὅτι ἦσαν λευκαί. ἐπειδὴ γὰρ οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, καὶ εἰσὶν ἐσκιατραφημένοι, τοῦτο εἴρηκε.

Σκυτοτόμος. Coriarius. Coriorum ſector. Cerdo. Ariſtophanes: *Sunt ſane omnes coriarii, ut ex aſpectu conjicimus. Concio enim intuentibus ſupra modum alba apparet.* Loquitur nimirum de mulieribus, quæ erant albæ. Ideo autem hoc dicit, quod cerdones in umbra ſedentes opificium ſuum exerceant, & umbraticam vitam agant.

Σκύφος. ποτήριον. Καὶ σκύφον Ἡρακλέους προπιόντος γε, ἀπνευστὶ πιὼν ἔσχε κακῶς. προπιόντος γε, ἀντὶ τοῦ προπιμῶντος.

Σκύφος. Scyphus. Poculum. *Cum autem poculum ab Hercule ſibi propinatum uno hauſtu ebibiſſet, male ſe habuit.*

Σμάραγδος. θηλυκῶς λέγεται. ἔστι δὲ εἶδος λίθου πολυτίμου. Ἔλεγχος δὲ βεβαιότητος τῆς θεοσεβείας Πολυκράτους τοῦ Σαμίου [2] ἡ τῆς σμαράγδου τῆς ἐμβληθείσης εἰς τὸ πέλαγος εὕρεσις, καὶ θηρευθεὶς ὁ ἰχθὺς ὁ ταύτην καταπιών. καὶ σμαράγδιον, μέταλλον γῆς.

Σμάραγδος. Smaragdus. Genere fœminino dicitur. Eſt autem genus lapilli pretioſi. *Argumentum autem conſtantis pietatis, qua Polycrates Samius Deos colebat, fuit inventio ſmaragdi in mare conjecti, & ipſe piſcis captus, qui eum deglutierat.* Et ſmaragdium, metallum terræ.

Σμερδαλέον. καταπληκτικόν.

Σμερδαλέον. Terribile. Formidabile.

Σμέρδης. ὄνομα κύριον.

Σμέρδης. Smerdes. Nomen proprium.

Σμῆγμα. καθαρτικόν. τὸ ἀποσμῆχον.

Σμῆγμα. Smegma. Sapo, quo ſordes abſterguntur.

Σμικίθης.[3] ὄνομα κύριον. διεβέβλητο δὲ ὡς γυναικώδης τὸν τρόπον. τὸ δὲ πλῆρες, [4] Σμικίθου κύριος· ὅπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. οὕτω γὰρ προσκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ· Ἡ δεῖνα, καὶ ὁ κύριος· τουτέστιν, ὁ ἀνήρ. ἅμα οὖν ὡς γυναικώδη τὸν Σμίκυθον κωμῳδεῖ, καὶ ἔχοντα κύριον, ὡς αἱ θήλειαι. εἴρηται οὖν ἐπὶ τῶν γυναικωδῶν. ἦν δὲ Θρακῶν βασιλεὺς ὁ Σμίκυθος, κίναιδος. κύριον δέ, ὡς εἴρηται, τὸν ἄνδρα λέγει. οὕτω γὰρ [5] ἀπεγράφοντο ἐν τοῖς δικαστηρίοις· Ἀσπασία καὶ κύριος.

Σμικίθης. Smecithes. Nomen proprium. Hic ob mores effœminatos male audiebat. Integra vero oratio hæc eſt, *Smecithes & dominus:* quod in accuſationibus præconis voce pronuntiari ſolebat, cum mulier criminis alicujus rea agebatur. Sic enim citatio in judicium fieri conſueverat, *Fœmina & dominus ejus.* Id eſt, maritus. Simul igitur ut effœminatum Smecithen perſtringit, ut qui fœminarum more dominum haberet. Dicitur autem hoc de hominibus effœminatis. Smecithes autem erat Rex Thracum, & cinædus. Dominum vero, ut dictum eſt, maritum vocat. Sic enim in tabellis nomina eorum, qui in jus citabantur, inſcribi ſolebant, *Aſpaſia & dominus.*

Σμήνη. τὰ τῶν μελισσῶν πλήθη. [6] Ἐς Κόλχους ἐμβαλόντες, οὐδὲν ὅ, τι καὶ ἐθαύμαζαν. τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε ἐγένοντο, καὶ ἤμουν, καὶ ἔκειντο πολλοί, καὶ τῇ ὑστεραίᾳ ἀνίσταντο ὥσπερ ἐκ φαρμακοποσίας.

Σμήνεος [7] ἔκ με ταμὼν γλυκερὸν θέρος Ἀντινομαίων
Γηραιὸς Κλειτὸς ἀπεῖσε μελισσοπόνος.

Σμήνη. Apum examina. *Cum ad Colchos perveniſſent, nihil* [*invenerunt,*] *quod admirationem ipſis moveret. Multa autem illic erant apum examina: quorum favos quotquot ex militibus ederant, omnes amentia correpti vomebant, multique proſtrati jacebant, & poſtero die tanquam a veneni potione ſurgebant.* [Et in Epigrammate:] *Ex alveari me exſectos dulces favos Antinomæi ſenex Cliton, apiarius, libavit.*

1 Ἀριστοφάνης] *Eccleſiax.* pag. 735. [494. Ed. Baſ. *P.*] ubi ſic legitur:

Καὶ δῆτα πάντες σκυτοτόμοι, εἰκάζομεν,
Ὁρῶντες αὐτούς. οὐ γὰρ ἀλλ' ὑπερφυῶς
Ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία.

Hinc locus hic Suidæ emendandus eſt.

2 Ἡ τῆς σμαράγδου τ.] Hiſtoriam prolixe narrat Herodotus lib. III. pag. 113.

3 Σμικίθης. ὄνομα κ.] Tota hæc nota referenda eſt ad locum illum Ariſtophanis *Equitibus*, pag. 345. (242. Ed. Baſ. *P.*)

Χρυσοῦ διώξεις Σμικύθην καὶ κύριον.

Vide ibi Scholiaſtam, cujus verba Suidas hic deſcripſit.

4 Σμικίθου κύριος] Scribe, Σμικίθης καὶ κύριος.

5 Ἀπεγράφοντο] Scholiaſta Ariſtophanis rectius, ἐπεγράφοντο.

6 Ἐς Κόλχους ἐμβαλόντες, οὐδ.] Fragmentum hoc legitur apud Xenophontem lib. IV. Ἀναβ. ſub finem: ut Pearſonius etiam obſervaverat.

7 Σμήνεος ἔκ με τ.] Diſtichum hoc decerptum eſt ex Epigrammate Apollonidæ, quod ex cod. MS. integrum edidimus ſupra v. Θαλάμη. Pro ἀντινομαίων autem in codice MS. Epigrammatum legitur ἀμφινομαίων. At neutra lectio ſana eſt. Scribendum enim puto, Ἀντινομαίου, vel Ἀμφινομαίου: ut ſit nomen viri, cujus erant apum alvearia, & cujus juſſu Cliton favos Deo libabat. Vel dicendum eſt, Ἀμφινόμαιος eſſe epithetum Dei alicujus (Pa-

Σμῆνος. πλῆθος μελισσῶν. οἱονεὶ, κομός. ἰδίως δὲ [1] σμῆνος καλεῖται τὸ σύστημα μελισσῶν. Ὁμηρικῶς οὖν κέχρηται τῇ τροπῇ. Φησὶ καὶ περὶ τοῦ Νέστορος.

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

καὶ ἡ δοτικὴ, τῷ σμήνει. καὶ σμηνουργεῖν, ῥῆμα.

Σμῆνος. Apum multitudo. Examen apum. Hoc enim σμῆνος proprie ſignificat. Homerice igitur [Ariſtophanes] hoc tropo uſus eſt. Dicit enim [Homerus] de Neſtore: *Cujus etiam ex lingua melle dulcior fluebat oratio.*

Σμῆξις. τρίψις. ἐκ τοῦ σμήχω. καὶ σμῆξαι, καθᾶραι.

Σμῆξις. Abſterſio. Deterſio. Frictio. Et σμῆξαι, abſtergere, purgare.

Σμήρινθος. σπάρτον. σχοινίον λεπτόν.

Σμήρινθος. Funis. Funis tenuis. Funiculus.

Σμικρολόγος. οἷον Φειδωλός. Πολλάκις κατ' οἶκον ἐστάλη ἡμᾶς ἀπολύειν ἔτι πεινῶντας.

Σμικρολόγος. Sordidus. Parcus. Avarus. *Sæpe nos exceptos convivio, adhuc eſurientes domum redire ſivit.*

Σμηκυθίων. ὄνομα κύριον.

Σμηκυθίων. Smecythion. Nomen proprium.

Σμίλαξ. βοτάνη.

Σμίλαξ. Smilax. Herba.

Σμιλεύματα.[2] τὰ ἐκβαλλόμενα ὑπὸ σμίλης. ἀντὶ τοῦ διαγλύμματα, ἐρεθίσματα.

Σμιλεύματά τ' ἔργων
Φωτὸς ἀμυνομένου.

Σμιλεύματα. [Proprie,] minuta ſegmina corii, vel aliarum rerum, ſcalpro præciſa. Ramenta. [Metaphorice, quævis quiſquiliæ.] *Et quiſquiliæ facinorum viri vim illatam fortiter propulſantis.*

Σμίλη. ἐργαλεῖον. ἐν [3] Ἐπιγράμμασι·

Καὶ σμίλαν δονάκων ἀκροβελῶν γλυφίδα.

μακρὸν τὸ ι. καὶ σμίλης ὁλκοί. ἀντὶ τοῦ γραφείου. τὰ σημεῖα τῶν γραμμάτων.

[4] Ἄγε δὴ πινάκων ξεστῶν δέλτοι,
Δέξασθε σμίλης ὁλκούς.

καὶ σμιλίον.

Σμίλη. Scalprum. Scalpellum. In Epigrammate: *Et ſcalpellum, quo calami acutam cuſpidem habentes poliuntur.* Σμίλη ι longum habet. Et σμίλης ὁλκοὶ, ductus ſtyli, ſive notæ literarum. *Agite igitur tabellarum politarum paginæ, accipite ſtyli ſcriptorii ſulcos.*

Σμινύην. σκαφεῖον, ἢ δίκελλαν, ἢ ἀξίνην. Ὁ δὲ ὀρύττειν ἐκέλευε σμινύαις ὑπὸ λαμπρᾷ τῇ σελήνῃ. καὶ αὖθις·

—— [5] Τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι
Ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας.

ἀντὶ τοῦ, εἰ μὴ κλασθῇ.

Σμινύην. Ligonem. Vel bidentem. Vel aſciam. *Ille vero terram fodi juſſit ligonibus, luna clare ſplendente.* Et iterum: *Hoc ipſum enim etiam volo, dummodo ligo non fefellerit ſpem meam.* Id eſt, niſi frangatur.

Σμώδιγγες. μώλωπες. καὶ σμῶδιξ, μώλωψ, τὸ ἐκ πληγῶν οἴδημα.

Σμώδιγγες. Vibices. Et σμῶδιξ, vibex, ſive tuber ex plagis ortum.

Σμώχετε. ἀντὶ τοῦ μασᾶσθε. [6] Ἀριστοφάνης·

Ἀνδρικῶς ἐμβάλλεσθε,
Καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν.
Οὐδὲν γὰρ, ὦ πόνηροι,
Λευκῶν ὀδόντων ἔργον ἐστὶν,
Ἢν μή τι καὶ μασῶνται.

Σμώχετε. Pro, μασᾶσθε. Manducate. Ariſtophanes: *Ut viri ſtrenui [cibis] manum injicite, & manducate ambabus maxillis. Nullus enim, o ignavi, candidorum dentium uſus eſt, niſi etiam aliquid mandant.*

Σμώχειν. τὸ λοιδορεῖν. ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων.

Σμώχειν. Convitiari. Convitiis inſectari. Proprie, abſtergere, purgare.

Σμοιός. ὄνομα κύριον. αἰσχροποιὸς εἰς γυναῖκας.

[7] Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων,
Τὰ τῶν γυναικῶν διακαθαίρει τρυβλία.

Σμοιός. Smœus. Nomen proprium viri, qui obſcœnam cum mulieribus conſuetudinem habebat. *Smœus vero inter illas equeſtrem habens ſtolam, mulierum purgat patellas.*

Σμύξαι. καῦσαι.

Σμύξαι. Combuſſiſſe.

Σμύραινα. ὄνομα ἰχθύος.

Σμύραινα. Nomen piſcis. Muræna.

Σμύρνα.[8] ἡ ἐνταφίασις. ὁ τάφος τοῦ Χριστοῦ. νεκροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται.

Σμύρνα. Myrrha, qua mortuorum corpora condiebantur. Sepulcrum Chriſti. Myrrha enim mortuis maxime convenit.

nis forſan) cui favos Cliton libabat. Sed tunc ſcribendum foret caſu tertio, Ἀμφινομίῳ. Poſterius autem timide affirmo, quoniam tale epithetum nuſquam mihi lectum memini: quamvis non ignorem Panem vocari Νόμιον, ejuſque mentionem fieri apud Pauſaniam in *Arcadicis*. Deinde pro Κλειτὸς in Anthologia MS. legitur Κλείτων, quod magis placet. Cæterum, Hexameter Diſtichi hujus in prioribus Editt. corruptiſſime ſic legitur, Σμήνιος ἥμιν γλυκερὸν πεμπὼν θέρος, &c. cujus veram lectionem nunc primum ex MS. A. & codice MS. Epigrammatum revocavimus.

1 Σμῆνος καλεῖται τὸ σ.] Ex Enarratore Comici ad *Nubes*, pag. 142. (76. Ed. Baſ. P.)

2 Σμιλεύματα. τὰ ἐκβ.] Ex Scholiaſta Ariſtophanis ad *Ranas*, pag. 250. [162. Ed. Baſ. P.]

3 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. XXVI. Epigr. I. ut Portus monuit.

4 Ἄγε δὴ πινάκων ξεσ.] Hæc ſunt verba Ariſtophanis *Theſmophor.* pag. 807. [529. Ed. Baſ. P.]

5 Τοῦτ' αὐτὸ γὰρ κ.] Ariſtophanes *Nubibus* ſub finem.

6 Ἀριστοφάνης] In *Pace*, ſub finem: ſed ubi pro σμώχετε legitur σμήχετε. Confer etiam Noſtrum ſupra v. Ἀνδρικῶς.

7 Σμοιὸς δ' ἐν αὐτ.] Ariſtophanes *Ecclesiaz.* pag. 749.

8 Ἡ ἐνταφίασις. ὁ τάφος τοῦ Χρ.] Inepta interpretatio. Etiamſi enim myrrha ad ἐνταφίασιν adhibeatur, non tamen ideo myrrham recte ἐνταφίασιν voces.

Σμυ-

Σμυχόμενος. καιόμενος. ἀναλισκόμενος.

Σοβάδες. αἱ διώκουσαι πόρναι.

Σοβαρὰ αὔρα. σεσοβημένη. εὔκρατος. [1] Ἐν ὅσῳ θεόθεν σοβαρὰ κατέχει πολέμου μετάτροπος αὔρα. καὶ σοβαρὸν ἄγαλμα, τῇ πλάσει, καὶ τῇ τέχνῃ.

Σοβαρός. ὁ ὑπερήφανος. τοὺς γὰρ Συβαρίτας φασὶ πλούτῳ καὶ τρυφῇ ὑπερέχειν. ἐκ [2] τοῦ Συβαρίτου οὖν, ὁ σοβαρός.

Σοβαρός. λαμπρὸς, ἐπαιρόμενος, τολμηρὸς, αὐθάδης, ἔξω τοῦ δέοντος φερόμενος. Αἰλιανός· Ἀναθήμασι σοβαροῖς ἐκόσμησε τὸν νεών.

Σοβαρός. Τοιοῦτον ἀναζωγραφῶ, ὡς εἰκὸς, καὶ οὐκ ἀπὸ τρόπου, τὸν παραβλῶπα, καὶ φιλοκερδῆ, καὶ κερδαλέον, βραδύτατον πρὸς τὰ κρείττονα· λιχνοδέστατον δὲ, πρὸς πανωλεθρίαν τῶν ἐντυγχανόντων ἐκβεβακχευμένον ὅτι μάλιστα. ἀλλ' ἐξώλης καὶ προώλης προπηλακισθεὶς ἐς κόρακας ᾤχετο, κατάλληλα τἀπίχειρα τῆς βδελυρίας ὁ ἀποφερόμενος καὶ οἷον ἀποφορὰς ἀποτισάμενος. ὃς ἀνάρσια δικάζων, ἀδίκως πολλοὺς κατεδίκαζεν, ὅτι οὐ δεδοικὼς, οὐκ ἀλέγων Ἀδράστειαν, οὐδὲ Νέμεσιν ἐμπαζόμενος. ἀλλὰ ταῦτα τεκμήρια ἐναργῆ τῆς Ταρταρώδους καὶ Τανταλείου αὐτοῦ τιμωρίας· ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὃς κακὰ πόλλ' ἀποτίσει).

Σοβαρῶς. [3] ἐκθύμως. σπουδαίως.

Σοβεῖ. διώκει. κομπάζει. ἐν Ἐπιγράμματι·
[4] Καὶ πολὺ κιχάζουσα σοβεῖ ἐς βόστρυχον αἴγλην.

Σοβεῖν. μετὰ σεμνότητος προϊέναι.

Σόβη. ὄνομα θηλυκόν. ἡ ἐξ ἱππείων τριχῶν περικεφαλαία.

Σόδομα, καὶ Γόμορρα. ὀνόματα πόλεων αἰσχρῶν καὶ βεβήλων. καὶ Σοδομηνὸς, ὁ πολίτης. καὶ Σοδομίτης, ὁμοίως.

Σόεμος. ὄνομα κύριον.

Σοκέλλιος. ὄνομα ἀνδρὸς Ῥωμαίου.

Σολέα. ὄνομα κύριον. ἡ εὐθεῖα, ὁ Σολεύς.

Σολέμνιος. [5] ἡ παρὰ βασιλέως ἀναφαίρετος δωρεὰ διδομένη ταῖς Ἐκκλησίαις.

Σολὴν, [6] Σολῆνος. ὄνομα ποταμοῦ.

Σολία. ὄνομα πόλεως.

Σολίεις. ποταμός.

Σολομὼν, βασιλεὺς Ἱερουσαλὴμ, υἱὸς Δαβὶδ, ἐκ τῆς Οὐρίου γυναικὸς Βηρσαβεέ· ὅστις γυναῖκας ἐξ ἐθνῶν ἠγάγετο παρὰ τὴν ἐντολὴν τοῦ Θεοῦ. αἱ δὲ ἦσαν αὐτῷ αἱ σύμπασαι, γαμεταὶ μὲν ἅμα ταῖς Ἰσραηλίτισιν, ψ'. παλλακαὶ δὲ τ'. ἤδη δὲ προβεβηκὼς

Σμυχόμενος. Qui comburitur. Qui conſumitur.

Σοβάδες. Meretrices, quæ [amaſios ſuos] perſequuntur.

Σοβαρὰ αὔρα. Aura vehemens, [Ariſtophanes:] *Dum vehemens & mutabilis belli aura juſſu divino ſpirat.* Et σοβαρὸν ἄγαλμα, ſimulacrum ſplendidum & affabre factum.

Σοβαρός. Superbus. Sybaritas enim opibus & luxu excelluiſſe ferunt. A Συβαρίτης igitur [deductum eſt nomen] σοβαρός: [quaſi dicas, συβαρός.]

Σοβαρός. Superbus. Splendidus. Elatus. Audax. Arrogans. Qui modum excedit. Ælianus: *Superbis donariis templum ornavit.*

Σοβαρός. Superbus. *Talem depingo, ut par eſt, & decet, ſtrabum illum, & avarum, & callidum, & ad meliora tardiſſimum: adhæc, guloſiſſimum, & ad perdendos obvios quoſque quaſi furore quodam incitatum. Sed perditus ille, & exitio digniſſimus, cum contemptu ad corvos abiit, dignaque flagitiis ſuis præmia abominandus ille & deteſtandus reportavit. Qui iniquis judiciis multos injuſte condemnavit, nec vindictam divinam metuens, nec Adraſtiam & Nemeſin curans. Sed hæc ſunt evidentia argumenta Tartarei & Tantalei ſupplicii ejus, qui pro multis facinoribus, quæ perpetravit, graves pœnas luet.*

Σοβαρῶς. Superbe. Prompte. Diligenter. Studioſe.

Σοβεῖ. Perſequitur. Abigit. Jactat. In Epigrammate: *Et valde cachinnans ſuperbo gradu incedit.*

Σοβεῖν. Superbe & cum faſtu incedere.

Σόβη. Nomen fœmininum. Galea ex equinis pilis confecta.

Σόδομα. Sodoma, & Gomorrha. Nomina flagitioſarum & peſſimarum urbium. Et Sodomenus, ejus civis. Et Sodomita, item.

Σόεμος. Soemus. Nomen proprium.

Σοκέλλιος. Socellius. Nomen viri Romani.

Σολέα. Nomen proprium. Solenſem. Caſus rectus eſt, Σολεὺς, Solenſis.

Σολέμνιος. Solenne donum, quod Eccleſiis ab Imperatore datur.

Σολήν. Solen. Nomen fluvii.

Σολία. Solia. Nomen urbis.

Σολίεις. Solies. Fluvius.

Σολομῶν. Solomon, Rex Hieroſolymorum, filius Davidis ex Uriæ uxore Berſaba: qui contra Dei mandatum uxores ex gentibus duxit. Illæ vero univerſæ ipſius uxores una cum Iſraeliticis fuerunt DCC. concubinæ vero, CCC. Jam autem ætate provectus ab Ethnicis

1 Ἐν ὅσῳ θεόθεν σοβαρὰ κτλ.] Hæc ſunt verba Ariſtophanis in *Pace*, pag. 695. [471. Ed. Baſ. *P.*]

2 Ἐκ τοῦ Συβαρίτου οὖν, ὁ σοβ.] Eſt etymologia inepta & manifeſto falſa.

3 Ἐκθύμως] Sic rectius MSS. Pariſ. quam priores Editt. quæ habent ἐκτίμως.

4 Καὶ πολὺ κιχ.] Lego & diſtinguo,
Καὶ πολὺ κιχλίζουσα σοβεῖ· ἐς βόστρυχον αἴγλην.
Ultima autem verba videntur pertinere ad ea, quæ in Epigrammate ſequebantur; hic vero a Suida prætermiſſa ſunt: quæ ratio eſt, quare ſenſus eorum prorſus ſit mutilus.

5 Σολέμνιος] Vide de hac voce Dufrenium in utroque Gloſſario.

6 Σολὴν, Σολῆνος. ὄνομα ποτ.] Sic in MS. A. locus hic legitur. At MSS. B. & C. itemque priores Editt. ſic habent: Σωλὴν, σωλῆνος. τὸ σωληνάριον. Σωλῆνος δὲ, ὄνομα ποταμοῦ. Sed major eſt apud me auctoritas MSti A. cujus lectioni etiam literarum ſeries favet.

τὴν

τὴν ἡλικίαν, ὑπὸ τῶν ἐθνικῶν γυναικῶν διεστρέφετο τὸν νοῦν πρὸς εἰδωλολατρείαν. ἐλάτρευσε γὰρ τῇ Ἀστάρτῃ, Θεᾷ Σιδωνίων, καὶ τῷ Χαμὼς, Θεῷ Ἀμμανιτῶν. καὶ ἐκ τῶν χιλίων αὐτοῦ γυναικῶν μόνος ἄρσην ἐγένετο Ῥοβοὰμ ὁ υἱὸς, καὶ αὐτὸς ἐξ ἀλλοφύλου Νααμᾶς τῆς Ἀμμανίτιδος, ἀνάξιος τῆς ἀρχῆς. ἡ γὰρ πολυγαμία τὴν ἀτεκνίαν ποιεῖ.

mulieribus animo depravato deflexit ad idololatriam. Coluit enim Aſtarten, Sidoniorum Deam; & Chamon, Deum Ammonitarum. Et ex mille uxoribus ipſi natus eſt ſolus mas filius Roboamus, & ipſe ex alienigena Naama Ammanitide, indignus regno. Nam uxorum multitudo parit inopiam liberorum. *Port.*

Σολομῶν,[1] υἱὸς Δαβὶδ, βασιλεὺς Ἰουδαίων, φρονήσει καὶ δυνάμει καὶ πλούτῳ δυνατὸς καὶ περιφανὴς, δικάζων τε τὸν λαὸν φρονήσει καὶ σοφίᾳ τοῦ κρείττονος οὐ διέλιπεν. ἤσκει τε πᾶσαν σοφίαν θείας χάριτος γέμουσαν, καὶ τῆς διδασκαλίας ἀκροατὰς πλείστους ἐποιεῖτο. ταῦτά τε καὶ τὰ τοιαῦτα διαπραττόμενος, τῷ τῆς φύσεως εὐαλώτῳ περὶ τὰς τοῦ σώματος ἡδονὰς ὑπαγόμενος, ἄγεται μὲν γυναῖκας χιλίας τὸν ἀριθμὸν, πείθεται δὲ ὑπ' αὐτῶν εἰδωλολάτρης γενέσθαι. διὸ προσέταξεν ὁ Θεὸς μερισθῆναι τὴν αὐτοῦ βασιλείαν, οὐκ ἐπὶ τῶν χρόνων αὐτοῦ, διὰ μνήμην Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ μετὰ τὴν ἑαυτοῦ τελευτήν. † Ὅτι τοῖς κραταιοῖς, ὥς [2]φησι Σολομῶν, ἰσχυρὰ ἐφίσταται ἔρευνα. τουτέστι, τοὺς ἐν ἀρετῇ τελείους τὴν ἀκρίβειαν ἀπαιτεῖ· καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμεῖ· τοῖς δὲ ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς συγγνώμης. καὶ [3]αὖθις ὁ Σολομῶν· Ὁ μὲν γὰρ ἐλάχιστος συγγνωστός ἐστιν ἐλέους· δυνατοὶ δὲ δυνατῶς ἐτασθήσονται. κλίνεται δὲ Σολομῶν, Σολομῶντος, καὶ Σολομῶνος· καὶ προπαροξυτόνως, Σολόμωνος, παρ' ἡμῖν. ἡ δὲ παλαιὰ Σαλομῶντα καλεῖ, ὡς ἀπὸ Σαλὴμ πόλεως, ὅ ἐστιν εἰρήνη. ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ εἰρήνη ἦν. καὶ, Σολομώντειος λόγος.

Σολομῶν. Solomon, filius Davidis, Rex Judæorum, ſapientia & potentia & opibus celebris exſtitit, neque unquam deſiit ſumma ſapientia jus populo reddere. Exercebat porro ſeſe in omni genere ſapientiæ, quæ cum Dei gratia conjuncta eſt, & complures habebat auditores ac diſcipulos doctrinæ ſuæ. Verum enim vero facilitate humani ingenii ad corporis voluptates delapſus, mille numero uxores ſibi copulavit, a quibus ad cultum dæmoniorum eſt inductus. Quam ob cauſam regnum ipſius, etſi non ipſo ſuperſtite, in gratiam Davidis patris, at poſt obitum ejus divelli ac dividi Deus juſſit. † *Fortibus*, ut ait Solomon, *ſeverum propoſitum eſt examen.* Id eſt, Ab iis, qui virtute perfecta præditi ſunt, accuratam vitæ rationem [Deus] exigit: & aliorum quidem hominum delicta etſi gravia patienter fert: at Sanctis non eadem facilitate ignoſcit. Et iterum Solomon inquit: *Minimus venia & miſericordia dignus eſt: at potentes ſevere examinabuntur.* Declinatur Σολομῶν, Σολομῶντος, & Σολομῶνος: & apud nos, Σολόμωνος, cum accentu in antepenultima. In veteri vero Teſtamento appellatur Σαλομῶν, tanquam ab urbe Salem, quod *pacem* ſignificat. Nam temporibus ejus pax fuit. Et Σολομώντειος λόγος, oratio Solomonis.

Σόλον.[4] δίσκον. καὶ Σόλος, ὄνομα βουνοῦ.

Σόλον. Diſcum. Et Σόλος, nomen collis. Solus.

Σόλων,[5] Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νομοθέτης, καὶ δημαγωγός. γέγονε δὲ ἐπὶ τῆς μζ' ὀλυμπιάδος. οἱ δὲ, νς'. ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου τοῦ τυράννου, ἀπεδήμησεν ἐν Κιλικίᾳ, καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι· καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες Ἄξονες ὠνομάσθησαν, διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι. Ποίημα δι' ἐλεγείων, ὃ Σαλαμὶς ἐπιγράφεται. [6]Ὑποθήκας δὲ ἐλεγείας· καὶ ἄλλα. ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων Σοφῶν. καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε· Μηδὲν ἄγαν. ἢ τὸ, Γνῶθι σαυτόν.

Σόλων. Solon, Execeſtidæ filius, Athenienſis, Philoſophus, Legiſlator, & Demagogus: qui vixit Olymp. XLVII. vel, ſecundum alios, Olymp. LVI. Inſidiis vero petitus a Piſiſtrato tyranno in Ciliciam ſeceſſit, & urbem condidit, quam de ſuo nomine Solos vocavit. Alii vero dicunt Solos etiam, qui ſunt in Cypro, nomen ab eo accepiſſe; eumque in Cypro deceſſiſſe. Scripſit leges Athenienſibus, quas vocarunt *Axonas*, quod in ligneis axibus eſſent ſcriptæ. [Item,] poema elegiacum, quod Salamis inſcribitur. Præcepta morum; itidem verſibus elegiacis: & alia. Fuit autem unus illorum, qui ſeptem Sapientes dicuntur: ejuſque ſcite dictum hoc fertur, *Ne quid nimis*: vel, *Noſce te ipſum.*

Σόλων.[7] τοῦτον εἵλοντο οἱ Κιρῥαίοις πολεμεῖν ἡγημένοι σύμβουλον. χρωμένοις δὲ σφίσι περὶ νίκης, ἀνεῖπεν ἡ Πυθώ·

Οὐ[8] πρὶν τῆσδε πόλιος ἐρρίψετε πύργον ἑλόντες,

Σόλων. Hunc illi, qui bellum adverſus Cirrhæos ſuſceperant, in conſilium adhibuerunt. Illis vero de victoria Oraculum ſciſcitantibus Pythia reſpondit:

Non prius urbis hujus turrem expugnabitis,

1 Σολομῶν, υἱὸς Δαβὶδ, βασ.——— ἀλλὰ μετὰ τὴν ἑαυτοῦ τελευτήν] Hæc omnia ſunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Conſtantini a Valeſio editis, pag. 781.

2 Ὡς φησι Σολομῶν] *Sapient.* VI. 8.

3 Καὶ αὖθις ὁ Σολομῶν] *Sap.* VI. 6.

4 Σόλον. δίσκον] Ex Scholiaſta Homeri ad Il. Ψ. v. 826.

5 Σόλων] Plura de hoc Laertius: quem vide.

6 Ὑποθήκας δὲ ἐλεγείας] Scribe, ὑποθήκας δι' ἐλεγείων.

7 Τοῦτον εἵλοντο οἱ Κιρῥαίοις πολ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Pauſaniæ in *Phocicis*, pag. 684. ut Pearſonius etiam obſervaverat.

8 Οὐ πρὶν τῆσδε πόλ.] Wolfius recte ſcribendum monuit,

Οὐ πρὶν τῆσδε πόληος ἐρείψετε πύργον ἑλόντες.

Et ſic habet Pauſanias.

Πρὸν κεν ἐμοῦ τεμένει Κυανώπιδος Ἀμφιτρίτης

Κῦμα ποτικλύζοι, κελαδοῦν ἐπὶ οἴνοπα πόντον.

ἔπεισεν οὖν ὁ Σόλων καθιερῶσαι τῷ Θεῷ τὴν Κιῤῥαίαν, ἵνα δὴ τῷ τεμένει τοῦ Ἀπόλλωνος γένηται γείτων ἡ θάλασσα. εὑρέθη δὲ καὶ ἕτερον τῷ Σόλωνι σόφισμα εἰς τοὺς Κιῤῥαίους. τοῦ γὰρ ποταμοῦ τὸ ὕδωρ ῥέον δι᾽ ὀχετοῦ εἰς τὴν πόλιν ἀπέστρεψεν ἀλλαχόσε. καὶ οἱ μὲν προσ ‹[1]› τοὺς πολιορκοῦντας ἐπ᾽ ἀντεῖχον, ἔκ τε φρεάτων καὶ τὸ ὕδωρ τὸ ἐκ Θεοῦ πίνοντες. ὁ δὲ τοῦ ἐλλεβόρου τὰς ῥίζας ἐμβαλὼν εἰς τὸν ποταμὸν, ἐπειδὴ ἱκανῶς τοῦ φαρμάκου τὸ ὕδωρ ᾔσθετο ἔχον, ἀντέστρεψεν αὖθις εἰς τὸν ὀχετὸν, καὶ ἐμφορηθέντες ἀνέδην οἱ Κιῤῥαῖοι τοῦ ὕδατος. [1] καὶ οἱ μὲν ὑπὸ τῆς διαῤῥοίας ἐξέλιπον. οἱ δὲ ἐπὶ τοῦ τείχους τῆς Φρουρᾶς Ἀμφικτύονες εἷλον τὴν Φρουρὰν, καὶ τὴν πόλιν.

Σόλος. ὄνομα βουνοῦ.

Σόλων. ὅτι Σόλων ὁ νομοθέτης Ἀθηναίων, φίλων ἡττώμενος ὀφειλόντων, χρεῶν εἰσηγήσατο ἀποκοπάς.

Σολπίκιος, Ὕπατος, Ῥοῦφος ἐπίκλησιν, ἀνὴρ ἦν ἔν τε ταῖς πολεμικαῖς πράξεσιν ἐπιφανὴς, καὶ πολιτείας προαίρεσιν ἐζηλωκὼς τὴν διὰ μέσου.

Σόλοι, Κιλικίας πόλις, καὶ Κύπρου· ἀφ᾽ ὧν ὁ σολοικισμὸς, βαρβαριζόντων κατὰ τὴν ἰδίαν γλῶσσαν. Σόλων δὲ ταύτην κτίζει· ἀφ᾽ οὗ τὴν ἐπωνυμίαν ἔχει. ἢ σολοικισμὸς, ὁ τοῦ σόου λόγου αἰκισμός. σόος γὰρ καὶ διὰ τοῦ ο μικροῦ. ἔνθεν καὶ λαοσσόος, ἡ τὸν λαὸν σώζουσα.

Σολοικισμός. [2]Ὅτι βαρβαρισμός ἐστιν ἐκ τῶν κακῶν λέξις, παρὰ τὸ ἔθος τῶν [3]εὐδαιμονούντων Ἑλλήνων. Σολοικισμὸς δὲ ἐστὶ λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ, [4]Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσε.

Σόλοικος. ὄνομα κύριον.

Σολοικοφανές. χωρίον τὸ δοκοῦν μὲν μετέχειν σολοικισμοῦ, μὴ μετέχον δέ.

Σόλυμα. πόλις.

Σολυμᾶς. ὄνομα κύριον.

Σόλυμοι. ὄνομα ἔθνους.

Σομφῶδες.[5] τὸ χαῦνον.

Σόραιχος.[6] Ἄρτι δὲ ἀπηρκότος τοῦ Σοραίχου, ἡ Συωνὶς ἐφίσταται.

Σορός. μνῆμα. θήκη.

[7]Ὦ οὗτος, τυφεδανὲ καὶ χειρόθλιψ,
Ποθεῖν ἐρᾶν τ᾽ ἔοικας ὡραίας σοροῦ.

καὶ σοροπηγός. [8]Ἀριστοφάνης·

Quam lucum meum glaucos oculos habentis Amphitrites

Fluctus alluat, per nigrum mare reſonans.

Suaſit igitur Solon, ut Deo Cirrhæam conſecrarent, ut ita Apollinis luco mare vicinum eſſet. Solon alium quoque aſtum adverſus Cirrhæos excogitavit. Fluminis enim aquam ex alveo, per quem fluebat in urbem, alio avertit. Cirrhæi tamen obſidionem adhuc tolerabant, tum aquam puteorum, tum eam, quæ cœlo cadebat, bibentes. Solon vero hellebori radicibus in flumen conjectis, poſtquam animadvertit aquam herbæ illius ſuccum ſatis traxiſſe, flumen in priſtinum alveum derivavit. Cirrhæi igitur, aqua fluminis avide hauſta, cum ob ventris profluvium cuſtodiam muri deſerere cogerentur, Amphictyones caſtellum & urbem ceperunt.

Σόλος. Solus. Nomen collis.

Σόλων. Solon, Athenienſium Legiſlator, precibus amicorum ære alieno oppreſſorum victus, tabulas veterum debitorum abolevit.

Σολπίκιος. Sulpicius, cognomento Rufus, Conſul, vir fuit & rebus bellicis clarus, & qui inter eos, qui diverſas in Republ. partes ſequebantur, medium ſe gereret.

Σόλοι. Soli, Ciliciæ & Cypri urbs: unde ſolœciſmus [nomen accepit,] quod [Solenſes] barbare loquerentur. Hanc urbem Solon condidit: a quo & nomen ei impoſitum eſt. Vel σολοικισμὸς dictus eſt, quaſi ὁ τοῦ σόου λόγου αἰκισμὸς, i. e. ſanæ orationis corruptio. Nam σόος etiam per ο ſcribitur. Unde [Minerva dicta eſt] λαοσσόος, i. e. populi ſervatrix.

Σολοικισμός. Solœciſmus. Barbariſmus eſt dictio vitioſa, ab uſu probatorum Græcorum abhorrens. Solœciſmus vero eſt oratio inconcinne constructa. Ut, *Ego ambulans, murus cecidit.* [Pro, *Me ambulante*, &c.]

Σόλοικος. Nomen proprium.

Σολοικοφανές. Locus, [vel oratio,] ſolœciſmi quidem ſpeciem habens, ſed revera ejus expers.

Σόλυμα. Solyma. Urbs.

Σολυμᾶς. Solymas. Nomen proprium.

Σόλυμοι. Solymi. Nomen gentis.

Σομφῶδες. Laxum. Molle. Fungoſum.

Σόραιχος. Soræchus. *Cum autem Soræchus modo abiiſſet, Synonis ſtatim acceſſit.*

Σπουδή. ἡ περὶ τὰ καλὰ σύντονος ἀγωνία. Ἰσίδωρος ἔφη, τὴν μὲν ἐν φιλοσοφίᾳ σπουδὴν ἀνδρὶ νεωτέρῳ καὶ ἄρτι λόγων ἀπομένῳ φιλοσόφων εἶναι πρεπωδεστέραν· τὴν δὲ εὐσεβῆ προθυμίαν καὶ φιλόθεον προσήκειν μάλιστα τοῖς ἤδη προβεβηκόσι καὶ πόῤῥωθεν ἐλαύνουσι, τοῦτο μὲν ἡλικίας, τοῦτο δὲ φιλοσοφίας.

Σποραὶ. Diſperſio.

Σποράδα γῆν. Pulverem terræ.

Σποράδες. Sporades inſulæ: quas nonnulli Cycladas vocant, quæ ſunt in Ægæo mari. Sunt autem duodecim.

Σποράδην. Sparſim.

Σποράκις. Sporacis. Nomen proprium. Arrianus: *Sporacis, cum Regis claſſem in ſuam ditionem venire cognoviſſet, aufugit.* Quidam vero ſcribunt, Σφωράκιος, Sphoracius.

Σπόρος. Sporus, Neronis amaſius, qui & Sabina vocabatur: non ſolum ob ſimilitudinem mulieris, quod eſſet caſtratus; ſed etiam quod illi nupſiſſet, ut illa.

Σποργίλος. Sporgilus. [Nomen proprium viri,] qui erat tonſor. Et Plato inquit: *Sporgili tonſtrina, taberna maxime inviſa.*

Σπόρτουλα. Sportulæ. Sive, dona, quæ libere & palam Judicibus dantur. *Scis autem te nobis ſportulas debere. Sed tamen, pauperum cauſa, hac conditione in gratiam tecum redimus.*

Σπουδάζω δὲ π. *Sum autem illius viri ſtudioſus.* Demoſthenes in oratione contra Midiam. Pro, *propero*, vel *feſtino*, poſuit Theopompus in Epitome Herodoti. Pro, volo, idem in eadem Epitome. Pro, non joco, ſed ſerio aliquid dico, Plato lib III. *de Republ.* Pro, valde cupio, Apollodorus Caryſtius in *Apocarteruſi*. Et σπουδαιολογῆσαι, pro graviter & ſerio loqui, Xenophon in *Convivio*. Et, Τίνι σπεύδεις? *Cui ſtudes?* Sic & Alexis. *Et naves quaſdam longas emiſit, exercitui res neceſſarias præbere ſtudens.* Polybius.

Σπουδαρχιάσας. Qui magiſtratum ambiit. Qui de magiſtratu adipiſcendo ſolicitus fuit. Et σπουδαρχίδης, magiſtratum ambiens. Æolenſium autem proprium eſt, epitheta ut nomina patronymica efferre, ut στρατωνίδης, μισθαρχίδης.

Σπουδαιολογῶ. De rebus ſeriis loquor. Serio diſſero. *Cyrus arceſſitis ad ſe amicis, de rebus ſeriis cum iis diſſerebat.*

Σπουδαῖος. Sapiens. Virtute præditus. Bonus. Honeſtus. Opponitur malo & improbo. *Cum autem cognoviſſet locum illum eſſe ſacrum, ex Deo, qui in illo colebatur.* † *Divitem quidem illum eſſe audio, minime vero bonum.*

Σπουδή. Studium, quod in rebus honeſtis ponitur. Iſidorus dixit, Philoſophiæ ſtudium juveni, & ei, qui philoſophiam primoribus, ut ajunt, labris deguſtare cœperit, convenire: pietatem vero & amorem erga Deum maxime decere viros tam ætate provectos, quam qui in philoſophia multos progreſſus fecerint.

1 Σποράκις μαθὼν τὸν σ.] Vide infra v. Στόλος, ubi idem fragmentum legitur.

2 Σπόρος. ὁ Νέρωνος ἐρώμενος, ὃς καὶ Σαβ.] Hæc ſunt verba Dionis in *Nerone*, pag. 295.

3 Σποργίλος. ὃς ἦν κουρ.] Ex Scholiaſta Ariſtophanis ad *Aves*, pag. 555. (380. Edit. Baſil. *P.*)

4 Σπόρτουλλα] Rectius, σπόρτουλα, per unum λ. Vide de hac voce plura apud Dufrenium in Gloſſario Græco.

5 Ἐπιτομῇ τῶν Ἡροδότου] Hæc verba in prioribus Edit. deſiderantur: quæ ex MSS. Pariſ. revocavi. Eſſe autem hæc a manu ipſius Suidæ, ſatis patet ex iis, quæ proxime ſequuntur, ὁ αὐτὸς ἐν τῇ αὐτῇ Ἐπιτομῇ. Hæc enim clare arguunt, mentionem Epitomes illius ante præceſſiſſe.

6 Ξενοφῶν ἐν Συμποσίῳ] Pag. 888. Οὕτος μὲν δὴ ὁ λόγος οὕτως ἐσπουδαιολογήθη.

7 Σπουδάζων τῷ στρ.] Excidit hoc loco vox διαχορηγηθῆναι, ut obſervavit Pearſonius. Scribendum enim erat, διαχορηγηθῆναι σπουδάζων, &c. ut legitur apud Polybium.

8 Σπουδαρχίδης, σπουδάζων περὶ τ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ*. pag. 399. (285. Ed. Baſ. *P.*)

9 Ὁ δὲ Κῦρος ἐσπουδ.] Hæc ſunt verba Xenophontis lib. I. Ἀναβ. pag. 269. ut Pearſonius obſervaverat,

Σπουδῇ. παρ' Ὁμήρῳ, ἀντὶ τοῦ μόλις. καὶ ὁμοίως ἡμῖν.

Σπώμενος. συνελκόμενος.

Σπῶντες. γενικῇ. [1] ἐμφορούμενοι. Εἶτα ὑπέβρεχον, θαμινὰ πίνοντες, καὶ ἀκράτου σπῶντες. καὶ σπῶσι, κατακόρως ἐμφοροῦνται. [2] Οἱ δὲ ἄδην καὶ ἀπείρως σπῶσι τοῦ οἴνου, καὶ ἀναπεσόντες ἔκειντο, ὡς ἔτυχον, ἕκαστοι.

Σπυρίδιον. [3] Σπυρίδιον διακεκαυμένῳ λύχνῳ. οἱ [4] γὰρ πρεσβύτεροι, διὰ τὸ μόλις βαδίζειν, ἐν σπυρίδι ἔκρυπτον τὸν λύχνον, ὥστε σώζειν τὸ πῦρ.

Σπυρίδων, Σπυρίδωνος, (ὄνομα κύριον) [5] μιᾶς τῶν ἐν Κύπρῳ πόλεων Τριμυθοῦντος Ἐπίσκοπος· ὃς δι' ἀτυφίαν πολλὴν ἐχόμενος τῆς ἐπισκοπῆς, ἐποίμαινε καὶ τὰ πρόβατα· καὶ μέσης τῆς νυκτὸς κλέπται ταῖς ἐπαύλεσι τῶν θρεμμάτων ἐπελθόντες, λαθραίως ἀφαιρεῖσθαι τῶν θρεμμάτων ἐσπούδαζον. οἱ δὲ ἀοράτῳ δυνάμει παρὰ ταῖς ἐπαύλεσιν ἐδέδεντο. ὄρθρος τε ἦν, καὶ παρῆκεν ἐπὶ τὰ ποίμνια. ὡς δὲ εἶδε συνδεδεμένους, καὶ ἔγνω τὸ γεγονός, λύει τοὺς κλέπτας, πολλά τε παραινέσας ἐκ δικαίων πόνων καὶ μὴ ἐξ ἀδίκων λαμβάνειν, κριόν τε αὐτοῖς χαρισάμενος, ἀπέλυσε, χαριέντως ἐπιφθεγξάμενος· Ἵνα μή, φησί, μάτην ἠγρυπνηκότες φανῆτε. ἄλλα δὲ πάμπολλα θαύματα εἰργάσατο· ὃς καὶ παρῆν ἐν τῇ συνόδῳ τῇ ἐν Νικαίᾳ.

Στάγειρα, καὶ Γάδειρα, καὶ Πύνδειρα, καὶ Τόπειρα, διὰ διφθόγγου. Ἄβδηρα δέ, καὶ Φάληρα, καὶ Κύθηρα, διὰ τοῦ η.

Σταγείριος. ὄνομα κύριον.

Σταγειρίτης. ὁ Ἀριστοτέλης. ἀπὸ τῆς πόλεως Σταγείρων. Πισίδης·

Ποίους στρατηγούς, ἢ Σταγειρίτας ἔχων,
Ἐπῆλθες εἰς γῆν εὐτυχούντων βαρβάρων.

† [6] Διόλου τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον, ἢ ὁ ῥήτωρ ὁ Παιανιεὺς τὸν Ὀλόρου. τουτέστιν, ὁ Δημοσθένης τὸν Θουκυδίδην.

Σταγόνος. ῥανίδος ὕδατος.

Στάδιον. ὁ τόπος τοῦ ἀγῶνος. καὶ μέρος τι τοῦ λεγομένου μιλίου. ἑπτὰ γὰρ ἥμισυ στάδια ποιοῦσι μίλιον. λέγεται στάδιον, καὶ τὸ ἁπλῶς ἵστασθαι καὶ ἀκινητίζειν. Δίων ἐν λθ'. τῶν Ῥωμαϊκῶν Ἱστοριῶν· Τῷ δὴ σταδίῳ τῶν σκαφῶν προδιδόμενοι, δεινῶς ἤσχαλλον. ἀντὶ τοῦ, τῇ στάσει καὶ ἀκινησίᾳ τῶν σκαφῶν προδιδόμενοι σφόδρα ἠνιῶντο. καὶ, στάδιος χιτών, ὁ ποδήρης, ὁ τέλειος παρὰ Καλλιμάχῳ ἐν Ἑκάλῃ. καὶ [7] Ἀριστοφάνης· Δέομαι ὑμῶν τουτὶ πάνυ μικρόν, εἶναί με Ἑλ-

Σπουδῇ. Apud Homerum [ponitur] pro μόλις, ægre, vix. Et apud nos pariter.

Σπώμενος. Qui trahitur.

Σπῶντες. Genitivo jungitur. Trahentes. Haurientes. Bibentes. *Deinde ſe proluerunt, frequenter bibentes, & merum haurientes.* Et σπῶσι, hauriunt, ſe ingurgitant. *Illi vero cum avidius mero ſe ingurgitaſſent, nullo ordine humi ſtrati jacebant.*

Σπυρίδιον. Sportula. [Ariſtophanes: *Da mihi*] *ſportulam lucerna collucentem.* Seniores enim, qui ægre incedere ſolent, in ſportula lucernam occultabant, ut ignem conſervarent.

Σπυρίδων. Spyrido. Nomen proprium. Hic urbis cujuſdam in Cypro, nomine Trimithuntis, Epiſcopus fuit. Cumque ob ſingularem animi modeſtiam in Epiſcopatu oves etiam paſceret; fures media nocte caulas ejus clanculum ingreſſi, oveſque inde abducere tentantes, inviſibili quadam virtute conſtricti ad ovilia tenebantur. Jam dies illuceſcebat. Ille igitur ad oves veniens, poſtquam juvenes manibus poſt tergum revinctis vidit, ſtatim intellexit id, quod geſtum fuerat. Fures igitur ſolvit, admonens eos atque exhortans, ut ex juſtis laboribus, non per fraudem atque injuriam victum ſibi pararent. Arietem quoque eis donavit, adjecto hoc facete dicto: *Ne fruſtra vigilaſſe videamini.* Permulta quoque alia miracula fecit. Idem etiam Concilio Nicæno interfuit.

Στάγειρα, & Γάδειρα, & Πύνδειρα & Τόπειρα, ſcribuntur per dipthongum ει. At Ἄβδηρα, & Φάληρα, & Κύθηρα, per η.

Σταγείριος. Stagirius. Nomen proprium.

Σταγειρίτης. Stagirita. Sic dictus eſt Ariſtoteles, ab urbe Stagiris. Piſides:

Quales duces, aut Stagiritas habens,
Veniſti in regionem fortunatorum barbarorum?

† *Totum Ariſtotelem magis devoraverit, quam Orator Pæanienſis Olori filium.* Id eſt, Demoſthenes Thucydidem.

Σταγόνος. Stillæ. Guttæ aquæ.

Στάδιον. Stadium. Locus certaminis. Item, pars milliaris. Septem enim ſtadia & dimidium conficiunt milliare. Στάδιον etiam dicitur de re, quæ ſtat, nec movetur. Status. Dion libro XXXIX. Hiſtoriæ Romanæ: *Illi vero cum ſe hoſtibus prodi viderent, ſcaphis immotis ſtantibus, magno dolore afficiebantur.* Et στάδιος χιτών, dicitur tunica talaris & juſtæ longitudinis; apud Callimachum in *Hecale.* Et Ariſtophanes: *Peto a vobis gratiam hanc*

1 Ἐμφορούμενοι] Sic MS. B. At MS. A. ῥοφοῦντες, quod minus placet. Priores vero Editt. inepte habent, φρουροῦντες.

2 Οἱ δὲ ἄδην καὶ ἀπείρως σπ.] Fragmentum hoc legitur etiam ſupra v. Ἄδην, & v. Ἀνατετραμμένοις.

3 Σπυρίδιον διακεκαυμένῳ λ.] Ariſtoph. *Acharnenſ.* pag. 393. (280. Ed. Baſ. P.)

Δός μοι σπυρίδιον διακεκαυμένον λύχνῳ.

Sic etiam apud Suidam ſcribendum eſt.

4 Οἱ γὰρ πρεσβύτεροι, διὰ τὸ μ.] Hæc ſunt verba Scholiaſtæ ad modo indicatum locum Ariſtophanis.

5 Μιᾶς τῶν ἐν Κύπρῳ πόλεων Τριμ.] Quæ de Spyridone Suidas hic refert, excerpta ſunt ex Socratis *Hiſtor. Eccleſ.* lib. I. cap. XII. ut Pearſonius obſervaverat.

6 Διόλου τὸν Σταγειρίτην καταπ.] Hæc ſunt verba Agathiæ de Choſroe Rege Perſarum, lib. II. pag. 66. Confer Noſtrum infra v. Χοσρόης, ubi integer locus Agathiæ adducitur.

7 Ἀριστοφάνης] *Nubibus,* pag. 151. (85. Ed. Baſ. P.) ubi ſic legitur:

Ὦ δέσποιναι, δέομαι τοίνυν γ' ὑμῶν τουτὶ πάνυ μικρόν,
Τῶν Ἑλλήνων εἶναί με λέγειν ἑκατὸν σταδίοισιν ἄριστον.

λήνων

λήνων ἑκατὸν σταδίοισιν ἄειστον. καὶ σταδιαία μάχη. Οὐδενὸς[1] δὲ αὐτὸν ἐν σταδιαίᾳ μάχῃ ὑφισταμένου. † Ἑπτὰ ἥμισυ στάδια ποιοῦσι μίλιον ἕν· καὶ τὰ δέκα μίλια ἔχουσι στάδια π΄. τὸ στάδιον ἔχει πόδας χ΄. τὸ μίλιον, πόδας δφ΄. τὸ δὲ πλέθρον, πόδας ρ΄. ἡ ἄρουρα, πόδας ν΄. ὁ ποῦς, δακτύλους ις΄. ὁ πῆχυς, [2] πόδα ἕνα καὶ ἥμισυν. ἐν Ἐπιγράμμασι· [3] Σταδίοις ἰσθμοθήκην νέμειν.

Σταθερόν. ὀξύ. ἰσχυρόν. θερμόν. στάσιμον. τὸ διὰ τὴν ὀξύτητα τῆς κινήσεως ἑστάναι δοκεῖν. Πλάτων ἐν Φαίδρῳ. Μήπως, ὦ Σώκρατες, πρὶν ἂν τὸ καῦμα παρέλθῃ. οὐχ ὁρᾷς, ὡς σχεδὸν ἤδη [4] μεσημβρία ἵσταται, ἡ καλουμένη σταθερά; Δύναται μὲν τοι καὶ θερμοτάτη εἶναι. ἡ σταθερὰ, ὀξεῖα οὖσα. καὶ γὰρ τὸν ἥλιον, ὅταν μᾶλλον ἀκμάζῃ, ὀξὺν εἰώθασι λέγειν. σημαίνοι δ' ἂν καὶ τὸ στάσιμον, τῷ μέσον τι εἶναι τῆς ἡμέρας, καὶ μηδ' ἐφ' ἕτερον κλίνειν. καὶ Κρατῖνος δ' ἐν Σερίφοις ἐπὶ τοῦ ὀξέος, ἢ ἰσχυροῦ·

> Οὕτω σταθερὸς τοῖς λωποδύταις ὁ πόρος πεινῶσι
> παφλάζει.

Ἀντίμαχος· Θέρεος σταθεροῖο. τινὲς δὲ καὶ ἐπὶ στασίμου. καὶ Αἰσχύλος ἐν Ψυχαγωγοῖς· Σταθεροῦ [5] χρήματος. καὶ Ἀριστοφάνης ἐν Προαγῶνι· Σταθερὰ δὲ κάλυξ νεαρᾶς ἥβης. σημαίνει καὶ τὸ μόνιμον. [6] Ἰώσηπος· Καὶ σταθερὰν τὴν ἡλικίαν μετ' ἐμπειρίας ὁρῶν, προβάλλεται στρατηγόν. καὶ Εὐνάπιος· Ὁ δὲ πόλεμος τῇ τοῦ βασιλέως ὀξύτητι καὶ προνοίᾳ κατηνέχθη ἐπὶ τὸ σταθερόν τε καὶ ἀσφαλέστερον. τουτέστιν, ἰσχυρὸν, βέβαιον.

Σταθερός. ἀπὸ τοῦ σταθῆναι. ἀπὸ δὲ τούτου, σταθερὸς, καὶ σαθρὸς, κατ' ἀντίφρασιν. ἢ ἀπὸ τοῦ σείεσθαι ῥᾳδίως· ἢ ἀπὸ τοῦ σείεσθαι τὰ ἄρθρα.

Στάθευε. [7] ὄπτα. Ἀριστοφάνης· Τὰς σηπίας στάθευε.

Σταθήσεται. [8] Ἵνα ἐπὶ στόματος δύο μαρτύρων, ἢ τριῶν, σταθήσεται πᾶν ῥῆμα. ἐκ τοῦ Εὐαγγελίου.

Σταθμά. Οἱ δὲ ὡμολόγησαν ἀργυρίου σταθμὰ δισχίλια δώσειν.

Σταθμᾶσθαι. δοκιμάζειν. [9] Οὐ ῥήμασιν, ἀλλ' ἔργοις ἀεὶ εἰώθασι τὴν ἐς ἀλλήλους σταθμᾶσθαι [10] στοργὴν οἱ ἄνθρωποι.

Σταθμεύσας ἐπὶ τοῦ ῥεύματος βραχὺ φρούριον ἐκ διαστήματος, ἐς ἐφεδρείαν δύο χιλιαρχίας ἔταξεν. ἀντὶ τοῦ, [11] στρατεύσας.

Στάθμη. τὸ σπαρτίον. [12] Στάθμην ἰθυτενῆ μο-

exiguam valde; ut dicendo Græcos centum ſtadiis ſuperare poſſim. Et σταδιαία μάχη, pugna ſtataria. *Cum autem nemo in ſtataria pugna ei reſiſtere poſſet.* † Septem ſtadia & dimidium conficiunt milliare unum: & decem milliaria continent ſtadia LXXX. Stadium vero habet pedes DC. Milliare, pedes MMMMD. Plethrum, pedes C. Arura, pedes L. Pes, digitos XVI. Cubitus, pedem unum & dimidium. In Epigrammate: * * *

Σταθερόν. Acutum. Rapidum. Vehemens. Calidum. Stabile. Quod propter celeritatem motus ſtare videtur. Plato in *Phædro*: *Ne quæſo Socrates, priusquam æſtus præterierit. Nonne enim vides, fere jam Solem medium cœli ſpatium tenere, & ſtare meridiem.* Poteſt hic σταθερὰ etiam exponi, Calidiſſima. Vel, acuta. Solem enim, cum eſt fervidiſſimus, *acutum* dicere conſueverunt. Poſſit etiam ſignificare, ſtabile: quod meridies ſit media diei pars, & neutro inclinet. Et Cratinus in *Seriphis* vocem hanc pro *acuto*, vel *vehementi* poſuit. *Et via adeo æſtuoſa famelicis graſſatoribus fervet.* Antimachus: *Æſtatis torridæ.* Quidam etiam pro *ſtabili* ponunt. Et Æſchylus in *Pſychagogis*: *Rei ſtabilis.* Et Ariſtophanes in *Proagone*: *Stabilis autem calyx primæ pubertatis.* Significat etiam id, quod durat, vel permanet. Joſephus: *Et ſtabilem ætatem cum peritia rerum conjunctam videns, eum belli ducem eligit.* Et Eunapius: *Bellum autem Regis celeritate & providentia ad ſtatum ſtabilem & tutiorem perductum eſt.*

Σταθερός. Stabilis. A verbo σταθῆναι, ſtare. Hinc deductum eſt σταθερὸς, & per antiphraſin, σαθρὸς, putridus. Vel, a σείεσθαι ῥᾳδίως, quod facile quatiatur. Vel, a σείεσθαι τὰ ἄρθρα, i.e. a quatiendis articulis.

Στάθευε. Aſſa. Ariſtophanes: *Sepias aſſa.*

Σταθήσεται. Stabit. Confirmabitur. *Ore duorum aut trium teſtium confirmabitur omne verbum.* Ex Euangelio.

Σταθμά. Pondo. Libræ. *Illi vero promiſerunt, ſe daturos argenti pondo bis mille.*

Σταθμᾶσθαι. Ponderare. Perpendere. Æſtimare. *Non verbis ſed factis homines mutuum amorem ſemper æſtimare ſolent.*

Σταθμεύσας ἐπὶ τ. *Cum ad flumen caſtra metatus eſſet, ex intervallo exiguum præſidium, & ad hoſtes obſervandos duas Chiliarchias ibi locavit.*

Στάθμη. Amuſſis. [In Epigrammate:]

1 Οὐδενὸς δὲ αὐτὸν ἐν σταδ. μάχῃ ὑφισ.] Sic rectius MSS. Pariſ. quam priores Edit. quæ habent, οὐδενὸς δὲ αὐτῶν ἐν σταδ. μάχῃ ἱσταμένου.

2 Πόδα ἕνα καὶ ἥμισυν] Hæc in MSS. Pariſ. non integris literis exarata ſunt, ſed per notam quandam, quæ *ſeſqui* ſignificare ſolet. Hanc cum non intelligerent librarii, inde confecerunt πόδας ϛ: ut priores Editt. exhibent. Vide Nos ſupra ad v. Σάτα, ubi ſimilem hallucinationem librariorum indicavimus.

3 Σταδίοις ἰσθμοθήκην νέμειν] Hæc adeo ſunt lacera & mutila, ut nullum inde ſenſum elicere queas.

4 Μεσημβρία ἵσταται, ἡ καλουμ. σταθερά.] Huc egregie faciunt ea, quæ notat Scholiaſtes Apoll. Rhodii ad lib. I. *Argon.* v. 450. Σταθερόν. ἀντὶ τοῦ καυματηρὸν καὶ θερμόν. λέγει δὲ τὴν μεσημβρίαν, ἐκ τοῦ συμβαίνοντος· ἐπειδὴ μεσουρανήσας ὁ ἥλιος θερμαίνει πάντα, διὰ τὸ παραλλήλως ἴσως ἀπέχειν τῶν ὑποκειμένων. ἢ διὰ τὸ ἑστηκέναι. ἥλιος γὰρ δοκεῖ τότε κινεῖσθαι ὁ ἥλιος.

5 Χρήματος] MS. A. χείματος.

6 Ἰώσηπος] Lib. III. *de Bello Jud.* ſub initium.

7 Στάθευε] Confer Noſtrum ſupra v. Ἐσταθευμέναις.

8 Ἵνα ἐπὶ στόματος δύο μαρτ.] Matth. XVIII. 16. ſed ubi pro σταθήσεται legitur σταθῇ: uti etiam hic ſcribendum eſt.

9 Οὐ ῥήμασιν, ἀλλ' ἔργ.] Hæc ſunt verba Procopii *Hiſt. Arc.* cap. II. ſed ubi pro ῥήμασι legitur αἵμασι.

10 Στοργὴν] Sic recte MS. A. itemque Procopius loco laudato. Antea vero male legebatur, ὀργήν.

11 Ἀντὶ τοῦ στρατεύσας] Eſt interpretatio inepta. Aliud enim ſignificat σταθμεύσας: ut ex Lexicis vulgatis notum eſt.

12 Στάθμην ἰθυτενῆ μολιβ.] Verba hæc decerpta ſunt ex Epigrammate Philippi, quod integrum legitur Anthol. lib. VI. cap. ult. ut Portus quoque obſervaverat.

λιβαχθέα. † Ὡς οὐκ ἂν εὑρόντες ἄνδρα Φιλίας ἐν τῇ τῶν Φαλισκῶν στάθμῃ δοκιμώτερον.

Σταθμησάμενος. δοκιμάσας. [1] Ἡρόδοτος· Σταθμησάμενος γοῦν, ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ ποδὸς, ἀπέταμε τὸ ταρσὸν ἑωυτοῦ.

Σταθμητόν. μετρητόν. Ἀρριανός· Ἦν δὲ καὶ καμήλων οὐ σταθμητόν τι πλῆθος. καὶ αὖθις· Πέτραι τε οὐ σταθμηταὶ τὸ μέγεθος ἀπὸ κεραιῶν μετέωροι αἰωρούμεναι πρὸς τοὺς ὑπιέναι ὁρμῶντας τὸ τεῖχος ἐβάλλοντο.

Στάθμα, καὶ σταθμά. διχῶς λέγεται. εἰσὶ δὲ τὰ ἐμβαλλόμενα ταῖς πλάστιγξι τοῦ ζυγοῦ.

Σταθμίζω. αἰτιατικῇ. ἐπὶ ἐνεστῶτος μόνου. ἐστάθμησα δέ.

Σταθμός. τὸ πανδοχεῖον. καὶ σταθμοῦχος, ὁ πανδοχεύς. καὶ Ναζιανζὸς, σταθμὸς Καππαδοκίας.

Σταθμός. στρατιωτικὴ κατάλυσις.

Σταθμός. καὶ αἱ καταλύσεις καὶ τὰ καταγώγια τῶν ἀγγελιαφόρων ἀπὸ πόλεως εἰς πόλιν.

Σταθμώμενον. δοκιμάζοντα.

Σταθμῶν. τῶν παραστάδων τῆς θύρας.

Στακτή. εἶδος ἀρώματος. Πολύβιος· Κυρωθείσης δὲ τῆς ἐλευθερίας τοῖς Γερραίοις, ἐστεφάνωσαν παραχρῆμα τὸν Ἀντίοχον τὸν βασιλέα πεντακοσίοις ἀργυρίου ταλάντοις, χιλίοις δὲ λιβανωτοῦ, καὶ διακοσίοις τῆς λεγομένης στακτῆς. καὶ ἐποίει τὸν πλοῦν [2] ἐπὶ Τύλον τὴν νῆσον, καὶ ἐποίει τὸν ἀπόπλουν ἐπὶ Σελευκείας. ἦσαν δὲ τὰ ἀρώματα ἐν τῇ ἐρυθρᾷ θαλάσσῃ.

Στακτὴ[3] καὶ κασσία. ἡ ἀπὸ τοῦ πάθους εὐωδία.

Στακτοῖς. τοῖς ὑγροῖς, καὶ δοκίμοις. πρὸς ἀντιδιαστολὴν τῶν ξηρῶν. Ἀριστοφάνης Πλούτῳ·

Οὔτε μύροισιν μυρίσαι στακτοῖς, ὁπόταν νύμφην ἀγάγησθον.

Σταλάζω. αἰτιατικῇ.

Σταλέντος. παυσαμένου. Σταλέντος δὲ τοῦ αἵματος, τὰ οἰκεῖα αὖθις διαπράττεσθαι.

Στάλικας. πασσάλους.

[4] Ἔμπαλιν ἰθυτόνων Δᾶμις ἀπὸ σταλίκων.

ἐν Ἐπιγράμμασι. ἡ εὐθεῖα, ἡ στάλιξ.

Σταμίνεσι.[5] τοῖς ἐπιμήκεσι ξύλοις.

Στάσεις. τὰ ἀναχώματα τῶν ποταμῶν.

Διὰ[6] τῶν ἀφελῶν πεδίων ἔῤῥει, καὶ τῆς στάσεως παρασύρων,
Ἐφόρει τὰς δρῦς, καὶ τὰς πλατάνους, καὶ τοὺς
ἐχθροὺς προθελύμνους.

Στάσις. ἐπὶ πνοῆς βιαίου ἀνέμου. [7] Γίνεταί τις ἀνέ-

Amuſſim rectam, plumboque gravatam.

Σταθμησάμενος. Qui examinavit. Qui æſtimavit. Qui conjecit. Herodotus: *Cum æſtimaſſet, quomodo reliqua pars pedis educi poſſet, plantam ſuam abſcidit.*

Σταθμητόν. Quod menſura comprehendi poteſt. Quod æſtimari poteſt. Arrianus: *Erat autem camelorum multitudo quædam innumerabilis.* Et iterum: *Saxa immenſæ magnitudinis ex antennis ſuſpenſa, in eos, qui murum ſubire conabantur, dejiciebantur.*

Στάθμα, & σταθμά. Dupliciter dicitur. Pondera, quæ in libræ lances imponuntur.

Σταθμίζω. Accuſativo jungitur. Pondero. [Per ι ſcribitur.] At ἐστάθμησα, [a σταθμάω, per η.]

Σταθμός. Diverſorium. Statio. Et σταθμοῦχος, caupo, ſive, qui peregrinos hoſpitio excipit. Et Nazianzus eſt manſio Cappadociæ.

Σταθμός. Statio. Militare diverſorium. Manſio.

Σταθμός. Sic vocantur diverſoria & manſiones tabellariorum ab urbe ad urbem.

Σταθμώμενον. Explorantem. Perpendentem. Æſtimantem.

Σταθμῶν. Poſtium januæ.

Στακτή. Stacte. Genus aromatis. Polybius: *Libertate Gerræis confirmata, hi Antiochum Regem illico quingentis argenti talentis, thuris mille, guttæ autem, quam ſtacten vocant, ducentis donarunt coronæ titulo. Antiochus vero inde in inſulam Tylum navigavit, unde Seleuciam reverſus eſt. Aromata vero illa erant in rubro mari.*

Στακτὴ καὶ κασσ. Stacte & caſſia. [Allegorice,] ſuavis odor e paſſione [Chriſti] manans.

Στακτοῖς. Liquidis. Stillantibus. Ad differentiam ſcilicet eorum [unguentorum,] quæ ſicca ſunt. Ariſtophanes *Pluto: Neque unguentis ungere liquidis, cum ſponſam ducetis.*

Σταλάζω. Stillo.

Σταλέντος. Sedato. *Sanguinis autem fluxu ſedato, munere ſuo iterum fungi.*

Στάλικας. Paxillos, ſive, furculas, quibus ſuſtentantur retia. *Contra Damis a furculis, quibus retia ſuſtentantur.* In Epigrammate. Caſus rectus eſt, στάλιξ.

Σταμίνεσι. Lignis oblongis [navium, quæ Latini ſtatumina vocant.]

Στάσεις. Aggeres fluviorum. *Per apertos fluebat campos, & a propria ſede revulſas ferebat quercus & platanos, inimicoſque radicitus evulſos.*

Στάσις. [Interdum] de vehementi flatu

1 Ἡρόδοτος.] In *Calliope* pag. 333. ut Portus monuit.
2 Ἐπὶ Τύλον τὴν νῆσον] Vide Bochartum *Geograph. Sacr.* Part. II. lib. I. cap. XLV.
3 Στακτὴ καὶ κασσία. ἡ ἀπὸ τ.] Pſalm. XLIV. 9. *Σμύρνα καὶ στακτὴ καὶ κασσία ἀπὸ τῶν ἱματίων σου.* Theodoretus ad illum locum: *Σμύρναν καλεῖ τὸ πάθος. πικροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται. στακτὴν δὲ καὶ κασσίαν, τὴν ἀπὸ τοῦ πάθους εὐωδίαν.* Hinc Suidas ſua deprompſit.
4 Ἔμπαλιν ἰθυτ.] Pentameter hic legitur Antholog. lib. VI. cap. XV. ubi integrum Epigramma vide.
5 Σταμίνεσι. τοῖς ἐπιμ.] Ex Scholiaſta Homeri ad Odyſſ. E. v. 252. ſed qui vocem hanc pluribus exponit.
6 Διὰ τῶν ἀφελῶν κτλ.] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 319. (219. Ed. Baſ. *P.*)
7 Γίνεταί τις ἀν.] Fragmentum hoc legitur apud Polybium lib. I. cap. XLVIII.

μου

μου στάσις, ἔχουσα τηλικαύτην φορὰν, ὥστε τὰς στοὰς σαλεύειν.

Στάσις. ἡ ἐμφύλιος μάχη. Πόλεμος δὲ, ὁ τῶν ἀλλοτρίων. Στασιῶται δὲ, οἱ στάσεις ἐγείροντες.

Στασιώτης.[1] Ἀντιφῶν ἐν τῷ περὶ τῆς μεταστάσεως· Περὶ τοίνυν, ὧν Ἀπόληξις κατηγόρηκεν ὁ στασιώτης, ἦν ἐγὼ, καὶ ὁ πάππος ὁ ἐμός. Ἔοικεν ἰδίως νῦν ὁ ῥήτωρ ἐπὶ τοῦ δορυφόρου κεχρῆσθαι τῷ ὀνόματι. ἐν γοῦν τοῖς ἑξῆς φησιν, ὅτι οὐκ ἂν τοὺς μὲν τυραννοῦντας ἠδυνήθησαν οἱ πρόγονοι καλέσαι [2] δορυφόρους. τοὺς δὲ ἠδυνάτησαν.

Στάσιμον.[3] εἶδος μέλους, ὅταν ἱστάμενοι ᾖδον οἱ χορευταί. ἢ στάσιμον, τὸ ταραχῶδες. καὶ Στάσιμος, ὄνομα κύριον.

Στατήρ. τὸ ἐκ χρυσοῦ νόμισμα. Τῶν βαλαντίων ἡ συνωρὶς, τὸ μὲν εἶχεν ὀβολοὺς ἐκ χαλκοῦ· τὸ δὲ, στατῆρας χρυσοῦς, τῶν Εὐμήλου ἵππων πολὺ μᾶλλον ἀλλήλοις ἐοικότας.

Στατήρ. τετράγωνον νόμισμα. καὶ τὸ ἑξάγιον. καὶ τὸ ζύγιον. ἢ εἶδος νομίσματος. Ἀριστοφάνης Πλούτῳ·

Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν.

τουτέστι, νομίσματι παίζομεν ἄρτια, ἢ περιττά;

Ὁρᾶτε[4] μέν με δεόμενον σωτηρίας
Τετραστατήρου. ———

Ἀριστοφάνης.

Σταυρὸς[5] ἐπὶ τὸ Βόρειον τοῦ Φόρου μέρος ἵστατο, ὡς εἶδεν αὐτὸν Κωνσταντῖνος, χρυσέμπλαστος, ἐν τοῖς ἀκρωτηριακοῖς στρογγύλοις μήλοις· ἔνθα καὶ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ καθεωρῶντο χρυσέμβαφοι.

Σταυροί. τὰ ὀρθὰ πεπηγότα ξύλα. Ἐπὶ Θεοδοσίου τοῦ μεγάλου βασιλέως, καθαιρουμένων τῶν Ἑλληνικῶν ἱερῶν, εὑρέθησαν ἐν τῷ τοῦ Σαράπιδος ναῷ ἱερογλυφικὰ γράμματα, σταυρῶν ἔχοντα τύπους, ἅπερ θεασάμενοι οἱ ἐξ Ἑλλήνων χριστιανίσαντες, ἔφασαν, σημαίνειν τὸν σταυρὸν παρὰ τοῖς τὰ ἱερογλυφικὰ γινώσκουσι γράμματα, ζωὴν ἐπερχομένην.

Σταφυλή. παρὰ τὸ σήπω, σταπυλὴ, καὶ σταφυλή. πεπανθείσης γὰρ τῆς ἀμπέλου, τότε καὶ ἡ σταφυλὴ γίνεται. καὶ σταφυλοβολεῖον, τὸ καλούμενον πατητήριον.

[6] Βότρυς κατέσθειν ὀμβρικὴν δηλοῖ κλύσιν.

Σταχάνη. ἡ τρυτάνη. παρὰ τὴν στάσιν. καὶ παροιμία· Δικαιότερος σταχάνης.

Σταῖς. ἡ ζύμη. τρία εἰσὶν εἰς αις· παῖς, ἀρσενικόν· δαῖς, θηλυκόν· σταῖς, οὐδέτερον.

Σταιτίτης. εἶδος ἄρτου.

Στέαρ. παρὰ τῷ Δαβὶδ, εὔνοια καὶ φιλαδελφία. [7] Τὸ στέαρ αὐτῶν συνέκλεισαν· τὸ στόμα αὐτῶν ἐλά-

venti dicitur. *Venti exoritur tempeſtas, ea violentia atque impetu, ut porticus etiam concuteret.*

Στάσις. Seditio. Bellum inteſtinum. At πόλεμος, bellum externum. Et στασιῶται, homines ſeditioſi, ſive factioſi.

Στασιώτης. Seditioſus. Antiphon in oratione de Metaſtaſi: *De criminibus igitur, quorum Apolexis ille ſtaſiotes* [*nos*] *accuſavit, dixi ego & avus meus.* Peculiariter nunc orator hoc nomine uſus fuiſſe videtur pro ſatellite. In ſequentibus enim dicit, *Majores non potuiſſe quidem tyrannos in jus vocare: ſatellites autem potuiſſe.*

Στάσιμον. Genus carminis, quod ſaltatores ſtantes canebant. [Sic dictum a *ſtando*.] Vel στάσιμον, ſeditioſum, factioſum, turbulentum. Et Στάσιμος, nomen proprium.

Στατήρ. Stater. Aureum nomiſma. *Sacculorum erat par; quorum alter æreos obolos habebat: alter vero, ſtateras aureos, inter ſe magis ſimiles, quam erant Eumeli equi.*

Στατήρ. Stater. Quadratum nomiſma. Et ſextula, & zygium. Vel, genus nomiſmatis. Ariſtophanes *Pluto: Stateribus vero nos famuli ludimus par, impar.* Et Ariſtophanes alibi: *Videtis me indigentem ſalute quatuor ſtaterum.*

Σταυρὸς ἐπὶ τὸ β. In Septentrionali parte Fori collocata eſt crux, inſtar illius, quam Conſtantinus M. in cœlo vidit, auro obducta, habenſque in apicibus rotunda mala. Ibidem filiorum ejus ſtatuæ auratæ conſpiciebantur.

Σταυροί. Cruces. Valli. Sub Theodoſio Magno Imperatore, cum Gentilium templa everterentur, in Serapidis templo inventæ ſunt hieroglyphicæ literæ, crucis figuram habentes. Quas cum illi, qui ex Gentilibus Chriſtiani facti fuerant, conſpexiſſent, dixerunt, crucem apud literarum hieroglyphicarum peritos ſignificare vitam futuram.

Σταφυλή. Racemus. Uva. A σήπω fit σταπυλὴ, & [mutato π in φ,] σταφυλή. Poſtquam enim vitis maturuit, tunc etiam uva fit. Et σταφυλοβολεῖον, locus in quo uvæ calcantur. *Uvas comedere ingentem imbrium vim ſignificat.*

Σταχάνη. Trutina. Dicta eſt a στάσις, i. e. ſtatus. Et proverbium: *Juſtior trutina.*

Σταῖς. Fermentum. Farina aqua macerata & ſubacta. Tria ſunt in αις deſinentia: παῖς, maſculinum: δαῖς, fœmininum: σταῖς, neutrum.

Σταιτίτης. Stætites. Genus panis.

Στέαρ. Sebum. Pinguedo. [Allegorice ſic dicitur] apud Davidem, benevolentia & fra-

1 Στασιώτης. Ἀντιφ.] Ex Harpocratione.

2 Δορυφόρους· τοὺς δὲ ἠδ.] Verba hæc transpoſita eſſe exiſtimo, quæ cum Pearſonio ſic legenda putem, τοὺς δὲ δορυφόρους ἠδυνήθησαν.

3 Στάσιμον. εἶδος μέλ.] Ex Enarratore Comici ad *Ranas*, pag. 272.

4 Ὁρᾶτε μέν με δ.] Hæc ſunt verba Ariſtoph. *Ecclesiaz.* pag. 736. (494. Ed. Baſ. P.)

5 Σταυρὸς ἐπὶ τὸ Βόρειον τοῦ Φ.] Hæc totidem verbis leguntur etiam apud Codinum *de Orig. CPolit.* Num. XXXIII.

6 Βότρυς κατέσθειν ὀμβρ.] Eſt verſus onirocriticus, ex *Aſtrampſycho* ſumptus: qui legitur etiam *ſupra v.* Βότρυς, ubi ſuus ei locus eſt.

7 Τὸ στέαρ αὐτῶν συνέκλεισαν· τὸ στόμα αὐτ.] Pſalm. XVI, 11. ubi vide Theodoretum, cujus interpretationem Suidas more ſuo hic ſecutus eſt.

λησεν ὑπερηφάνειαν. καὶ στέαρ παρὰ τῇ θείᾳ γραφῇ, ἡ εὐπάθεια καὶ ἡ εὐκληρία λέγεται. Ἐξελεύσεται ὡς ἐκ στέατος ἡ ἀδικία αὐτῶν. ἀντὶ τοῦ, μετὰ πάσης ἀδείας τὴν ἀδικίαν λαλοῦσι.

Στέαρ πυροῦ. ὁ κάλλιστος σῖτος, καὶ ἄρτος.

Στέατα. ἄλευρα. καὶ Εὐνάπιος· Ὁ δὲ φέρων γράμματα ἐν χαλκῷ, στέατι περιπεπλασμένα, καθεὶς ἐν πήρᾳ, ἐπιθείς τε καὶ ἄλλους ἄρτους ὁμοίως, ὡς μή τινα γνῶναι τὸ ἀπόρρητον.

Στεγανὰ πλοῖα. στερεά.

Στεγανόν. πυκνόν. σφιγκτόν. καὶ Διόδωρος· Οἱ δὲ Ῥωμαῖοι στεγανὰ ποιήσαντες, παρεχείμαζον. καὶ παροιμία· Βάκχης τρόπον. ἐπὶ τῶν στεγανῶν καὶ σιωπηλῶν. αἱ γὰρ Βάκχαι ἐσίγων.

Στεγανόποδα. στεγανόποδα ζῷα λέγεται, καὶ πλατυώνυχα, κύκνος, χήν, πελεκάν, καὶ τὸ τῶν νηττῶν πᾶν γένος· οἷς συμβέβηκε φιλύδροις εἶναι.

Στεγανώτερον. πεπυκνωμένον. συνεχέστερον. Ἐν Ἐπιγράμματι[1]· Ἀλλά τι καὶ φρενέεις στεγανώτερον. † Οἱ δὲ[2] τοὺς ἀσκοὺς κεντήσαντες, ὁμίχλῃ στεγανωτάτῃ συνεσκίασαν τὸν ἀέρα. τῇ αἰθάλῃ. καὶ Αἰλιανός· Ὁ δὲ ἔλεγε στεγανωτάτους εἶναι τοὺς βουλευτὰς, καὶ φυλάττειν τὰ τῆς σκέψεως ἀπόρρητα.

Στέγει. καρτερεῖ, ὑπομένει. Τὸν καυστικὸν δὲ τοῦτον ἥλιον στέγει, ἱδρῶτι θερμῷ πανταχοῦ βεβρεγμένος. καὶ στεγόμενα, κρυπτόμενα. καὶ στεγόντων, ἀνεχόντων, βασταζόντων. Ἰώσηπος· Οἶκος ἦν, δύο κιόνων στεγόντων αὐτοῦ τὸν ὄροφον. [3]Ἀριστοφάνης·

Ὡς εὖ κατηρέψασθε, καὶ νουβυστικῶς
Κεράμῳ τὸ νῶτον, [4]ὥστε τὰς πλευρὰς στέγειν.

καὶ αὖθις·

Πάτερ[5] Οἰδίπου, πύργοι μὲν, οἳ
Πόλιν στέγουσιν, ὡς ἀπ' ὀμμάτων πρόσω.

τυποῦσιν,[6] ὡς ἄν τις τὰ ὄμματα προσέχω ἔχων.

Στεγναί. στερεαί.

Στελγίδες,[7] καὶ καταμάγια. τὰ εἰς τὸ λούεσθαι χρειώδη. καὶ ξύστραι, καὶ λέκυθος, καὶ ξυστροφύλαξ, εἴδη λουτροῖς ἐπιτήδεια.

Στελεόν. τὸ τοῦ πελέκεως ξύλον.

Εἰ μὴ γὰρ ὑμεῖς στελεὰ πάντα τίκτετε,

Οὐκ ἂν γεωργὸς πέλεκυν ἐν δόμοις εἶχε.

Βάβριος φησὶν ὁ μυθογράφος.

Στέλεχος. εἰ μὲν ὁ κορμὸς, ἤγουν ἡ ῥίζα· παρὰ τὸ τέλος ἔχειν. ἢ παρὰ τὸ στερεόν. εἰ δὲ οἱ ἄνω τῆς κορυφῆς κλάδοι· παρὰ τὸ εἰς τέλος ἔρχεσθαι.

ternus amor. *Sebum ſuum concluſerunt, & ipſorum os locutum eſt ſuperbiam.* *Pinguedo* etiam in divina ſcriptura proſperitas & opulentia dicitur. *Egredietur tanquam ex pinguedine injuſtitia eorum.* Id eſt, cum omni confidentia injuſtitiam loquuntur.

Στέαρ πυροῦ. Pinguedo frumenti. Id eſt, optimum frumentum, & [optimus] panis.

Στέατα. Farina ſubacta. Fermentum. Eunapius: *Ille autem literas in æneo vaſculo ferens, farina ſubacta obductas, eas in peram conjecit, alioſque panes impoſuit, ne quis arcanum cognoſceret.*

Στεγανὰ πλοῖα. Navigia firma, nec rimas ullas habentia, per quas aqua intrare poſſit.

Στεγανόν. Tectum. Denſum. Compreſſum. Strictum. Et Diodorus: *Romani vero cum tecta ſibi feciſſent, ibi hybernarunt.* Et proverbium: *Bacchæ in morem.* Dicitur de hominibus tectis & taciturnis. Bacchæ enim ſilebant.

Στεγανόποδα. Palmipedia. Animalia palmipedia dicuntur, olor, anſer, pelicanus, & anatum omne genus; quæ aquas amant.

Στεγανώτερον. Tectius. Denſius. Preſſius. Occultius. In Epigrammate: *Sed animo es tectiore.* † *Illi vero perforatis utribus, denſiſſima caligine aerem obſcurarunt.* Favilla nimirum. Et Ælianus. *Ille vero dicebat, conſiliarios eſſe maxime taciturnos, & arcana ſilentio tegere.*

Στέγει. Tolerat. Suſtinet. Fert. *Fervorem autem hunc Solis fert, totus calido ſudore perfuſus.* Et στεγόμενα, quæ teguntur. Et στεγόντων, ſuſtinentium, portantium. Joſephus: *Domus erat, cujus tectum duæ columnæ ſuſtinebant.* Ariſtophanes: *Quam bene & provide,* [*teſtudines,*] *tergum veſtrum teſta tectum eſt, ut plagas ferre poſſitis.* Et Sophocles:] *Pater Oedipe, turres, quæ urbem tuentur, quantum oculis conjicio, procul ſunt.*

Στεγναί. Firmæ. Denſæ.

Στελγίδες. Strigiles. Et καταμάγια, lintea, quibus corpus abſtergitur. Radulæ quoque, & lecythus, & xyſtrophylax, inſtrumenta ſunt balneorum uſui inſervientia.

Στελεόν. Manubrium ſecuris.

Niſi enim vos manubria omnia ſecurium gigneretis,
Nullus agricola ſecurim in ædibus haberet.

Sic Babrius fabularum ſcriptor inquit.

Στέλεχος. Si pro trunco, vel radice accipiatur; ductum eſt nomen hoc a τέλος ἔχειν, i. e. finem habere. Sin pro ſummis ramis arboris; παρὰ τὸ εἰς τέλος ἔρχεσθαι, i. e. ab eo, quod ad finem perveniat.

1 Ἐν Ἐπιγράμματι] Anthol. lib. VII. pag. 587. ubi integrum Epigramma vide.

2 Οἱ δὲ τοὺς ἀσκοὺς κεντ.] Fragmentum hoc connectendum eſt cum iis, quæ Suidas habet ſupra v. Κονιορτόν.

3 Ἀριστοφάνης] *Veſpis*, pag. 524. (358. Ed. Baſ. P.)

4 Ὥστε τὰς πλευρὰς στέγειν] Apud Ariſtophanem legitur, ὥστε ταῖς πλευραῖς στέγειν. Sed ſcribendum potius puto, ὥστε τὰς πληγὰς στέγειν: quam lectionem in verſione ſecutus ſum.

5 Πάτερ Οἰδίπου, πύργ.] Hæc ſunt verba Sophoclis *Oedip. Colon.* pag. 271. ut Portus monuit.

6 Ὡς ἄν τις τὰ ὄμματα προσέχω ἔχων] Scholiaſta Sophoclis: Ὡς ἄν τις πρόσω ἀφορῶν τεκμαίρεται. ὡς ἄν τις τὰ ὄμματα πόῤῥω ἔχων. Hinc Suidam ſupplebis & emendabis.

7 Στελγίδες, καὶ καταμάγια] Lege, στλεγγίδες καὶ καταμαγεῖα. Locus autem hic excerptus eſt ex Artemidori *Onirocr.* lib. I. cap. LXVI. ut Pearſonius recte obſervaverat.

Στε-

Στελίχων. ὄνομα κύριον. ὃς [1] σὺν Ῥουφίνῳ ἐπὶ Ἀρκαδίου καὶ Ὁνωρίου ἄμφω τὰ πάντα συνήρπαζον.

Στέμμα. στεφάνη. πλήρωμα.

Στέμφυλον. τὸ ἔκδυμα τῆς σταφυλῆς, ἢ τῆς ἐλαίας· οἷς ἀντὶ ὄψων ἐχρῶντο.

Στενά μοι πάντοθεν. ζήτει ἐν τῷ Δαβίδ.

Στένει. στενάζει.

Στενοκωκύτους τρίχας. ἐν αἷς στενάζει τις λλομένη. [2] Ἀριστοφάνης·

Ἐκκοκκιῶ σου τὰς στενοκωκύτους τρίχας.

ἤγουν ἐκτιλῶ, ἀνασπάσω.

Στενολεσχεῖν [3] περὶ καπνοῦ. τὸ λεπτολογεῖν. στενὸς γὰρ καὶ ἀμυδρὸς ὁ καπνός. παρὰ δὲ τὸ στενὸν εἴληπται τὸ στενολεσχεῖν.

Στενολέσχης. λεπτολόγος. καὶ στενολεσχία, τὸ αὐτό.

Στενόχωρος. ὁ ἐστενωμένος τόπος.

Στενωπός. [4] στενορύμη δίοδος. καὶ στενωπεῖον.

Στεντόρειος φωνή. ἡ τοῦ Στέντορος.

Στεῤῥά. στερεά, καὶ ἰσχυρά.

Στέργηθρον. ὁ πόθος.

Στέργω. δοτικῇ. Ἐκεῖνος οἶμαι δυνάμει στέργειν ἠναγκάζετο τούτοις. αἰτιατικῇ δέ· Ὁ μὲν στέργει τὴν κάτω χώραν.

Στερέμνιον. στερεόν. ἰσχυρόν.

Στερεομετρία.

Στερέωμα.

Στεῖφη. στεῖρα. μὴ τεκοῦσα. καὶ στειφοποιοῦντες, ἀντὶ τοῦ στεροῦντες.

Στέριφος. στεῖρος, καὶ ἄγονος. παρὰ τὸ στερεὰν ἔχειν τὴν ὑστέραν. Αὐτὸς δὲ διὰ τοῦ ἕλους, ᾗ στεριφώτερός τε ἦν, καὶ ἥκιστα ὑπὸ τῶν ἐναντίων ἑωρᾶτο, ὑπερέβη. καὶ Θουκυδίδης· Τὰς πρώρας τῶν νεῶν ξυντεμόντες ἐς ἔλασσον, στεριφωτέρας ἐποίησαν. ἀντὶ τοῦ στερεωτέρας.

Στερίφοις. στερεοῖς, ἢ πυκνοῖς. Εἰ δέ τι ὑπεράγαν ἦν τελματῶδες, τοῦτο βαθείαις τάφροις στέριφον πάντῃ ἐπεδείκνυντο. καὶ στεριφοποιῶ, τὸ ἰσχυροποιῶ. καὶ [5] στερίφοπλος, ὁ μικρὸς πέπλος.

Στερκτέον. Ἂν μὴ παρῇ κρέα, ταρίχη στερκτέον. ζήτει ἐν τῷ Ταρίχη.

Στέρνα [6] χθονὸς, καὶ νῶτα χθονός. τὰ πεδιώδη, καὶ εὐρέα· καθάπερ αὖ πάλιν αὐχένας, τὰ στενά. Σοφοκλῆς· Στερνούχου χθονός. ἀντὶ τοῦ, γῆς ἐπιπέδου.

Στελίχων. Stilico. Hic & Rufinus ſub Arcadio & Honorio ambo ſimul omnia diripiebãt.

Στέμμα. Corona. Plenitudo.

Στέμφυλον. Uvarum vel olearum folliculi; quibus opſonii loco olim utebantur. Vinacea. Fraces.

Στενά μοι πάντοθεν. Undique mihi ſunt anguſtiæ. Quære in voce Δαβίδ.

Στένει. Gemit. Suſpirat. Lamentatur.

Στενοκωκύτους τρίχας. Capillos, qui, dum evelluntur, gemitum alicui exprimunt. Ariſtophanes: *Capillos tuos evellens, gemitum & fletum tibi exprimam.*

Στενολεσχεῖν περὶ καπνοῦ. Subtiliter de fumo diſputare. Fumus enim eſt res levis & inanis. Στενολεσχεῖν autem compoſitum eſt ex στενὸν, [& λέσχη.]

Στενολέσχης. Qui de rebus frivolis ſubtiliter diſputat. Et στενολεσχία, diſputatio de rebus frivolis & levibus.

Στενόχωρος. Locus anguſtus. Locorum anguſtiæ.

Στενωπός, & στενωπεῖον. Anguſtus vicus. Angiportus.

Στεντόρειος φωνή. Stentorea vox.

Στεῤῥά. Solida. Firma. Robuſta.

Στέργηθρον. Deſiderium. Amor.

Στέργειν. Dativo jungitur. Contentum eſſe aliqua re. In aliqua re acquieſcere. *Ille, ut opinor, in his acquieſcere cogebatur.* Item, accuſativo. Amare. *Ille quidem inferiorem regionem amat.*

Στερέμνιον. Durum. Robuſtum. Solidum. Firmum.

Στερεομετρία. Solidorũ corporum dimenſio.

Στερέωμα. Firmamentum.

Στεῖφη. Sterilis. Quæ non peperit. Et στειφοποιοῦντες, firmantes.

Στέριφος. Sterilis, & infœcunda. [Sic dicta,] quod duram habeat matricem. [Item, στέριφος, durus, ſolidus, firmus.] *Ille vero per paludem, qua durior erat, & ab hoſtibus minime conſpiciebatur, tranſivit.* Et Thucydides: *Proras navium decurtatas firmiores fecerunt.*

Στερίφοις. Solidis. Firmis. Vel, denſis. *Si quis vero locus nimium uliginoſus ac paluſtris eſſet, eum profundis foſſis ſolidum reddiderunt.* Et στεριφοποιῶ, firmum & ſolidum reddo. Et στερίφοπλος, parvus peplus.

Στερκτέον. *Si non adſunt carnes, ſalſamento nos contentos eſſe oportet.*

Στέρνα χθονὸς, καὶ ν. Pectora & dorſa terræ. Id eſt, loca campeſtria & plana: ut cervices, loca anguſta. Sophocles: *Terræ latæ.* Vel planæ.

1 Ὃς σὺν Ῥουφίνῳ, ἐπὶ Ἀρκ.] Vide ſupra v. Ῥουφῖνος.

2 Ἀριστοφάνης] *Lyſiſtrata*, pag. 864. (551. Ed. Baſ. P.)

3 Στενολεσχεῖν περὶ καπνοῦ] Ariſtophanes *Nubibus*, pag. 143. (78. Ed. Baſ. P.)

Καὶ λεπτολογεῖν ἤδη ζητεῖ, καὶ στενολεσχεῖν περὶ καπνοῦ.

Huc Suidas reſpexit.

4 Στενορύμη δίοδος. καὶ στεν.] Salmaſius ad Achill. Tat. pag. 728. diſtinguit & legit, στενορύμη. δίοδος, καὶ στενωπεῖον: quod probo.

5 Στερίφοπλος, ὁ μικρὸς πέπλος.] Suidas procul dubio ſcripſerat, στεριφόπεπλος, ὁ μικρόπεπλος. Nam τὸ στερίφοπλος plane aliud ſignificat: nimirum, ὁ στερεοῖς ὅπλοις ἐνδεδυμένος. Num autem recte στεριφόπεπλος exponatur per μικρόπεπλος, Lector viderit. Nobis enim, ut obiter hoc moneamus, interpretatio iſta ſuſpecta eſt. Confer etiam Noſtrum infra v. Στέῤῥος, ubi στεῤῥόπεπλος occurrit.

6 Στέρνα χθονὸς, καὶ νῶτα χθ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Colon.*, pag. 294. ut Portus monuit.

Στερνοτύπτης. ὁ τὸ στῆθος τύπτων. καὶ στερνοτυπτούμενος.

Στέρνοις. στήθεσι.

Τόν [1] τε περὶ στέρνοις κόσμον ὀδοντοφόρον.

Στέρξω. ὑπομενῶ. [2] Σοφοκλῆς·

Τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτέ·
Ἀλλ' ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι
Ἔσται τολοιπὸν, ὥστε τέρπεσθαι δόμῳ.

Πολύβιος· [3] Νῦν δὲ (οὐ πρὸς ἡμῶν γὰρ ἐπιορκεῖν) τὰ παρόντα στεργόμεθα.

Στεῤῥὸν [4] ἀντικνήμιον. Φησὶν Ἀριστοφάνης περὶ Λακρατίδου. τὸ σκληρὸν καὶ γεγηρακὸς καὶ αὖον. ὥσπερ κατὰ ἀντίθεσιν ἐπὶ τῶν ἀκμαζόντων, τὸ χλωρόν. Θεόκριτος· Γόνυ χλωρόν. ἀντὶ τοῦ ἀκμαῖον, καὶ νέον. ἀπὸ μεταφορᾶς τῶν καλάμων, οἳ ὄντες μὲν χλωροὶ, ἁπαλοί εἰσι· ξηραινόμενοι δὲ, ἰσχυροὶ γίνονται. εὐφήμως οὖν εἶπε, στεῤῥὸν, ἀντὶ τοῦ ξηρόν.

Στερόπη. ὄνομα κύριον.

Στεροπή. ἀστραπή. λαμπηδών.

—— [5] Λαμπρᾶς γὰρ ἄτερ στεροπᾶς
Ἀΐξας ὀξὺς νότος ὣς λήγει,
Καὶ νῦν φρόνιμος νέον ἄλγος ἔχει.

ἀντὶ τοῦ, οὐ κατέχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει, ὡς ὀξὺς νότος. τουτέστι, ταχέως. ὡς γενομένων τινῶν σημείων ἐν τοῖς πνεύμασιν, ὥστε παραμένειν αὐτὰ, ἢ ταχέως πεπαῦσθαι. ὡς ἐν τῇ κωμῳδίᾳ·

Ἀλλ' ἐπέσχε ταχέως· δειλινὸς γὰρ ἤρξατ' ἀλγεῖν.

Στεῤῥός. στερεός. ἰσχυρός.

Στεροῦμαι. γενικῇ. Στερῶ δὲ, αἰτιατικῇ.

Στέρφος. δέρμα. σκέπασμα. καὶ [6] στερφόπεπλος, ὁ Ἡρακλῆς. καὶ ἐν Ἐπιγράμματι·

Πήρην, [7] κἀδέψητον ἀπεσκληρυμμένον αἰγὸς
Στέρφος. ————

Στεφάνη. ὁ στέφανος. σημαίνει καὶ ὄρους ἐξοχήν.

Στεφάνη. πόλις.

Στεφανηφόρος. [8] Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. εἴη δ' ἂν ὁ Στεφανηφόρος, ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς, τῶν γενομένων ἐκ τῶν τοῦ [9] Θεστίου θυγατέρων· ἢ μή ποτε τοῦ [10] Ἀστικοῦ Στεφανηφόρου τὸ ἡρῷον ἦν, ὥς φησιν Ἑλλάνικος ἐν β' Ἀτθίδος.

Στεφανικὸν τέλεσμα. παρὰ Ῥοδίοις οὕτως ἐκαλεῖτο, ἐπειδὴ αὐτόνομοι ἦσαν οἱ Ῥόδιοι· βραχὺ δέ τι μέρος Ῥωμαίοις ἐπὶ τιμῇ πέμποντες ἐτήσιον, ὡς οὐ φόρον ἡγεμόσι μᾶλλον, ἢ στέφανον φίλοις διδόντες. τοῦτο καὶ Ἑλληνογαλάταις τοῖς Ἀγκυρανοῖς ἐπιχωριά-

Στερνοτύπτης. Pectus percutiens. Pectus verberans. Et *στερνοτυπτούμενος*, cujus pectus verberatur.

Στέρνοις. Pectoribus. [In Epigrammate:] *Iſtumque circa pectora ornatum dentiferum.*

Στέρξω. [Diligam. Amabo.] Feram. Tolerabo. Sophocles: *Hos ego viros nunquam amabo: ſed ſaxoſa Scyrus in poſterum mihi ſufficiet, ut domo mea delecter.* Polybius: *Nunc vero, (non enim noſtrum eſt pejerare) in præſenti rerum ſtatu acquieſcimus.*

Στεῤῥὸν ἀντικνήμιον. Ariſtophanes de Lacratide [loquens, ſic vocat] tibiam ejus duram & ſenio confectam & aridam. Ut contra *viride* dicitur de iis, qui ætate vigent. Theocritus: *Genu viride.* Id eſt, vigens & juvenile. Tranſlatio ducta eſt a calamis, qui, dum virent, teneri ſunt: arefacti vero, rigidi fiunt & duri. Quare per euphemiam *στεῤῥὸν* dixit pro *ξηρόν*.

Στερόπη. Sterope. Nomen proprium.

Στεροπή. Fulgur. Splendor. [Sophocles: *Ceſſat enim ut Auſter velox, ſplendido ſine fulgure ruens; & nunc, poſtquam ad ſanam mentem rediit, novo dolore afficitur.* Id eſt, Non amplius laborat inſania: ſed ceſſat, tanquam Auſter celer. Id eſt, celeriter. [Hoc autem a poeta dictum eſt,] quod in ventis ſigna quædam obſerventur, [ex quibus conjicitur,] eos vel diutius duraturos, vel celeriter ceſſaturos eſſe. Ut in Comœdia: *Sed ceſſavit celeriter: veſperi enim dolere cœpit.*

Στεῤῥός. Solidus. Firmus. Robuſtus. Durus.

Στεροῦμαι. Privor. Genitivo jungitur. At *στερῶ*, privo: accuſativo [perſonæ, & genitivo rei.]

Στέρφος. Corium. Pellis. Tegumentum. Et *στερφόπεπλος*, pelle indutus. Epithetum Herculis. Et in Epigrammate: *Peram, & crudam duramque pellem capræ.*

Στεφάνη. Corona. Significat & montis cacumen, ſive verticem.

Στεφάνη. Stephane. Urbs.

Στεφανηφόρος. Coronifer. Antiphon in oratione adverſus Nicoclem. Stephanephori fanum, ut videtur, Athenis fuit. Fuerit autem Stephanephorus hic, vel unus filiorum Herculis, ex Theſtii filiabus ſuſceptorum: vel, fanum hoc fortaſſe fuerit Attici Stephanephori, ut ait Hellanicus libro II. *Atthidis.*

Στεφανικὸν τέλεσμα. Tributum coronarium, apud Rhodios ſic dictum. Rhodii enim, cum liberi eſſent, Romanis exiguum quoddam munus honoris cauſa quotannis mittebant, non tanquam tributum dominis, ſed ut coronam amicis. Hoc etiam genus loquendi Gallo-

1 Τόν τε περὶ στέρν.] Pentameter hic legitur Anthol. lib. VI. cap. II. Epigr. II. ut Portus itidem monuit.

2 Σοφοκλῆς] *Philoctete*, pag. 401.

3 Νῦν δὲ (οὐ πρὸς ἡμῶν γὰρ ἐπιορκ.) τὰ παρ.] Male hæc Polybio tribuuntur. Sunt enim verba Joannis Antiocheni de Sexto Pompejo, Pompeji M. filio, qui diu poſt Polybium vixit. Vide Noſtrum ſupra v. Πομπήϊος, Ῥωμαίων στρατ. ubi locus integer ex Joanne Antiocheno adducitur.

4 Στεῤῥὸν ἀντικνήμιον. Φησὶ Ἀρισ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 382. (271. Ed. Baſ. P.)

5 Λαμπρᾶς γὰρ ἄτερ στερ.] Hæc ſunt verba Sophoclis *Ajace*, pag. 16, 17. ut Portus monuit.

6 Στερφόπεπλος, ὁ Ἡρακλῆς] Lycophron *Caſſandr.* v. 652.
Τοῦ Στερφοπέπλου, Σκαπανέως, Βοαγίδου.
Scholiaſta: Στερφοπέπλου, τοῦ Ἡρακλέους, τοῦ τὴν λεοντῆν ἐνδεδυμένου. στέρφος γὰρ, τὸ τοῦ λέοντος δέρμα. ἐκέχρητο δὲ αὐτῷ ἀντὶ περιβολαίου. Huc Suidas reſpexit.

7 Πήρην, κἀδέψ.] Verba hæc decerpta ſunt ex Epigrammate Leonidæ, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. Κονίσαλος.

8 Στεφανηφόρος. Ἀντιφ.] Ex Harpocratione.

9 Θεστίου] Alii eum Θέσπιον vocant.

10 Ἀστικοῦ] Lege, Ἀττικοῦ ut habet Harpocratio.

ζει τὸ λόγιον. Στεφανικὸν γὰρ λέγουσι πᾶν τὸ ἐν χάριτος λόγῳ διδόμενον.

Στεφανίτης. ὁ ἐστεφανωμένος.

Στέφανος. [1]Ἀριστοφάνης· Φέρε παῖ στέφανον· κατὰ χειρῶν ὕδωρ φερέτω τις. τὸ γὰρ παλαιὸν τοῖς εὐωχουμένοις περιέκειντο στέφανοι, καταψύχοντες τὸ κρανίον, ἀπὸ τῆς τοῦ οἴνου θέρμης.

Στεφανοπώλης. ὁ τοὺς στεφάνους πωλῶν.

Στεφανῶν[2] τοὺς νενικηκότας. ἀντὶ τοῦ τιμῶν. ὡς Δημοσθένης καὶ Λυκοῦργός φησιν· Ἀλλὰ μὴν καὶ Καλλισθένην ἑκατὸν μναῖς ἐστεφανώσατε.

Στεφανωσάμενος καλάμῳ. λιτὸς καὶ ἀπείεργος ὁ τοιοῦτος στέφανος. ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ.

Στεφάνωσις. ἐπὶ οἰκοδομῆς οἴκου.

Στέφος, καὶ στέφη. καὶ, [3]Αἴθρια στέφη, τὰ ἐξ Ὑπερβορέων κομιζόμενα, ὡς ἀεὶ ἐν ὑπαίθρῳ τιθέμενα.

Στείβοντες. πατοῦντες.

Στειλάμενοι. στείλαντες. καὶ στείλασθαι, ἀντὶ τοῦ κρύψαι. [4]Ὀλίγοι δέ τινες δεδιότες, μήποτ' οὐ δυνάμενοι στείλασθαι, καταφανεῖς γένωνται, ἀνέφερον τὸ χρυσίον. καὶ αὖθις· Ὁ δὲ Περσεὺς ἐβουλεύετο μὲν στείλασθαι, οὐ μὴν ἠδύνατό γε κρύπτειν τὸ γεγονός.

Στειλάμενος. εὐσταλῶς ἐπελθών.

Στείλασθαι. ὁδεῦσαι. πλεῦσαι.

Στειλειός. τὸ τῆς ἀξίνης ξύλον.

—— Τί γὰρ σθένος ἔσκε σιδήρῳ
Ὑμείων, εἰ μὴ οἱ ἐνὶ στειλειὸν ἄρηρει;

Στεῖρα. ἡ ἄτεκνος. καὶ ἡ τρόπις τοῦ πλοίου. Ὅμηρος·

———— Ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.

καὶ στειρεύς, ὁ στεῖρος. καὶ Στείριον, ὄνομα ποταμοῦ. καὶ Στειρία, δῆμος τῆς Πανδιονίδος· ἧς ὁ δημότης Στειριεύς· οἷον, Στειριεὺς τὸν δῆμον.

Στείχειν. πορεύεσθαι. καὶ στείχοντες, πορευόμενοι.

Λόγος[5] δ', ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
Στείχοντι δεῦρο, συμβαλοῦ γνώμην· ἐπεὶ
Σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.

Στῆθος. καὶ στηθίδιον, καὶ στηθύνιον, τὸ μικρὸν στῆθος.

Στήλας. θεμελίους.

Στήλη. καὶ ὁ λίθος, ὁ καμπτήρ. [6]Σοφοκλῆς·

Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων.

græcis Ancyranis familiare eſt. Στεφανικὸν enim vocant, quicquid muneris & beneficii loco alicui datur.

Στεφανίτης. Coronatus.

Στέφανος. Corona. Ariſtophanes: *Affer puer coronam: & aquam afferat quis lavandis manibus.* Olim enim illi, qui convivabantur, coronati erant, quod coronæ caput adverſus vini calorem refrigerarent.

Στεφανοπώλης. Coronarum venditor.

Στεφανῶν τοὺς νενικηκότας. Victores coronans. Id eſt, honorans: ut Demoſthenes ait. Et Lycurgus: *Sed & Calliſthenem centum minis honoris cauſa donaſtis.*

Στεφανωσάμενος καλάμῳ. Coronatus arundine. Hujuſmodi corona vilis erat & nulla arte confecta. Proprium autem erat Dioſcurorum, arundinea corona coronari.

Στεφάνωσις. Coronatio. [Interdum] de ædificio [dicitur, ſignificans ambitum, qui domum coronæ inſtar circumdat.]

Στέφος. Corona. Et στέφη, coronæ. Et αἴθρια στέφη, coronæ ſubdiales. Sive, coronæ, quæ ex Hyperboreis afferebantur: [ſic dictæ,] quod ſemper ſub dio collocarentur.

Στείβοντες. Calcantes.

Στειλάμενοι. Tegentes. Latentes. Et στείλασθαι, tegere, occultare, [latere, fallere.] *Pauci autem verentes ne latere non poſſent, ſed delictum eorum manifeſtum fieret, aurum retulerunt.* Et iterum: *Perſeus autem fallere quidem voluit, ſed factum celare non potuit.*

Στειλάμενος. Qui expeditionem facit. Qui inſtructus venit.

Στείλασθαι. Proficiſci. Iter facere. Navigare.

Στειλειός. Manubrium ſecuris.

——*Quod enim robur ineſſet ferro*
Veſtro, niſi ei manubriũ adaptatum eſſet?

Στεῖρα. Sterilis. Quæ nullos parit liberos. Item, carina navis. Homerus: *Circum autem carinam unda nigra valde reſonabat, nave eunte.* Et στειρεύς, idem quod στεῖρος, ſterilis. Et Στείριον, Stirium. Nomen fluvii. Et Stiria, pagus Tribus Pandioniæ: cujus popularis dicitur, Stirienſis.

Στείχειν. Ire. Incedere. Proficiſci. Et στείχοντες, euntes, incedentes, proficiſcentes. [Sophocles:] *Rem vero, quæ modo mihi in mentem venit huc eunti, animo conjice: quæ parva quidem dictu eſt, at digna admiratione.*

Στῆθος. Pectus. Et στηθίδιον, & στηθύνιον. Parvum pectus.

Στήλας. Columnas. Fulcra.

Στήλη. [Communiter, columna vel ſtatua. Interdum vero,] meta, ſive lapis, circa quem illi, qui certamine curuli certant, currum flectunt. Sophocles: *Ille vero juxta extre-*

1 Ἀριστοφάνης] *Avibus*, pag. 563. (386. Ed. Baſ. *P.*) ubi ſic legitur:

————Φέρε παῖ στέφανον· καταχεῖσθε·
Κατὰ χειρὸς ὕδωρ φερέτω ταχὺ τις.————

2 Στεφανῶν τοὺς νενικηκότας. ἀντὶ τ.] Ex Harpocratione.

3 Αἴθρια στέφη, τὰ ἐξ Ὑπερβ.] Vide ſupra v. Αἴθρια.

4 Ὀλίγοι δέ τινες δεδ.] Fragmentum hoc Fulv. Urſinus Polybio tribuit.

5 Λόγος δ', ὃς ἐμπέπτ.] Tres hi ſenarii leguntur apud Sophoclem *Oedip. Colon.* pag. 309. ut Portus monuit.

6 Σοφοκλῆς] *Electra*, pag. 113. ubi de Oreſte verba fiunt.

στήλη δὲ ἐν τάφοις [1] ἐπιτίθεται μόνοις, ἀλλὰ καὶ νικῶσιν ἀνίσταται, καὶ ἐπιγράμματα ἐπιδέχεται.

Στήλη τοῦ Φόρου. ζήτει ἐν τῷ Φόρος. [2] Ἐν τῇ ἀψῖδι τῆς καμάρας τοῦ Φόρου ἵστανται δύο στῆλαι, Ἑλένης, καὶ Κωνσταντίνου· καὶ σταυρὸς ἐν μέσῳ αὐτῶν, γράφων, Εἷς ἅγιος. καὶ δύο ταχυδρόμων ὁμοίως στῆλαι. ἀνετέθησαν δὲ ὑπὸ τοῦ τὸν Φόρον ἐπάρχοντος.

Στήλη σταυροῦ. ὄπισθεν ἐν τῷ Σταυρός. Στήλην τῆς μητρὸς τοῦ μεγάλου Κωνσταντίνου, ἐν τῷ Αὐγουστεῖον. περὶ στηλῶν Ἡρακλείων, ἐν τῷ Γάδειρα. † Ἐν τῷ Περιπάτῳ ἔφιπποι στῆλαι ἵστανται Γρατιανοῦ καὶ Οὐαλεντινιανοῦ, καὶ Θεοδοσίου, καὶ κυρτοῦ Φιρμιλιανοῦ, πρὸς γέλωτα.

Στήλην [3] Ἡρακλέους. ἐν τῷ Βασιλική. καὶ ἑτέρας στήλας διαφόρους.

Στήλην. ἐν τῷ Βηρίνη.

Στήλην Πουλχερίας. ἐν τῷ Πουλχερία.

Στήλην. ἐν τῷ Χελώνη. ἐν τῷ Προκόπιος. [4] Ἀρκαδίας τῆς δευτέρας γυναικὸς Ζήνωνος στήλη ἐστὶν ἐν Ἀρκαδιαναῖς, ἐν τοῖς πλησίον μέρεσι τῶν βάθρων, τῶν λεγομένων Τόπων, ἐν τῷ τοῦ [5] Ἀρχιστρατήγου· ἔνθα Ζήνων ἔκρινε τοὺς μετὰ Βασιλίσκου· καὶ Σέκρετον τὸν τόπον ἐποίησεν. ἡ δὲ πρώτη τοῦ Ζήνωνος γυνὴ Ἀριάδνη ἦν· ἧς ἡ στήλη μετὰ τοῦ ἀνδρὸς αὐτῆς ἵσταται [6] ἐν τῇ Βασιλικῇ. † [7] Ἐν τῷ Τριβουναλίῳ τοῦ Παλατίου στήλη ἦν Εὐδοκίας, τῆς γυναικὸς Θεοδοσίου, καὶ αὐτοῦ δὲ Θεοδοσίου, Μαρκιανοῦ τε, καὶ Κωνσταντίνου. ἔνθα ὀρχήσεις τῶν δύο μερῶν ἐγίνοντο ἕως Ἡρακλείου.

Στήλη. καὶ στηλιτευτικὸς λόγος ἐστίν, ὁ παρά [8] τινι τῶν πεπλασμένων προερχόμενος διὰ μόνων τῶν πράξεων, εἰ τύχοι δὲ καὶ συγκρίσεως. τούτου [9] δὲ διαφέρει ὁ ψόγος ὅτι διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον γένους, ἀνατροφῆς, πράξεως, συγκρίσεως. Στηλιτευτικὸς δὲ λέγεται ἐκ μεταφορᾶς τῆς στήλης, ἥ ἐστι λίθος, ἢ χαλκὸς ἐπιμήκης, τετραγώνῳ σχήματι ἱδρυμένος· ἐν ᾗ γέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. πολλάκις δὲ καὶ εὐεργετῶν εὐεργεσίαι ἀναγράφονται.

initatem metæ currum agens. Stelæ vero non ſolum in ſepulcris ſtatuebantur, ſed etiam victoribus erigebantur, additis inſcriptionibus.

Στήλη τοῦ Φόρου. Statua Fori. Quære in v. Φόρος. In arcu cameræ Fori collocatæ erant duæ ſtatuæ, Helenæ & Conſtantini; & in earum medio crux, cui inſcriptum erat: *Unus Sanctus*. Item duæ Curſorum ſtatuæ: quæ erectæ fuerunt a Præfecto Fori.

Στήλη σταυροῦ. Stele crucis. Supra in v. Σταυρός. De ſtatua matris Conſtantini M. vide in v. Αὐγουστεῖον. De columnis Herculeis, vide in v. Γάδειρα. † In Peripato erectæ erant ſtatuæ equeſtres Gratiani, & Valentiniani, & Theodoſii, & gibboſi Phirmiliani, riſus gratia.

Στήλην Ἡρ. Statuam Heraclii. [De ea vide] in v. Βασιλική. Item, de diverſis aliis ſtatuis.

Στήλην. Columnam. Statuam. [Quære in] v. Βηρίνη.

Στήλην Πουλχ. Statuam Pulcheriæ. In v. Πουλχερία.

Στήλην. Stelen. Statuam. Vide in v. Χελώνη: itemque in v. Προκόπιος. Arcadiæ ſecundæ uxoris Zenonis ſtatua collocata eſt prope Gradus, qui vocantur Topi, in regione Michaelis Archangeli, in Thermis Arcadianis. Ibi olim judicium exercuit Zeno in eos, qui Baſiliſci partes ſecuti fuerant: & locum illum fecit Secretum. Prima autem Zenonis uxor erat Ariadne, cujus ſtatua, uti & mariti ejus, poſita eſt in [porta] Regia. † In Tribunali Palatii collocatæ erant ſtatuæ, Eudociæ uxoris Theodoſii, & ipſius Theodoſii, & Marciani, & Conſtantini: ubi [ſolennes] fiebant ſaltationes duarum factionum, uſque ad Heraclium.

Στήλη. Columna. Cippus. Et στηλιτευτικὸς λόγος, oratio ſteliteutica, ſive invectiva. Ea eſt, quæ in facta alicujus invehitur, per ſolas actiones progrediens, & interdum etiam, ſi res ita ferat, per comparationem. Ab hac differt vituperatio, quippe quæ per capita encomiaſtica, ut genus, educationem, facta, & comparationem, progreditur. Oratio autem ſteliteutica ſic dicta eſt per metaphoram ductam a ſtele, quæ eſt lapis vel æs oblongum, forma quadrangula erectum, in quo inſcribuntur facinora ejus, qui infamatur. Sæpe tamen etiam beneficia eorum, qui bene de nobis meriti ſunt, [in ſtelis] inſcribuntur.

Στηλίς, στηλίδιος. ἡ μικρὰ στήλη.

Στηλίς. Columella. Parva columna.

1 Ἐν τάφοις ἐπιτίθεται μ.] Addita negatione ſcribendum eſt, οὐκ ἐν τάφοις ἐπιτίθεται, &c. ut Portus recte monuit.

2 Ἐν τῇ ἀψῖδι τῆς καμ.] Hæc leguntur etiam ſupra v. Ἑλένη: itemque apud Codinum *de Orig. CPolit.* Num. XXXII.

3 Ἡρακλέους] Lege, Ἡρακλείου, i.e. Heraclii. Vide ſupra v. Βασιλική.

4 Ἀρκαδίας τῆς δευτ.——ἵσταται ἐν τῇ βασιλικῇ] Hæc leguntur etiam ſupra v. Ἀρκαδία; itemque apud Codinum *de Orig. CPolit.* Num. XXXVII.

5 Ἀρχιστρατήγου] Portus male putabat, voce hac ſignificari *Prætorem*; cum pro more recentiorum Græcorum Michael Archangelus hoc loco ſic appelletur. Confer Nos ſupra ad v. Ἀρκαδία.

6 Ἐν τῇ βασιλικῇ] Supple, ἐν τῇ βασιλικῇ πύλῃ: ut legitur ſupra v. Ἀρκαδία, & apud Codinum loco laudato.

7 Ἐν τῷ Τριβουναλίῳ τοῦ Παλατ.] Eadem habet modo laudatus Codinus Num. XLI.

8 Παρά τινι τῶν πεπλασμένων] Quid hoc? An legendum eſt, περὶ τῶν τινι πεπραγμένων? Sic putem. Lectio enim vulgata inepta eſt.

9 Τούτου δὲ διαφέρει ὁ ψόγος· ὅτι διὰ τῶν ἐγκωμ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, excerpta ſunt ex Nonno in Gregorii Nazianz. *Stelitent.* 1. Apud eum autem cum plura legantur, locum integrum Lectori hic exhibebo: Διαφέρει δὲ ψόγου ὁ στηλιτευτικὸς, ὅτι ὁ μὲν ψόγος διὰ τῶν ἐγκωμιαστικῶν κεφαλαίων προέρχεται, οἷον, γένους, ἀνατροφῆς, πράξεων, συγκρίσεως. Στηλιτευτικὸς δὲ εἴρηται ἀπὸ μεταφορᾶς τῆς στήλης. Στήλη δὲ ἐστιν, ἢ λίθος, ἢ χαλκὸς, ἐν ἐπιμήκει τετραγώνῳ σχήματι, ἐν ᾗ ἐγγέγραπται ἡ τοῦ στηλιτευομένου ὕβρις. οἷον Ἀθηναῖοι τὸν Ζηλείτην Ἄρθμιον, τὸν διαφθείροντα τοὺς Ἕλληνας χρήμασιν, ἐπὶ τῷ μᾶλλον ὑπακοῦσαι τῷ Πέρσῃ, ἐν στήλῃ ἀνέγραψαν, ἀτιμώσαντες καὶ αὐτὸν, καὶ ἅπαν τὸ γένος αὐτοῦ, ἐξουσίαν δεδωκότες ἐν τοῖς γράμμασι τῷ βουλομένῳ αὐτὸν ἀποκτεῖναι, ἐγγράψαντες καὶ τὴν αἰτίαν ἐν αὐτῇ τῇ στήλῃ, ἥτις ἦν αὐτῷ τοῦ Ἀρθμίου ψόγος· ὅτι, φησὶ, τὸν χρυσὸν τὸν ἐκ Μήδων εἰς Πελοπόννησον ἤγαγεν. εἰδέναι δὲ χρὴ, ὅτι πολλάκις καὶ εὐεργετῶν αἱ εὐεργεσίαι ἐν ταῖς στήλαις ἀνεγράφοντο· ὥσπερ ἡ τοῦ Λεύκωνος τοῦ ἄρχοντος Βοσπόρου ἀνεγράφη ἐν Ἀθήναις. Hæc Nonnus.

Στηλιτευθῆναι. Φανερῶς δημοσιευθῆναι. ἀπὸ τῶν στηλῶν τῶν δημοσίᾳ περιτιθεμένων μεταφορικῶς.

Στηλιτευθῆναι. Publice infamari. Proſcribi. Per tranſlationem ductam a ſtelis, quæ in locis publicis eriguntur.

Στήνια,[1] καὶ Σκίρα. ἑορταὶ γυναικῶν.

Στήνια, καὶ Σκ. Stenia, & Scira. Feſta mulierũ.

Στήωσι. στῶσι.

Στήωσι. [Poetice pro] στῶσι. Steterint. Stent.

Στήριγμα[2] ἄρτου. οὐ μόνον σῖτος, καὶ κριθὴ, ἀλλὰ πᾶν τὸ τρέφειν δυνάμενον.

Στήριγμα ἄρτου. Fulcrum panis. [Sic appellatur] non ſolum frumentum & hordeum; ſed etiam omnis cibus, quo alimur.

Στηριγμός. ὁ ἑδρασμός.

Στηριγμός. Fulcrum. Firmamentũ. Statumẽ.

Στησάμενος. ποιήσας. Περί τε Καλλίνικον καὶ Βάῤῥας τὸν ἀγῶνα στησάμενος.

τὸ στρόφιον ἤδη λυόμενον. † Ἁλουργῆ ἀμπεχόμενος, καὶ κόμην στρέφων χρυσῷ στρόφῳ κεκοσμημένην. † Ἡ οὐκ ἐξήρηται, ὡς στρόφιον διαδήματι, καὶ λαγὼς ἐλάφου, καὶ κάμηλος ἐλέφαντι, καὶ κρόκος μύροις, καὶ ὅσα ἄλλα ἐστὶν εὐώδη, καὶ χοῖροι, καὶ ὄρνιθες ταῖς ἑαυτῶν σαρξὶ τὸν αὐτὸν οὐκ ἔχουσι λόγον. Λέγεται καὶ στρόφος τὸ περὶ τὴν κεφαλὴν στρόφιον, ὅ ἐστιν ἐρεοῦν. Ἡρόδοτος.

Στρόφιον. ὃ οἱ ἱερεῖς φοροῦσι.

Στρόφις.[1] ὁ εὔστροφος ἐν τοῖς πράγμασιν. ἀπὸ τοῦ στροφέως ἡ μεταφορά. καὶ ὁ εὐκίνητος.

Στροῦθος.[2] ὁ λελωβημένος.

Στρωμνή. ἡ κλίνη.

Στρῶτες. ἔθνος.

Στρωτήρ. τὰ μικρὰ δοκίδια, τὰ ἐπάνω τῶν δοκῶν τιθέμενα, στρωτῆρας ἔλεγον.

Στρωφᾶσθαι. στρέφεσθαι.

Στρυγγαῖος. ὄνομα κύριον.

Στρύμη,[3] νῆσος, ἄποικος Θασίων. ἔστι δὲ ἐμπόριον Θασίων.

Στρυμὼν, Στρυμόνος. ὄνομα ποταμοῦ.

Στρυφνόν. σκληρόν. Παῦσον αὐτοῦ τὸ στρυφνὸν καὶ πρίνινον ἦθος.

Στοιβάζω. συνάγω.

Στοιβήν. σωρόν. [4] Ἀριστοφάνης·

Κἄν πού δὶς εἴπω ταὐτὸν, ἢ στοιβὴν ἴδῃς
Ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.

ἀντὶ τοῦ, κἄν τι ἐλάχιστον ῥῆμα περιττὸν εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ. ἀπὸ τῆς στοιβῆς τῶν φορτίων ἡ μεταφορά.

Στοιχεῖα. ἀρχαί. [5] Δαμάσκιος· Στοιχεῖα πρῶτα καὶ μέγιστα τῆς τῶν ὄντων πολυθεάμονος ἱστορίας, ἔρως, φιλοπονία, ἀγχίνοια.

Στοιχεῖα.[6] αἱ εἰκόνες καὶ διαπλάσεις τῶν ὀνείρων, αἳ δι' ὀλίγου ἢ πολλοῦ χρόνου τὴν ἔκβασιν ἔχουσαι.

Στοιχεῖον.[7] ἐξ οὗ πρώτου γίνεταί τι, καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. τὰ δὴ τέσσαρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην. εἶναι δὲ τὸ μὲν πῦρ, θερμόν· τὸ δὲ ὕδωρ, ὑγρόν· τὸν ἀέρα, ψυχρόν· τὴν γῆν, ξηράν. οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι· ἐν ᾧ πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι· εἶτα τὴν τῶν πλανωμένων μεθ' ἣν τὸν ἀέρα· εἶτα τὸ ὕδωρ. ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν.

Στοιχειοῦσι. διδάσκουσι. διατυποῦσι.

Στοιχειώδη. τὰ εἰσαγωγικὰ, τὰ πρῶτα, καὶ τὰ τῆς ἀρχῆς.

Ariſtophanes: *Zonulam jam ſolvo.* † *Purpurea veſte indutus, & comam criſpans, aureo ſtrophio ornatam.* † *Vel non negat, ſtrophium a diademate, leporem a cervo, camelum ab elephanto, crocum ab unguentis, omnibuſque aliis odoriferis, porcorum item & avium carnes inter ſe differre.* Στρόφος etiam dicitur faſcia caput circumdans, eaque lanea. Herodotus.

Στρόφιον. Strophium, vel zona, quam ſacerdotes ferunt.

Στρόφις. Verſatilis, & mobilis. Tranſlatio ducta eſt a cardine januæ.

Στροῦθος. Mutilatus. Caſtratus.

Στρωμνή. Stratum. Lectus.

Στρῶτες. Strotes. Gens quædam, ſic dicta.

Στρωτήρ. Parvas trabes, quæ majoribus trabibus imponebantur, στρωτῆρας vocabant.

Στρωφᾶσθαι. Verti. Verſari.

Στρυγγαῖος. Stryngæus. Nomen proprium.

Στρύμη. Stryme, Inſula, colonia Thaſiorum. Eſt autem Thaſiorum emporium.

Στρυμών. Strymon. Nomen fluvii.

Στρυφνόν. Durum. Rigidum. Auſterum. *Durum illius & ilignum ingenium emolli.*

Στοιβάζω. Cogo. Stipo. Struo.

Στοιβήν. Acervum. Congeriem. Ariſtophanes: *Et ſicubi bis dixero idem, aut verborum cumulum videris, a propoſito alienum, me conſpue.* Id eſt, ſi quod vel minimum verbum ſuperfluum & redundans inveneris in oratione mea. Metaphora ducta eſt á mercium & ſarcinarum conſtipatarum cumulo.

Στοιχεῖα. Elementa. Principia. Damaſcius: *Elementa prima & maxima multifariæ rerum cognitionis, ſunt, amor, induſtria, & ſolertia.*

Στοιχεῖα. Elementa. [Sic etiam vocantur] imagines & formæ ſomniorum, quæ intra breve aut longum tempus eventum ſortiuntur.

Στοιχεῖον. Elementum. [Sic vocatur id,] ex quo primo oritur aliquid, & in quod poſtremo reſolvitur. Ac materia quidem, ſive natura omnis qualitatis expers, quatuor elementis ſimul conſtat. Ex his Ignis quidem eſt calidus: Aqua, humida: Aer, frigidus: Terra, ſicca. Quin etiam in aere ineſt eadem pars. Summum enim locum tenet ignis, quem vocant ætherem: in quo prima ſtellarum inerrantium ſphæra gignitur: deinde errantium: poſt hanc aer: tum aqua. Extrema autem omnium ſubſidit terra, quæ eſt omnium media.

Στοιχειοῦσι. Formant. Informant. Primis elementis inſtituunt.

Στοιχειώδη. Quæ ad prima elementa & principia diſciplinarum pertinent. Elementaria.

1 Στρόφις. ὁ εὔστροφος ἐν τοῖς πρ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 153. (86. Edit. Baſ. P).

2 Στροῦθος.] MS. A. στροῦθος. MS. B. στροῦθος.

3 Στρύμη. νῆσ.] Ex Harpocratione.

4 Ἀριστοφάνης] *Ranis*, pag. 267. (175. Ed. Baſ. P.)

5 Δαμάσκιος· Στοιχ.] Vide Photium Cod. CCXLII, pag. 1033. apud quem locus hic Damaſcii auctior legitur. Confer etiam Noſtrum ſupra v. Ἔρως.

6 Στοιχεῖα. αἱ εἰκ.] Artemidorus *Onirocr.* lib. 1. cap. 11. Ὄνειρος ἐστὶ κίνησις, ἢ πλάσις ψυχῆς πολυσχήμων, σημαντικὴ τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν. τούτου δὲ οὕτως ἔχοντος, ὅσα μὲν ἀποβήσεται μεταξὺ χρόνου διελθόντος, ἢ πολλοῦ, ἢ ὀλίγου, ταῦτα πάντα δι' ΕΙΚΟΝΩΝ ἰδίων φυσικῶν, τῶν καὶ ΣΤΟΙΧΕΙΩΝ καλουμένων, προαγορεύει ἡ ψυχὴ, &c. Huc Suidas reſpexit.

7 Στοιχεῖον. ἐξ οὗ πρώτου γίνετ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Laertii in *Zenone Citt.* lib. VII. Num. CXXXVI.

Στοιχείωσις. ἀκριβεστάτη ἐπιτομή. ἡ πρώτη μάθησις, ἤτοι διάταξις.

Στοιχῶμεν. πειθώμεθα. ἀρεσκώμεθα. Μὴ στοιχῶμεν ἑαυτοῖς, φασὶν οἱ πρεσβύτεροι.

Στύγαξ,[1] Εὐκράτους, στρατηγὸς Ἀθηναίων, δωροδόκος, καὶ προδότης· ὃς ἀπώλετο ὑπὸ τῶν Τριάκοντα. οἱ δὲ, ὡς πιὼν κώνειον.

Στυγερὴς, καὶ στυγερός. ὁ μισητός. καὶ στυγερῷ, μισητῷ, ἢ φοβουμένῳ. καὶ στυγερωπὸς, ὁ μισητός.

Στυγεῖ. μισεῖ. ἢ φοβεῖται. ἀπὸ τῆς Στυγὸς, ἥτις ἐστὶ πηγὴ ἐν ᾅδου.

Στυγητός. μισητός.

Στυγὸς[2] μελανοκάρδιος πέτρα. διὰ τὸ τῆς λέξεως σφοδρὸν εἶπε μελανοκάρδιον. οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. Ἀριστοφάνης Βατράχοις. Στὺξ γὰρ κρήνη ἐν ᾅδου, ὅρκος θεῶν· ἀπὸ τῆς στυγνότητος.

Στυλίτης. ὁ ἐπὶ κίονος ἱστάμενος.

Στύλος.

Στύλον[3] κρατῶν, ἔλπιζε τὴν θείαν χάριν.

Στύππαξ.

Στύππη.[4] Πηγνύντες εἰς τὴν γῆν ὀρθὰ τὰ στύππη, ψαύοντα ἀλλήλων, ἐν ἡμικυκλίου σχήματι. Στύππη δὲ, τὸ στυππεῖον. Ἰώσηπος· Πληρώσαντες τὴν στοὰν στύππης, πρὸς δὲ ἀσφάλτου τε, καὶ πίσσης.

Στυππεῖον. στύππιον δέ. τὸ μὲν σημαίνει τὸ τῆς ἐλαίας ὀστοῦν. τὸ δὲ, ὅθεν τὸ λίνον νήθεται.

Στύραξ. ὁ σαυρωτὴρ καλούμενος. ἡ τοῦ δόρατος[5] ἀρχὴ, ἐφ' ᾗ στηρίζεται.

Στύραξ.[6] τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασι. καὶ[7] Θουκυδίδης φησί· Στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν. καὶ στυρακίζω, ἕλκω.

Στυφεδανός.[8] Ὦ[9] οὗτος στυφεδανὴς, καὶ χοιρόθλιψ· ποθεῖς, ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.

Στυφελίξαι. σεῖσαι. κακῶσαι. διῶξαι,

Καί[10] ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
Φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
Ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀΐων.

Στυφελισμούς. ὀργάς. ὕβρεις. μέμψεις. λοιδορίας.

Στοιχείωσις. Accuratum compendium, [quo quis in tradendis primis elementis utitur.] Prima diſciplina. Primorum elementorũ traditio.

Στοιχῶμεν. Pareamus. Obtemperemus. Placeamus. *Ne ipſis pareamus, dicunt ſeniores.*

Στύγαξ. Stygax, Eucratis F. Imperator Athenienſium, avarus, & proditor, qui a xxx. Tyrannis interfectus eſt. Alii vero hauſta cicuta eum obiiſſe ferunt.

Στυγερὴς, & στυγερός. Odioſus. Inviſus. Et στυγερῷ, odioſo. Vel, metuente. Et στυγερωπὸς, odioſus.

Στυγεῖ. Odit. Vel formidat, metuit. [Deductum eſt hoc verbum] a Styge, qui eſt fons apud Inferos.

Στυγητός. Odioſus. [Triſtis. Formidabilis.]

Στυγὸς μελανοκ. *Stygis nigrum cor habens petra.* Ut voce uteretur terribili, dixit μελανοκάρδιον. Petra enim cor non habet. Ariſtophanes *Ranis.* Styx autem fons eſt apud Inferos, per quem Dii jurant: a triſtitia [ſic dictus.]

Στυλίτης. In columna ſtans. Supra columnam locatus.

Στύλος. Columna. *Columnam tenens, divinam ſpera gratiam.*

Στύππαξ. Styppax. [Sic Eucrates apud Ariſtophanem vocatur.]

Στύππη. Stipites. Palos. *Defigentes in terram palos rectos, ſe mutuo tangentes, figura ſemicirculi.* Στύππη vero, [genere fœminino,] ſtupa. Joſephus: *Cum autem porticum ſtupa, & præterea bitumine & pice repleviſſent.*

Στυππεῖον. [Scribitur per diphthongum ει.] At στύππιον, [per ι.] Hoc quidem ſignificat oleæ nucleum. Illud vero, ſtupam, unde filum fuſo deducitur.

Στύραξ. Haſtæ cuſpis inferior, quæ etiam σαυρωτὴρ vocatur. Spiculum, quo haſta ſolo infigitur.

Στύραξ. Ima haſtæ cuſpis, quam [milites] humi defigere conſueverunt. Et Thucydides inquit: *Teli ſpiculo loco peſſuli in ſeram immiſſo.* Et στυρακίζω, traho, [pungo, ſtimulo.]

Στυφεδανός. [Ariſtophanes:] *Heus tu capularis ſenex, & pudendi muliebris attrectator! deſiderare videris & amare pulchram ſandapilã.*

Στυφελίξαι. Quaſſare. Vexare. Perſequi. *Et aliquando præteriens, cum catulus verberibus cæderetur, eum miſeratus, hæc dixiſſe fertur: Deſine verberare catulum: nam amici ei ineſt anima, quam ex voce agnoſco.*

Στυφελισμούς. Iras. Contumelias. Incuſationes. Convitia.

1 Στύγαξ, Εὐκράτους] Scribendum eſt, Στύππαξ, ὁ Εὐκράτης. Eucratem enim dictum fuiſſe Styppacem, teſtatur Enarrator Comici ad *Equit.* pag. 295. & ex eo Noſter ſupra, v. Προβατοπώλης. Vide etiam ſupra v. Ἄπτειν, ubi hic ipſe locus legitur.

2 Στυγὸς μελανοκάρδ.] Ariſtophanes *Ranis*, pag. 234. (149. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, apud quem rectius legitur, διὰ τὸ τῆς λέξεως φοβερόν.

3 Στύλον κρ.] Verſus hic ὀνειροκριτικὸς ſumptus eſt ex Aſtrampſycho.

4 Στύππη] Scribendum eſt στύπη, per ſimplex π: a recto ſingulari στύπος, ſtipes. Et ſic habent MSS. Pariſ.

5 Ἀρχὴ] Portus legendum putabat, αἰχμή: quæ conjectura non diſplicet.

6 Στύραξ. τὸ κάτω τοῦ δ.] Ex Harpocratione.

7 Θουκυδίδης] Libro II. cap. IV.

8 Στυφεδανός] Male, pro τυφεδανός. Vide Noſtrum infra v. Τυφεδανός.

9 Ὦ οὗτος στυφεδαν.] Ariſtoph. *Veſpis*, pag. 528. (360. Edit. Baſ. P.)

Ὦ οὗτος, τυφεδανὲ, καὶ χοιροθλίψ,
Ποθεῖν, ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.

Sic etiam apud Suidam ſcribendum eſt.

10 Καί ποτέ μιν στυφελιζ.] Eſt fragmentum Xenophanis de Pythagora, quod legitur apud Diog. Laert. in *Pythagora*, lib. VIII. Num. XXXVI. unde id Suidas mutuatus eſt.

Οἶας

Οἵας δ' ὁ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο, καὶ στρεβλισμούς,

Ὃς ἀπὸ σμικρᾶς δαπάνης ἡμᾶς ἀριστίζων ἀπέπεμπεν.

Ἀριστοφάνης Ἱππεῦσι. καὶ ἐν Μυθικοῖς· [1] Ὅθι στυφελῶν ἀπὸ πετρῶν ὀστρακόεντα νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη.

Στύφλος [2] γῆ. ἡ ξηρὰ καὶ σκληρά.

Στυφοκόμπος. [3] ὁ μάχιμος ὄρτυξ. παρὰ τὸ στερεῶς κόπτειν.

Ὑπὸ στυφοκόμπου τὴν κεφαλὴν [4] πεπληγμένος.

Συάκιον. εἶδος ἰχθύος.

Συβαρίτης. ἀρσενικῶς, διὰ τοῦ η. θηλυκῶς δέ, διὰ τοῦ ι. ἀπὸ Συβάρεως.

Συβαριτικαῖς, καὶ Συβαρικαῖς. τρυφηλαῖς, λαμπραῖς, πολυτελέσι. τρυφηταὶ γὰρ οἱ Συβαρῖται. οὕτοι γὰρ οὕτω διῆγον τρυφηλῶς, ὡς καὶ τοὺς ἵππους διδάσκειν πρὸς αὐλὸν ὀρχεῖσθαι. καὶ συβαρίζειν, τὸ τρυφᾶν. ἢ τὸ θορυβεῖν. καί, Συβάρεια ἀποφθέγματα, παρ' Ἐπιχάρμῳ. καὶ [5] Συβαρικοὶ λόγοι, οἱ Αἰσώπειοι, καὶ συβαρίσαι, τὰ τῶν Συβαριτῶν ποιῆσαι. καὶ παροιμία· Συβαρίτης διὰ πλατείας. ἐπὶ τῶν σοβαρῶς διαπορευομένων. † [6] Συβαρῖται δὲ γάστριες ἦσαν καὶ τρυφηταί. τοσοῦτος δὲ ἦν ζῆλος παρ' αὐτοῖς τρυφῆς, ὥστε καὶ τῶν ἔξωθεν ἐθνῶν μάλιστα ἠγάπων Ἴωνας καὶ Τυῤῥηνούς, διότι συνέβαινεν αὐτοῖς, τοὺς μὲν τῶν Ἑλλήνων, τοὺς δὲ τῶν βαρβάρων προέχειν τῇ κατὰ τὸ ζῆν πολυτελείᾳ. παρὰ δὲ τούτοις [7] Μινδυρίδης λέγεται πρωτευσάσαι τρυφῇ. οὗτος γὰρ Κλεισθένους τοῦ Σικυωνίων τυράννου νικήσαντος ἅρματι, καὶ κηρύξαντος παραγενέσθαι τοὺς προαιρουμένους γαμεῖν αὐτοῦ τὴν θυγατέρα, δοκοῦσαν κάλλει διαφέρειν, ἀναχθῆναι λέγεται ἐκ Συβάρεως νηΐ, πεντήκοντα τοὺς ἐρέτας ἔχων ἰδίους οἰκέτας, τοὺς μέν, ἁλιεῖς, τοὺς δέ, ὀρνιθοθήρας. παραγενόμενος δὲ εἰς Σικυῶνα, ταῖς κατὰ τὴν οὐσίαν παρασκευαῖς οὐ μόνον τοὺς ἀντιμνηστεύοντας, ἀλλὰ καὶ τὸν τύραννον αὐτὸν ὑπερβάλλεσθαι, καίπερ τῆς πόλεως αὐτῷ πάσης συμφιλοτιμουμένης. ἐν δὲ τῷ μετὰ τὴν ἄφιξιν δείπνῳ, προσιόντος τινὸς ὅπως κατακλιθῇ, πρὸς αὐτὸν εἰπεῖν, ὅτι κατὰ τὸ κήρυγμα πάρεστιν, ἢ μετὰ Κλεισθένους θυγατρός, ἢ μόνος κατακλιθησόμενος.

Συβαρῖται μαίνονται. ζήτει ἐν τῷ Ἄμυρις μαίνεται.

Quas vero Crates iras veſtras, & quot convitia paſſus eſt,

Qui prandio tenui & minime ſumptuoſo vos exceptos domum dimittebat.

Et in *Fabulis*: *Ubi duris ſuper petris teſtaceum dorſum & incurva membra* [*teſtudinis*] *fracta fuerunt.*

Στύφλος γῆ. Terra ſicca & dura.

Στυφοκόμπος. Pugnax coturnix. [Item, qui per ludum coturnicem digito percutit. Sic dictus,] quod fortiter tundat, vel feriat. [Ariſtophanes: *Similis es coturnici*,] *cujus caput per luſum digitis percuſſum eſt.*

Συάκιον. Syacium. Genus piſcis.

Συβαρίτης. Sybarita. In maſculino genere per η [ſcribitur.] In fœminino genere vero, Συβαρῖτις, per ι. Ab [urbe] Sybari.

Συβαριτικαῖς & Συβαρικαῖς. Sybariticis, & Sybaricis. Id eſt, delicatis, ſplendidis, ſumptuoſis. Sybaritæ enim luxurioſi erant, & deliciis adeo indulgebant, ut vel ipſos equos ad tibiam ſaltare docerent. Et συβαρίζειν, Sybaritarum more vivere. Id eſt, luxuriæ & deliciis addictum eſſe. Vel, tumultuari. Et, Sybaritica apophthegmata; apud Epicharmum. Et, Sybariticæ fabulæ. Id eſt, Æſopicæ. Et proverbium: *Sybarita per plateam.* Dicitur in eos, qui ſuperbo gradu incedunt. † Sybaritæ ventri ac deliciis addicti erant, tantaque apud eos æmulatio luxuriæ erat, ut inter exteros populos maxime Iones & Thuſcos diligerent; quod illi quidem Græcorum, illi barbarorum omnium luxurioſiſſimi & molliſſimi eſſent. Apud Sybaritas vero præcipue luxuriæ fuiſſe dicitur Mindyrides. Nam cum Cliſthenes Sicyoniorum tyrannus quadrigarum certamine victor fuiſſet, ac per præconem edixiſſet, ut, quicunque filiam ſuam virginem eximia forma ambiret, Sicyone ad diem certum adeſſet, hic Sybari ſolviſſe dicitur, vectus nave, quam L. remigibus ex propria familia ſumptis inſtruxerat, quorum alii piſcatores, alii aucupes erant. Cum autem Sicyonem veniſſet, non procos ſolum æmulos, ſed etiam ipſum tyrannum apparatu longe ſuperavit: tametſi univerſa civitas gloriæ ſtudio opes Cliſtheni libentiſſime conferret. Idem in cœna, qua poſt adventum ſtatim exceptus eſt, cum quidam juxta eum accumbere vellet, adeſſe ſe dixit ex præconis edicto, aut cum Cliſthenis filia, aut ſolū accubiturum.

Συβαρῖται μαίνονται. Sybaritæ inſaniunt. Quære in v. Ἄμυρις μαίνεται.

1 Ὅθι στυφελῶν ἀπὸ πετ.] Eſt fragmentum ex Mythographo quodam depromptum, ſed corruptum & luxatum, quod ſic diſtinguo & lego:

———— Ὅθι στυφελῶν ἐπὶ πετρῶν

Ὀστρακόεντά τε νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη.

Hanc lectionem in verſione ſecutus ſum. Pertinet autem fragmentum hoc ad notam fabulam de teſtudine, quæ ab aquila, a qua volatum diſcere cupiebat, in ſublime evecta, & poſtea dimiſſa, cum in petram incidiſſet, contrita periit. Fabulæ hujus meminit etiam Suidas ſupra, v. Νῦν σαθιάν: quem locum confer.

2 Στύφλος] Vide Scholiaſtam Sophoclis ad *Antig.* pag. 224. & Schol. Apoll. Rhod. ad lib. II. v. 1007.

3 Στυφοκόμπος. ὁ μάχ.] Ex Enarratore Comici ad *Aves*, pag. 602. (417. Ed. Baſ. *P.*) Cæterum, non placet mihi interpretatio vocis στυφοκόμπος, quam Suidas ex Scholiaſte Ariſtophanis affert. Videtur enim potius Comicus reſpexiſſe ad luſum, a Græcis ὀρτυγοκοπία dictum: in quo aliquis coturnicem medio digito feriebat, quique id faciebat, στυφοκόμπος, vel στυφοκόπος dicebatur; teſte Polluce lib. IX. cap. VII. Hoc ſignificatu in ſubjuncto quoque loco Ariſtophanis vocem illam accipiendam eſſe puto.

4 Πεπληγμένος] Scribe, πεπληγμένῳ, ut apud Ariſtophanem; apud quem præcedit, ὄρτυγι.

5 Συβαρικοὶ λόγοι] Heſychius, Συβαριτικοί. Vide Paul. Leopard. *Emendat.* lib. XVI. cap. XVIII.

6 Συβαρῖται δὲ γάστριες ἦσαν καὶ τρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Diodori in Excerptis a Valeſio editis, pag. 230.

7 Μινδυρίδης] Ab aliis Σμινδυρίδης vocatur, ut ab Æliano *Var. Hiſt.* lib. IX. cap. XXIV.

Συβήνη.

Συβήνη.[1] ἡ δερματίνη αὐλοθήκη. ἢ ἡ φαρέτρα. [2]Θεσμοφοριαζούσαις Ἀριστοφάνης·

Ἀλλ' οὐκ ἔχω οὐδέν. ἀλλὰ τὴν συβήνην λάβε.

Συβήνη. Coriacea tibiarum theca. Vel, pharetra. Ariſtoph. *Theſmophoriazuſis. Sed nihil habeo. Quare pharetram cape.*

Συβόσιον. τὸ χοιροφορβεῖον.

Συβόσιον. Suile. Locus, in quo ſues aluntur.

Συβώτης. χοιροβοσκός.

Συβώτης. Subulcus. Suum paſtor.

Συγγένεσθε. συμμαχήσατε. συνεργήσατε. συμπράξατε. [3]Σοφοκλῆς· Ὦ θεοὶ πατρῷοι, συγγένεσθέ γ' ἀλλὰ νῦν. ἀντὶ τοῦ, συμμαχήσατε ἡμῖν κἂν νῦν.

Συγγένεσθε. Opem ferte. Adjuvate. Sophocles: *O Dii paterni, nobis nunc ſaltem opem ferte.*

Συγγενής. καὶ ἐπὶ ἀνδρὸς καὶ γυναικὸς ἡ αὐτὴ γραφὴ φυλάττεται.

Συγγενής. Cognatus, vel cognata. Tam in maſculino quam fœminino genere eadem ſcriptura ſervatur.

Συγγνώμη. συγχώρησις. Οὐ[4] δεῖ τὸν σπουδαῖον ὅτῳ τινὶ συγγνώμην ἔχειν, μηδὲ παριέναι τὰς ἐπιβαλλούσας ἐκ τοῦ νόμου κολάσεις· ἐπεὶ τό γε εἴκειν, καὶ ὁ ἔλεος, αὐτή τε ἡ ἐπιείκεια, οὐδεμία ἐστὶ ψυχῆς ἀρετὴ πρὸς κολάσεις προσποιουμένοις χρηστότητα· μηδ' οἴεσθαι σκληροτέρας αὐτὰς εἶναι. λαμβάνεται δὲ τὸ ὄνομα ἐπὶ τῆς ἀφέσεως καὶ συγχωρήσεως. ἐπειδὴ ὁ γνοὺς ἑαυτὸν, τουτέστιν, ὁ μὴ ἐπὶ τοῖς πταίσμασιν ἀγνοῶν, ὅτι ἔπταισεν, ἀλλὰ φυλάττων τὸ Γνῶθι σαυτὸν, μὴ τοῖς κατορθώμασιν εἰ καίτοιγε ὀλίγον ἐπινυστάξας εἰς ἀλαζονείαν ἤρθη μέγα φρονῶν, ἀλλὰ τὴν οἰκείαν φύσιν καὶ ἀσθένειαν καταμανθάνων, γνωσιμαχεῖ· ὡσεὶ γνοὺς, τουτέστιν, ὡσεὶ νοήσας, ὅτι ἐκεῖνος ἔργῳ παλινῳδίαν ᾄδει, συγχωρεῖ τῷ γνόντι ἑαυτὸν, ὁ μὴ συγγνοὺς, ὁ συγχωρεῖ. διὸ καὶ ὁ μὲν μεμπτός ἐστιν ἄξιος, μὴ γνοὺς ἑαυτόν· ὁ δὲ μὴ συγγνοὺς τῷ γνόντι ἑαυτόν.

Συγγνώμη. Venia. Non oportet bonum virum cuiquam veniam dare, neque legibus debitas pœnas condonare. Nam venia, & miſericordia, & clementia, nulla eſt virtus in illis, qui bonitatem in pœnis infligendis ſimulant. Neque exiſtimandum eſt, eas eſſe duriores. Nomen autem συγγνώμης accipitur pro remiſſione & venia. Nam qui ſe novit, hoc eſt, qui, poſtquam peccavit, non ignorat ſe peccaſſe, ſed obſervat præceptum illud, *Noſce te ipſum*; is ob recte facta nunquam faſtum animo concipit, ſed naturam ſuam & imbecillitatem agnoſcit; idemque, [ſi peccavit,] conſilia ſua in melius refert. [Ideo Sapiens,] quaſi noſcens & animadvertens, eum re ipſa palinodiam canere, ignoſcit ei, qui ſe ipſe novit: quamvis neſciat, cujus rei cauſa ei ignoſcat. Quare tam ille reprehendendus eſt, qui ſe ipſum non novit: quam ille, qui non ignoſcit ei, qui ſe ipſum novit.

Συγγνώμονα. συμπαθῆ. οἰκτίρμονα. Οὐ χρὴ πικρὸν εἶναι καὶ ἀπαραίτητον, ἀλλὰ συγγνώμονά τινα, ἄνθρωπον ὄντα, καὶ τοῖς αὐτοῖς περιπεσεῖν δυνάμενον, ἐξ ὧν κωλύει πικρῶς ἄλλον. ὀρθῶς γὰρ εἴρηται, Τὸ μὲν μηδὲν ἁμαρτεῖν, Θεοῦ ἐστι, καὶ πάντα κατορθοῦν. ἄνθρωπος δὲ οὐκ ἂν εἴποι ἐπ' οὐδενὶ, ὅτι μὴ πείσεται τόδε τι. μυρίαι γὰρ κῆρες ἡμῖν ἐφεστᾶσιν, οὐ μόνον θανάτου, ἀλλὰ καὶ κακῶν ἄλλων.

Συγγνώμονα. Facile ignoſcentem. Miſericordem. *Non oportet nos acerbos eſſe & inexorabiles, ſed ad ignoſcendum faciles; & meminiſſe, homines nos eſſe, iiſdemque peccatis obnoxios, quorum alter reus eſt. Vere enim dictum eſt: Nunquam peccare, & omnes virtutum numeros implere, Dei eſt. Homo vero dicere non auſit, hoc vel illud ſibi eventurum non eſſe. Infinita enim nobis impendent fata, non ſolum mortis, ſed etiam aliorum malorum.*

Συγγραφεύς. Φησὶν ὁ μέγας Μάξιμος, ὅτι ὁ λόγος συγγραφόμενος, ἢ πρὸς τὴν ἑαυτοῦ ὑπόμνησιν συγγράφεται, ἢ πρὸς ὠφέλειαν ἑτέρων, ἢ καὶ ἄμφω· ἢ πρὸς βλάβην τινῶν, ἢ ἐπίδειξιν, ἢ ἐξ ἀνάγκης.

Συγγραφεύς. Scriptor. Hiſtoricus. Magnus ille Maximus dicit, orationem, quæ conſcribitur, vel ad noſtram admonitionem conſcribi; vel ad alterius utilitatem; vel etiam utramque ob cauſam: vel ad alios lædendos; vel ad oſtentationem; vel ob neceſſitatem.

Συγγραφεῖς.[5] εἰθισμένον ἦν παρ' Ἀθηναίοις, ὁπότε δέοι πλῆθός τι αἱρεῖσθαι, [6]εἰς ῥητὴν ἡμέραν εἰσέφερε γνώμας εἰς τὸν δῆμον, ὡς Ἰσοκράτης φησί. τοῦτο δὲ καὶ περὶ τῆς καταστάσεως [7]τῶν νῦν ἐγίνετο. [8]Θουκυδίδης ἐν τῇ η. Ἐν δὲ τούτῳ τῷ καιρῷ οἱ περὶ τὸν Πείσανδρον ἐλθόντες, εὐθὺς τῶν λοιπῶν εἴχοντο. καὶ πρῶτον μὲν τὸν δῆμον συλλέξαντες, εἶπον γνώμην, δέκα ἄνδρας ἑλέσθαι συγγραφέας αὐτοκράτορας. τούτους

Συγγραφεῖς. Scribæ. Conſuetum fuit apud Athenienſes, ut, quotieſcunque de Rep. aliquid decernendum eſſet, ſtatuto die ſententia ad populum referretur: ut Iſocrates ait. Hoc autem ante conſtitutionem Quadringentorum etiam fiebat. Thucydides libro VIII. *Interea vero temporis Piſander reverſus, ſtatim ad reliqua negotia animum adjecit. Ac primum quidem coacto populo ſententiam dixit,*

1 Συβήνη] Præter Heſychium, Etymologum, & Pollucem, confer etiam Noſtrum infra v. Συηναῖος, ubi συήνη vocatur, quod hic συβήνη.

2 Θεσμοφοριαζούσαις Ἀριστοφ.] Sub finem: ſed ubi Scytha barbarus barbare hæc ſic effert,

Ἀλλ' οὐκ ἔχ' οὐδέν, ἀλλὰ τὸ συβήνην λάβε.

3 Σοφοκλῆς] In *Electra*, pag. 100. ut Portus monuit.

4 Οὐ δεῖ τὸν σπουδ.————σκληροτέρας αὐτὰς εἶναι] Hæc ſunt verba Laertii lib. VII. num. 123. ubi vide Interpretes.

5 Συγγραφεῖς. εἰθισμένον ἦν παρ' Ἀθην.] Confer Harpocrationem & Etymologum, qui eadem habent. Vide etiam ſupra v. Ξυγγραφεῖς.

6 Εἰς ῥητὴν ἡμέραν εἰσέφερε γν.] Etymologus habet, εἰς ῥητὴν ἡμέραν εἰσφέρειν γνώμας, &c. Sic etiam apud Suidam ſcribendum eſt.

7 Τῶν νῦν] Valeſius ad Harpocrationem recte emendavit, τῶν υ', i.e. Quadringentorum. Eum vide. Confer etiam Noſtrum infra v. Τετρακόσιοι.

8 Θουκυδίδης] Locus hic Thucydidis auctior legitur ſupra v. Ξυγγραφεῖς.

δὲ συγ-

δὲ συγγράψαντας γνώμην ἐξενεγκεῖν ἐς τὸν δῆμον, ἐς ἡμέραν ῥητὴν, καθότι ἄριστα ἡ πόλις οἰκήσεται. ἦσαν δὲ οἱ μὲν πάντες συγγραφεῖς λ΄. οἱ τότε αἱρεθέντες, ὥς φησιν Ἀνδροτίων καὶ Φιλόχορος. ὁ δὲ Θουκυδίδης τῶν δέκα ἐμνημόνευσε μόνων [1] τῶν Προβούλων.

Συγγράφω. αἰτιατικῇ. Καὶ τοὺς πολιτικοὺς λόγους συγγράφων. † [2] Ἑκαταῖος πρῶτος ἱστορίαν πεζῶς ἐξήνεγκε. συγγραφὴν δὲ, Φερεκύδης. τὰ γὰρ [3] Ἀγησιλάου νοθεύεται.

Συγκαλεῖς. συνάγεις.

Συγκατάβασις. [4] ὅταν μὴ ὡς ἔστιν ὁ Θεὸς φαίνηται, ἀλλ᾽ ὡς ὁ δυνάμενος αὐτὸν θεωρεῖν, οἷός τε ἐστὶν, οὕτως ἑαυτὸν δεικνύῃ, ἐπιμετρῶν τῇ τῶν ὁρώντων ἀσθενείᾳ τῆς ὄψεως τὴν ἐπίδειξιν.

Συγκάταινον. συγκαταπιθέμενον. συνευδοκοῦντα.

Σύγκαιρον. ἐπιτήδειον. Χειμὼν ὥρα ἦν, καὶ τὸ πῦρ ἐξέκαυσε τῇ ὥρᾳ σύγκαιρον.

Συγκεκυφός. συνελθόν. [5] Ἀριστοφάνης. οἷον, ὁμονοοῦσιν ἑαυτοῖς, καὶ συμπνέουσιν.

Ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν
Νεανιῶν. τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι,
Καὶ τυροπῶλαι. τοῦτο δ᾽ εἰς ἕν ἐστι συγκεκυφός.

Σύγκεισθε. ὁμονοεῖτε.

Σύγκλητος [6] ἐκκλησία. τῶν ἐκκλησιῶν αἱ μὲν [7] ἐξ ἔθους καὶ μετὰ [8] μῆνα ἐγίνοντο. εἰ δέ τι ἐξαίφνης κατεπείξειεν, ὥστε γενέσθαι ἐκκλησίαν, αὐτὴ ἐκαλεῖτο σύγκλητος ἐκκλησία. Δημοσθένης ἐν τῷ κατ᾽ Αἰσχίνου.

Συγκλώδης. ὄνομα κύριον.

Συγκλύδων ἀνθρώπων. συμμίκτων. ἐπηλύδων. παρεισάκτων. Τοῦ δὲ ἀσήμου καὶ σύγκλυδος ὄχλου ταχέως πρὸς αὐτὸν συνισταμένου, δισμυρίων οὐ πολὺ ἀποδέοντας εἶχε.

Συγκομιδή. ὡς ἐπὶ καρπῶν. Θουκυδίδης ἐν γ΄. Καὶ ἐν συγκομιδῇ καρποῦ ἦσαν. καὶ Λυσίας ἐν τῷ πρὸς Ξενοφῶντα· Συγκομίσας δὲ δῶρα, καὶ ἀποδόμενος τὸ ἀργύριον. ἡ σὺν πρόθεσις κατὰ διάστασιν, συγκομιδή.

Συγκορυβαντιῶμεν. ἀντὶ τοῦ συμμαινόμεθα, συνορχούμεθα, συνενθουσιῶμεν.

Συγκόψαι. ἐπὶ τοῦ πληγαῖς αἰκίσασθαι. οὕτω Μεταγένης.

Συγκρητίσαι. τὰ τῶν Κρητῶν [9] φρονῆσαι.

decem Scribas eligendos eſſe, ſumma poteſtate præditos: qui ſententiam ſcriptam de optima ratione adminiſtrandæ Reip. ſtato die ad populum referrent. Fuerunt autem univerſi Scribæ tunc electi, numero xxx, ut ait Androtion & Philochorus. Thucydides vero tantum decem Probulorum mentionem fecit.

Συγγράφω. Conſcribo. *Et civiles orationes conſcribens.* † Hecatæus primus hiſtoriam oratione ſoluta conſcripſit. Pherecydes orationem proſam condere inſtituit. Acuſilai enim ſcripta ſunt ſpuria.

Συγκαλεῖς. Convocas. Cogis.

Συγκατάβασις. Hæc dicitur, cum Deus non, ut eſt, apparet, ſed talem ſe oſtendit, qualem is, qui eum videt, ferre poteſt; præſentiæ ſuæ aſpectum videntium imbecillitati accommodans.

Συγκάταινον. Conſentientem. Comprobantē.

Σύγκαιρον. Tempori conveniens. Aptum. Accommodatum. *Hyems erat, & ignem illi tempori convenientem accendit.*

Συγκεκυφός. Quod in unum coiit. Quod in unum locum convenit. Ariſtophanes. Senſus autem eſt, conſentiunt inter ſe & conſpirant. *Vides enim, quantam trahat catervam coriariorum juvenum. Hos autem circumhabitant mellis & caſeorum venditores: qui omnes in unum conſpirant.*

Σύγκεισθε. Conſentite. Concordes eſtote.

Σύγκλητος ἐκκλησία. Convocata concio. Concionum aliæ [erant ſtatæ, quæ ſcilicet] de more ſingulis menſibus cogebantur. Si quod vero negotium repente incidiſſet, quod moram non ferret, concio [extra ordinem] convocabatur: quæ σύγκλητος ἐκκλησία dicebatur.

Συγκλώδης. Synclodes. Nomen proprium.

Συγκλύδων ἀνθρώπων. Hominum, qui ex variis locis confluxerunt. Colluviei hominum. Advenarum. Adſcititiorum. *Cum autem obſcura & promiſcua turba ad eum confluxiſſet, non multo pauciores viginti millibus habuit.*

Συγκομιδή. Comportatio. Collectio. Dicitur de frugibus. Thucydides libro III. *Et in frugibus colligendis occupati erant.* Et Lyſias in oratione contra Xenophontem: *Cum autem dona collegiſſet, & pecuniam reddidiſſet.* Præpoſitio σὺν in voce συγκομιδή, propter diſtantiam [& disjunctionem rerum, quæ colliguntur.]

Συγκορυβαντιῶμεν. Simul inſanimus Corybantum more. Simul ſaltamus. Simul furore fanatico agitamur.

Συγκόψαι. Concidere. Verberibus cædere. Sic Metagenes.

Συγκρητίσαι. Syncretiſſare. Sive, Cretenſium mores imitari.

1 Τῶν Προβούλων] Vide ſupra v. Πρόβουλοι.

2 Ἑκαταῖος πρῶτος ἱστορ.] Hæc leguntur etiam ſupra v. Ἱστορῆσαι, ubi vide quæ notavimus.

3 Ἀγησιλάου] Scribendum eſt Ἀκουσιλάου, ut monuimus etiam ſupra v. Ἱστορῆσαι.

4 Συγκατάβασις. ὅταν μὴ ὡς ἔστι ὁ Θ.] Hæc ſunt verba Chryſoſtomi Homil. III. Περὶ ἀκαταλήπτου, Tom. VI. pag. 404. ut recte monuit Suicerus in Theſauro Eccleſ. v. Συγκατάβασις.

5 Ἀριστοφάνης] Equit. pag. 340. (238. Edit. Baſ. P.)

6 Σύγκλητος ἐκκλησία. τῶν ἐκκλ.] Eadem ad verbum etiam leguntur apud Harpocrationem & Etymologum. Confer Petitum in Comment. ad Leg. Att. pag. 204.

7 Ἐξ ἔθους] Sic recte Harpocratio & Etymologus. Antea vero male hic legebatur ἔξωθεν.

8 Μετὰ μῆνα] Scribe, κατὰ μῆνα, ut habet Etymologus. Conciones autem hæ ordinariæ & ſtatæ (quas Græci κυρίας ἐκκλησίας vocabant) ter ſingulis menſibus olim convocari ſolebant, ut docet Suidas ſupra v. Ἐκκλησία κυρία· qui locus omnino conferendus eſt.

9 Φρονῆσαι] Sic MS. A. At priores Editt. minus recte, συμφρονῆσαι.

Σύγκριμα. ἡ ἐκ πολλῶν εἰς ἄλληλα συμφωνία, οἷα ἡ τῶν τεσσάρων στοιχείων κοινωνία.

Σύγκριμα. Concretio. Rerum multarum inter ſe commixtio & concordia: qualis eſt quatuor elementorum.

Σύγκρισις.[1] ἡ ἑνὸς πρὸς ἕνα, ἢ πλείονας. ἑνὶ γὰρ οὐ γίνεται σύγκρισις, εἰ μὴ κατὰ χρόνον ὅτε ζητοῦμεν τόδε τι λευκότερον νῦν, ἢ πρότερον. ἡ σύγκρισις κατὰ πολλοὺς τρόπους γίνεται. ἢ γὰρ, ποτέρῳ μᾶλλον τῶν ὑποκειμένων τὸ κατηγορούμενον· ὡς ἐπὶ τοῦ, πότερον ὁ πλοῦτος, ἢ ἡ ὑγεία αἱρετώτερον. ἢ, πότερον μᾶλλον τῷ ὑποκειμένῳ ὑπάρχει, οἷον τῇ ὑγείᾳ τὸ ἡδὺ, ἢ τὸ χρήσιμον. ἢ πότερον τῷδε τόδε, ἢ τόδε τῷδε· οἷον, πότερον τῇ ὑγείᾳ μᾶλλον ὑπάρχει τὸ ἀγαθὸν, ἢ τῇ νόσῳ τὸ κακόν. ὅπως γὰρ ἂν αἱ συγκρίσεις γίνωνται, ἀπὸ τοῦ συμβεβηκότος λέγονται. καὶ κατὰ τὸ μᾶλλον δὲ γίνεται, καὶ κατὰ τὸ ἧττον, καὶ κατὰ τὸ ὁμοίως ἡ σύγκρισις. συγκριτικὰ γὰρ καὶ τὰ τοιαῦτα, εἰ ὑγεία μᾶλλον πλούτου οὖσα αἱρετὴ, μὴ ἔστι δι' αὑτὴν αἱρετή. οὐδὲ ὁ πλοῦτος. καὶ εἰ ἡδονὴ μᾶλλον οὖσα ἀγαθὸν, ἢ τέλος, μὴ ἔστιν ἀγαθὸν, οὐδ' ἂν τέλος εἴη. καὶ πάλιν, εἰ ὁ πλοῦτος ἧττον ὑγείας ὢν ἀγαθὸς, ἀγαθόν ἐστι· καὶ ἡ ὑγεία. καὶ, εἰ ὑγεία ἧττον οὖσα ἀγαθὸν τοῖς ἐν εἰρήνῃ οὖσιν, ἢ τοῖς πολεμοῦσιν, ἀγαθόν ἐστιν ἢ τούτοις, κἀκείνοις.

Σύγκρισις. Eſt unius cum uno vel pluribus comparatio. Unum enim comparationem non admittit, niſi ratione temporis: ut, quum quærimus, ſitne hoc candidius nunc, quam ante. Comparatio fit multis modis. Aut enim quæritur, utri ſubjectorum magis conveniat prædicatum: ut, utrum divitiæ, an vero ſanitas ſit bonum optabilius. Vel, utrum horum ſubjecto magis inſit: ut, utrum ſanitati plus voluptatis quam utilitatis inſit. Vel, utrum hoc magis inſit illi, quam hoc illi: utrum ſanitati plus inſit boni, quam morbo mali. Quomodocunque enim comparationes fiant, ab accidente ſumuntur. Comparatio autem fit ſecundum magis, & ſecundum minus, & ſecundum ſimile. Nam & hæc ſunt comparativa. Ut, Si valetudo, quæ divitiis eſt optabilior, per ſe non eſt expetenda; ne divitiæ quidem. Et, ſi voluptas, quæ magis bonum eſt, quam finis, non eſt bonum; nec finis [bonum erit.] Et contra, ſi divitiæ, quæ minus bonum ſunt, quam valetudo, ſunt bonum; & valetudo, [bonum erit.] Et, ſi valetudo, quæ minus bonum eſt hominibus in pace, quam in bello viventibus, bonum eſt illis, ergo & his.

Συγκριτικῶς. ὁμοίως. κατὰ σύγκρισιν.

Συγκριτικῶς. Per comparationem. Comparative.

Συγκροτεῖ. δεικνύει. συνάγει, αὔξει, συνιστᾷ, συνδεῖ, πρὸς ἁρμονίαν ἄγει, συνέχει, συμπράττει, οὐδένα καιρὸν παραλείπει. [2] Ἀγαθίας· Συνεκροτοῦντο αἱ δυνάμεις ὑπὸ Ναρσοῦ, καὶ ἅπαντα συνήθροιστο τὰ στρατεύματα.

Συγκροτεῖ. Colligit. Cogit. Auget. Conſtituit. Conflat. Colligat. Concinne conjungit. Continet. Adjuvat. Nullum tempus prætermittit. Agathias: *Milites a Narſete cogebantur, & omnes copiæ collectæ erant.*

Συγκρούειν. συναθροίζειν. καὶ σύγκρουσις, παραλογισμός. κροῦσαι, τὸ ἀπατῆσαι τὸν ἀκούοντα. οἷον παρακρούσασθαι, καὶ συναρπάσαι.

Συγκρούειν. [Communiter, collidere. Interdum vero,] congregare, colligere. Et σύγκρουσις, [colliſio,] fraus, deceptio. Κροῦσαι [enim interdum ſignificat,] decipere, fallere.

Συγκυκῶν. συνταράσσων.

Συγκυκῶν. Commiſcens. Conturbans.

Συγκυροῦντα. διαφερόντως συνεγγίζοντα.

Συγκυροῦντα. Ad aliquem propius accedentem. Eum, qui in aliquem incidit.

Συγχαίρω. Ὁ μὲν συνέχαιρε τῆς νίκης· ὁ δὲ ἀνθυπεκρίνετο.

Συγχαίρω. Gratulor. *Ille de victoria ipſi gratulabatur. At ille viciſſim ſimulabat,* [*ſe ea congratulatione lætari.*]

Συγχεῖ. ἀφανίζει. συμμιγνύει.

Συγχεῖ. Confundit. Commiſcet. Delet.

Συγχίδα.[3] ἐν Ἐπιγράμμασι·
—— [4] Καὶ [5] μονόπελμον
Συγχίδα, καὶ στεγανὰν κρατὸς ἐρημοκόμου.
Ὡς ἔοικε, κτένα λέγει.

Συγχίδα. Synchidem. [Calcei genus.] In Epigrammate: *Et unicam ſoleam habentem ſynchidem, & tegmen capitis calvi.* De pectine, ut videtur, loquitur.

Συγχρωτίζεσθαι. πλησιάζειν. [6] Ζήνωνι γὰρ τῷ Κιτιεῖ ἐχρήσθη, πυνθανομένῳ περὶ βίου, πῶς ἂν εὐδαίμων γένοιτο, εἰ συγχρωτίζοιτο τοῖς νεκροῖς· ὅ ἐστι, τοῖς βιβλίοις τῶν ἀρχαίων. τουτέστι, μελέτην ἀσκεῖν, καὶ λόγοις τρέφειν [7] ψυχὴν τὴν βασίλειαν.

Συγχρωτίζεσθαι. Ad aliquem accedere. Familiariter cum aliquo verſari. Zenoni Cittieo oraculum conſulenti, quo pacto beatam vitam degere poſſet, Deus reſpondit: Si familiariter cum mortuis verſaretur. Id eſt, cum ſcriptis & libris antiquorum. [Juſſit ergo eum Oraculum] animum meditando exercere, & diſciplinis alere.

1 Σύγκρισις. ἡ ἑνὸς πρ.] Articulus hic, ut puto, excerptus eſt ex Alexandro Aphrodiſ. in lib. III. *Topic.* Ariſtotel.

2 Ἀγαθίας] Lib. II. pag. 35.

3 Συγχίδα] Confer Heſych. v. Συκχάδας.

4 Καὶ μονόπελμον συγχ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Phaniæ, quod ex cod. MS. Anthologiæ ineditæ publici juris fecimus ſupra v. Κίρκον: ubi vide quæ notavimus. Cæterum in dicto codice MS. Epigrammatum pro συγχίδα ſcriptum eſt, συκχίδα: quam lectionem probo.

5 Μονόπελμον] Sic recte legitur in MS. Pariſ. A. itemque in codice MS. Epigrammatum. Eſt enim συγχὶς, vel potius, συκχὶς, genus calcei. At priores Editt. uti & MSS. B. & C. peſſime habent, μονόπτελον.

6 Ζήνωνι γὰρ τῷ Κιτ.] Idem refert Laertius in vita Zenonis Citiei, ſub initium.

7 Ψυχὴν τὴν βασίλειαν] Scribo, τὴν ψυχὴν, expuncta ultima voce βασίλειαν, quæ nihil ad rem facit.

Συγχυθείς. συνταραχθείς.

Σὺ [1] δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλ', ἀλλὰ πρᾳόνως
Ἔλεγχ', ἐλέγχου. λοιδορεῖσθαι δ' οὐ πρέπει
Ἄνδρας ποιητάς, ὥσπερ ἀρτοπώλιδας.
Σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.

καὶ γὰρ ἡ πρῖνος καιομένη ψόφον ἐμποιεῖ.

Συέδρων. ὅτι Αἰλιανὸς ἐπὶ Οὐάλεντος ἐστρατήγησεν. ἦν δὲ ἐκ Συέδρων, ἐλεύθερος ἄγαν, καὶ ἀνεστηκώς. καὶ ζήτει ἐν τῷ Αἰλιανός.

Συηναῖος. καὶ [2] συήνη, ἡ [3] δερματοθήκη. συίνη δέ, ἡ συκέα.

Συηνία, καὶ [4] κυηνία. ἀμαθία. σκαιότης. παρὰ Φερεκράτει. καὶ συηνεῖν, Πλάτων ὁ Φιλόσοφος τὸ ἀμαθῶς ἀναστρέφεσθαι, καὶ συῶδές τι ποιεῖν. καὶ Συηνία, πόλις. Συίνη δέ, συκέα.

Σύινον [5] ἔλαιον, καὶ σησάμινον, ᾧ ἐχρῶντο οἱ σὺν Κύρῳ στρατευθέντες.

Συκάζειν. οὕτω τὸ ἐπηρεάζειν ἔλεγον οἱ παλαιοί. ζήτει ἐν τῷ Ἀποσυκάζεις.

Συκάμινον. εἶδος δένδρου. καὶ [6] σαρκωματικὸν ἕλκος γινόμενον, ἐπί τε τοῖς ὀφθαλμοῖς, καὶ ταῖς ἕδραις, ὃ καὶ σῦκον λέγεται.

Συκέα. τὸ δένδρον. ἡ καὶ συκῆ. Σῦκον δέ, ὁ καρπός.

Συκῆ. ἐν τῷ Ὄλυνθος.

Σύκινον. ἀσθενές. καὶ παροιμία· Συκίνη μάχαιρα. ἀντὶ τοῦ [7] συκοφάντης. καὶ ἑτέρα παροιμία· Συκίνη ἐπικουρία. ἐπὶ τῶν ἀνωφελῶν. Ἡμεῖς δὲ οἱ καθήμενοι τὴν συκίνην ἐπικουρίαν, τοὺς στρατιώτας, προσδεχόμενοι.

Συκίνη ναῦς. τὸ εὐτελὲς δηλοῖ. ἐν τῷ, Ἐγένετο καὶ Μάνδρωνι.

Συκομορρέα. [8] ὅτι τῆς συκομόρρου ὁ καρπὸς οὐ πεπαίνεται, εἰ μή τινα βραχεῖαν τομὴν δέξηται.

Σῦκον αἰτεῖν. κολακεύειν. νεωστὶ γὰρ τῶν σύκων φαινομένων, ὡς ἂν εἰς ὥρας ἥκοντες, ἐλιπάρουν τοὺς συκωροὺς δοῦναι.

Σῦκον αἰτεῖς. ἐπὶ τῶν κολακευόντων. οἱ γὰρ Ἀθηναῖοι ἐκολάκευον τοὺς γεωργούς, βουλόμενοι παρ' αὐτῶν λαβεῖν πρώϊμα σῦκα. οἰωνίζοντο γὰρ αὐτοῖς καὶ πάλιν ἐλθεῖν εἰς νέωτα. καὶ ἑτέρα παροιμία· Σῦκον ἐφ' Ἑρμῇ. ἐπὶ τῶν προκειμένων ἐπ' ὠφελείᾳ τοῖς βουλομένοις. ὁπότε γὰρ φανείη σῦκον, τοῦτο τῷ Ἑρμῇ ἀνετίθεσαν,

Συγχυθείς. Confuſus. Conturbatus. [Ariſtophanes:] *Tu vero, Æſchyle, ne iracunde, ſed leniter refelle objecta. Non enim poetas decet, tanquam piſtorum uxores, invicem convitiari. Tu vero ſtatim, ut ilex ardens, clamitas.* Ilex enim ardens crepitat.

Συέδρων. Syedrorum. [A recto Σύεδρα, quæ eſt urbs Iſauriæ.] Ælianus Valentis tempore copiarum dux fuit. Erat autem ex urbe Syedris oriundus, vir valde liber, & excelſo animo præditus. Quære in v. Αἰλιανός.

Συηναῖος. Syenæus. Et συήνη, coriacea theca [tibiarum.] Συίνη vero, ficus arbor.

Συηνία, & κυηνία. Imperitia. Ruſticitas. Apud Pherecratem. Et συηνεῖν Plato Philoſophus dicit, pro, ruſtice ſe in converſatione gerere, & ſuillo more aliquid facere. Et Syenia, urbs. Συίνη vero, ficus arbor.

Σύινον ἔλ. Oleum ſuillum, & ſeſaminum, quo ungebantur illi, qui Cyro expeditionis comites erant.

Συκάζειν. Ita veteres dicebant τὸ ἐπηρεάζειν, i.e. vexare, & moleſtiam exhibere. Quære in v. Ἀποσυκάζεις.

Συκάμινον. Sycaminum. Sycomorus. Genus arboris. Item, caruncula quædam, ſive ulcus, quod in oculis & ano gignitur, & σῦκον etiam dicitur.

Συκέα. Ficus arbor. Eadem & [contracte] συκῆ dicitur. At σῦκον, ficus fructus.

Συκῆ. Ficus arbor. Quære in v. Ὄλυνθος.

Σύκινον. Ficulneum. Et metaphorice, infirmum. Et proverbium: Ficulnus gladius. Id eſt, ſycophanta. Et aliud proverbium: Ficulnum auxilium. Dicitur de rebus inutilibus. *Nos vero deſides ficulnum illud auxilium, milites, expectamus.*

Συκίνη ναῦς. Ficulna navis. Rem vilem & nullius pretii ſignificat. Vide in v. Ἐγένετο καὶ Μάνδρωνι.

Συκομορέα, [& συκόμορον.] Sycomorus arbor. Sycomori fructus non matureſcit, niſi parum incidatur.

Σῦκον αἰτεῖν. Ficum petere. Id eſt, adulari, blandiri. [Olim enim Athenienſes] tempore primarum ficuum cuſtodes earum rogabant, ut ſibi ficus impertirentur, ut qui tempeſtivo tempore veniſſent.

Σῦκον αἰτεῖς. Ficum petis. Dicitur hoc de adulatoribus. Athenienſes enim agricolis adulabantur, ut præcoces ficus ab illis acciperent: ominantes illis & anno ſequenti ſe redituros eſſe. Et aliud proverbium: Ficum Mercurio. Dicitur de rebus, quæ ad cujuſlibet utilitatem publice propoſitæ ſunt. Cum

1 Σὺ δὲ μὴ πρὸς ὀργ.] Quatuor hi Senarii leguntur apud Ariſtophanem *Ranis*, pag. 252. (164. Ed. Baſ. *P.*)

2 Συήνη] Supra, συβήνη.

3 Δερματοθήκη] Imo, ἡ δερματίνη αὐλοθήκη: ut ſupra v. Συβήνη.

4 Κυηνία] Etymologus habet, ὑηνία: quæ vera lectio eſt. Uti enim σῦς & ὗς idem ſignificant: ſic etiam συηνία & ὑηνία.

5 Σύινον ἔλαιον, καὶ σησ.] Xenophon Ἀναβ. lib. vi. pag. 328. Πολὺ γὰρ ἐνταῦθα ηὕρισκον τὸ χρῖσμα, ᾧ ἐχρῶντο ἀντ' ἐλαίου, σύειον, καὶ σησάμινον, καὶ ἀμυγδάλινον, &c. Huc Suidas reſpexit: ſed qui pro σύειον habet σύινον: quod mihi ſuſpectum eſt. Vide etiam ſupra v. Σησαμοῦς, ubi eadem leguntur.

6 Καὶ σαρκωματικὸν ἕλκος γ.] Nota hæc referenda eſt ad locum illum Ariſtoph. *Ranis*, pag. 270. (178. Edit. Baſ. *P.*)

Ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.

Scholiaſta: Σῦκα λέγει τὰ σαρκώματα, ἢ ἕλκος γινόμενον ἐπὶ τοῖς ὀφθαλμοῖς, σῦκον καλούμενον. Ἄλλως. Τὰ ὑπὸ τῶν ἰατρῶν συκώματα λεγόμενα, σῦκα ἔφη. Σῦκον εἶδος παθήματος, ὃ ἐν τοῖς ὀφθαλμοῖς καὶ ἐν ἄλλῳ τινὶ μέρει τοῦ σώματος φυόμενον, ὃ φασιν ἰδιωτικῶς συκάμινον. Hæc Suidam illuſtrant.

7 Συκοφάντης] Heſychius, συκοφάντρια. At malim, συκοφαντίαι ut habet Photius in Lex. inedito.

8 Συκομορρέα] Scribe, συκομορέα, & συκομόρου, per unum ρ.

καὶ ὁ βουλόμενος ἐλάμβανε. καὶ ἑτέρα παροιμία·

[1] Ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ:

ἐπὶ τῶν προσφυῶς τινὸς πράγματος ἐχομένων. σῦκον δὲ λέγει τὰ ἐπὶ τοῖς ὀφθαλμοῖς σαρκώματα, ἢ ἕλκος γινόμενον ἐπ' αὐτοῖς. Ἀριστοφάνης·

Ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.

Σῦκον. σύκον τί ὄν, τὸ ἑστηκὸς, καὶ μὴ ῥιπτόμενον, ὡς ὁ ὄλυνθος. ὄλυνθος δὲ, παρὰ τὸ ὅλος ἀνθεῖν, ἤγουν ἐκ πρώτης ἀνθήσεως τὸ αὐτὸ ἔχειν. Τὸ σῦκον καὶ [2] μόνον ἀλεξιφάρμακόν ἐστι. καὶ ἰσχάδες σὺν πηγάνῳ ὀπτώμεναι, καὶ νήσταις διδόμεναι, ὁμοίως σὺν γλήχωνι. καὶ, Σῦκόν τε μελανθραγές.

[3] Βρῶσις σύκων δείκνυσι φληνάφων λόγους.

Συκοφαντεῖν. κνίζειν ἐρωτικῶς. οὕτω Πλάτων καὶ Μένανδρος.

Συκοφαντεῖν.[4] τὸ ψευδῶς τινὸς κατηγορεῖν. κεκλῆσθαι δέ φασι τοῦτο παρ' Ἀθηναίοις πρῶτον εὑρεθέντος τοῦ φυτοῦ τῆς συκῆς, καὶ διὰ τοῦτο κωλυόντων ἐξάγειν τὰ σῦκα. τῶν δὲ φαινόντων τοὺς ἐξάγοντας συκοφαντῶν κληθέντων, συνέβη καὶ τοὺς ὁπωσοῦν κατηγοροῦντας τινῶν φιλαπεχθημόνως, οὕτω προσαγορευθῆναι. Ἀριστοφάνης·

Καὶ ταῦτα μὲν δὴ σμικρὰ κἀπιχώρια.

ἴδιον γὰρ Ἀθηναίων τὸ συκοφαντεῖν. Αἰλιανός· Ὁ δὲ ἐσυκοφάντει τὸν Θεὸν ὀλιγωρίας. ἐκ δὴ τούτων νόσοι καὶ τροφῶν ἀπορίαι τῶν Ἱμεραίων κατεῖχον.

Συκοφάντης.[5] λιμοῦ γενομένου ἐν τῇ Ἀττικῇ, τινὲς λάθρα τὰς συκᾶς τὰς ἀφιερωμένας τοῖς Θεοῖς ἐκαρποῦντο. μετὰ δὲ ταῦτα, εὐθηνίας γενομένης, κατηγόρουν τινές. ἐκεῖθεν οὖν συκοφάνται λέγονται.

Συκοφάντης. ὁ Διάβολος. τὸν γὰρ Θεὸν ἐσυκοφάντησε, φήσας, κεκωλυκέναι τοῦ ξύλου τὴν μετάληψιν. καὶ κατὰ τοῦ Ἰώβ· Μὴ δωρεὰν σέβεται Ἰὼβ τὸν Θεόν; καὶ συκοφαντία, ἡ ψευδὴς κατηγορία. καὶ ῥῆμα συκοφαντῶ, αἰτιατικῇ.

Συκοφάσους. συκοφάντας.

Ἦν ἄρα νικῆσαι συκοφάσους ἀδίκως.

Συκυαῖσι.[6] Φερεκράτης Τυραννίδι·

Ἀρ' ἀράχνι', ὥσπερ ταῖς συκυαῖσι ταῖς κεναῖς; ἐν τῷ Ἀράχνη.

Συλλαβών. εἰς νοῦν λαβών. Ὁ δὲ Πεισίστρατος συλλαβὼν χρηστήριον, καὶ φὰς δέχεσθαι τὸ χρησθέν.

Σύλας.[7] τὰς συλλήψεις. Δημοσθένης ἐν τῷ περὶ στεφάνου· Ὁπόταν μὴ σύλαι ὦσιν Ἀθηναίοις. ἐν δὲ τοῖς ἑξῆς ὥσπερ ἐξηγούμενος αὐτὸ, φησί· Σεσυλήμεθα δὲ τὰ ἡμέτερα αὐτῶν ὑπὸ Φασηλιτῶν, ὥσπερ δεδομένων συλῶν Φασηλίταις κατὰ Ἀθηναίων. ἐ-

enim [prima] ficus apparuiſſet, eam Mercurio dedicabant: quam capiebat, qui volebat. Et aliud proverbium: *Tanquam ficus in oculis.* Dicitur de iis, qui rei alicui quaſi affixi ſunt, eique omni ſtudio incumbunt. Ficum vero Ariſtophanes vocat carunculam in oculis excreſcentem, vel, ulcus oculorum.

Σῦκον. Ficus. Sic dicta eſt, quaſi σύκον, a ſtando: quod nempe ſtet, nec abjiciatur, ut groſſus. Ὄλυνθος vero dictus eſt quaſi ὁλόανθος, quod totus floreat. Ficus & morum remedia ſunt adverſus venena. Item, caricæ cum ruta aſſatæ, & cum pulegio jejunis datæ. Et in [Epigrammate:] *Ficuſque, quæ edentibus nigra apparet.* † *Eſus ficuum futiles ſermones ſignificat.*

Συκοφαντεῖν. Amantem urere & dolore afficere. Calumniis amantem vexare. Sic Plato & Menander.

Συκοφαντεῖν. Calumniari. Falſo aliquem accuſare. Hoc autem ſic primum dici cœpit, ex quo Athenienſes ficum apud ipſos inventam ex Attica exportari prohibuerunt. Cum enim illi, qui ficuum exportatores deferebant, ſycophantæ appellarentur; factum eſt, ut & illi, qui quomodocunque ex odio vel inimicitia aliquos accuſarent, ſic vocarentur. Ariſtophanes: *Et hæc quidem parva ſunt, & indigenis familiaria.* Proprium enim erat Athenienſium, calumniari. Ælianus: *Ille vero Deum negligentiæ nomine criminabatur: unde morbi & annonæ penuria Himeræos vexarunt.*

Συκοφάντης. Sycophanta. Cum Attica fame laboraret, quidam ex ficubus, quæ Diis conſecratæ erant, fructus clam decerpebant. Poſtea vero, conſecuta annonæ abundantia, quidã eos accuſarunt: unde ſycophantæ dicti ſunt.

Συκοφάντης. Calumniator. [Talis eſt] Diabolus. Deum enim calumniatus eſt, dicens, eum [Adamo] interdixiſſe, ne de fructu arboris comederet. Et Jobum: *Num Jobus gratis Deum colit?* Et συκοφαντία, calumnia. Et verbum συκοφαντῶ, calumnior, accuſativo jungitur.

Συκοφάσους. Idem quod συκοφάντας. Sycophantas. Calumniatores. *Nihil obſtabat, quo minus calumniatores injuſte vincerent.*

Συκυαῖσι. Cucurbitis. Pherecrates *Tyrannide: Aranearum telæ, tanquam in cucurbitis inanibus.* Quære in v. Ἀράχνη.

Συλλαβών. Qui comprehendit. Qui mente percepit. *Piſiſtratus autem, cum oraculum intellexiſſet, dixit ſe illud libenter accipere.*

Σύλας. Spoliationes. Direptiones. Expilationes. Demoſthenes in oratione de Corona: *Ubi Athenienſibus jus non eſt aliorum bona diripiendi.* In ſequentibus vero quaſi id ipſum explicans, dicit: *Bonis noſtris ſpoliati ſumus a Phaſelitis, quaſi jus ſpoliandi datum*

1 Ὥσπερ τὰ σῦκ' ἐπ.] Eſt Senarius Ariſtophanis in *Ranis*, pag. 270. (178. Edit. Baſ. *P.*) Vide etiam paulo ante v. Συκάμινον.

2 Καὶ μόνον] Scribendum puto, καὶ μόρον, i.e. morum.

3 Βρῶσις σ.] Ex Aſtrampſycho: ſed apud quem rectius legitur, ——— δείκνυσι φληνάφους λόγους.

4 Συκοφαντεῖν] Vide Athen. lib. III. cap. II.

5 Συκοφάντης. λιμοῦ γ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum*, pag. 5. ſed ubi pro λιμοῦ minus recte legitur λοιμοῦ.

6 Συκυαῖσι] Male pro σικύαισι.

7 Σύλας. τὰς συλλήψεις. Δημ.] Ex Harpocratione. Pro συλλήψεις autem ſcribendum eſſe συλήσεις, recte monuit Valeſius ad Harpocrationem; & ante eum Salmaſius *de Modo Uſur.* pag. 217. qui omnino cum hoc loco conferendus eſt.

πειδὰν

πειδὰν γὰρ μὴ θέλωσιν ἀποδοῦναι, ἃ ἔλαβον, τί ἂν τις ἔχοι ἄλλο ὄνομα θέσθαι τῷ τοιούτῳ, ἢ ὅτι ἀναιροῦνται τὰ ἀλλότρια; Ἀντὶ τοῦ [1] συλλήψεις σύλας ἔλεγον.

Σύλλας. ὄνομα κύριον. ὅτι ἐπὶ τοῦ Σύλλα τοῦ Ὑπάτου ὁ ἐμφύλιος Ῥωμαίων ἀνήφθη πόλεμος. ἐπισημῆναι δὲ τὴν τῶν μελλόντων κακῶν φορὰν Λίβιός φησι, καὶ Διόδωρος. ἐξ ἀνεφέλου τοῦ ἀέρος καὶ αἰθρίας πολλῆς ἦχον ἀκουσθῆναι σάλπιγγος, ὀξὺν ἀποτεινούσης καὶ θρηνώδη φθόγγον. καὶ τοὺς μὲν ἀκούσαντας ἅπαντας ἔκφρονας ὑπὸ δέους γενέσθαι· τοὺς δὲ Τυῤῥηνῶν μάντεις μεταβολὴν τοῦ γένους καὶ μετακόσμησιν ἀποφήνασθαι σημαίνειν τὸ τέρας. εἶναι μὲν γὰρ ἀνθρώπων ὀκτὼ γένη, διαφέροντα τοῖς βίοις καὶ τοῖς ἤθεσιν ἀλλήλων. ἑκάστῳ δὲ ἀφωρίσθαι χρόνον ὑπὸ τοῦ Θεοῦ, συμπεραινόμενον ἐνιαυτοῦ μεγάλου περιόδῳ. τῆς γοῦν προτέρας περιόδου τελευτώσης, καὶ ἑτέρας ἐνισταμένης, κινεῖσθαί τι σημεῖον ἐκ γῆς ἢ οὐρανοῦ θαυμάσιον, ὃ δῆλον εὐθὺς τοῖς τὰ τοιαῦτα σοφοῖς γίνεσθαι, ὅτι καὶ τρόποις ἄλλοις καὶ βίοις ἄνθρωποι χρώμενοι γεγόνασι, καὶ Θεοῖς ἧττον τῶν προτέρων μέλοντες. ταῦτα μὲν οὖν εἴτε οὕτως, εἴτε ἄλλως πως ἔχει, σκοπεῖν παρίημι. † Ὅτι Σύλλας ὁ Ὕπατος ἀπάρας ἐξ Ἐφέσου, προσχών τε ταῖς Ἀθήναις, ἐνδιέτριψε τῇ πόλει χρόνον τινά, [2] καὶ τὴν Ἀπελλικῶντος τὴν τοῦ Τηΐου καταλαβὼν ἐνταῦθα βιβλιοθήκην, ἀνείλετο· ἐν ᾗ πλεῖστα τῶν Ἀριστοτέλους καὶ Θεοφράστου βιβλίων ἦν, οὔπω τε τοῖς πολλοῖς, ὥς φησι Πλούταρχος, γνωριζόμενα, ἀλλ' ἐντεῦθεν εἰς τὴν τῶν ἀνθρώπων ἐκφοιτήσαντα γνῶσιν.

Σύλλας ὁ Ὕπατος, ἐπιλογισμὸν τῶν ἑαυτοῦ πράξεων ποιήσας, Εὐτυχῆ ἑαυτὸν ἐκάλει καὶ ἔγραφε. καί ποτε Λαβερία, Ῥωμαία γυνὴ οὐκ ἀφανής, ἐξόπισθεν τοῦ Σύλλου πορευομένη, ἐπιβάλλει τὴν χεῖρα, καὶ κροκίδα τοῦ ἱματίου σπᾷ. τοῦ δὲ ἐπιστραφέντος, Οὐδὲν δεινόν, εἰπεῖν, Αὐτοκράτορ· ἀλλὰ βούλομαι κἀγὼ τῆς σῆς μικρὸν εὐτυχίας μεταλαβεῖν. τὸν δὲ ὑπερησθῆναί τε τῷ ῥηθέντι, καὶ μετὰ μικρὸν ἀγαγέσθαι ταύτην γυναῖκα, τῆς Μετέλλης ἤδη τεθνηκυίας.

Συλλαῖος. ὄνομα κύριον. καὶ Σύλαιον, πόλις.

Συλλήβδην. συλλαβών. ἀθρόως.

[3] Ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.

ἐπὶ τῶν εὐδαιμονίαν ἐπαγγελλομένων.

Συλλήπτορα. βοηθόν.

Σύλλιον. πόλις, πλησίον Σίδης.

Συλλογή. [4] ὄνομα ἀρχῆς.

Συλλογιμαῖα.

Συλλογισμός. Ἀπ' [5] αὐτοῦ τοῦ ὀνόματος ὁ συλλογισμὸς σύνθεσίν τινα ἔοικε σημαίνειν· ὥσπερ καὶ ὁ [6] σύμψηφος, ψήφων. ὄργανον δέ ἐστιν ὁ συλλογισμὸς πρὸς

ſit Phaſelitis contra Athenienſes. Cum enim reddere nolint ea, quæ ceperunt, quo alio nomine appellare quis illud queat, quam aliena rapere & deprædari? Pro συλήσεις enim dicebant σύλας.

Σύλλας. Sylla. Nomen proprium. Syllæ Conſulis temporibus civile Romanorum bellum exarſit. Futurorum vero malorum illorum tempeſtatem ſigna quædam præceſſiſſe Livius & Diodorus tradunt. Aere enim ſereno & admodum ſudo tubam auditam eſſe, quæ acutum & lugubrem clangorem redderet: omneſque, qui eam audiverant, præ metu obſtupuiſſe. Tyrrhenos autem vates reſpondiſſe, prodigium illud generis humani mutationem ſignificare. Octo enim eſſe hominum genera, vita & moribus inter ſe diſcrepantia: quorum unicuique certum tempus a Deo præſtitutum ſit, quod magni anni circuitu abſolvatur. Priore igitur circuitu ad finem perducto, & altero inſtante, prodigium aliquod admirabile in terra vel cœlo apparere, ex quo rerum illarum periti ſtatim conjiciant, exſtitiſſe homines aliis moribus præditos, quique Diis minus curæ ſint, quam priores. Hæc vero ſive ſic, ſive alio modo ſe habeant, nunc non diſputo. † Sylla Conſul cum Epheſo diſceſſiſſet, & Athenas appuliſſet, in illa urbe tempus aliquod commoratus eſt: repertamque illic Apellicontis Teji bibliothecam inde ſuſtulit. Erant autem in ea plurimi Ariſtotelis & Theophraſti libri, qui, ut ait Plutarchus, nunquam ante cogniti fuerant, ſed tunc demum in hominum notitiam venerunt.

Σύλλας. Sylla Conſul, cum res a ſe geſtas animo reputaſſet, Felicem ſe & vocavit & ſcripſit. Aliquando autem Laberia, matrona Romana non ignobilis, Syllam a tergo ſequens, manu veſti ejus injecta, floccum inde avulſit. Illo autem converſo, *Nihil mali*, inquit, *facio, Imperator: ſed & ego felicitatis tuæ parumper particeps eſſe cupio.* Sylla igitur dicto hoc admodum delectatus, eam paulo poſt uxorem duxit; Metella jam defuncta.

Συλλαῖος. Syllæus. Nomen proprium. Et Sylæum, urbs.

Συλλήβδην. In ſumma. Simul. Paucis. More ejus, qui omnia uno faſce complectitur. *Omnia bona uno quaſi faſce comprehenſa tibi fero.* Dicitur de iis, qui felicitatē alicui pollicentur.

Συλλήπτορα. Adjutorem. Auxiliatorem.

Σύλλιον. Syllium, urbs prope Siden.

Συλλογή. Collectio. Collectura. Nomen Magiſtratus.

Συλλογιμαῖα. Collectitia. Collectanea.

Συλλογισμός. Syllogiſmus. Ratiocinatio. Syllogiſmus ipſo nomine compoſitionem quandam ſignificare videtur: ut & ὁ συμψηφισμός,

1 Συλλήψεις] Συλήσεις.
2 Καὶ τὴν Ἀπελλικῶντος τὴν τοῦ Τ.] Vide Plutarchum in *Sylla*, pag. 468. & Strabonem lib. XIII. pag. 609.
3 Ὡς ἀγαθὰ συλλ.] Eſt Senarius Ariſtoph. in *Pluto*, pag. 69. (35. Ed. Baſ. P.)
4 Συλλογή] Ex Harpocratione.
5 Ἀπ' αὐτοῦ τοῦ ὀνόματος ὁ συλλ.] Ex Alexandro Aphrodiſ. in lib. I. *Topic.* pag. 7. ut Pearſonius obſervaverat.
6 Σύμψηφος] Scribe, συμψηφισμός: ut recte habet Alex. Aphrodiſ. loco laudato.

τὸ φανερὸν τι ποιῆσαι μὴ δοκοῦν εἶναι γνώριμον, διά τινων γνωρίμων τε καὶ φανερῶν. ἐπεὶ δὲ πᾶν ὄργανον χρήσιμον, καὶ ὁ συλλογισμὸς ἄρα χρήσιμος. πᾶν δὲ ὄργανον, ὃ μὴ τὴν χρείαν αὐτοῦ παρέχεται, ἀναιρεῖται. ἔστι δὲ συλλογισμὸς πρότασις μετὰ συμπεράσματος.

non præſtat, tollitur. Syllogiſmus autem eſt

Σύλλογος. ἄθροισις. Ἐνδημῶν δὲ σύλλογος ἀμήχανος γίνεται.

Συλλοχισμός.[1] ὅταν τῷ πρώτῳ λόχῳ ἕτερος λόχος ἐπιτεθῇ· ὥστε λοχαγὸν, λοχαγῷ, καὶ οὐραγὸν, οὐραγῷ, καὶ τοῖς μεταξὺ τοῖς ὁμοζύγοις παρίστασθαι.

Συλλόνυχας. ἐν [2] Ἐπιγράμματι· Καὶ ψήκτραν ἀκοίτην ἀπέπτυσε, καὶ λιποκόπους φασγανίδας, καὶ τοὺς [3] συλλόνυχας ὄνυχας.

Συλοσῶν, Συλοσῶντος. ὄνομα κύριον.

Συλῶ. αἰτιατικῇ. τὸ συ μακρόν.

Ἀμφοτέρους ἤσχυνε· σεσύληται μὲν ὁ Βάκχος.

ἐν Ἐπιγράμματι.

Συλοσῶντος χλαμύς. ἐν τῷ Χλαμύς.

Συμμαθεῖν.[4] οἷον μεμαθηκότα τὸ γεγονός. οὐδεὶς με οἶδε τόπος, ἀλλὰ μάτην περιῆλθον. ἢ ἀντὶ τοῦ διδάξαι, εἰς μάθησιν ἀγαγεῖν τοῦ ζητουμένου. Σοφοκλῆς·

Κοὐδεὶς ἐπίσταταί με συμμαθεῖν τόπος.

καὶ συμμαθόντι, συνεθισθέντι. Καὶ πάνυ ἡδὺ ἦν συμμαθόντι τὸ πόμα τὸ ἐκ κριθῶν.

Συμμαχία[5] ἐπιμαχίας διαφέρει. Συμμαχία μὲν γάρ ἐστιν, ὅταν τις τὸν αὐτὸν ἔχῃ τῷ συμμαχουμένῳ ἐχθρὸν καὶ φίλον. Ἐπιμαχία δὲ, ὅταν τις μόνῳ τῷ συμμαχουμένῳ ἀδικουμένῳ βοηθῇ, οὐ μέντοι καὶ ἀδικοῦντι συμπεράττῃ.

Συμβαλεῖν. διακρῖναι, νοῆσαι, συγκρῖναι. Συμβάλλειν δὲ, μεταδιδόναι, κιχρᾶν.

[6] Ἔπειτα συμβάλλειν πρὸς ἀλλήλας ἔφη,

Ἱμάτια, χρυσίον, ἀργύριον, ἐκπώματα,

μόνας μόναις, οὐ μαρτύρων γ' ἐναντίον. † Συμβαλεῖν οὐδεὶς εἶχε τὸ γενόμενον. ἀντὶ τοῦ νοῆσαι.

Συμβαλόντα. τουτέστι, τὸν δανεισάμενον. Ὁ δὲ ἦλθε παρὰ τὴν βασίλισσαν, τὸν συμβαλόντα αἰτιασόμενος, δεηθῆναι αὐτῷ βοηθῆσαι τὰ δίκαια. [7] Ἀρριανός· Συνέκειτο γὰρ, τὸν μὲν σημῆναι, τὸν δὲ συμβαλόντα ποιεῖν τὸ τεταγμένον.

Σύμβαμα.[8] κατὰ Γραμματικοὺς πρότασις ἐξ ὀνόματος καὶ ῥήματος, αὐτοτελῆ διάνοιαν ἀπαρτίζουσα· οἷον, Ἰωάννης περιπατεῖ. Παρασύμβαμα δὲ, πρότασις ἐξ ὀνόματος καὶ ῥήματος, οὐκ αὐτοτελῆ διάνοιαν

ſuffragiorum collationem. Syllogiſmus autem eſt inſtrumentum ad aliquid demonſtrandum, quod non videtur eſſe notum, per nota quædam & clara. Quoniam autem omne inſtrumentum eſt utile; & Syllogiſmus eſt utilis. Omne vero inſtrumentum, quod uſum ſuum propoſitio cum concluſione.

Σύλλογος. Collectio. Congregatio. Cœtus. *Popularis vero cœtus eſt inexpugnabilis.*

Συλλοχισμός. Syllochiſmus eſt, quum primo manipulo alius manipulus additur: ita ut manipuli ductor manipuli ductori, & tergi ductor tergi ductori, & reliquis, qui in interjectis jugis collocati ſunt, totidem alii adjungantur.

Συλλόνυχας. Ungues reſecantes. In Epigrammate: *Et ſtrigilem arundineam reſpuit, & pingue ſecantes cultros, & ungues reſecantia ſcalpella.*

Συλοσῶν. Syloſon. Nomen proprium.

Συλῶ. Spolio. Syllaba συ eſt longa. In Epigrammate: *Utrumque ignominia affecit. Spoliatus eſt enim Bacchus.*

Συλοσῶντος χλαμύς. Syloſontis chlamys. Quære in voce Χλαμύς.

Συμμαθεῖν. [Diſcere. Cognoſcere. Vel,] docere, & in notitiam rei quæſitæ perducere. Sophocles: *Nullus locus me docere novit.* Et συμμαθόντι, aſſuefacto, aſſueto. *Et potus ex hordeo confectus valde gratus erat bibenti, qui quidem ei aſſuetus eſſet.*

Συμμαχία differt ab ἐπιμαχία. Nam συμμαχία eſt, quum aliquis habet eundem & inimicum & amicum, quem ille, cui fertur auxilium. Ἐπιμαχία vero, quum quis tantum ſocio injuria affecto fert opem, non etiam eum, qui alteri injuriam facit, adjuvat.

Συμβαλεῖν. Conjicere. Dijudicare. Intelligere. Comparare. At συμβάλλειν, ſymbolam conferre, mutuo dare, commodare. *Deinde dicebat eas inter ſe ſolas coram nullis teſtibus in medium conferre veſtes, aurum, argentum, pocula.* † *Nullus conjicere poterat id, quod acciderat.*

Ταυρηδόν. Inſtar tauri. Ut taurus. Ariſtophanes de Æſchylo [dicit:] *Torvum cernebat inſtar tauri, capite in terram demiſſo.* Talis enim Æſchyli irati erat vultus.

Ταυρίδιον. ὁ μικρὸς ταῦρος. καὶ, [7] Ταύριος Ποσειδῶν.

[8] Ἵπποι μὲν σφηκῶν γένεσις ταῦροι δὲ, μελισσῶν.

Ταυρίδιον. Parvus taurus. Et, Ταύριος Ποσειδῶν, Neptunus Taurius. † *Ex equis veſpæ; ex tauris vero apes generantur.*

Ταυρική. τόπος.

Ταυρική. Taurica. Regio.

Ταυριώνη. [9] ἡ Ἄρτεμις, ἡ ἐν Ταύροις τῆς Σκυθίας

Ταυριώνη. Taurione. [Sic appellatur] Dia-

1 Ἡ δὲ τὸν πατ.] Hiſtoria, ad quam fragmentum hoc pertinet, prolixe narratur a Dionyſ. Halicarnaſſ. lib.II. pag.105,106.

2 Τὰ τῶν φόρων κρείττω.] Ex Harpocratione. Cæterum pro φόρων Guil. Canterus *Nov. Lect.* lib. VIII. cap. IX. legit φώρων, i.e. *furum*: cujus emendationem veram eſſe cum Mauſſaco putamus.

3 Ὧν ἠδίκησαν] Legendum videtur, ἐξ ὧν ἠδίκησαν.

4 Τὰ τρία τῶν εἰς θ.] Confer Noſtrum ſupra v. Εἴποις τὰ τρία.

5 Καὶ οἱ ὑπηρετικοὶ, αὐλικοί] Sic recte MS. A. At priores Editt. male, καὶ ἡ ὑπηρετικὴ, αὐλική.

6 Ἀριστοφάνης] *Ranis*, pag. 249. (162. Ed. Baſ. *P.*)

7 Ταύριος] Alii, ταύρειος per diphthongum ει.

8 Ἵπποι μὲν σφηκ.] Verſus hic legitur etiam ſupra v. Σφῆκες.

9 Ταυριώνη. ἡ Ἄρτεμις, ἡ ἐν Ταύρ.] Ex Scholiaſta Sophoclis ad *Ajacem*, pag. 11. ut Portus etiam obſervaverat. Cæterum, pro Ταυριώνη non ſolum Sophocles, ejuſque Scholiaſtes, ſed etiam optimus MS. Pariſ. A. habet, Ταυροπόλα: quæ lectio proinde Suidæ reſtituenda eſt.

τιμωμένη.

τιμωρηθῇ. ἢ ἀπὸ μέρους, τῶν ποιμνίων ἐπιστάτις. ἢ ὅτι ἡ αὐτὴ τῇ σελήνῃ ἐστὶ, καὶ ἐποχεῖται ταύροις· ἣν καὶ Ταυρωπὸν ὀνομάζουσιν. [1]Ἦ ῥά σε Ταυροπόλα ὥρμησεν ἐπὶ βοῦς ἀγελαίας. τοὺς πολλοὺς γὰρ τῶν μαινομένων ἐκ σελήνης νοσεῖν ὑποτίθενται, διὰ τὸ τῶν νυκτερινῶν δεσπόζειν φαντασμάτων.

na, quæ apud Tauros Scythiæ populos colitur. Vel, a parte [totum intelligendo,] gregum & armentorum præſes. Vel, quia Diana eſt eadem cum Luna, & tauris vehitur: quam etiam Ταυρωπὸν vocant, i. e. taurino vultu præditam. [Sophocles:] *Certe te Taurivaga Diana incitavit in boves armentales.* Plerisque enim inſanis lunam morbi cauſam eſſe putant, quod nocturnis ſpectris præſit.

Ταυροβόλος. ἡ Ἀθηνᾶ.

Ταυροβόλος. Taurobolos. Epithetum Minervæ.

Ταυροκέρκουροι. ποτάμια πλοῖα.

Ταυροκέρκουροι. Taurocercuri. Fluvialia navigia.

Ταυρομένιον. πολίχνιον. καὶ Ταυρομενείτης.

Ταυρομένιον. Tauromenium. Oppidulum. Et Tauromenites, [ejus civis.]

Ταυροπόλον. τὴν Ἄρτεμιν· ὅτι ὡς ταῦρος περιεισι πάντα· ὡς Ἀπολλόδωρος. Ἴστρος δ' ἐν τρίτῳ Ἀτάκτων, ὅτι τὸν ὑπὸ Ποσειδῶνος ἐπιπεμφθέντα Ἱππολύτῳ ταῦρον ἐξοίστρησεν ἐπὶ πᾶσαν γῆν. οἱ δὲ, διότι ἔβαλε. διὸ καὶ Ταυροβόλος. καὶ Ἀθηνᾶ δὲ Ταυροβόλος ἐν Ἄνδρῳ. ὁ γὰρ Ἄνιος δοὺς ταῦρον τοῖς Ἀτρείδαις, ἐκέλευσεν, ὅπου ἂν ἐκ τῆς νεὼς ἅληται, ἱδρύσασθαι Ἀθηνᾶν· καὶ οὕτως εὐπλοήσειν. ὁ δὲ ἐν Ἄνδρῳ ἐξήλατο.

Ταυροπόλον. Tauropolon. [Ita vocant] Dianam, quod ceu taurus omnia circumeat & luſtret; ut Apollodorus ait. Ut Iſter vero libro tertio Miſcellaneorum [auctor eſt,] quod taurum in Hippolytum a Neptuno immiſſum per omnes terras œſtro percitum agitaverit. Ut alii vero, quod eum telis confoderit. Unde & Ταυροβόλος [ſecundum quoſdam dicta fuit.] Et Minerva Taurobolos in Andro [culta fuit.] Anius enim, cum Atridis taurum dediſſet, eos Minervæ ſimulacrum ponere juſſit, quocunque in loco taurus in terram exiliiſſet. Sic enim ſecunda navigatione eos uſuros eſſe dixit. Ille vero in littus Andri exiliit.

Ταῦρος Βηρύτιος, Φιλόσοφος Πλατωνικὸς, γεγονὼς ἐπὶ Ἀντωνίνου τοῦ Εὐσεβοῦς. ἔγραψε περὶ τῆς τῶν δογμάτων διαφορᾶς Πλάτωνος καὶ Ἀριστοτέλους. Περὶ σωμάτων, καὶ ἀσωμάτων· καὶ [2]ἄλλα πλεῖστα.

Ταῦρος Βηρ. Taurus Berytius, Philoſophus Platonicus: qui fuit ſub Antonino Pio. Scripſit de differentia dogmatum Platonis & Ariſtotelis. De corporibus, & incorporeis rebus; & alia plurima.

Ταῦρος. τὸ αἰδοῖον τοῦ ἀνδρός. καὶ ἀταυρώτη, ἡ ἄμικτος, καὶ ἁγνή.

[3]Οἴκαδ' ἀταυρώτη διάξω τὸν βίον.

Ταῦρος. Pudendum virile. Penis. Et ἀταυρώτη, virgo nullum paſſa virum, & innupta. *Innupta ætatem degam domi.*

Ταῦρος. ὄνομα ὄρους.

Ταύρῳ γάρ ἐστι προσφυῶς εἰκασμένοι
Σκιρτῶντι, καὶ ῥιπτοῦντι τοὺς ὀπισθίους
Πόδας [4]εἰς ὕψος· εἶτα δὴ τὸν αὐχένα
Κυρτῶς ὑπεξαιροῦντι.——

Ταῦρος. Taurus. Nomen montis.

Tauro enim eſt omnino ſimilis
Saltanti & jactanti poſteriores
Pedes in altum; deinde vero cervicem
Jugo ſubducenti.

Ταυροφάγον. τὸν Διόνυσον. Σοφοκλῆς ἐν Τυροῖ. [5]ἀντὶ τοῦ, ὅτι τοῖς τὸν διθύραμβον νικήσασι βοῦς ἐδίδοτο. ἢ τὸν [6]ὠμηστήν. ἀφ' οὗ καὶ [7]ἐπὶ τοῦ Κρατίνου μετήνεγκε τὸ ὄνομα [8]Ἀριστοφάνης·

——————Ὅς τις
Ἢ γενναίων ὄργια Μουσῶν μήτ' εἶδεν, μήτ' ἐχόρευσε,
Μήτε Κρατίνου τοῦ Ταυροφάγου γλώττης βακχεῖ' ἐτελέσθη.

[9]Τοὺς περὶ Ἀρίσταρχον, οἰομένους, ὅτι ταῦρος ἦν αὐτοῖς ἔπαθλον, φασὶ ψεύδεσθαι. εἴρηται δὲ παρὰ τὸ Σοφοκλέους ἐκ Τυροῦς· Διονύσου τοῦ Ταυροφάγου. Καὶ ὅτι φίλοινος ἦν· καὶ διὰ τοῦτο ἐπίθετον τοῦ Διονύσου

Ταυροφάγον. Taurivorum. Eſt epithetum Bacchi. Sophocles ἐν Τυροῖ. [Sic autem dictus eſt Bacchus, quod illis, qui Dithyrambo vicerant, bos [pro præmio] daretur. Vel [ταυροφάγον hic ſenſum eundem habet, ac] ὠμηστὴν, i. e. crudivorum. Unde etiam ad Cratinum nomen hoc tranſtulit Ariſtophanes, [ſic inquiens:] *Quiſquis generoſarum Muſarum orgia nec didicit, nec ſaltavit, neque Cratini Taurivori Bacchicis linguæ ſacris initiatus eſt.* Ariſtarchum falli dicunt, putantem, taurum illis fuiſſe præmium. Dictum autem hoc eſt per alluſionem ad illud Sophoclis ἐν Τυροῖ: *Bacchi Taurivori.* Quoniam enim Cra-

1 Ἦ ῥά σε Ταυροπ.——ἀγελαίας] Hæc ſunt verba ipſius Sophoclis loco citato.

2 Καὶ ἄλλα πλεῖστα] Inter hæc erat commentarius in *Gorgiam* Platonis, cujus meminit Gellius lib. VI. *Noct. Att.* cap. XIV. Ad hunc enim Taurum commentarius iſte referendus videtur: vel ſaltem ad Taurum Tyrium, Herodis Attici æqualem, cujus mentionem facit Philoſtratus in *Herode*, pag. 562.

3 Οἴκαδ' ἀταυρ.] Eſt verſus Ariſtophanis in *Lyſiſtrata*, pag. 850. (546. Ed. Baſ. *P.*) ſed ubi pro οἴκαδε legitur οἴκοι δὲ, uti etiam hic apud Suidam ſcribendum eſt.

4 Πόδας εἰς ὕψος] Metrum verſus hujus claudicat, quod in integrum reſtituetur, ſi ſcribas, Πόδας εἰς τὸ ὕψος, &c.

5 Ἀντὶ τοῦ] Has duas voculas expunctas mallem. Nihil enim ad rem faciunt.

6 Ὠμηστήν] Sic rectius MSS. Pariſ. quam priores Edit. quæ habent, ὠμιστὴν, per ι in ſyllaba ſecunda.

7 Ἐπὶ τοῦ Κρατίνου] Et hanc lectionem ex MSS. revocavimus. Ante enim minus recte legebatur, ἐπὶ τοῦ Κρατῖνε.

8 Ἀριστοφάνης] *Ranis*, pag. 229. (145. Ed. Baſ. *P.*)

9 Τοὺς περὶ Ἀρίσταρχον, οἰομ.] Hinc emendandus & ſupplendus eſt Scholiaſtes Ariſtophanis, apud quem hodie male ſic legitur: Τοὺς περὶ Ἀριστόξενον οἰόμενος, ὅτι ταῦρος ἦν αὐτοῖς τὸ ἔπαθλον.

αὐτοῦ περιπηθέασιν. οἱ δὲ ἔτι περιεργότερον τὸν λόγον ἀποδιδόασιν, μητέρα Κρατίνου, ἥτις Βακχεῖα ἐτελέσθη, ἅ εἰσι τοῦ Μοσχοφάγου Διονύσου. ἢ τολμηρόν· ἀπὸ τῶν Βακχῶν.

Ταυρωπόν. τὴν Ἄρτεμιν λέγουσι.

Ταυταγί. παρ' Ἀριστοφάνει ἐν Ὄρνισιν· Εὖγε μωμᾷ ταυταγί.

Ταῦτα [1] ληρεῖς, ὥσπερ ἀπὸ τύμβου πεσών.
Νὴ Δί', αὐτὴ ποῦ 'στι τοίηγ' ἡ Δαρδανίς.

Ταῦτα [2] πράσσων, φάσκ' ἀνὴρ οὐδὲν ποιῶν. Κρατῖνος Ὥραις. ἡ παροιμία ἐπὶ τῶν μηδὲν ποιούντων.

Ταῦτα [3] μὲν πρὸς ἀνδρός ἐστι
Νοῦν ἔχοντος, καὶ φρένας, καὶ
Πολλὰ περιπεπλευκότος,
Μετακυλινδεῖν αὐτὸν αἰεὶ
Πρὸς τὸν εὖ πράττοντα τοῖχον
Μᾶλλον, ἢ γεγραμμένην
Εἰκόν' ἑστάναι, λαβόνθ' ἓν
Σχῆμα. ———

ἀντὶ τοῦ, μηδὲν ἀνύοντα. διότι ἀκίνητον τὸ ἐπιγεγραμμένον τῇ εἰκόνι. Περιπεπλευκότος δὲ, ἀντὶ τοῦ, εἰς πάντα τετριμμένου. ὅμοιον τῷ ἐν Ἀλκμήνῃ Εὐριπίδου·
Οὐ γάρ ποτ' εἴων Σθένελον εἰς τὸν εὐτυχῆ
Χωροῦντα τοῖχον, τῆς δίκης ἀποστερεῖν.

Ταῦτά [4] σοι καὶ Πύθια καὶ Δήλια. ἐπὶ τῶν τὰ τελευταῖα πονούντων. Πολυκράτης γὰρ ὁ Σάμου τύραννος, Ῥήνειαν ἑλὼν, καὶ ἀναθεὶς τῷ Ἀπόλλωνι αὐτὴν, καὶ ἐν Δήλῳ θεὶς ἀγῶνα κάλλιστον, ἠρώτα πέμψας εἰς Δελφοὺς, πῶς δεῖ καλεῖν τὸν ἀγῶνα, Δήλια, ἢ Πύθια. ὁ δὲ χρησμὸς ἔφη· Ταῦτά σοι καὶ Δήλια καὶ Πύθια· σημαίνων, ὅτι εὐθέως ἀποθανεῖται.

Ταῦτά τοι καὶ θαρρῶν αὐτὸς κατά τι ἔθος ἀρχαῖον ἐκέλευσε δι' ἡμέρας τὴν ἱερουργίαν τὴν τεταγμένην δρᾶσαι τῷ Θεῷ. ἀντὶ τοῦ, ἕνεκεν τούτου. καὶ αὖθις· Ταῦτά τοι καὶ τεθνεῶτα ἔθαψεν αὐτὸν ὁ βασιλεὺς ταφῇ θαυμαστῇ. ἀντὶ τοῦ, διὰ τοῦτο.

Ταύτῃ. τούτου ἕνεκεν. ἢ οὕτω. Ταύτῃ τοι οὐ πολὺ ὕστερον παρελύθη τῆς ἀρχῆς. καὶ αὖθις· Ταύτῃ τοι οὐκ εὐλαβούμενος εἴποιμι. καὶ αὖθις· Καὶ ἐδόκει ταύτῃ γε τοῦ ἀδελφοῦ διαφέρειν. καὶ αὖθις· Ὁ δὲ Βροῦτος ταύτῃ οὐδὲ ἐπείρασε διαβῆναι· ἑτέραν δέ τινα μακροτέραν περιελθόντες.

Ταυτηί. ταύτῃ.

Ταυτηνί. ταύτην.

Ταυτί. ταῦτα.

Ταυτίζομαι. ἰδιοποιοῦμαι.

Ταυτὶ λέγουσα μορμολύττεσθαι δοκεῖς. Ἀριστοφάνης. ἐπὶ τῶν δοκούντων ἐκφοβεῖν.

T A

tinus vini amans erat, ideo Bacchi epithetum ei attribuunt. Alii vero curioſius rei hujus rationem reddunt, dicentes, matrem Cratini ſacris Bacchi Moſchophagi (q. d. Vitulivori) initiatam fuiſſe. Vel [Ταυροφάγον, dictum eſt pro] τολμηρὸν, i. e. audacem: quod a Bacchis ſumptum eſt.

Ταυρωπόν. Taurino vultu præditam. Ita Dianam vocant.

Ταυταγί. [Pro ταῦτα.] Hæc. Apud Ariſtophanem in *Avibus*: *Recte iſta reprehendis.*

Ταῦτα ληρ. *Hæc nugaris, tanquam de ſepulcro delapſus. Sane per Jovem. Sed ubinam eſt tibi Dardanis illa.*

Ταῦτα πρ. *Hæc faciens, dixit aliquis, nihil facies.* Proverbium in eos, qui nihil faciunt.

Ταῦτα μὲν πρ. *Hoc quidem eſt viri cordati, & prudentis, & multa experti, convertere ſe ſemper ad partem feliciorem potius, quam ut pictam imaginem ſtare, eodem ſemper habitu ſervato.* Id eſt, [ſtare otioſum, &c.] nihil proficientem. Imago enim motu caret. Περιπεπλευκότος vero, i. e. In omnibus rebus verſati & exercitati. Simile hoc eſt dicto illi Euripidis in *Alcmene*: *Haud enim unquam ſivi Sthenelum feliciori ſe adjungentem parti, jure ſuo quenquam privare.*

Ταῦτά σοι καὶ Δ. *Hæc tibi & Pythia & Delia.* De iis, qui poſtremo labore defunguntur. Polycrates enim Sami tyrannus, Rhenea capta, eaque Apollini conſecrata, & pulcherrimo certamine in Delo inſtituto, Delphos miſit, qui conſulerent oraculum, quomodo certamen illud eſſet appellandum, Delia ne, an Pythia. Oraculum vero reſpondit: *Hæc tibi & Delia & Pythia*: ſignificans, eum propediem moriturum.

Ταῦτά τοι καὶ θαρρ. *Ideo fiducia etiam plenus ſecundum antiquum quendam morem ſacrificium ſtatutum Deo fieri juſſit.* [Ταῦτα hic dictum eſt pro διὰ ταῦτα,] propterea, ideo. Et iterum: *Propterea Rex magnifice & ſplendide eum ſepeliri juſſit.*

Ταύτῃ. Ideo. Idcirco. *Ideo autem non multo poſt magiſtratu motus eſt.* Et iterum: *Ideo igitur dicere non verebor.* Et iterum: *Brutus vero propterea ne tranſitum quidem tentavit: ſed alia longiore via locum illum circumeuntes*, &c.

Ταυτηί. [Attice, pro ταύτῃ.] Huic.

Ταυτηνί. [Attice, pro ταύτην.] Hanc.

Ταυτί. [Attice, pro ταῦτα.] Hæc.

Ταυτίζομαι. Proprium facio. Mihi vendico.

Ταυτὶ λέγ. *Hæc dicens, te mihi terrorem incutere putas.* Dicitur de iis, qui ſe aliquos terrere putant.

1 Ταῦτα ληρ.] Hæc antea cum præcedenti articulo male cohærebant, quæ non ſolum ſuadente ſenſu, ſed etiam auctoritate MStorum Pariſ. inde ſeparavimus. Sunt autem duo Senarii, qui leguntur apud Ariſtoph. in *Veſpis*, pag. 528. (360. Ed. Baſ. *P.*) Inde autem verſum poſteriorem ſic emendabis:

Νὴ τὸν Δί', αὕτη ποῦ 'στι σοί γ' ἡ Δαρδανίς.

2 Ταῦτα πράσσων, φάσκ.] Non video, quem ſenſum ex verbis hiſce exſculpere poſſis. Quare ſcribendum potius puto,

Ταῦτα πράσσων, φάσκ' ἀνὴρ, οὐδὲν ποιεῖς.

Hanc lectionem in verſione expreſſi.

3 Ταῦτα μὲν πρὸς ἀνδρ.] Hæc ſunt verba Ariſtophanis in *Ranis*, pag. 237. (151, 152. Ed. Baſ. *P.*)

4 Ταῦτά σοι καὶ Πύθ.] Confer Noſtrum ſupra v. Πύθια: ubi idem proverbium refertur.

Ταυτὶ

Ταυτὶ [1] μὲν εἰκάσμεσθα, κατὰ τὸν Αἰσχύλον,
Τὰ δ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς.
ὁ Αἰσχύλος Λιβυστικὴν αὐτὴν καλεῖ παροιμίαν.

Ὧδ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος,
Πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν αἰετὸν
Εἰπεῖν, ἰδόντα μηχανὴν πτερώματος·

Τὰ δ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτεροῖς
Ἁλισκόμεσθα. ——————

Καὶ ἡμεῖς οὖν, φησὶν, οὐχ ὑπ' ἄλλων πάσχομεν ταῦτα, ἀλλὰ τῇ αὑτῶν γνώμῃ. Τοῖς αὑτῶν πτεροῖς. ἀντὶ τοῦ, ἑαυτοῖς ταῦτα πεποιήκαμεν.

Ταυτὶ μὲν εἰκ. *Hæc ipſi commenti ſumus; &, ſecundum Æſchylum, Hæc non ab aliis, ſed a pennis propriis.* Æſchylus enim proverbium hoc vocat Libyſticum.

Ut fabula Libyſtica fert,
Aquilam ſagitta arcu emiſſa ictam,
Dixiſſe, pennas, quibus inſtructa erat ſagitta, conſpicatam:
Hæc non ab aliis; ſed noſtris pennis
Capimur.

Quare, inquit, & nos non ab aliis mala hæc patimur; ſed ipſi eorum auctores ſumus. *Noſtris pennis:* i.e. Ipſi nobis mala hæc creavimus.

Ταυτοέπεια. καὶ ταυτοεπεῖν, ταυτολογεῖν.

Ταυτοέπεια. Ejuſdem ſermonis iteratio, crebraque repetitio. Et ταυτοεπεῖν. Rem eandem iterare, crebroque repetere.

Ταυτόν. [2] τοῦτο τριχῶς διαιρεῖ Ἀριστοτέλης ἐν τοῖς Τοπικοῖς. πρὸς δὲ τούτοις τοῖς τρισὶ καὶ τέταρτόν τινα προστίθεται, τὸν κατ' ἀναλογίαν, πορρώτερον ὄντα τῶν τριῶν. οἱ δὲ τρεῖς εἰσιν οὗτοι. Ταυτὸν γὰρ, τὸ μὲν κατ' ἀριθμὸν λέγεται· τὸ δὲ, κατ' εἶδος· τὸ δὲ, τῷ γένει. Ἀριθμῷ ταυτά ἐστιν ἀλλήλοις, ὧν ὀνόματα πλείω· τὸ δὲ πρᾶγμα τὸ ὑπ' αὐτῶν σημαινόμενον, ἕν· οἷά ἐστι τὰ πολυώνυμα. ἀριθμῷ γὰρ ἓν τὸ λώπιον, καὶ ἱμάτιον· ὅτι τοῦ αὐτοῦ καὶ ἑνὸς κατ' ἀριθμόν ἐστι δηλωτικά. κἂν λόγος δὲ, κἂν ὄνομα ταυτὸν σημαίνῃ, ἓν κατ' ἀριθμὸν καὶ τοῦτο. κἂν λόγοι πλείους σημαίνωσι ταυτὸ, καὶ ταῦτα τῷ ἀριθμῷ ταυτά. [3] τῷ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναι ἐστὶν, οὐ τοῖς ὀνόμασι σημαντικοῖς. συνελόντι φάναι, κατ' ἀριθμὸν, ὡς τὰ πολυώνυμα, λώπιος, ἱμάτιον. Κατ' εἶδος, ὡς Σωκράτης, καὶ Πλάτων. Κατὰ γένος, οἷον, ἄνθρωπος, ἵππος. ζῶα γὰρ ἄμφω. κατ' ἀναλογίαν, ὡς καρδία, καὶ πηγὴ, καὶ μονάς. ὡς γὰρ ἔχει ἡ πηγὴ πρὸς [4] ποτὸν· οὕτω καὶ μονὰς ἐν ἀριθμῷ, καὶ καρδία ἐν ζώῳ. ὄψις [5] ἐν ὀφθαλμοῖς· νοῦς ἐν ψυχῇ. νηνεμία, καὶ γαλήνη, ἡ αὐτή. ὃ γὰρ γαλήνη ἐν θαλάσσῃ, τοῦτο νηνεμία ἐν ἀέρι. ἡσυχία γὰρ ἄμφω.

Ταυτόν. Idem. Ariſtoteles in *Topicis* hoc trifariam dividit. His vero tribus modis quartum etiam addit, qui ſecundum analogiam, ſive ſimilitudinem, dicitur: qui remotior eſt cæteris. Tres autem modi ſunt iſti. Idem quid eſt, vel numero, vel ſpecie, vel genere. Numero eadem ſunt inter ſe; quorum nomina plura ſunt; res vero, quæ ab illis ſignificatur, eadem: qualia ſunt ea, quæ plura nomina habent. Numero enim idem eſt λώπιον, & ἱμάτιον. Utrumque enim nomen unam & eandem numero veſtem ſignificat. Sive autem oratio, ſive nomen idem ſignificet; & hoc numero Idem eſt. Sive plures orationes idem ſignificent; hæc quoque numero ſunt eadem. Numero enim iiſdem eſſe licet, ſive nomina, ſive orationes idem ſignificent. Et, ut breviter dicam, numero eadem dicuntur polyonyma, ſive, quæ plura nomina habent: ut, veſtis; quam Græci λώπος & ἱμάτιον vocant. Specie [eadem ſunt,] ut, Socrates & Plato. Genere, ut homo, equus. Utrumque enim eſt animal. Secundum ſimilitudinem, ut cor, fons, & unitas. Ut enim ſe habet fons ad fluvium; ſic etiam unitas in numero, & cor in animali. [Pariter,] viſus in oculis, & mens in anima, [ſimilitudinem quandam inter ſe habent, & eatenus ſunt eadem. Sic etiam,] νηνεμία & γαλήνη, (quorum illud tranquillitatem aeris; hoc vero tranquillitatem maris ſignificat) idem ſunt. Quod enim eſt γαλήνη in mari; hoc νηνεμία eſt in aere. Utrumque enim tranquillitatem ſignificat.

Ταυτὸν πέπονθα τῷ τῆς παροιμίας, τὸ σὸν ὄναρ σοι διηγούμενος. Ὅτι μὲν οὐχ ἑκόντες, (ὀκνῶ γὰρ εἰπεῖν ὡς ἄκοντες) τὸν καλόν τε καὶ ἀγαθὸν πρὸς ὀλίγον ἡμῶν ἐπετρέψαμεν χωρισθῆναι, τεκμαίρῃ δή ποθεν. ἴσως δ' ἄν μοι καὶ σοὶ γένοιτο, καὶ αὐτῷ δὲ πρὸς παραμυθίαν μικρὸν, εἰ σοῦ μὲν ἐκεῖνος, ἡμεῖς δὲ δι' ἐκείνου σοῦ τύχωμεν. [6] ἔστι δέ μοι τούτων οὐδὲν ὑπὲρ αὐτοῦ πλέον πρὸς σὲ καθήκει λέγειν. οἶσθα. δήπουθεν. εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, Τὸ σὸν ὄναρ σοι διηγούμενος.

Ταυτὸν πέπονθ. *Idem accidit mihi, quod proverbio dicitur: Tuum ſomnium tibi narro. Quod autem non ultro (non enim audeo dicere, inviti) bonum & egregium illum virum a nobis parumper diſcedere permiſerimus, conjicis utique. Fortaſſis autem & mihi & tibi, quinetiam ipſi parvum aliquod ſolatium fuerit, ſi ille quidem te, nos vero per illum te potiamur. Nihil vero præterea de eo tibi dicere me decet. Noſti nimirum ipſe. Si enim eum tibi nunc indicem, id mihi evenerit, quod proverbio dicitur: Tuum tibi narro ſomnium.* Port.

1 Ταυτὶ μὲν εἰκάσμ.] Portus ad hunc locum: *Senarii ſunt, quorum auctor incertus.* At ſunt Ariſtophanis *Avibus*, pag. 579. Confer Noſtrum ſupra, v. Οὐχ ὑπ' ἄλλων; & Gatak. in *Miſcellan.* pag. 538, 539.

2 Ταυτόν. τοῦτο τριχῶς διαιρεῖ Ἀριστ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſumpta ſunt ex Alexandro Aphrod. in lib. 1. *Topic.* Ariſtot. pag. 32.

3 Τῷ γὰρ ἀριθμῷ τοῖς αὐτ. εἶναι ἐσ. οὐ τ. ὀν. σημ.] Locus hic apud Alexandrum Aphrodiſienſem ſic legitur, τῷ γὰρ ἀριθμῷ τοῖς αὐτοῖς εἶναι ἐστι τούτοις τοῖς ὀνόμασιν ἢ λόγοις εἶναι σημαντικοῖς. Sed neutra lectio ſanum ſenſum habet.

4 Πρὸς ποτόν] Alex. Aphrod. recte, πρὸς ποταμόν.

5 Ὄψις ἐν ὀφθαλμοῖς, νοῦς ἐν ψυχῇ] Alex. Aphrod. plenius: πάλιν ὄψις καὶ νοῦς κατ' ἀναλογίαν ταυτά, τῷ, ὃν λόγον ἔχει ὄψις ἐν ὀφθαλμοῖς, τοῦτον ἔχειν νοῦν ἐν ψυχῇ. Hinc Suidam ſupplere potes.

6 Ἔστι δὲ μοι] Et ſenſus & conſtructionis gratia ſcribendum eſt, ἔτι δὲ, &c.

Ταυτὸν[1] ἐποίησε τοῖς θηρῶσι τὰς ἐγχέλυς· οἱ τῷ θρίῳ τῆς κράδης προσχρώμενοι, καὶ τὸν βόρβορον ἀναταράξαντες, τῆς θήρας τυγχάνουσι. κἀκεῖνος συγχεῖ τὰ δημόσια, καὶ ἀναφυρᾷ, βουλόμενος τούς τε ἀδελφοὺς καὶ τοὺς προεστηκότας εἰς ταυτὸ συμβαλεῖν.

Ταυτότης. ἡ ὁμοιότης. Πισίδης·

Τῇ ταυτότητι συγχυθεὶς τῶν δακρύων.
Καὶ τὴν χαρὰν γὰρ πολλάκις χαρὰ τρέφει·
Καὶ δάκρυσίν τις ἐξεγείρει δάκρυα.

Ταυτότητος. ἀπαραλλάκτου φύσεως.

Ταφήϊον.[2] ἐντάφιον.

Τάφιος. ἐθνικόν. ὁ λῃστής.

Τάφος. καὶ τὸ παρὰ τοῖς θύταις σημεῖον. καὶ τὸ περίδειπνον. [3]Ὅμηρος·

—— Τάφον Ἕκτορος ἱπποδάμοιο.

οὐ τὸν τύμβον.

Ταφόσιρις.[4] ὄνομα κύριον.

Ταφρεῦσαι. διορύξαι. περισκάψαι.

Τάφρος. τὸ περὶ τὸ τεῖχος ὄρυγμα. καὶ τάφρη, παρ' Ἡροδότῳ, θηλυκόν. Ὀρύξαντες τάφρην εὐρείην, ἐπέτειναν ξύλα ἀσθενέα ἐπ' αὐτῆς.

Τάχα. ἴσως. ἢ ταχέως. ἢ τυχόν.

Ταχεινός. ὁ ὀξύς. ὁ ταχύς.

Τάχιον. Ταχύ, ἀντὶ τοῦ ταχέως. ἔστι παρὰ πολλοῖς τῶν παλαιῶν. παρ' Ὁμήρῳ δὲ τάχιστα, ἀντὶ τοῦ ταχέως. καί,

—— Λῦσεν[5] δ' ἀγορὴν αἰψηρήν.

ἀντὶ τοῦ, αἰψηρῶς, ταχέως.

Ταχυβάμονας[6] ὅρκους. Ἀρίσταρχος κατ' ἀντίφρασιν ἀκούει, ἀντὶ τοῦ βραδεῖς. βέλτιον δὲ τοὺς ἐν[7] ἑτέρῳ τινὶ γινομένους νοεῖν. ἀβλαβεῖς γὰρ οἱ ἐπιορκήσαντες. ὅθεν καὶ παροιμία· Ἀφροδίσιος ὅρκος οὐκ ἐμποίνιμος.

Ταχυβούλοις.[8] ἀντὶ τοῦ ταχέως μεταβαλλομένοις. προπετέσιν. ἀπερισκέπτοις. κωμῳδοῦνται δὲ οἱ Ἀθηναῖοι ὡς τοιοῦτοι, καὶ ὅτι ταχέως μετανοοῦσιν ἐν οἷς βουλεύονται.

Ταχυναυτεῖ. ταχέως πλεῖ. [9]Αὗται αἱ ἱεραὶ τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι, καὶ ταχυναυτοῦσαι.

Ταχύς.

Ταχὺς[10] δ', ὅταν εἰς ἄπορον ἐμπέσῃς,
Ἐπ' ἄλλο πήδα νόημα φρενός.

Οὗ πόρον οὐκ ἔστιν εὑρεῖν, ἄπορον λέγει. σκώπτειν δὲ διὰ τούτων βούλεται τὸν Σωκράτην, ὡς χλευαζό-

Ταυτὸν ἐποίησε τ. *Idem fecit, quod illi, qui venantur anguillas: qui foliis ficus utentes, & lutum turbantes, prædæ fiunt compotes. Et ille Rempub. confundit & perturbat, fratres & Magiſtratus inter ſe committere volens.*

Ταυτότης. Identitas: [ſi barbare ſic loqui liceat.] Similitudo. Piſides: *Similitudine lacrymarum confuſus. Etenim lætitiam ſæpe lætitia nutrit, & lacrymis aliquis excitat lacrymas.*

Ταυτότητος. [Rei, quæ ſemper eadem permanet.] Naturæ immutabilis.

Ταφήϊον. Sepulcrale. Ad ſepulturam pertinens.

Τάφιος. Taphius. Gentile nomen. Latro. Prædo.

Τάφος. [Non ſolum ſepulcrum ita vocatur, ſed] & ſignum aliquod apud aruſpices, [quod in extis cernitur.] Item, epulum funebre. Homerus: *Epulum funebre Hectoris equorum domitoris.* Non [enim Poeta per τάφον eo loco intelligit] ſepulcrum.

Ταφόσιρις. Taphoſiris. Nomen proprium.

Ταφρεῦσαι. Perfodere. Ducere foſſas.

Τάφρος. Foſſa murum cingens. Et τάφρη apud Herodotum legitur fœminino genere. *Cum autem foſſam latam fodiſſent, infirma ligna ſuper ipſam extenderunt.*

Τάχα. Fortaſſe. Vel, celeriter. Vel, caſu.

Ταχεινός. Citus. Celer. Velox.

Τάχιον. Citius. [Et] ταχύ, pro ταχέως, cito, celeriter. Apud multos veterum legitur. Apud Homerum vero τάχιστα [reperitur,] pro ταχέως, celeriter. Et, *Dimiſerunt vero concionem celerem.* Pro, celeriter.

Ταχυβάμονας ὅρκους. Cito tranſiens jusjurandum. Ariſtarchus per antiphraſin intelligi putat jusjurandum tardum. Sed præſtat accipere pro jurejurando amantium. Illis enim perjurium non nocere creditur. Unde etiam proverbium: *Jusjurandum amantium pœnæ non eſt obnoxium.*

Ταχυβούλοις. Celeriter conſilia mutantibus. Temerariis. Inconſideratis. Athenienſes enim a Comicis perſtringuntur ut tales, & quos cito conſiliorum pœniteat.

Ταχυναυτεῖ. Celeriter navigat. *Iſtæ triremes ſacræ & publicæ, quæ utilitate & neceſſitate Reip. exigente peregre mittuntur, & mare celeriter emetiuntur.*

Ταχύς. Citus. Celer. Velox. [Ariſtophanes:] *Celeriter vero, cum in difficultatem aliquam incideris, ad aliud commentum tranſili.* Ἄπορον vocat id, ex quo ſe aliquis expedire non poteſt. Per hæc autem Socratem deridet, ut qui in diſputationibus cavillaretur,

1 Ταυτὸν ἐποίησε τοῖς θηρ.] Confer Noſtrum ſupra v. Ἐγχέλεις.
2 Ταφήϊον] Homerus Odyſſ. Β. 99.
3 Ὅμηρος] Il. Ω. v. ult.
4 Ταφόσιρις] Eſt nomen urbis, de qua vide Stephanum Byzantium.
5 Λῦσεν δ' ἀγ.] Homer. Il. Τ. v. 276.
6 Ταχυβάμονας ὅρκ.] Confer Noſtrum ſupra v. Ἀφροδίσιος ὅρκος.
7 Ἐν ἑτέρῳ] Scribendum eſſe ἐν ἔρωτι, ut habet Heſychius, & alii jam ante monuerunt.
8 Ταχυβούλοις. ἀντὶ τοῦ ταχέως μεταβ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 401. (286. Ed. Baſ. *P.*)
9 Αὗται αἱ ἱεραὶ τρ.] Illuſtrationem loci hujus pete ex ipſo Suida v. Πάραλος, ubi hæc ipſa verba leguntur.
10 Ταχὺς δ', ὅταν εἰς ἄπ.] Hæc ſunt verba Ariſtoph. *Nubibus*, pag. 167. (98. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam.

μενον

μενον ἐν ταῖς συζητήσεσι, καὶ μεθιστάμενον ὑπὸ τῆς στενοχωρίας. διδάσκει δὲ αὐτὸν, ὅτι, ἐὰν ἀπορήσῃς εἴς τι, ταχέως ἐπ' ἄλλο πήδα νόημα. ὁ δὲ ὑποτιθέμενος ἄλλῳ, δηλονότι αὐτὸς ἐν πείρᾳ γενόμενος τῶν ὅσα λέγει, ὑποτίθεται.

Ταινάρειον κακόν. τὸ μέγα, καὶ παρανομούμενον[1] εἰς ἱκέτας. οἱ γὰρ Λακεδαιμόνιοι καταφυγόντας τοὺς Εἵλωτας εἰς Ταίναρον ἀπέκτειναν. καὶ Ταιναρείτης, ὁ πολίτης.

Ταίναρον.[2] ἀκρωτήριον Λακωνικῆς, ἐν ᾧ στόμιον ἦν κατάγον εἰς ᾅδου. ἔνθα καὶ Ποσειδῶνος ἱερὸν Ἀσφαλίου. ἐκεῖσε δὲ τοὺς Εἵλωτας ἱκέτας καθεσθέντας ἐν τῷ ἱερῷ τοῦ Ποσειδῶνος, οὐδὲν δείσαντες ἀνεῖλον οἱ Λακεδαιμόνιοι· καὶ διὰ τοῦτο ἔδοξαν ἐναγεῖς εἶναι. Ἀριστοφάνης·

Αὐτοῖς ὁ Ποσειδῶν, οὑπὶ Ταινάρου Θεὸς,
Σείσας, ἅπασιν ἐμβάλοι τὰς οἰκίας.

Ταινίαι.[3] ἐπὶ μὲν ἀνθρώπων, τὰ πεζίτια, στέμματα, στεφάνη, ζώνη. ἐπὶ δὲ ξύλων, τὰ κυμάτια. καὶ ταινίδιον, τὸ στέμμα. Αἰλιανός· Ὁ δὲ ἐκρυέντος τοῦ αἵματος παραλειφθεὶς ἐντάφιον ἑαυτῷ τρόπον τινὰ τὸ δυστυχὲς ταινίδιον ἐπήγετο. περὶ Μαξίμου λέγει τοῦ Ῥωμαίων στρατηγοῦ, τοῦ ἀποσπάσαντος ἀπὸ τῆς κεφαλῆς Ἀννίβου τὸ στέμμα.

Ταινίαι. λίνα εἰς λεπτὰ διακεκομμένα. Αἰλιανός·[4] Τὴν νηδὺν καὶ τὸν θώρακα πάντα καταδήσει ταινίαις. ἢ, διάδημα ἱματίου.

Ταινία[5] Ὁ δὲ Μίλων ὁ παγκρατιαστὴς περιεδεῖτο τῷ μετώπῳ χορδὴν, καθάπερ ταινίαν, ἢ στέφανον· κατέχων δὲ ἐντὸς τῶν χειλέων τὸ ἆσθμα, καὶ ἐμπιπλὰς αἵματος τὰς ἐν τῇ κεφαλῇ φλέβας, διέρρηγνυεν ὑπὸ ἰσχύος τῶν φλεβῶν τὴν χορδὴν, καθάπερ πάπυρον. καὶ τῆς δεξιᾶς χειρὸς τὸ μὲν εἰς τὸν ἀγκῶνα ἐκ τοῦ ὤμου παρ' αὐτὴν καθίει τὴν πλευράν· τὸ δὲ ἀπὸ τοῦ ἀγκῶνος ἔτεινεν ἐς εὐθὺ τῶν δακτύλων, τὸν μὲν ἀντίχειρα ἀνιστρέφων εἰς τὸ ἄνω, τῶν λοιπῶν δὲ ἀλλήλοις ἐπικειμένων κατὰ στοῖχον. τὸν ἐλάχιστον οὖν τῶν δακτύλων κάτω γινόμενον οὐκ ἀπεκίνησεν ἄν τις βιαζόμενος. ἀπέθανε δὲ οὗτος ἐπιτυχὼν ξύλῳ ξηρῷ, σφῆνας ἔχοντι διϊστῶντας αὐτό· ὁ δὲ ὑπὸ λισθαίνουσί τε οἱ σφῆνες· κἀκεῖνος ἐχόμενος ὑπὸ τοῦ ξύλου, λύκων ἐγένετο εὕρημα.

Ταινιοῦντος. στεφανοῦντος. Προσιόντες δὲ αὐτῷ ἐταινίαζον οἱ στρατιῶται, καὶ ἀνέδουν.

Τέγεα. πόλις. καὶ Τεγεάτης, ὁ ἀπ' αὐτῆς.

Τέγγε. βρέχε.

Οἴνῳ[6] πνεύμονα τέγγε·
Φίλης δ' ἀπέχου Κυθερείης.

Τέγγεσθαι. εἴκειν. ἐνδιδόναι. καὶ τέγγει. βρέχει, μαλάττει. ἐν[7] Ἐπιγράμματι·

& ab adverſariis ad anguſtias redactus ad aliam quæſtionem tranſiliret. Docet autem ipſum, ut, ſi aqua ipſi hæreat, celeriter ad aliud commentum tranſiliat. Qui autem alteri aliquid præcipit, ea nimirum, quæ ipſe expertus eſt, ei præcipere cenſetur.

Ταινάρειον κακόν. Tænarium malum. Id eſt, magnum, & quo ſupplices violantur. Lacedæmonii enim Helotas, qui in Tænarum confugerant, interfecerunt. Et Tænarites, civis Tænari.

Ταίναρον. Tænarum. Laconiæ promontorium, in quo erat oſtium, per quod ad Inferos deſcendebatur. Illic etiam erat Neptuni Aſphalii templum; in quo Lacedæmonii Helotas ſupplices ſedentes nihil veriti interfecerunt, & eam ob cauſam piaculo ſe obſtrinxiſſe viſi ſunt. Ariſtophanes: *Et Neptunus, Tænari Deus, concuſſa terra omnes ædium ruina opprimat.*

Ταινίαι. Cum de hominibus dicitur, ſignificat faſcias, diademata, coronas, zonas. Cum vero de lignis, idem quod κυμάτια. Et ταινίδιον, parva faſcia, corona. Ælianus: *Ille vero ſanguine profluente collapſus, ſepulcrale quodammodo ornamentum, infelicem illam coronam ſibi impoſuit.* De Maximo Romanorum Imperatore loquitur, qui coronam ab Annibalis capite detraxerat.

Ταινίαι. Tæniæ. Faſciæ. Lintea in minuta fruſtra diſſecta. Ælianus: *Ventrem & thoracem totum circumligabit faſciis.* Ταινία & vinculum veſtis ſignificat.

Ταινία. Faſcia. Vinculum. Tænia. *Milo pancratiaſtes frontem nervo tanquam faſcia vel corona incingebat: continens deinde intra labia ſpiritum, cum venæ capitis ſanguine plurimo intumuiſſent, venarum robore nervum tanquam papyrum rumpebat. Ac ubi porrecta dextera cubitum lateri admoviſſet, erectoque pollice reliquos digitos junctim intendiſſet, nemo erat qui minimum ullo niſu a cæteris abjungere poſſet. Idem morte tali periiſſe fertur. Conſpicatus truncum aridum, cuneis immiſſis hiantem, robore fretus manibus ſuis eum dividere conatus eſt. Verum excidentibus cuneis a ligno retentus, luporum præda fuit.*

Φρονήματος καθίησι τὰς χεῖρας ὡς διαῤῥήξων. ὁ-

Ταινιοῦντος. Faſcia cingentis. Coronantis. *Milites vero accedentes caput eius diademate cinxerunt.*

Τέγεα. Tegea. Urbs. Et Tegeates, ejus civis.

Τέγγε. Riga. Madefac. *Vino riga pulmones: ſed a blanda abſtine Venere.*

Τέγγεσθαι. [Rigari. Emolliri.] Cedere. Remittere. Et τέγγει, rigat, humectat, emollit.

1 Εἰς ἱκέτας] An potius εἰς οἰκέτας, ut legitur in Vaticana Proverbiorum Appendice? Sic videtur. Εἵλωτες enim, de quibus hic agitur, ſervi erant. Vide tamen articulum ſequentem, ubi itidem ἱκέτας legitur.

2 Ταίναρον. ἀκρωτήριον Λακ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 395.

3 Ταινίαι. ἐπὶ μὲν ἀνθρ.] Eadem leguntur ſupra v. Πεζίτια.

4 Τὴν νηδὺν καὶ τ.] Confer Noſtrum v. Ἀναδοῦσι, v. Καταδήσει, & v. Στέμματα.

5 Ὁ δὲ Μίλων ὁ παγκρατιαστὴς περιεδ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Pauſaniæ in *Eliac. Poſter.* pag. 369, 370. eademque leguntur ſupra v. Μίλων.

6 Οἴνῳ πνεύμονα τ.] Ex Anacreonte, ut puto.

7 Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. xx. ut Portus etiam obſervaverat.

Νῆά

Νῆά σοι, ὦ πόντου βασιλεῦ, καὶ κοίρανε γαίης,
Ἀντίθεμαι Κρέοντος μηκέτι τεγγομένην.

Τέγξω. βρέξω.

Τεγεσταῖοι. ὄνομα ἔθνους. καὶ θηλυκῶς, Τεγέστη, ὄνομα πόλεως.

Τέγος. στέγη ἢ ὑπερῷον. δωμάτιον. οἰκία πρόσγειος.

Τεγχάρων[1].
Δραχμῆς μὲν αὐλεῖ, τεγχάρων δὲ παύεται.
ἐν τῷ Ἀρκάδιος ἄγγελος.

Τεήν. τὴν σήν. Τεὴν διφῶσα καλιήν.

Τεΐν. σοί, Δωρικῶς. ἐν Ἐπιγράμμασι·
Νικήσας ἀνέθηκε τεῒν περικαλλὲς ἄγαλμα.

Τεθέντων. ἀντὶ τοῦ, ληφθέντων, ὁμολογηθέντων, συγχωρηθέντων. Φησὶ γὰρ Ἀριστοτέλης· Συλλογισμός ἐστι λόγος, ἐν ᾧ τεθέντων τινῶν.

Τεθεωρημένη. ζητητικὴ τῆς ἀληθοῦς γνώσεως. [2]Ὁ μὲν οὖν Ἀρκεσίλαος ὁ Φιλόσοφος, νωθρὸς τὴν φύσιν καὶ χασμώδης, ἐν δὲ τῇ τέχνῃ τεθεωρημένος, εἰπὼν, τὴν Γεωμετρίαν αὐτοῦ χάσκοντος εἰς τὸ στόμα ἐμπτῆναι.

Τεθεικότες. [3]ἀποβαλόντες. [4]Ἰώσηπος· Οἱ δὲ πρὸς τὸ ἔργον διηρημένοι, τὰ πολλὰ τεθεικότες τῶν ὅπλων.

Τεθηγμένον. ἠκονημένον.

Τεθηλότα. θάλλοντα. Ἐστεφανωμένοι, κλῶνάς τε δάφνης τεθηλότας σείοντες.

Τεθηλυμμένων, καὶ ἐκτεθηλυμμένων.

Τέθηπα. καταπέπληγμαι. θαυμάζω.

Τεθηπότες. ἐπτοημένοι. δειλιάσαντες.

Τέθμια. [5]νόμος. καὶ τέθμια, νόμιμα.

Τέθναθι. προστακτικόν.

Τεθνεῶτα. καὶ τεθνειώτων, ἀποθανόντων. Τεθνεώτων δὲ πολλῶν, καὶ σαλευόντων ὑπὲρ τοῦ ζῆν ἐπὶ λεπταῖς ἐλπίσι. καὶ κλίνεται τεθνειὼς, τεθνειῶτος.

Τεθνία.[6] γαστριμαργία πολλή.

Τεθνήσῃ. διὰ τοῦ σ οἱ Ἀττικοί. Οἴμ', [7]ὡς τεθνήσῃ.

Τεθολωμένος.[8] καὶ ἐπὶ χαρᾶς. Φερεκράτης Μυρμηκανθρώποις·
Γελῶντα, καὶ χαίροντα, καὶ τεθολωμένον.
Ἐπὶ λύπης.
Ὑπὸ τῆς ἀνίας ἀπεθολοῦτο ἡ καρδία.

Τέθρια. ἄγρια καὶ ἄγονα φυτά.

Τέθριππον. ἐκ τεσσάρων ἵππων ἅρμα.

Τεθυκώς. εὐχαριστήσας. ἢ θυσιάσας.

In Epigrammate: *Navem tibi, Rex maris, & Princeps terræ, Crantus dedico, quæ [aquis marinis] non amplius madeſit.*

Τέγξω. Rigabo.

Τεγεσταῖοι. Tegeſtæi. Nomen gentis. Et fœminino genere, Tegeſta, nomen urbis.

Τέγος. Tectum. Vel cubiculum in ſuperiore domus parte. Domus parva & humilis. Cella.

Τεγχάρων. [Corrupte, pro τεττάρων, quatuor.] *Drachma data canit: quatuor vero datis tacet.* Vide in v. Ἀρκάδιος ἄγγελος.

Τεήν. [Ionice pro] τὴν σήν. Tuam. *Tuum quærens nidum.*

Τεΐν. Dorice, pro σοί. Tibi. In Epigrammate: *Victor dedicavit tibi pulcherrimum ſimulacrum.*

Τεθέντων. Poſitis. Pro, ſumptis, conceſſis. Dicit enim Ariſtoteles: *Syllogiſmus eſt oratio, in qua poſitis quibuſdam,* &c. Id eſt, conceſſis.

Τεθεωρημένη. Contemplationi addicta. Veræ cognitionis ſtudioſa. *Arceſilaus Philoſophus, natura quidem tardus & oſcitabundus, artis vero Geometricæ contemplationi addictus, dixit, Geometriam ſibi oſcitanti in os involaſſe.*

Τεθεικότες. Qui depoſuerunt. Qui amiſerunt. Joſephus: *Illi vero in opere diſtributi, armis pleriſque depoſitis,* &c.

Τεθηγμένον. Acutum.

Τεθηλότα. Florentem. *Coronati, ramoſque lauri florentes quatientes.*

Τεθηλυμμένων, & ἐκτεθηλ. Effœminatorum.

Τέθηπα. Obſtupeſco. Miror. Admiror.

Τεθηπότες. Obſtupeſcentes. Metu perculſi.

Τέθμια. Leges. Et τέθμια. Inſtituta.

Τέθναθι. Imperativus. Morere.

Τεθνεῶτα. Mortuum. Et τεθνειώτων. Mortuorum. *Multis vero mortuis, & [reliquis] inter tenuem ſpem vitæ & metum mortis fluctuantibus.* Declinatur autem τεθνειὼς, ῶτος.

Τεθνία. Liguritio. Helluatio.

Τεθνήσῃ. Morieris. Attici per σ verbum hoc efferunt. *Hei mihi, ut morieris.*

Τεθολωμένος. Perturbatus. Confuſus. Etiam de gaudio dicitur. Pherecrates *Myrmecanthropis: Ridentem, & confuſum.* Item, de triſtitia & dolore. *Dolore cor ejus turbabatur.*

Τέθρια. Agreſtes & ſteriles plantæ.

Τέθριππον. Quadrigæ.

Τεθυκώς. Qui gratias egit. Vel, qui ſacrificium fecit.

1 Τεγχάρων] Male, pro τεττάρων. Vide ſupra v. Δραχμῆς.
2 Ὁ μὲν οὖν Ἀρκεσίλ.] Hæc ſunt verba Laertii in *Arceſilao*, lib. IV. num. XXXII. eademque leguntur ſupra v. Θεώρημα: ut Pearſonius quoque obſervaverat.
3 Ἀποβαλόντες] Interpretatio hæc, ſaltem in ſubjuncto loco Joſephi, voci τεθεικότες minime convenit.
4 Ἰώσηπος] Lib. VI. *de Bello Jud.* cap. IX. pag. 909.

5 Νόμος] Potius, νόμοι.
6 Τεθνία] Male, pro τενθεία. Vide infra h. v.
7 Οἴμ', ὡς τεθν.] Ariſtophanes *Acharnenſ.* pag. 399. (285. Ed. Baſ. P.) ubi legitur τεθνήσει, quod magis Atticum eſt.
8 Τεθολωμένος. καὶ ἐπὶ χαρ.] Eadem totidem verbis leguntur apud Auctorem Etymologici.

Τεθυμμένος. [1] ὑπὸ πυρὸς ἐκκεκαυμένος. ἢ [2] κεκακωμένος.

Τεθυωμένοι. τεθυμιαμένοι. εὐώδεις.

Τέκεα. τέκνα. καὶ τεκόντες, οἱ γεννήτορες.

——————— Τοῖς [3] τεκοῦσι γὰρ

Οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν.

τουτέστιν, ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγείσθω πόνον εἶναι τὸν κάματον.

Τεκμαιρόμενος. στοχαζόμενος. [4] Ψευδῆ τεκμαιρόμενος ἀληθέσι, καὶ οὐ γενησόμενα εἰκάζων γενησομένοις.

Τεκμήριον. ἀληθινὸν σημεῖον. ἢ τὸ ἄλυτον. καὶ [5] τεκμηριώδης ἀπόδειξις λέγεται, τὸ ἐκ τοῦ καπνοῦ τὸ πῦρ εὑρεῖν καὶ κατανοῆσαι. καὶ ἂν μὲν πάντως ἕπηται τῷ αἰτιατῷ τὸ αἴτιον, τεκμήριον τοῦτο λέγεται. ἂν δὲ μὴ πάντως ἕπηται, σημεῖον ἂν λέγοιτο, τεκμήριον δὲ οὐκέτι· διότι μηδὲ ἄλυτόν ἐστιν. οἷον, ὡς τό, ὠχρά ἐστιν, ἐπειδὴ τέτοκε. Καὶ αὖθις· Ὅτι [6] δὲ δαίμων ἦν ἀνθρωπόμορφος ἡ Θεοδώρα, τεκμηριώσαιτο ἄν τις τῷ μεγέθει σταθμώμενος, ὧν ἐς τοὺς ἀνθρώπους κακῶν ἔδρασεν. ἐν γὰρ τῷ ὑπερβάλλοντι τῶν πεπραγμένων, καὶ ἡ τοῦ δεδρακότος δύναμις εὔδηλος γίνεται. Καὶ αὖθις φησὶ Δαμάσκιος· [7] Ὅρους δὲ ἐτίθετο καὶ τεκμήρια τῶν θείων [8] ἀφωρισμένων στοιχείων, πρὸς τὴν ἀνθρωπείων διάκρισιν· τῆς μὲν φιλοπονίας τὸ ἀνύσιμον ὑπὲρ πάντα λόγον· τῆς δὲ εὐσυνέτου γνώμης τὸ ἐξιστάμενον τῆς ἐμφανοῦς καὶ συνήθους τοῖς πολλοῖς ἀκολουθίας. τοῦ δὲ ἔρωτος αὐτοῦ τὸ [9] παρηρεθισμένον εἰς τὴν τοῦ νοητοῦ κάλλους ἀπόλαυσιν. † Ὁ δὲ κατέδεισεν, ἐπειδὴ ἔγνω τὴν ὁρμὴν αὐτοῦ, καὶ ὅτι τοῖς ἔργοις τὰς ἀπειλὰς ἐτεκμηρίου.

Τέκμησσα. ὄνομα κύριον. ἡ τοῦ Αἴαντος γυνή. καὶ ὄνομα πόλεως. καὶ Τεκμισσεύς, ὁ πολίτης.

Τέκμωρ. τέλος. μόρος. θάνατος.

Τέκος. τέκνον.

Τεκταινόμενος. κατασκευάζων.

Τεκτήνατο. κατεσκεύασε.

Τέκτων. κοινὸς τεχνίτης. ὁ λαοξόος. καὶ ὁ τῶν ξύλων εἰδήμων.

Τελαμών. ὁ ἀναφορεὺς τοῦ ξίφους, καὶ τῆς ἀσπίδος. Ἰάμβλιχος· Περιβαλὼν δὲ περὶ τὰς χεῖρας αὐτοῦ τελαμῶνας, προσέδησε τῇ κλίνῃ. Καὶ ἡ εἰς λεπτὰ κατακεκομμένη ὀθόνη. [10] Ἡρόδοτος· Οἱ δὲ Πέρσαι περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα, καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες.

Τελαμώνιος. ὁ Αἴας.

Τεθυμμένος. Igne uſtus. Incenſus. [A τύφω.] [At τετυμμένος,] verberatus. [A τύπτω.]

Τεθυωμένοι. Suffiti. Fumigati. Odorati.

Τέκεα. Liberi. Filii. Et τεκόντες, genitores, parentes. *Pro parentibus enim ſi quis laborem & moleſtiam ſuſtineat, laboris meminiſſe non oportet.* Vel, cum quis pro parentibus laborem ſuſtinet, ne putet laborem illum eſſe moleſtum.

Τεκμαιρόμενος. Conjiciens. *Falſa conjiciens ex veris, & non futura ex futuris colligens.*

Τεκμήριον. Signum verum. Vel, irrefutabile. Et demonſtratio per τεκμήριον dicitur, cum ex fumo ignis adeſſe colligitur. Et ſi quidem cauſa neceſſario ſequatur cauſatum, tunc ſignum id dicetur τεκμήριον. Si vero non neceſſario ſequatur; ſignum aliquod dicetur σημεῖον, non vero τεκμήριον: quia non eſt irrefutabile. Ut, Pallida eſt, quia peperit. Et iterum: *Theodoram autem [non fuiſſe hominem, ſed] Furiam quandam ſub humana ſpecie, ex magnitudine malorum, quibus homines affecit, facile quis conjiciat. Ex atrocitate enim facinorum vis auctoris palam fit.* Et Damaſcius: *Fines vero conſtituebat & ſigna a divinis ſeparata elementis, ad humanarum rerum diſcretionem: induſtriam nimirum, quæ ſupra quam dici poteſt ad res quaſvis efficiendas valet. Mentis porro prudentiam, a manifeſto & conſueto vulgi more remotam. Amoris denique impetum, quo fertur ad fruendam pulchritudinem rerum, quæ in intellectu verſantur. † Ille vero pertimuit, poſtquam impetum ejus cognovit, & quod minas ex factis æſtimaret.*

Τέκμησσα. Tecmeſſa. Nomen proprium. Ajacis uxor. Et [Τέκμισσα, Tecmiſſa,] nomen urbis, cujus civis dicitur Tecmiſſenſis.

Τέκμωρ. Finis. Mors. Letum.

Τέκος. Filius.

Τεκταινόμενος. Fabricans. Conficiens.

Τεκτήνατο. Fabricavit. Fecit.

Τέκτων. Quivis faber, vel artifex. Lapicida. Item, faber lignarius.

Τελαμών. Lorum enſis, & ſcuti. Jamblichus: *Cum autem loris manus ejus conſtrinxiſſet, eum lecto alligavit.* Item, lintea faſcia, ſive linteum, in minuta fruſta diſſectum, [quo vulnera obligantur.] Herodotus: *Perſæ vero operæ pretium ſe facturos putarunt, [ſi hunc ſervarent,] ulcera ejus curantes myrrha, & faſciis byſſinis obligantes.*

Τελαμώνιος Αἴας. Ajax Telamonius: id eſt, Telamonis filius.

1 Τεθυμμένος] Scribendum eſt τεθυμμένος, per duplex μ: a τύφω.

2 Ἢ κεκακωμένος] Hæc interpretatio pertinet ad τετυμμένος, quod eſt a τύπτω.

3 Τοῖς τεκοῦσι γ.] Hæc ſunt verba Sophoclis *Oedip. Colon.* pag. 289. ut Portus monuit.

4 Ψευδῆ τεκμαιρ.] Fragmentum hoc legitur apud Dionyſ. Halicarnaſſ. lib. VIII. pag. 527.

5 Τεκμηριώδης ἀπόδειξις λέγ.——————ἐπειδὴ τέτοκε] Hæc ſunt verba Philoponi in librum I. Ariſtot. *de Anima*, A. 7. b. eademque leguntur ſupra v. Ἀπόδειξις. Cæterum, pro τεκμηριώσεις ἀπόδειξις, ut priores Editt. habent, τεκμηριώδης ἀπόδειξις repoſuimus; non ſolum ſuadente ſenſu, ſed etiam auctoritate Philoponi, & MSti Pariſ. A.

6 Ὅτι δὲ δαίμων——εὔδηλος γίνεται] Fragmentum hoc excerptum eſt ex Procopii *Hiſtor. Arc.* cap. XVIII. ſed ubi de Juſtiniano Imperatore, non vero Theodora, verba fiunt. Quare compilatorem aliud egiſſe oporter, cum iſta excerperet.

7 Ὅρους δὲ ἐτίθετο καὶ τεκμ.] Hæc deprompta ſunt ex Damaſcii Vita Iſidori Philoſophi, ut monuimus etiam ſupra v. Ὅροι, ubi idem fragmentum legitur.

8 Ἀφωρισμένων] Scribe, ἀφωρισμένα, ut legitur ſupra v. Ὅροι.

9 Παρηρεθισμένον] MS. A. παρεθισμένον.

10 Ἡρόδοτος] Lib. VII. cap. CLXXXI. ubi de Aſonide quodam verba fiunt: ut me monuit amiciſſimus Vaſſius, Collegii Regalis hic apud Cantabrigienſes Socius.

Τελέας· ἐρεῖ ταδί. [1] [2] Ἀριστοφάνης Ὄρνισιν. Ἄνθρωπος ἀστάθμητος, πετόμενος, ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν αὐτῷ μένων. Διαβάλλει τὸν Τελέαν, ὡς πλανήτην. ἀντὶ τοῦ, περὶ τῶν πετομένων ἐὰν ἐρωτήσῃς. ἦν δὲ ὁ Τελέας σκωπτικὸς ἄνθρωπος, καὶ εὐμετάβλητος τοὺς τρόπους. πρὸς γὰρ τῇ κιναιδείᾳ, καὶ ἐπὶ δειλίᾳ καὶ ὀψοφαγίᾳ καὶ νοσφισμῷ καὶ πονηρίᾳ διεβάλλετο. καὶ Πλάτων ἐν Σύρφακι περὶ τοῦ Τελέου φησί· Νοεῖ [3] μὲν ἕτερα, ἕτερα δὲ τῇ γλώττῃ φθέγγεται. ἢ ὅτι πελέας ὄρνεον. τοὺς πετομένους ὄρνεις οὗτος ὁ Τελέας, Ἀριστοφάνης φησὶν, ἐρεῖ.

Τελέθει. γίνεται. καὶ τελέθουσι, γίνονται, θάλλουσι.

Τελενικῆσαι. [4] ἐν Σερίφοις, τὸ κενῶσαι. ἀπὸ Τελενίκου τινὸς, ὡς τὸ εἰκὸς πένητος παντελῶς. καὶ λέγεταί τις Τελενίκειος ἠχώ. ἐκ μεταφορᾶς τῶν κενῶν ἀγγείων.

Τελοῦντα. [5] τελαγμένα.

Τελεώτερον. τὸ τέλειον.

Τελεθῆναι. [6] τὸ ἀναλωθῆναι. οὕτως Ἀντιφῶν.

Τελέσιλλα, ποιήτρια. ἐπὶ [7] στήλης μὲν τὰ βιβλία ἀπέρριπτο, κράνος δὲ τῇ κεφαλῇ περιέθηκε. [8] καὶ γὰρ ὅτι Λακεδαιμόνιοι τοὺς ἐν τῷ ἱερῷ τοῦ Ἄργους καταφυγόντας διέφθειρον, καὶ πρὸς τὴν πόλιν ᾔεσαν, ὡς αἱρήσοντες, τότε Τελέσιλλα τὰς ἐν ἡλικίᾳ γυναῖκας ὁπλίσασα, ὑπήντησεν οἷ προσῄεσαν. ὅπερ ἰδόντες οἱ Λακεδαιμόνιοι, εἰς τοὐπίσω ὑπέστρεψαν, αἰσχρὸν νομίσαντες γυναιξὶ πολεμεῖν, ἃς καὶ τὸ νικᾷν ἄδοξον, καὶ ἡττᾶσθαι μέγα ὄνειδος. εἰς τοῦτο καὶ ὁ χρησμὸς πεπλήρωτο, Ἀργείοις λέγων

Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρρενα νικήσασα
Ἐξελάσῃ, καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
Πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.

Τελεσιουργήσας. εἰς τέλος ἀγαγών. ἐργασάμενος. Πολύβιος· Περὶ τὸ τῆς τάφρου χεῖλος τελεσιουργήσας τὴν πρᾶξιν. καὶ αὖθις· [9] Ἐπ' αὐτὴν τινὰ τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώφρονι μανίᾳ τινὶ ἐς συμπλοκὴν ἐξοιστρούμενοι.

Τελεσιουργόν. τελέως ἀπηρτισμένον. [10] Διὸ καὶ ὅσα ἔγραψεν, εὕροι τις ἂν τὸ μὲν ὑψηλόνουν καὶ τελεσιουργὸν ἔχοντα, τοῖς δὲ ἔπεσιν οὐ πάνυ συνηρμοσμένα.

Τελεσκόμενος. τελειούμενος. πληρούμενος. ἐνθουσιῶν.

Τελέας ἐρεῖ ταδί. *Teleas hæc dicet: Homo eſt avis inconſtans, huc & illuc volitans, animi prorſus incerti & dubii, nec unquam in eodem loco permanens.* Ariſtophanes *Avibus.* Perſtringit Teleam, ut erronem. Erat etiam Teleas cavillator, & irriſor, & homo verſatilis, levique ingenio prædicus. Idem non ſolum ob mores cinædicos, ſed etiam ob timiditatem, voracitatem, ſtudium fraudandi, & improbitatem male audiebat. Et Plato in *Syrphace* de Telea dicit: *Aliud cogitat, aliud vero lingua profert.* Vel, quia πελέας eſt nomen avis.

Τελέθει. Eſt. Fit. Oritur. Et τελέθουσι. Sunt. Fiunt. Oriuntur.

Τελενικῆσαι. [Anonymus] in *Seriphis.* Exinanire. Evacuare. Ductum a quodam Telenico, qui, ut videtur, omnino pauper erat. Dicitur & Echo quædam Telenicia. Per tranſlationem ductam a vaſis inanibus.

Τελοῦντα. Perficientia. Abſolventia.

Τελεώτερον. Perfectius.

Τελεθῆναι. Abſumptum eſſe. Impenſum eſſe. Sic Antiphon.

Τελέσιλλα. Teleſilla, poetria. Huic ſtatua poſita eſt, ad cujus pedes libri jacent: galea vero capiti ejus impoſita eſt. Etenim cum Lacedæmonii, interfectis iis, qui in templum Argorum confugerant, ad urbem capiendam irent; Teleſilla mulieres, quæ per ætatem arma ferre poterant, armavit, & ſic hoſtibus obviam proceſſit. Quod conſpicati Lacedæmonii retro ceſſerunt, turpe ducentes cum mulieribus pugnare, quas & vincere nulla ſit gloria, & a quibus vinci, magnum ſit dedecus. Sic autem completum eſt oraculum, quod Argivis redditum erat: *Sed cum fœmina marem vicerit, & in fugam verterit, gloriamque apud Argivos reportaverit, efficiet, ut multæ Argivarum genas utraſque præ dolore unguibus lanient.*

Τελεσιουργήσας. Qui ad finem perduxit. Qui abſolvit. Qui perfecit. Polybius: *Cum opus circa foſſæ labrum abſolviſſet.* Et iterum: *Velut numinis afflatu impulſi, rem ipſam aggrediebantur, in qua totius negotii cardo ſitus erat, ſana quadam inſania ad prœlium committendum velut œſtro quodam incitati.*

Τελεσιουργόν. Omnino perfectum & abſolutum. [Efficax.] *Quare in iis, quæ ſcripſit, ſublimes quidem & efficaces ſententias, non autem verſuum concinnitatem quis inveniat.*

Τελεσκόμενος. Qui perficitur. Qui completur. Qui ſacris initiatur. Qui afflatu Numinis plenus eſt.

1 Τελέας ἐρεῖ ταδί. Ἀριστοφ.] Hæc confuſa ſunt & turbata, quæ ſic ſcribi & diſtingui debent:

——Τελέας ἐρεῖ ταδί.
Ἄνθρωπος ὄρνις ἀστάθμητος, πετόμενος,
Ἀτέκμαρτος, οὐδὲν οὐδέποτ' ἐν ταυτῷ μένων.

Ἀριστοφάνης Ὄρνισι.

2 Ἀριστοφάνης Ὄρνισι] Pag. 548. [374. Edit. Baſ. P.]

3 Νοεῖ μὲν ἕτ.] Verſus hic Platonis in legem metri peccat, qui apud Scholiaſtam Ariſtophanis ſic legitur:

Νοεῖ μὲν ἕτερα, ἕτερα δὲ τῇ γλώττῃ λέγει.

Recte: dummodo expungas particulam δὲ, quæ tenorem metri interpellat.

4 Τελενικῆσαι ἐν Σερ.] Eadem habet Etymologus: ſed apud quem legitur πλενικίσαι, per ι in ſyllaba penultima, quod magis placet. Photius item in Lex. MS. habet πλενικίσαι. At Heſychius, πλενικῆσαι, ut Suidas. Mirum autem eſt Heſychium τὸ πλενικῆσαι exponere, μὴ κενὸν ποιῆσαι; contra quam Photius, Etymologus, & Suidas: quorum auctoritatem potiorem habendam eſſe judico.

5 Τετασμένα] Interpretatio hæc a ſignificatione vocis τελοῦντα omnino aliena eſt.

6 Τελεθῆναι] Imo, τελεσθῆναι: a τελέω.

7 Ἐπὶ στήλης μὲν τὰ βιβλ.] Idem de ſtatua Teleſillæ teſtatur Pauſanias in *Corinthiacis*, pag. 121. quem confer.

8 Καὶ γὰρ ὅτι Λακεδ.] Eandem hiſtoriam paulo prolixius narrat Pauſanias loco laudato.

9 Ἐπ' αὐτὴν τινὰ τὴν πλ.] Confer Noſtrum ſupra v. Βακχεύων, ubi idem fragmentum legitur.

10 Διὸ καὶ ὅσα ἔγραψ.] Hæc ſunt verba Damaſcii de Iſidoro philoſopho, ut oſtendimus ſupra ad v. Ἐνδιάστροφος, ubi idem fragmentum occurrit.

Τελέ-

Τελέστης, κωμικός. τούτου δράματά ἐστιν, Ἀργὼ, καὶ Ἀσκληπιός· ὥς φησιν Ἀθήναιος [1] ἐν τῷ δ΄. τῶν Δειπνοσοφιστῶν.

Τελεσφόρος. τέλειος μάντις. ἐγγαστρίμυθος.

Τελετή. [2] θυσία μυστηριώδης. ἡ μεγίστη καὶ τιμιωτέρα. ἀπὸ τῶν γινομένων εἰς αὐτὰς δαπανημάτων. τελεῖν γὰρ φαμὲν τὸ δαπανᾷν. καὶ πολυτελεῖς, τοὺς πολλὰ ἀναλίσκοντας. καὶ εὐτελεῖς, τοὺς ὀλίγα.

Τελευταῖον. ἔσχατον.

Τελευτῆσαι. τελέσαι.

Τελεῖν. ἐπιτελεῖν. ποιεῖν. ἢ τὸ δαπανᾷν. ἔνθεν καὶ ἡ τελετή.

Τελεία. Ἥρα Τελεία καὶ Ζεὺς Τέλειος ἐτιμῶντο ἐν τοῖς γάμοις, ὡς πρυτάνεις ὄντες τῶν γάμων. Τέλος γάρ ἐστιν, ὁ γάμος. [3] διὸ καὶ προτέλεια ἐκαλεῖτο ἡ θυσία, ἡ πρὸ τῶν γάμων γινομένη. † [4] Διττὴ δὲ ἡ κατὰ φύσιν ἐπιβάλλουσα τῷ ἀνθρώπῳ τελειότης· ἡ μὲν, γνωστικὴ, ἣν ἐπιστήμην καλοῦμεν· ἡ δὲ, ὀρεκτικὴ, ἣν ἀρετὴν ἐπονομάζομεν.

Τελλίας. [5] ὅτι Τελλίας ὁ Ἀκραγαντῖνος, φιλόξενος ὢν, καταλύσασι ποτὲ πεντακοσίοις ἱππεῦσιν, ὥρα χειμῶνος, ἔδωκεν ἑκάστῳ χιτῶνα καὶ ἱμάτιον.

Τελική. ζήτει ἐν τῷ Ἀρχή.

Τελίνη. ὄνομα πόλεως.

Τέλθειν. ἐν ᾠδῇ τέρπειν.

Τέλμινα, καὶ Τέλμισσα. ὀνόματα πόλεων.

Τέλμα. τόπος πηλώδης, ὕδωρ ἔχων. Μέλει μοι περὶ τῶν τοιούτων [6] οὐδὲν ἧττον, ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων. καὶ Πισίδης·

Χερσοῖ τὰ ῥεῖθρα, τελματοῖ δὲ τοὺς λίθους.

Τέλματα. τὰ πηλώδη καὶ τελευταῖα τοῦ ὕδατος. ἢ, βάθρα. Ἰσαῖος δὲ εἶπε τὰ γεωργήσιμα χωρία. καὶ [7] Ἀριστοφάνης·

Ὄμβριον ὕδωρ ἂν εἴχετ᾽ ἐν τοῖς τέλμασι:

τουτέστι, τοῖς φρέασι.

Τελμισεῖς. οὗτοι οἰκοῦσιν ἐν Καρίᾳ, ἀπέχοντες ξ΄. στάδια Ἁλικαρνασσοῦ, ὡς Πολέμων. Τελμισσὸς δὲ, πόλις ἐν Λυκίᾳ. ἀπὸ Τελμισσοῦ, τοῦ Ἀπόλλωνος, καὶ μιᾶς τῶν Ἀντήνορος θυγατέρων, ᾗ ἐμίγη, εἰς σκύλακα μεταβαλών. διὸ καὶ τερατοσκόπον αὐτὴν ἐποίησεν, ὡς Διονύσιος ἐν Κτίσεσι.

Τελμισεύς. ὁ πολίτης.

Τελέστης. Teleſtes, Comicus. Hujus fabulæ ſunt, Argo, & Æſculapius: ut ait Athenæus lib. iv. *Dipnoſophiſtarum.*

Τελεσφόρος μάντις. Vates verax, & cujus prædictiones ad exitum perducuntur. Engaſtrimythus.

Τελετή. Sacrificium myſticum. Sive, [ſacrificium] maximum, & valde ſolenne. [Sic dictum] a ſumptibus, qui in id impenduntur. Τελεῖν enim eſt, ſumptus facere, vel impendere. Et πολυτελεῖς dicimus ſumptuoſos. Et εὐτελεῖς, eos, qui exiguos ſumptus faciunt.

Τελευταῖον. Ultimum. Extremum. Poſtremum.

Τελευτῆσαι. Perficere. Ad finem perducere.

Τελεῖν. Perficere. Conficere. Elaborare. Vel, impendere, & ſumptus facere. Unde & nomen τελετή: [de quo ante.]

Τελεία. Telea. [Epithetum Junonis.] Juno Telea & Jupiter Teleus colebantur in nuptiis, ut nuptiarum præſides. Τέλος enim dicuntur nuptiæ. Quare & προτέλεια dicebatur ſacrificium, quod ante nuptias fiebat. [Et τελειότης, perfectio.] Duplex autem eſt perfectio, quæ homini ſecundum naturam obtingit: altera, cognitionis; quam vocamus ſcientiam: altera vero appetitionis, quam appellamus virtutem.

Τελλίας. Tellias Agrigentinus, vir valde hoſpitalis, aliquando quingentis equitibus, qui hyberno tempore ad ipſum diverterant, ſingulis tunicam & pallium dedit.

Τελική. Quære in voce Ἀρχή.

Τελίνη. Teline. Nomen urbis.

Τέλθειν. Cantu oblectare.

Τέλμινα καὶ Τέλμ. Telmina, & Telmiſſa. Nomina urbium.

Τέλμα. Palus. Locus cœnoſus. *Minus hæc curo, quam ranas in paludibus.* Et Piſides: *Fluvios in terram convertit; & lapides in paludes.*

Τέλματα. Loca cœnoſa & paluſtria. Vel, fundamenta. Iſæus vero ſic appellavit arva. Et Ariſtophanes: *Pluviam aquam haberetis in paludibus:* Id eſt, in puteis.

Τελμισεῖς. Telmiſenſes. Hi habitant in Caria, ſexaginta ſtadia ab Halicarnaſſo diſtantes, ut tradit Polemon. Telmiſſus autem eſt urbs Lyciæ, [ſic appellata] a Telmiſſo, filio Apollinis, & unius filiarum Antenoris; cum qua rem habuit, in catulum mutatus. Quare & prodigiorum interpretem eam fecit, ut auctor eſt Dionyſius in *Originibus.*

Τελμισεύς. Telmiſenſis. Sive, civis urbis Telmiſſi.

1 Ἐν τῷ δ΄.] Addito numero denario ſcribendum eſt, ἐν τῷ ιδ΄. i. e. libro xiv. Eo enim libro Athenæus fabularum Teleſtis mentionem facit.

2 Τελετή. θυσία μυστηρ.] Athenæus libro ii. pag. 40. Τελετὰς τε τὰς ἔτι μείζους καὶ μετά τινος μυστικῆς παραδόσεως ἑορτὰς, τῶν εἰς αὐτὰς δαπανημάτων ἕνεκα. τελεῖν γὰρ, τὸ δαπανᾷν· καὶ πολυτελεῖς, οἱ πολλὰ ἀναλίσκοντες· καὶ εὐτελεῖς, οἱ ὀλίγα. Hinc Suidas ſua deprompſit.

3 Διὸ καὶ προτέλεια] Vide Heſychium v. Γάμων.

4 Διττὴ δὲ ἡ κατὰ φ.] Hæc ad proprium articulum referenda erant. Pertinent enim ad vocem τελειότης.

5 Ὅτι Τελλίας ὁ Ἀκρ.] Hæc ſunt verba Athenæi, lib. i. *Dipnoſ.* pag. 4. Vide etiam Noſtrum ſupra v. Ἀθήναιος.

6 Οὐδέν] Hæc vox ut ſupervacanea & ſenſum turbans delenda eſt; ut monuimus etiam ſupra v. Μέλει, ubi vide quæ notavimus.

7 Ἀριστοφάνης] *Avibus*, pag. 614. (428. Ed. Baſ. P.)

Τέλος. [1] ἀρχή. [2] πρᾶξις. Τέλος καὶ τὸ διδόμενον τοῖς βασιλεῦσι. Τέλος, καὶ τὸ δαπάνημα. ὅθεν πολυτελὲς, τὸ [3] πολὺ ἀνάλωτον. Τέλος καὶ τὸ πέρας. [4] καὶ ὁ γάμος. ὅθεν καὶ προτέλεια. [5] Τέλος, καὶ τὸ οὗ ἕνεκα. τοῦτο δὲ διττόν. τὸ μὲν, Οὗ· τὸ δὲ, Ὧι. οἷον, τῷ οἰκοδόμῳ τέλος ἐστὶ, τὸ οὗ ἕνεκα, ποιῆσαι σκέπασμα κωλυτικὸν ὄμβρων καὶ καυμάτων· Ὧι δὲ, ἡμῖν. τὸ γὰρ σκέπασμα ἡμῖν ποιεῖ. ἐσμὲν οὖν ἡμεῖς τοῦ οἰκοδόμου τέλος τὸ ὡς ᾧ. ὡσαύτως δὲ θεωρεῖν ἔστι καὶ ἐπὶ πάντων τῶν φύσει συνεστώτων. οἷον, ἡ μὲν ἔφεσις τοῦ θείου, δι' ἣν ἕκαστον τῶν ἐμψύχων ποιεῖ ἄλλο οἷον αὐτὸ, τέλος ἐστὶ τὸ οὗ. τούτου γὰρ ἕνεκεν ἐστὶν ἡ γένεσις. ἐπειδὴ δὲ τὰ σώματα ὄργανα γίνονται ταῖς ψυχαῖς, αἱ ψυχαὶ εἰσὶ τέλη, ὡς ᾧ. ἀναλογεῖ μὲν οὖν τῷ μὲν τεχνίτῃ τῷ οἰκοδόμῳ, ἡ φύσις· τῷ δὲ ἀνθρώπῳ τῷ ἐπιτάττοντι γίνεσθαι τὸ σκέπασμα, ἡ ψυχή· τῷ σώματι δὲ, ἡ οἰκία. οὐ μόνον δὲ ἐπὶ τῶν ζώων τὸ τέλος ἐστὶ διττὸν, τό, τε οὗ, καὶ τὸ ᾧ· ἀλλὰ καὶ ἐπὶ τῶν φυτῶν. καὶ γὰρ ἐν τούτοις ἡ φύσις ὀργανικὸν ποιεῖ τὸ σῶμα πρὸς τὴν χρείαν τῆς ἐν αὐτοῖς ψυχῆς ἀναφερόμενον. ὀργανικὰ γὰρ τὰ τῶν φυτῶν μέρη, ῥίζα, φλοιὸς, ἐντεριώνη, καὶ φύλλα, καὶ τὰ τοιαῦτα. ἐπὶ μὲν οὖν τῶν ἐμψύχων διττὸν τὸ τέλος, ὡς εἴρηται. ἐπὶ δὲ τῶν λοιπῶν οὐκ ἔστιν εὑρεῖν τὸ τέλος διττόν. μέταλλα γὰρ, καὶ λίθοι, καὶ ἁπλῶς τὰ ἄψυχα, προσεχῶς ὑπὸ ψύξεως καὶ θερμότητος γινόμενα, ἐξῃρημένως δὲ ὑπὸ τῆς ὅλης δημιουργίας, ἓν τέλος ἔχει, τὸ οὗ. ἕνεκα γὰρ τῆς κοσμοποιΐας. οὐκέτι μέντοι καὶ τὸ ὡς ᾧ τέλος ἐστὶν ἐν τούτοις. οὐ γὰρ εἰσὶν ὄργανα τούτων, οὐδὲ εἰς χρείαν ψυχῶν τινῶν κατασκευάζεται. † [6] Σημαίνει δὲ τὸ τέλος ἕξ. † [7] Ἀρίστων δὲ ὁ Χῖος τέλος ἔφησεν εἶναι, τὸ ἀδιαφόρως ἔχοντα ζῆν πρὸς τὰ μεταξὺ ἀρετῆς καὶ κακίας, μὴ ἥντινουν ἑαυτοῖς παραλλαγὴν ἀπολείποντα, ἀλλ' ἐπίσης ἐπὶ πάντων ἔχοντα. εἶναι γὰρ ὅμοιον τὸν σοφὸν ἀγαθῷ ὑποκριτῇ. † [8] Διαφέρει δὲ τέλος, καὶ ὑποτελίς. τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι. τοῦ δὲ, μόνον τὸν σοφόν. τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας ἀδιάφορα εἶναι. † Οἱ δὲ εἶπον τέλος εἶναι τὴν ἐπιστήμην, τὸ μετ' ἐπιστήμης ζῆν, καὶ μὴ τῇ ἀγνοίᾳ διαβεβλημένον.

4 Οὕτως ἐβάδιζον ἐν Λιβ.] Confer Noſtrum ſupra v. Σκιάποδες, ubi eadem leguntur.

5 Τετραποδητί] Malim, τετραποδιστί.

6 Τετραπτερυλλίδων] Ex Scholiaſte Ariſtoph. ad *Acharnenſ.* pag. 413. (296. Ed. Baſ. *P.*) Poſt τετραπτερυλλίδων autem addendum eſt, τῶν ἀκρίδων, ut habet modo laudatus Scholiaſtes.

7 Τετραρχία. τεττάρων μερ.] Ex Harpocratione. Confer Luc. Holſten. ad Stephanum, v. Φθία. Cæterum, in prioribus Editt. deeſt articuli hujus caput, ſeu prima vox; quam ex MSS. revocavimus.

8 Ἑσπεῶτιν] Scribe, Ἑστιαιῶτιν. Vide Luc. Holſten. ad Stephanum, v. Ἑστίαια.

πολιτεία, ἐπὶ Ἀλεύα τοῦ Πύῤῥου διῃρῆσθαι φησὶν εἰς δʹ. μοίρας τὴν Θετταλίαν. εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν Τετραρχίαν.

Τετρὰς, τέταρτος. καὶ τέτρασι καιροῖς.

Τετρασκάλμου. Οἱ δὲ Ῥωμαῖοι δόγμα ἔγραψαν, ὅπως οἱ Κρῆτες πάντα τὰ πλοῖα ἕως τετρασκάλμου ἀποπέμψωσιν ἐς Ῥώμην.

Τετραστατῆρος.[1] Ἀριστοφάνης· Εὐαίων ὁ δεξιώτατος γυμνός. κᾆπειτ' ἔλεξε δημοτικωτάτους λόγους· ὁρᾶτε μέν με δεόμενον σωτηρίας τετραστατήρου. ἀλλ' ὅμως ἐρῶ· ἣν παρέχωσι τοῖς δεομένοις οἱ κναφεῖς χλαίνας, ἐπειδὰν ἥλιος τραπῇ, πλευρῖτις ἂν ὑμῶν οὐδέν' ἂν λάβοι ποτέ. οὗτος πένης ἦν ὁ Εὐαίων. ἔστι δὲ ὄνομα κύριον. ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα, ἰέναι καθευδήσοντας ἐς τοὺς ἀπονενιμμένους τῶν σκυτοδεψῶν. ἣν δ' ἀποκλίνῃ τῇ θύρᾳ, χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω, καὶ τοὺς ἀλφιταμοιβοὺς τρεῖς χοίνικας δεῖπνον παρέχειν.

Τετραφαλαγγαρχία. αἱ δύο [2] διφαλαγγίαι, ἄνδρες ϛτπδʹ. τοῦτο γὰρ ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

Τετραφάληρον.[3] τέσσαρας φάλους ἔχων.

Τέτραχα. ἐπίῤῥημα, ἀντὶ τοῦ τετραχῶς. ὡς, [4] Πένταχα κοσμηθέντες.

Τετρήνας. τρυπήσας.

Τετρηχυῖα.[5] τραχυνομένη, καὶ θορυβώδης, ἢ τεταραγμένη. ἀπὸ τοῦ ταράσσω. καὶ, [6] τετρήχει, ἐταράχυνετο.

Τετρίγει.[7] ἔτριζεν, ἢ ποιὸν ἦχον ἀπετέλει. καὶ τετριγυῖα, τρίζουσα.

Τετρώβολον. τουτέστι, [8] πολυτίμητον. οὕτω δὲ λέγουσι τὸ τετρωβολιαῖον. τουτέστι, τετρωβόλου πωλούμενον.

Τετρωμένον. βεβλημένον.

Τέτρωρον. τέθριππον. ἤγουν, τετράϊππον.

Τετρυμμένον.[9] καταπεπονημένον.

Αὔλακι καὶ γήρᾳ τετρυμμένον ἐργατίνην βοῦν
Ἄλκων οὐ φονίην ἤγαγε πρὸς κοπίδα,
Αἰδεσθεὶς ἔργων. ——————

Τετρυπημένοι.[10] Ψῆφοι [11] εἰσὶ χαλκαῖ, αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι, πλήρεις. οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, [12] τετρυπημένην, καὶ πλήρη,

etiam in Communi Theſſalorum Republica, ſub Aleua Pyrrhi filio Theſſaliam in quatuor partes diviſam fuiſſe dicit. Demoſthenes igitur τετραρχίαν appellare videtur [unam harum quatuor partium.]

Τετράς. Quaternio. Et, τέτρασι καιροῖς, quatuor temporibus. [Pro τέταρσι.]

Τετρασκάλμου. Quatuor ſcalmos habentis. *Romani autem decretum ſcripſerunt, ut Cretenſes omnia navigia, uſque ad quatuor ſcalmos habentia, Romam mitterent.*

Τετραστατήρου. Quatuor ſtateres valentis. Ariſtophanes: *Euæon ille ingenioſiſſimus* [*acceſſit*] *nudus, & orationem habuit maxime popularem: Videtis enim me, inquit, ſalutis egentem quatuor ſtaterum. Nihilominus dicam,* [*quomodo cives ſervetis.*] *Si enim indigentibus veſtem præbeant fullones, ſtatim atque Sol converſus fuerit, laterum dolor neminem noſtrum capiet unquam. Quibus autem lectus non eſt, neque veſtes ſtragulæ; dico ego ire debere eos apprime lotos dormitum apud veſtium interpolatores. Si vero iis claudatur janua hiemis tempore, tribus ſtragulis veſtibus multetur.*

Τετραφαλαγγαρχία. Tetraphalangarchia. Duæ diphalangiæ: i. e. viri 6384. Hæc enim eſt perfecta & commoda phalanx.

Τετραφάληρον. [Epithetum galeæ.] Quatuor conos habens.

Τέτραχα. Adverbium. Quadrifariam. In quatuor partes. [Formatum eſt, ut πένταχα. Ut, apud Homerum:] *In quinque ordines diviſi.*

Τετρήνας. Qui perforavit.

Τετρηχυῖα. Exaſperata. Tumultuoſa. Turbata. Concitata. Et τετρήχει, exaſperatus, vel turbatus erat.

Τετρίγει. Stridebat. Vel, ſonum quendam edebat. Et τετριγυῖα, ſtridens.

Τετρώβολον. Quatuor obolos valens. Dicitur de re exigui pretii: ut & τετρωβολιαῖον, quod idem ſignificat.

Τετρωμένον. Vulneratum. Percuſſum.

Τέτρωρον. Quadrigæ. Vel, quatuor equi juncti.

Τετρυμμένον. Defatigatum. Labore confectum. *Sulco & ſenectute confectum aratorem bovem Alcon ſanguineæ ſecuri ſubjicere non ſuſtinuit, verecundia motus, ob agriculturæ labores.*

Τετρυπημένοι. Perforati. [Ariſtoteles in *Republ. Athenienſium:*] *Calculi ſunt ærei, parvum tubulum in medio habentes; quorum dimidia pars eſt perforata; dimidia vero plena. Illi igitur, qui calculis judicialibus præfecti ſunt, perorata utrinque cauſa, ſingulis Judicum binos*

1 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 736. (494. Ed. Baſ. P.) unde locum hunc ſupplebis, & in verſus digeres.
2 Διφαλαγγίαι] Sic recte MSS. Pariſ. At priores Edit. male, φαλαγγίαι.
3 Τετραφάληρον] Eſt epithetum galeæ apud Homerum Il. E. v. 743.
4 Πένταχα κοσμηθ.] Sunt verba Homeri Il. M. v. 87.
5 Τετρηχυῖα] Homer. Il. H. v. 346.
6 Τετρήχει] Eſt itidem vox Homerica, Il. B. v. 95.
7 Τετρίγει] Et hæc vox exſtat apud Homerum, Il. Ψ. v. 714.
8 Πολυτίμητον] Imo contra potius, ὀ πολυτίμητον. Vide ſupra, v. Τετλάρων ὀβολῶν.

9 Τετρυμμένον] Scribendum erat τετριμμένον, idque ſuo loco ponendum. Nam in Anthologia Epigrammatum lib. VI. cap. VII. ubi integrum Epigramma, ex quo ſequens fragmentum decerptum eſt, exſtat, recte legitur τετριμμένον, non vero τετρυμμένον.
10 Τετρυπημένοι] Malim, τετρυπημέναι, genere fœminino, ut referatur ad ψῆφοι.
11 Ψῆφοι εἰσὶ χαλκ.] Hæc ſunt verba Ariſtotelis, ex libro ejus *de Republ. Athenienſ.* deprompta, ut docet Harpocratio, ex quo Suidas iſta deſcripſit.
12 Τετρυπημένην, καὶ πλήρη] Horum nempe calculorum illi, qui perforati erant, damnabant; qui pleni, abſolvebant: ut docet Enarrator Comici ad *Veſpas*, pag. 500.

φανερῶς ὁρᾷν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις, μήτε πάντη τετρυπημένας λαμβάνωσι.

tradunt calculos, perforatum & plenum, idque adverſariis inſpectantibus, ne Judices vel omnes plenos, vel omnes perforatos accipiant.

Τετρύσθαι. καταπεπονῆσθαι. Ἀππιανός· Ὁ δὲ Φίλιππος τοὺς ἐπιπλέοντας διέφθειρεν, ἵνα μὴ Ῥωμαῖοι λέγοιεν τὰ Μακεδόνων ἐκτετρύσθαι. καὶ τέτρυσαι, καταπεπόνησαι. Ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι.

Τετρύσθαι.[1] Attritum eſſe. Viribus exhauſtum eſſe. Appianus: *Philippus autem [hoſtes] infeſta claſſe accedentes interfecit, ne Romani dicerent Macedonum vires attritas eſſe.* Et τέτρυσαι, attritus es, confectus es. *Nam & æs tuum ſenio jam debilitatum eſt, & ipſa attrita es.*

Τετύκοντο. παρεσκευάζοντο.

Τετύκοντο. Parabant. Apparabant.

Τετύχθαι. κατεσκευάσθαι.

Τετύχθαι. Paratum eſſe. Confectum eſſe.

Τετύφωμαι. ἐπήρθην. καὶ τετυφωμένος, ὁ ἐπηρμένος, καὶ ἀλαζών. καὶ τετυφῶσθαι, μεμηνέναι.

Τετύφωμαι. Faſtu elatus ſum. Et τετυφωμένος, faſtu elatus, & glorioſus. Et τετυφῶσθαι, inſanire, furere.

Τετύφωμαι.[1] ἀντὶ τοῦ ἐμβεβρόντημαι. ἔξω τῶν φρενῶν γέγονα. ἤτοι ἀπὸ τῆς βροντῆς. ἢ ἀπὸ τῶν ἐπὶ τὸν Τυφῶνα καταφερομένων σκηπτῶν. ἢ ἀπὸ τῶν τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταῤῥαγέντα. καὶ γὰρ Ἀλκαῖος φησί· [2]Πάμπαν δὲ τυφὼς ἐκ δ' ἐλέγεται φρένας.

Τετύφωμαι. [Interdum ponitur,] pro, Attonitus ſum. Mei compos non ſum. Apud me non ſum. Vel a tonitru, quod βροντὴ Græcis dicitur. Vel, a fulminibus, quæ in Typhonem dejiciebantur. Vel a ventis, qui Typhonici dicuntur. Nam & illi ſubito & magna vi [e nubibus] erumpentes, homines ita percellunt, ut de poteſtate mentis exeant. Hinc & Alcæus inquit: *Omnino vero typhon mentem ipſi ademit.*

Τευθίν.[3] ὁ κατάσκοπος.

Τευθίν. Explorator.

Τευθίδες. σηπίαι. καὶ τευθὶς, ἰχθύδιον εὐτελές. καὶ φησὶν [4]Ἀριστοφάνης περὶ Ἀντιμάχου· Ἀντίμαχον τὸν Ψεκάδα, ὡς μὲν ἁπλῶς λόγῳ, κακῶς ἀπολέσειεν ὁ Ζεύς. ὅς γ' ἐμὲ τὸν τλήμονα ἄδειπνον ἀπέλυσεν· ὃν ἔτ' ἴδοιμι τευθίδος δεόμενον. ἡ δ' ὠπτημένη σίζουσα πάραλος ἐπὶ τραπέζης κειμένη, ὀκέλλοι. κᾆτα μέλλοντος λαβεῖν αὐτοῦ, κύων ἁρπάσας φάγοι. τοῦτο μὲν αὐτῷ κακὸν ἕν.

Τευθίδες. Sepiæ. Teuthides. Eſt autem teuthis piſciculus vilis. Et Ariſtophanes de Antimacho inquit: *Antimachum illum Pſacadis filium, ut breviter dicam, male perdat Jupiter: qui me miſerum ſivit abire impranſum. Hunc ego aliquando videro teuthidis indigentem; quæ aſſata, ſtridenſque, & juxta ſalem in menſa ſita, in terram cadat. Deinde vero, cum ille eam capere voluerit, canis ea correpta aufugiat. Hoc ipſi malum unum obveniat.*

Τευθρανία. ὄνομα τόπου.

Τευθρανία. Teuthrania. Nomen loci.

Τεῦκρος,[5] ὁ Κυζικηνὸς, ὁ γράψας περὶ χρυσοφόρου γῆς. Περὶ τοῦ Βυζαντίου. Μιθριδατικῶν πράξεων βιβλία ε΄. Περὶ Τύρου ε΄. Ἀραβικῶν ε΄. Ἰουδαϊκὴν ἱστορίαν, ἐν βιβλίοις ϛ΄. Ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν, γ΄. καὶ λοιπά.

Τεῦκρος. Teucer, Cyzicenus, qui ſcripſit de Aurifera terra. De Byzantio. Mithridaticarum rerum lib. V. De Tyro, lib. V. De rebus Arabicis, V. Hiſtoriam Judaicam, libris VI. Adoleſcentum Cyzicenorum exercitationem, libris III. & alia.

Τευκτῆρι. ποιητῇ. κατασκευαστῇ.

Τευκτῆρι. Ei, qui aliquid conficit. Fabricatori.

Τευκτόν. χειροποίητον.

Τευκτόν. Manu factum. Confectum.

Τελμισία.[6] περὶ τῆς Τελμισίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ γεγραφότες ἱκανῶς ἱστορήκασι· καθάπερ Ἀριστόδημος. ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ τῶν Θεῶν τὸ θηρίον τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι, τὸν Δηϊόνος, Ἀθηναῖον ὄντα, καὶ κύνα κεκτημένον, ὃν οὐδὲν διέφυγε τῶν θηρίων, (ὃς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα [7]Πρόκνην, καθηράντων αὐτὸν τῶν Καδμείων)

Τελμισία. Telmiſia. De Telmiſia vulpe rerũ Thebanarum ſcriptores prolixe ſcripſerunt; ut Ariſtodemus. Hanc enim feram a Diis immiſſam Thebanis ferunt, quod Cadmi poſteros a regno excluderent. Cephalum autem, Deionis F. Athenienſem, (quem, cum uxorem ſuam Procnen imprudens occidiſſet, Cadmei luſtrarunt) canem habuiſſe ajunt, quem nulla fera effugeret. Cum hoc igitur vulpem

1 Τετύφωμαι. ἀντὶ τοῦ ἐμβεβρ.] Ex Harpocratione.

2 Πάμπαν δὲ τυφὼς ἐκ δ' ἐλ.] Fragmentum hoc corruptum eſt, quod abſque MSS. haud facile erit emendare.

3 Τευθίν] Male, pro πευθήν. Vide Heſych. v. Πευθῆνες.

4 Ἀριστοφάνης] *Acharnenſ.* pag. 425. (305. Ed. Baſ. *P.*) ubi locus hic ita diſtinguitur & legitur:

Ἀντίμαχον τὸν Ψακάδος,
Ὡς μὲν ἁπλῷ λόγῳ κακῶς
Ἐξολέσειεν ὁ Ζεύς.
Ὅς γ' ἐμὲ τὸν τλήμονα
Λήναια χορηγῶν ἀπέλυσ' ἄδειπνον.
Ὃν γ' ἔτ' ἐπίδοιμι τευθίδος
Δεόμενον. ἡ δ' ὠπτημένη
Σίζουσα πάραλος ἐπὶ τραπέζῃ κειμένη
Ὀκέλλοι. κᾆτα μέλ-
λοντος λαβεῖν αὐτοῦ, κύων
Ἁρπάσασα φεύγοι.
Τοῦτο μὲν αὐτῷ κακὸν ἕν.

5 Τεῦκρος, ὁ Κυζ.] Vide Voſſium *de Hiſt. Gr.* pag. 417.

6 Τελμισία] Vel literarum ſeries oſtendit, ſcribendum eſſe, Τευμισία. Photius in Lex. MS. habet, Τευμησία: quod proxime accedit ad veram lectionem, quæ eſt Τευμησσία, per duplex σσ. Vide Stephanum Byzantium v. Τευμησσός, & ibi Luc. Holſtenium. Hiſtoria autem, quam Suidas de vulpe Teumeſſia hic refert, exſtat etiam apud Antonin. Liberal. *Metamorph.* cap. ult.

7 Πρόκνην] Potius, Πρόκριν, ut habet Mich. Apoſtolius. Sic enim uxorem Cephali appellatam fuiſſe, Antoninus Liberalis quoque loco laudato, & alii teſtantur.

Διώκειν

διώκειν τὴν ἀλώπεκα μετὰ τοῦ κυνός. καταλαμβανομένης δὲ περὶ τὸν Τελμισσὸν, λίθους γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα. εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ Ἐπικοῦ Κύκλου.

Τευτάζειν. πραγματεύεσθαι, ἢ σκευωρεῖσθαι, ἢ [2] στραγεύεσθαι, καὶ πολὺ διατρίβειν ἐν τῷ αὐτῷ. Λυκόφρων οὕτω, καὶ Δίδυμος, προσθεὶς, ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονα, φησὶν, εἶναι τὸ ἐπιστρεφῶς τι πράττειν. καὶ Ἀρτεμίδωρος, τὸ φροντίζειν. Φρύνιχος Μύσταις· Μάστιγα δ' ἐν χερσὶν ἔχων, [3] τευτάζεται. Πλάτων Ξάντριαις. Ἦν δὲ θόρυβος τευταζόντων. ἀντὶ τοῦ πραγματευομένων, ἢ διατριβόντων. καὶ ἐν [4] Τιμαίῳ· Τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας [5] τετευτακότι. οἷον διατετριφότι. γράφεται καὶ τευτακότι. Τηλεκλείδης· Πάντες δὲ τευτάζουσιν οἱ διάκονοι. ἀντὶ τοῦ πραγματεύονται, [6] σκευωροῦνται. Φερεκράτης.

Ὁ δὲ παῖδα καλεῖ, καὶ τευτάζει τούτῳ δεῖπνον παραθεῖναι.

Σημαίνει καὶ τὸ σπουδάζειν, καὶ τὸ ἡσυχάζειν. καὶ τευτάζων, τὸ αὐτὸ ἀεὶ λέγων, καὶ φλυαρῶν. τουτέστι, τὸ αὐτὸ λέγων.

Τεύχεα, καὶ τεύχη. ὅπλα. σκεύη. Εὑρίσκουσι δὲ ἀμφορέας, καὶ ἄλλα τεύχεα κεράμεια κρεῶν μεστὰ τεταριχευμένων.

Τεύχοντες. κατασκευάζοντες.

Τεῦχος. ἀγγεῖον.

Τεύχω. τὸ κατασκευάζω. Ἔνθα δέ τοι κλυτὰ δώματα τετεύχαται βένθεσι λίμνης.

Τέφρα. ἡ κόνις. καὶ εἶδος τέττιγος. [7] καὶ γὰρ καὶ τέφρα, καὶ μέμβραξ, καὶ ἄλλος λακέτας, καὶ κέρκωψ ἕτερος. καὶ ἠχέταν τινὰ λέγουσι, καὶ ἀκανθίαν ἕτερον. Ἀκοῇ παραδεξάμενος ταῦτα ἀκούσας. ὅτῳ δὲ πλείω τῶν προειρημένων εἰς γνῶσιν ἀφίκετο, λεγέτω ἐκεῖνος. [8] Ἠχέτας, καὶ ἀκανθίας, οὐκ εἴδη τεττίγων, ἀλλ' ἐπίθετα τέττιγος. ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. καὶ, Ἠχέτα τέττιξ. Ἡσίοδος.

Τεφρώσας. ἐμπρήσας. σποδώσας. καὶ [9] παροιμία·
Μὴ τὴν τέφραν φεύγων, εἰς ἀνθρακιὰν πέσῃς.

Τεχνάζειν. τὸ πανούργως τι διαπράττεσθαι.
Τὸ [10] πρᾶγμα κομψὸν, καὶ σφόδρ' ἐκ τοῦ σοῦ τρόπου·
Τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.

εἶδος [11] δὲ πλακοῦντος ὁ πυραμοῦς. οὗτος δὲ ἐτίθετο τοῖς διαπαννυχίζουσιν ἔπαθλον· καὶ ὁ ἐγρηγορὼς ἕως πρωΐας ὡς νικῶν αὐτὸν ἐλάμβανε. μεταφορικῶς οὖν

perſecutus eſt. At illa cum ad Telmiſſum comprehenderetur, canem & vulpem in lapidem mutatos eſſe ajunt. Fabula autem hæc ſumpta eſt ex Cyclo Epico.

Τευτάζειν. Aliquid moliri, vel machinari, & apparare: vel, cunctari, & in eadem re diu immorari. Sic Lycophron: itemque Didymus, qui addit, ſignificare etiam interdum, curare. Heracleon vero Lycophronem reprehendens, dicit, τὸ τευτάζειν eſſe, accurate & magna cum cura aliquid facere. Artemidorus item, curare. Phrynichus *Myſtis: Flagellum vero manibus tenens, cunctatur.* Plato *Xantis: Erat autem tumultus aliquid machinantium.* Vel, commorantium. Et [Plato Philoſophus] in *Timæo: Homini igitur voluptatibus & contentionibus admodum dedito.* Legitur etiam τετευτακότι, i. e. immoranti. Teleclides: *Omnes autem miniſtri occupati ſunt.* Vel, aliquid efficere conantur, & moliuntur. Pherecrates: *Ille vero famulum vocat, & in cœna ei apponenda occupatus eſt.* Significat etiam, ſtudere, & quieſcere. Et τευτάζων, idem ſemper dicens, & nugas effutiens.

Τεύχεα. Et [per contractionem,] τεύχη. Arma. Inſtrumenta. Vaſa. *Inveniunt autem amphoras, & alia figlina vaſa carnium ſalitarum plena.*

Τεύχοντες. Facientes. Fabricantes. Conficientes.

Τεῦχος. Vas.

Τεύχω. Conficio. Fabrico. Struo. *Illic vero inclytæ ædes ædificatæ ſunt in fundo paludis.*

Τέφρα. Cinis. Pulvis. Item, cicadæ genus. Alia enim dicitur Tephras; alia, Membrax; alia, Lacetas; alia, Cercops. Achetam item cicadam quandam vocant; & Acanthiam, aliam. Hæc auditu ab aliis accepi. Qui vero plura iis, quæ ante dicta ſunt, novit, dicat ipſe. Achetas, & Acanthias, non ſunt ſpecies cicadarum, ſed epitheta. [Sic enim dictæ ſunt cicadæ,] quod inter ſpinas cantent. Et, *Canora cicada.* Heſiodus.

Τεφρώσας. Qui incendit. Qui in cineres redegit. Et proverbium: *Ne cinerem fugiens, in prunas incidas.*

Τεχνάζειν. Aliquid doloſe moliri, vel machinari. [Ariſtophanes:] *Res eſt feſtiva, & ingenio tuo valde conveniens. Etenim, cum technis & fraudibus alios vincamus, noſter eſt pyramus.* Pyramus eſt genus placentæ, quæ præmium proponebatur illis, qui per totam noctem vigilaſſent. Quare qui ad auroram uſque vigilaſſet, victor eam accipiebat.

1 Τελμισσόν] Lege, Τελμησσόν.

2 Στραγεύεσθαι] Hanc lectionem ex MS. A. revocavi. Ante enim mendoſe legebatur, σπατεύεσθαι. Confer Nos ſupra ad v. Ἡ δὲ χελ. ubi oſtendimus τὸ στραγγεύομαι (vel, ut quidam ſcribunt, στραγγεύομαι, per duplex γ) pluribus in locis ab imperitis librariis mutatum fuiſſe in στρατεύομαι.

3 Τευτάζεται] Malim, τευτάζει, vel τευτάζει.

4 Ἐν Τιμαίῳ] P. 551. ſed ubi pro τετευτακότι hodie legitur, τετηκότι.

5 Τετευτακότι. οἷον διατετριφότι. γράφεται καὶ τευτ.] Procul dubio ſcribendum eſt, τετευτακότι. οἷον, διατετριφότι. γράφεται καὶ τετακότι. Lectio enim vulgata inſtituto Suidæ, qui vocis τευτάζειν gratia locum Platonis adducit, manifeſte adverſatur.

6 Σκευωροῦνται] Sic recte MS. A. At MSS. B. & C. itemque priores Editt. male, σκευοφοροῦνται.

7 Καὶ γὰρ καὶ τέφ.] Locus hic ſumptus eſt ex Æliani lib. x. *de Anim.* cap. XLIV. Sed ubi pro τέφρα rectius legitur τέφρας; & λακέτας, pro λακέτας.

8 Ἠχέτας, καὶ ἀκανθίας, οὐκ εἴδ.] Hæc leguntur etiam ſupra v. Ἀχέτας, ubi vide, quæ notavimus.

9 Καὶ παροιμία· Μὴ τὴν τ.] Hæc pertinent ad vocem τέφρα, non τεφρώσας.

10 Τὸ πρᾶγμα κομψ.] Duo hi Senarii leguntur apud Ariſtoph. *Theſmophor.* pag. 770. (514. Ed. Baſ. P.)

11 Εἶδος δὲ πλακ.] Confer Noſtrum ſupra v. Πυραμοῦς, & infra v. Τήγανα.

αὐτῷ

αὐτοῖς ἐχρήσατο, ὡς νικῶντος αὐτοῦ πανουργίᾳ πάντας.

Τεχνάσμασι. δόλοις. πανουργίαις.

Τὰς[1] συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασι
Φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασι.
Καὶ μὴν σύ γ᾽, ὦ καταπύγον, εὐρύπρωκτος εἶ,
Οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.

Τέχνη. ὁ δόλος. ὅθεν καὶ ἀτεχνῶς, ἀντὶ τοῦ ἀληθῶς, καὶ ἄνευ δόλου.

Τεχνηθέντος. δημιουργηθέντος.

Τέχνην πεποίηται. ἀντὶ τοῦ, εἰς ἔργον καὶ τέχνην αὐτοῖς προκεχώρηκε.

Τεχνητὸν[2] γύναιον. δυσγενές.

Τεχνιτεία.

Τεχνίτης. ὁ ἐπιστήμων. Τεχνῖτις δὲ, θηλυκῶς, διὰ τοῦ ι. καὶ τὸ πληθυντικὸν, αἱ τεχνίτιδες.

Τεχνύδριον. τεχνύδρια λέγεται ὑποκοριστικῶς, ὥσπερ λογύδρια.

Τεικτές.[3] χρηστούς.

Τεῖνον. καὶ τειναοιδῶ, τειναοιδῶ, ῥῆμα. ἀπὸ τοῦ τείνειν τὴν ᾠδήν.

Τείρεα. τὰ ἄστρα.

Τειρεσίας. ὄνομα κύριον. ὁ μάντις.

Τείρει. καταπονεῖ.

Μυρία[4] τοι, Πτολεμαῖε, πατήρ, ἐπὶ μυρία μήτηρ
Τειρομένη θαλεροὺς ἠκίσατο πλοκάμους.

Τειρεύς. ὄνομα κύριον.

Τείρωνος. ὄνομα κύριον.

Τειχεσιπλήτης[5].

Τειχήρεις. πολιορκουμένους. Τειχήρεις οὖν γενομένους τοὺς πολιορκοῦντας ἀπὸ τῶν περιβόλων ἠμύνετο. ἀντὶ τοῦ, εἴσω τειχῶν.

Τειχιόεις. ὁ τετειχισμένος.

Τεῖχος μακρόν.[6] Ἀναστάσιος ὁ βασιλεὺς κτίζει τὸ μακρὸν τεῖχος περὶ ξ΄. μιλίων τῆς πόλεως, διατείνας ἐκ τῆς κατ᾽ ἄρκτον θαλάσσης εἰς μεσημβρίαν· μῆκος μὲν μιλίων ν΄. εὖρος δὲ, ποδῶν η΄.

Τείχει[7] καθεσθεὶς, εὐτυχὴς πέλειν δόκει.

Τειχῶν καὶ πόλεως διαφορὰν ἐποιήσατο Θουκυδίδης· καὶ ἔοικε κυριώτερον τῆς πόλεως τὴν λέξιν ἐπὶ τῶν οἰκιῶν λαμβάνειν.

Τῆ.[8] ταύτῃ. ἢ δέξαι. λάβε. [9]Ὅμηρος·

Κύκλωψ, τῆ, πίε οἶνον, ἐπεὶ φάγες ἀνδρόμεα κρέα.

Per tranſlationem igitur uſus eſt hoc vocabulo; quod ipſe omnes calliditate & verſutia ſuperaret.

Τεχνάσμασι. Artibus. Technis. Callidis commentis. *Mala enim non artibus ferre convenit, ſed patiendo. Atqui tu, cinæde, latum habes culum, non verbis, ſed* [*muliebria*] *patiendo.*

Τέχνη. Techna. Fraus. Dolus. Unde etiam ἀτεχνῶς, vere, ſincere, ſine dolo.

Τεχνηθέντος. Fabricati. Facti. Conditi.

Τέχνην πεποίηται. Artem fecit. Vel, ad opus & artem res ipſi proceſſit.

Τεχνητὸν γύναιον. Mulier arte facta. Sive, eunuchus ſemivir.

Τεχνιτεία. Artificium.

Τεχνίτης. Artifex. Τεχνῖτις vero, genere fœminino, per ι [ſcribitur in ultima ſyllaba.] Et pluralis, αἱ τεχνίτιδες, artifices, peritæ.

Τεχνύδριον. Ars parva. Τεχνύδρια diminutive dicitur, ut λογύδρια.

Τεικτοὺς. Benignos. Humanos.

Τεῖνον. Tendens. Producens. Et τειναοιδῶ, ῶ, carmen produco. A τείνω, & ᾠδή.

Τείρεα. Sidera. Aſtra.

Τειρεσίας. Tireſias. Nomen proprium viri, qui fuit vates.

Τείρει. Fatigat. Vexat. Conficit. [In Epigrammate:] *Millies propter te, Ptolemæe, pater, millies etiam mater dolore confecta pulchros laceravit cincinnos.*

Τειρεύς. Tirieus. Nomen proprium.

Τείρωνος. Tironis. [Genitivus, a recto Τείρων.]

Τειχεσιπλήτης. Qui ad muros accedit. Murorum oppugnator.

Τειχήρεις. Muro munitos. [Eos, qui ſunt intra murum.] *Cum igitur obſidentes intra murum penetraſſent, eos ab* [*interioribus*] *munimentis arcebat.*

Τειχιόεις. Muris cinctus.

Τεῖχος μακρόν. Murus longus. Anaſtaſius Imperator Murum *Longum* condidit, LX. milliaribus ab Urbe diſtantem, & a mari Septentrionali Meridiem verſus extenſum; longitudine L. milliarium; latitudine vero pedum VIII.

Τείχει καθ. *Muro inſidens fortunatum te fore puta.*

Τειχῶν καὶ π. Murorum & urbis diſcrimen ſtatuit Thucydides. Videtur autem *urbis* appellationem de ædificiis magis proprie ſumere.

Τῆ. Idem quod ταύτῃ. Huic. Vel, accipe, ſume. [Sed tunc ſcribitur, τῆ, abſque ι ſub-

1 Τὰς συμφορὰς γὰρ οὐχὶ τ.] Hæc ſunt verba Ariſtophanis *Theſmophor.* pag. 777. ſed ubi pro τεχνάσμασι, cujus vocis gratia locum hunc adduxit Suidas, hodie male legitur στενάγμασι.

2 Τεχνητὸν γύναιον. δυσγ.] Theophylactus Epiſt. XLIII. Τεχνητὸν γύναιον, τὸ διχῆς ἡμιάνδρειον. Hinc Suidas emendandus & ſupplendus eſt.

3 Τεικτές] Scribe, τεγκτοὺς, ut habet Heſychius.

4 Μυρία τοι, Πτολεμαῖε, π.] Diſtichum hoc legitur Anthol. lib. III. cap. VII. ubi integrum Epigramma vide.

5 Τειχεσιπλήτης] Homer. Il. Ε. v. 31.

6 Ἀναστάσιος ὁ βασιλ.] Vide Valeſium ad Evagr. lib. III. cap. XXXVIII. & Noſtrum ſupra v. Ἀναστάσιος, ubi eadem leguntur.

7 Τείχει καθεσθεὶς, εὐτ.] Eſt verſus ad ſomniorum interpretationem pertinens, qui legitur etiam apud Aſtrampſychum.

8 Τῆ. ταύτῃ. ἢ δ.] Quæ Suidas hic de particula τῆ notat, fere omnia etiam leguntur apud Scholiaſtam Ariſtoph. ad *Acharnenſ.* pag. 381. (270. Ed. Baſ. P.)

9 Ὅμηρος] Odyſſ. Ι. v. 347.

ϗ πάλιν· Τῆ νῦν τοῦτον ἱμάτιον. ἐχρήσατο δὲ ϗ πληθυντικῶς ὁ Σώφρων, εἰπών· Τῆ τέ τοι· κορῶναι εἰσίν. ἔστι δὲ ϗ τοπικὸν ἐπίῤῥημα. Τῆ πᾶς ἔπου. ϗ ἔστιν ἐν ἴσῳ τῷ ἐνταῦθα. [1] Ὅμηρος·

Τῇ ἴμεν, ᾗ κεν δὴ σύ, Κελαινεφὲς, ἡγεμονεύῃς.

Huc quilibet ſequere. Idem etiam valet ac ἐνταῦθα, Hic. [Item, hac, illac.] *Illac ire, qua tu nigrarum nubium coactor*, [*Jupiter*,] *ducis*.

Τήβεννα. πόλις. ϗ τήβεννος, στολὴ Ῥωμαϊκή. [2] Ταραντῖνοι δὲ Ποσθμίου τὴν τήβεννον λύμασιν ἀνθρώπου ἐμόλυναν. [3] ὠνομάσθη δὲ ἀπὸ [4] Τηβέννου Ἀρκάδος, ὃς πρῶτος ταύτην τὴν χλαμύδα περιεβάλλετο, εἰσπλεύσας κατὰ τὸν Ἰόνιον κόλπον, ϗ ὑποδεχθεὶς ὑπὸ τῶν ταύτῃ κατοικούντων. ἀφ' οὗ μαθόντες οἱ ἐγχώριοι, τὸν αὐτὸν ἐνεσκευάζοντο τρόπον, ϗ ἐκάλουν τὴν ἐσθῆτα [5] τηβέννειον, ἐπώνυμον τοῦ εὑρόντος. ὕστερον δὲ, παραφθαρέντος τοῦ ὀνόματος, τήβεννος ἐκλήθη.

Τήγανον. ϗ τηγανίζω.

Τῇδε. ἐνταῦθα. ἢ ὧδε. ἢ ἐνθάδε.

Τῇδ' ἔνι. ἐνταῦθά ἐστιν.

Τηθαλλαδοῦς. [6] γυναικοτρόφους. ὑπὸ τήθης τεθραμμένους.

Τήθεα. ὄστρεα. ἰστέον ὅτι ϗ τούτοις ἐχρῶντο οἱ παλαιοί· καί τοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ἡδὺ ϗ ὠφέλιμον.

Τηθέλας. [7] τὰς μαμμοθρέπτους.

Τήθη. μάμμη. ἡ πατρὸς ἢ μητρὸς μήτηρ. ἡ κλητικὴ, ὦ τήθα. Τιθὶς δὲ, θεία. [8] Ἀριστοφάνης·

Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτη, ϗ μητριδίων [9] ἀκαλήφων,
Χωρεῖτ' ὀργῇ, ϗ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε.

Τήθας [10] ἐκάλουν τὰς μάμμας. καὶ τηθίδας, τὰς θείας, τὰς πατρὸς ἢ μητρὸς ἀδελφάς. τήθας δὲ, ϗ τὰς τροφούς. εἰσὶ δὲ ϗ ὄστρεα θαλάσσια. [11] Ὅμηρος·

Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.

Ἀκαλήφας δὲ λέγουσιν, οἱ μὲν, τὰς θαλασσίας. λέγουσι δὲ ϗ τὰς κνίδας Ἀττικοί. ϗ κνίδη μὲν, ἕως ὅσον ἂν ἁπαλὴ ἐστι. ἐπὰν δὲ ἔχῃ τὰς μητέρας, τουτέστι, τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. Ἀκαλήφας οὖν, τὰς γραίας ἐκάλεσαν· ἐπειδὴ στεῤῥαὶ ἦσαν, ϗ γενναῖαι. ϗ γὰρ τὸ φυτάριον δάκνει. ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων· τουτέστι, τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης. δάκνουσι δὲ αὗται. τοιαῦται δὲ ϗ αἱ γραῖαι. μητριδίας δὲ ἐκάλεσε, τὰς ἐχούσας τὸ σπέρμα.

Τηθίς. θεία. πατρὸς, ἢ μητρὸς ἀδελφή.

ſcripto.] Homerus: *Cyclops, accipe hoc vinum, & bibe; quandoquidem humanas carnes comediſti.* Et iterum: *Accipe nunc iſtud lorum.* Sophron etiam pluraliter hoc verbo uſus eſt, dum dixit: *Accipite: hæ cornices ſunt.* Eſt etiam τῇ adverbium Loci. Huc.

Τήβεννα. Tebenna. Urbs. Et τήβεννος, Tebennus, i.e. toga Romana. *Tarentini autem Poſtumii togam ſtercoribus humanis fœdarunt.* Tebennus autem nomen accepit a Tebenno Arcade, qui primus iſtam chlamydem induit, cum in Ionium ſinum navigaſſet, & ab illius loci incolis receptus fuiſſet. A quo edocti indigenæ, ſe eodem modo veſtiverunt, eamque veſtem vocarunt Tebenniam, ab inventoris nomine ſic dictam. Poſtea vero, nomine leviter corrupto, Tebennus eſt vocata.

Τήγανον. Sartago. Et τηγανίζω, in ſartagine frigo.

Τῇδε. Hic. Vel, huc. Vel, hoc in loco.

Τῇδ' ἔνι. Hic eſt.

Τηθαλλαδοῦς. A mulieribus nutritos. A nutrice nutritos.

Τήθεα. Oſtrea. Sciendum eſt, veteres etiam his uſos eſſe; quamvis eorum eſus parum habeat & ſuavitatis & utilitatis.

Τηθέλας. A nutrice nutritas.

Τήθη. Avia. Patris, vel matris mater. Vocativus, ὦ τήθα. Τηθὶς vero, amita. Ariſtophanes: *Sed vos vetularum fortiſſimæ, & matricum urticarum* [*ſoboles;*] *ite ira armatæ, nec cedite: namque ſecunda curritis aura.* Τήθας vocabant avias. Et τηθίδας, amitas, i.e. patris vel matris ſorores. Τήθας etiam vocabant nutrices. Sunt & oſtrea marina, [quæ τήθεα vocabant.] Homerus: *Multos vir ille ſatiet, oſtrea quærens.* Acalephas vero alii vocant piſces quoſdam marinos. Attici vero & urticas ſic appellant. Et κνίδη quidem dicitur urtica, quamdiu tenera eſt. Cum vero jam habet matres, i.e. ſeminis grana, ἀκαλήφη dicitur. Ἀκαλήφας igitur vocavit vetulas, quod eſſent duræ & animoſæ. Nam & urtica mordet. Poſtquam igitur dixit τηθῶν, addidit μητριδίων, i.e. ſemen herbæ urticæ habentium. Hæc autem herba mordet. Tales etiam ſunt vetulæ.

Τηθίς. Amita. Patris vel matris ſoror.

1 Ὅμηρος] Il. O. v. 46.
2 Ταραντῖνοι δὲ Ποσ.] Fragmentum hoc ampliari poteſt ex ipſo Suida ſupra, v. Λύμασι.
3 Ὠνομάσθη δὲ ἀπὸ Τηβέννου Ἀρκ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Artemidori lib. II. cap. III. ut jamdudum ante monuit Magnus Salmaſius ad Tertull. *de Pall.* pag. 69. quem conſule.
4 Τηβέννου] Artemidorus loco laudato, Τιμένου. Sed ſcribendum eſt, Τημένου: ut & Salmaſius monuit.
5 Τηβέννειον] Artemidorus, Τιμένιον. Sed vera lectio eſt, Τημένιον.
6 Τηθαλλαδοῦς] Eadem habet Etymologus: niſi quod apud eum ſcriptum ſit τηθαλλωδοῦς, per ω in ſyllaba penultima. Photius in Lex. MS. Τηθαλλωδοῦς. οὓς οἱ πολλοὶ μαμμοθρέπτους λέγουσιν. Confer etiam Heſychium, & Euſtathium.
7 Τηθέλας] Sic MSS. Pariſ. At priores Editt. male, τηθέας. Scholiaſtes Ariſtoph. ad *Acharnenſ.* pag. 373. Τήθας ἐκάλουν τὰς μάμμας· ϗ τηθελὰς, τὰς μαμμοθρέπτους. Sic etiam apud Suidam ſcribendum eſt.
8 Ἀριστοφάνης] *Lyſiſtrata*, pag. 871. (553. Ed. Baſ. P.) ſed ubi legitur ἀνδρειοτάτων. At ego potius ſcripſerim, ἀνδρειότατοι. Cæterum, verſus hic citatur etiam ab Athen. lib III. pag. 90. ubi itidem legitur, ἀνδρειοτάτη; ut hic apud Suidam.
9 Ἀκαλήφων] Scribe, ἀκαληφῶν.
10 Τήθας ἐκάλουν τὰς μάμμας. ϗ τηθ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, totidem verbis leguntur etiam apud Scholiaſtam ineditum in *Lyſiſtratam* Ariſtophanis; a quo Suidas ea mutuatus eſſe videtur.
11 Ὅμηρος] Il. Π. v. 747.

Τηθύς.

Τηθύς. ἡ θάλασσα.

Οὐδὲ[1] σύ γ', ἀφρηστὰ, Νηρηΐδας, ὡς πρὶν, ἀείρων
Νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα.

Τηθύς. [2] ἡ γῆ. παρὰ τὸ τιθήνη εἶναι καὶ τροφός. Ὅμηρος·

Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

τουτέστιν, ὑγρὰν οὐσίαν, καὶ ξηράν.

Τηκεδόνι. Φθίσει. Καὶ νοσεῖ νόσῳ μακρᾷ. καὶ τηκεδὼν αὐτὴν διεδέξατο· καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων, ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἀπορρῆξαι.

Τήκω. αἰτιατικῇ. καὶ τῆξαι. τὸ κατὰ μικρὸν ἀναλίσκω.

Τηκτά. οἷον κηρὸς, καὶ πίττα. [3] Τηκτά τε ὅσα καὶ χυτὰ, ἐς πολεμίους σὺν πυρὶ ἐξ ὑπερδεξίων ἐβάλλετο· τάτε ἄλλα, καὶ τὴν σιδηρεῖτιν γῆν, ἣν πυρὶ πολλῷ διαφανῆ ἐργασάμενοι, κατὰ τῶν ὑπιόντων τὸ τεῖχος [4] ἔχεαν ἔμελλον.

Τηλαυγές. λίαν λαμπρόν. πόῤῥωθεν φαῖνον.

Τηλαύγης, (κλίνεται εἰς ους) Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς, καὶ μαθητὴς, Φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους. ἔγραψε περὶ τῆς Τετρακτύος βιβλία δ'.

Τηλαύγημα. [5] ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.

Τῆλε, καὶ τηλοῦ. πόῤῥω.

Τηλεβίας. ἐθνικόν. καὶ ὄνομα ποταμοῦ.

Τηλέγονος. ὄνομα κύριον. ὃς [6] πρῶτος ἐφεῦρε τὴν οἰωνιστικήν· οἷον, εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ ὄφις, τόδε τι σημαίνει.

Τηλεδαπός. μακρὰν ἀφεστηκώς.

Τηλεθάοντα. πάνυ λάμποντα.

Τηλεκλείδης, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστιν, [7] Ἀμφικτύονες, καὶ Πρυτάνεις, καὶ Στεῤῥοί· ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς.

Τηλεκλυτοί. ἄγαν ἔνδοξοι.

Τηλέπορον. [8] Ἀριστοφάνης· Τηλέπορόν τι βόημα. οἷον, ὀρθόν τι, καὶ ὑψηλόν. ἔστι δὲ ἀρχὴ ᾄσματος· ὥσπερ καὶ τὸ, Παλλάδα Περσέπολιν Ἀθάναν.

Τηθύς. Tethys. Id eſt, Mare. [In Epigrammate:] *Neque tu, ſpuma veſcens, Nereides, ut ante, dorſo exceptas ad fines maris trajicies.*

Τηθύς. Tethys. [Interdum ſic vocatur] Terra: quod altrix ſit & nutrix [animalium.] Homerus: *Oceanumque, Deorum parentem, & matrem Tethyn.* Id eſt, Mare, & Terram.

Τηκεδόνι. Pthiſi. Tabe. *Et longo morbo laborat. Quem cum tabes exciperet, quævis confidenter vociferans & dicens, & quæcunque ſunt hominum maxime impiorum, tragica voce evomens & imprecans, impuram & execrandam animam efflaſſe* [dicitur.]

Τήκω. Accuſativo jungitur. Liquefacio. Tabefacio. Paulatim conſumo. Et τῆξαι, paulatim conſumere.

Τηκτά. Quæ liquari, vel liqueſcere poſſunt: ut cera & pix. *Quæcunque liquari fundique poterant, in hoſtes cum igne ex loco ſuperiore dejiciebantur: & cum alia, tam etiam terra ſideritis; quam cum igne multo candentem feciſſent, in hoſtes murum ſubeuntes effundere ſtatuerant.*

Τηλαυγές. Valde lucidū. Eminus ſplendens.

Τηλαύγης. Telauges, (declinatur in Genitivo Τηλαύγους) Samius, Pythagoræ Magni filius, & diſcipulus, Philoſophus, magiſter Empedoclis. Scripſit de Quaternione libros quatuor.

Τηλαύγημα. [Candor eminus apparens. Item,] lepræ principium in corporis ſuperficie apparens.

Τῆλε, & τηλοῦ. Procul. Longe.

Τηλεβίας. Telebias. Nomen gentile. Item, nomen fluvii.

Τηλέγονος. Telegonus. Nomen proprium viri, qui primus artem divinandi invenit: cujuſmodi eſt, ſi in tecto muſtela vel ſerpens apparuerit, hoc vel illud ſignificat.

Τηλεδαπός. In remoto ſolo degens. Longe diſtans.

Τηλεθάοντα. Valde ſplendentia. [Florentia. Florida.]

Τηλεκλείδης. Teleclides, Athenienſis, Comicus. Ex ipſius fabulis ſunt, *Amphictyones*, & *Prytanes*, & *Robuſti*: ut Athenæus in *Dipnoſophiſtis* inquit.

Τηλεκλυτοί. Valde clari.

Τηλέπορον. Longe vadens. [Quod procul auditur.] Ariſtophanes: *Clamorem, qui procul auditur.* Vel, clara altaque voce prolatum. Eſt autem initium carminis: ut & illud, *Palladem urbium expugnatricem Minervam.*

1 Οὐδὲ σύ γ', ἀφρ.] Diſtichum hoc decerptum eſt ex Epigrammate in delphinem, a fluctibus marinis in littus ejectum, quod ex cod. MS. Anthologiæ ineditæ integrum hic cum Lectore communicabo. Ἀρχίου.

Οὐκέτι παφλάζοντα διαπλώσων βυθὸν ἅλμης,
Δελφὶς, ποιήσεις εἰναλίων ἀγέλας·
Οὐδὲ πολυτρήτοιο μέλος καλάμοιο χορεύων
Ὑγρὸν ἀναῤῥίψεις ἅλμα παρὰ σκαφίσιν.
Καὶ γὰρ ἴσον στηθῶνι Μαλείης ὡς ἐκυκήθη
Κῦμα, πολυψαμμοις ὦσεν ἐπὶ ψαμάθους·
Οὐδὲ σύ γ', ἀφρηστὰ, Νηρηΐδας, ὡς πρὶν, ἀείρων
Νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα.

Diſtichum tertium citat Suidas ſupra v. Γρῆνες, ſed corrupte; qui proinde hinc emendandus eſt. In diſticho ultimo, quod Suidas hoc ipſo loco adducit, τὸ ἀφρηστὰ eſt vocativus, a recto ἀφρηστής, i.e. ſpumam edens: quæ vox eodem modo formata eſt, quo ὠμηστής, crudivorus; δερμηστής, pellem edens; & ſimilia. Delphines nempe ſpuma maris veſci putabantur. Cæterum, Portus cum vocem hanc non intelligeret, eam mendo laborare, ejuſque loco vel ἀχρηστά, vel ἄφραστα, reſcribendum eſſe cenſebat. Sed emendationem iſtam voci ſanæ & recte ſe habenti fruſtra adhiberi, cordatus Lector, ut ſpero, facile mecum ſentiet.

2 Τηθύς. ἡ γῆ. παρὰ τ.] Ex Scholiaſta Homeri ad Il. Ξ. v. 201.

3 Τηκτά τε ὅσα καὶ χυτ.] Hæc, ni fallor, leguntur apud Joſephum in libris *de Bello Jud.*

4 Ἔχεαν] Scribendum eſſe ἐκχεῖν, ſenſus manifeſto ſuadet.

5 Τηλαύγημα. ἀρχὴ λ.] Locus, ad quem Suidas reſpexit, exſtat *Levit.* XIII. 23.

6 Ὃς πρῶτος ἐφ.] Vide ſupra v. Οἰωνιστική.

7 Ἀμφικτ. καὶ Πρ. καὶ Στ.] Plures Teleclides ſcripſerat fabulas, quarum catalogum vide apud Meurſium in *Bibliotheca Attica.*

8 Ἀριστοφάνης] *Nubibus*, pag. 178. (108. Ed. Baſ. *P.*)

Τηλεσκόπῳ[1] ὄμματι. τῷ πάντα ἐφορῶντι.

Τηλεσκόπῳ ὄμματι. Longe ſpectante oculo, Vel, omnia vidente.

Τηλεφάνης.[2] αὐλητής. Τηλεφανὴς δὲ, μακρόθεν φαινόμενος.

Τηλεφάνης. Telephanes. [Cum acuto in penultima.] Nomen tibicinis. At τηλεφανὴς, qui eminus apparet: [cum acuto in ultima.]

Τηλεφανεῖς.[3] ἀφ' ὧν ἔστιν ἰδεῖν τὰ πόῤῥω. τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰ καταφανῆ γίνεται.

Τηλεφανεῖς [τόποι. Loca edita,] unde & ea, quæ ſunt remota, videre licet. Illi enim, qui ſunt in loco excelſo, etiam longe diſſita oculis conſpicere poſſunt.

Τήλεφος ἐκ πηριδίου. οὗτος πένης ἦν, καὶ προσαίτης, πήραν βαστάζων. [4] Ἀριστοφάνης·

Καί τοι πρότερόν γ' ἐπιλώχευες,
Τήλεφος εἶναι Μυσὸς φάσκων,
Ἐκ πηριδίου.

οἱ δὲ φασὶ, πρότερον βασιλεὺς χρηματίσαι Μυσίας· ὃς καὶ ὑπὸ Ἀχιλλέως ἐτρώθη, καθ' ὃν καιρὸν ἐπέστησαν Μυσίας Ἕλληνες, νομίσαντες αὐτὴν εἶναι τὴν Τροίαν· ἐξ οὗ καὶ Τηλέφιον τραῦμα.

Τήλεφος ἐκ πηριδίου. *Telephus ex perula.* Telephus iſte pauper & mendicus erat, peram geſtans. Ariſtophanes: *Quamvis ante mendicares, te Telephum eſſe Myſum dicens, ex perula [depromptas ſententias arrodentem.]* Alii autem dicunt, Telephum olim Myſiæ Regem fuiſſe: qui etiam ab Achille vulneratus eſt, quo tempore Græci Myſiam invaſerunt, exiſtimantes, eam eſſe Trojam. Unde etiam *Telephium vulnus* [in proverbium abiit.]

Τήλεφος, Περγαμηνὸς, γραμματικός. [5] ἔγραψε καὶ αὐτὸς, ἐν οἷς παραδίδοται, πόσα χρὴ εἰδέναι τὸν γραμματικόν. Περὶ [6] τῶν παρ' Ὁμήρῳ σχημάτων Ῥητορικῶν, βιβλία β'. Περὶ συντάξεως λόγου Ἀττικοῦ βιβλία έ. Περὶ τῆς καθ' Ὅμηρον Ῥητορικῆς. Περὶ τῆς Ὁμήρου καὶ Πλάτωνος συμφωνίας. Ποικίλης φιλομαθίας βιβλία β'. Βίους Τραγικῶν καὶ Κωμικῶν. Βιβλιακῆς ἐμπειρίας βιβλία γ'. ἐν οἷς διδάσκει τὰ κτήσεως ἄξια βιβλία, καὶ ὡς μόνος Ὅμηρος τῶν ἀρχαίων ἑλληνίζει. Περιήγησιν Περγάμου. Περὶ τοῦ ἐν Περγάμῳ Σεβαστείου, βιβλία β'. Περὶ τῶν Ἀθήνησι δικαστηρίων. Περὶ τῶν Ἀθήνησι νόμων καὶ ἐθῶν. Περὶ τῶν Περγάμου βασιλέων, βιβλία έ. Περὶ χρήσεως, ἤτοι ὀνομάτων ἐσθῆτος, καὶ τῶν ἄλλων, οἷς χρώμεθα. ἔστι δὲ κατὰ στοιχεῖον. Περὶ τῆς Ὀδυσσέως πλάνης. Ὠκυτόκιον. ἔστι δὲ συναγωγὴ ἐπιθέτων, εἰς τὸ αὐτὸ πρᾶγμα ἁρμοζόντων, πρὸς ἕτοιμον εὐπορίαν φράσεως, βιβλία δέκα.

Τήλεφος. Telephus, Pergamenus, Grammaticus. Scripſit & ipſe [libros, in] quibus docet, quot res Grammaticum ſcire oporteat. De Figuris Rhetoricis apud Homerum, lib. II. De ſermonis Attici conſtructione, lib. V. De Homerica Rhetorica. De Homeri & Platonis conſenſu. Variæ eruditionis lib. II. Tragicorum & Comicorum vitas. De notitia librorum lib. III. in quibus docet, qui libri ſint comparatu digni: item, Homerum ſolum ex antiquis puro ſermone Græco uti. Deſcriptionem Pergami. De Auguſtali Pergameno, lib. II. De Dicaſteriis Athenienſium. De Athenienſium legibus & moribus. De Pergami Regibus lib. V. De uſu, ſive de nominibus veſtitus, & aliarum rerum, quibus utimur. Eſt autem opus ſcriptum ordine alphabetico. De Ulyſſis errore. Ocytocion: ſive, Collectio epithetorum, eidem rei convenientium, ad expeditam dictionis copiam parandam, libris X.

Τηλία.[7] σανὶς, ἡ λεγομένη κάρδοπος· στηλία τὶς οὖσα· ὥσπερ τὸ σήμερον, τήμερον. ἐκαλεῖτο δὲ ἰδίως τηλία, περίφραγμα σανίδων ἐν τῇ ἀγορᾷ, ἐν ᾧ ἄλφιτα ἐπιπράσκοντο. καὶ οἱ ὀρτυγοτρόφοι τοὺς ὄρτυγας συνέβαλλον ἐν τούτῳ. Ἄλλως. Σανὶς πλατεῖα, ἐφ' ἧς ἀλφιτοπωλοῦσι. τινὲς δὲ τηλίαν ξύλον φασὶ πλατὺ, εἰς ὃ τιθέασιν οἱ ἀρτοκόποι τοὺς ἄρτους ἐπὶ τῷ ξηραίνεσθαι. ἄλλοι δὲ τηλίαν, τῆς καπνοδόχης τὸ πῶμα, ὅ ἐστι περιφερές. Φησὶν οὖν ἡ γραῦς ἐν [8] Ἀριστοφάνους δράματι·

Διὰ δακτυλίου μὲν οὖν ἐμέγ' ἂν διελκύσαις.

ὁ δὲ, ὅτι ἑλκυσθείης ἂν, ἐὰν ᾖ δακτύλιος τηλία.

Τηλία. Tabula. Item, arca farinaria, ſive mactra, quæ & κάρδοπος dicitur. Τηλία autem dictum eſt pro στηλία, [verſo σ in τ:] ut pro σήμερον dicitur τήμερον. Proprie vero τηλία eſt ſeptum in foro ex tabulis factum, intra quod farinæ vendebantur. In eo etiam coturnices committebant, qui eas alebant. Aliter. [Τηλία,] tabula lata, in qua farinam ſubigunt. Quidam vero dicunt, τηλίαν eſſe aſſerem latum, in quo piſtores ponunt panes, ut exſiccentur. Alii autem τηλίαν appellant fumarii operculum, quod eſt rotundum. Dicit igitur anus apud Ariſtophanem in fabula [*Pluto*:] *Per annulum ſane me tra-*

1 Τηλεσκόπῳ ὄμματι] Ariſtoph. *Nubibus*, pag. 141. (76. Ed. Baſ. *P.*)
———— Ἐπιδώμεθα
Τηλεσκόπῳ ὄμματι γαῖαν.
Huc Suidas reſpexit.

2 Τηλεφάνης] Epitaphium hujus Telephanis exſtat Anthol. lib. II. cap. VIII. Vide etiam Paul. Leop. Emendat. lib. XII. cap. IX.

3 Τηλεφανεῖς. ἀφ' ὧν ἐσ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 141.

4 Ἀριστοφάνης] *Nubibus*, pag. 176. (106. Ed. Baſ. *P.*) unde loci hujus ſenſus, qui mutilus eſt, ſuppleri debet. Notandum autem eſt, pro ἐκ πηριδίου in Edit. Ariſtophanis Genev. hodie legi ἐρειπίου: ſed minus recte. Lectio enim Suidæ, quam & vetuſtiores Editt. Ariſtophanis agnoſcunt, præferenda eſt. Confer Menag. ad Laert. lib. VI. num. 87.

5 Ἔγραψε καὶ αὐτός] Locus hic eſt mutilus, videturque excidiſſe nomen operis alicujus; ut ex ſequentibus illis, ἐν οἷς, haud obſcure colligitur. Præterea, ſupervacaneæ ſunt duæ hæ voculæ, καὶ αὐτός; quandoquidem nihil præceſſit, ad quod referri poſſint. Vide Nos ſupra ad v. Ἴβηρς Τιβεριεύς, ubi ſimilis locus occurrit.

6 Περὶ τῶν παρ' Ὁμήρῳ σχημάτων Ῥητορικῶν] Sic locus hic in optimo MS. A. abſque interpunctione legitur. At in MStis B. & C. itemque in prioribus Editt. omnibus, τελεία στιγμὴ poſita eſt inter σχημάτων, & Ῥητορικῶν, quaſi Ῥητορικῶν ſit opus novum, & a priori diſtinctum: quod minime probo.

7 Τηλία. σανίς. ἡ λεγ.] Quæ Suidas hic de voce τηλία tradit, leguntur etiam apud Schol. Ariſtoph. ad *Plutum*, pag. 100. (49. Ed. Baſ. *P.*)

8 Ἐν Ἀριστοφάνους δράματι] In *Pluto* nimirum, pag. 100.

τοῦτο

τοῦτο δὲ εἶπεν, ὡς παχείας οὔσης, καὶ μὴ δυναμένης διὰ δακτυλίου ἑλκυσθῆναι, ἀλλὰ τηλίας. ἤ, τηλία μέν ἐστιν ἡ ἀτρύπητος σανίς. ἐὰν δὲ τρυπηθῇ, ἀψὶς γίνεται.

here poſſis. Chremylus vero reſpondet: *Trahi utique* [*per annulum*] *queas, ſi quidem annulus ſit circulus cribri.* Hoc autem dixit, quod anus illa eſſet craſſa, nec per annulum trajici poſſet, ſed per circulum cribri. Vel, τήλια eſt tabula non perforata. Si vero perforetur, dicitur ἀψίς.

Τηλία.[1] πῆγμα τετράγωνον, ἐφ' οὗ ἤτοι τὰ ἄλφιτα πιπράσκεται, ἢ ἀλεκτρυόνες συμβάλλονται. καὶ ἡ περιφέρεια τοῦ κοσκίνου.

Τηλία. Pegma, ſive tabulatum quadratum, in quo farinæ venduntur, vel galli committuntur. Item, ambitus cribri.

Τῆλις. εἶδος ὀσπρίου, ἥτις ἑψηθὲν ἐπιχεομένη ὄλισθον ἐμποιεῖ τοῖς ποσὶ τῶν ἀνθρώπων ἐπισφαλῆ·[2] ὅπερ Ἰώσηπος περὶ τὴν πολιορκίαν ἐμηχανήσατο.

Τῆλις. Telis. Genus leguminis, [quod quidam fœnum Græcum vocant.] Hoc ſi effundatur decoctum, ſolum adeo lubricum reddit, ut ingredientium veſtigia fallat: quo commento Joſephus adverſus obſidentes uſus eſt.

Τηλόθι, καὶ τηλόσε. πόῤῥω, μακράν.

Τηλόθι, & τηλόσε. Longe. Procul. [Sed prius ſignificat quietem in loco: alterum, motum ad locum.]

Τηλοπέτους. τῆς πόῤῥω πετομένης. ἐν Ἐπιγράμματι·

Ἀμβροσίων[3] ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
Δῶρον ἀφ' ἱμάντου τηλοπέτευς ἀγέλης.

Τηλοπέτευς. Longe volantis. In Epigrammate: *Ambroſiorum favorum mel multum cum verno tempore collegiſſet, donum gregis paſtore carentis, longeque volantis.* [Id eſt, examinis apum.]

Τηλωπός. ἔκδημος.[4] Σοφοκλῆς·

——— Εἰ τὰ νῦν
Τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.

Τηλωπός. Peregre degens. Extra patriam degens. Sophocles: *Si nunc peregre profectus hoſtes obſervat.*

Τηλύγετος.[5] μονογενής. καὶ τηλύγετον, μονογενῆ. Ὅμηρος·

Ὅς μοι τηλύγετος τρέφεται θαλίῃ ἐνὶ πολλῇ.

ὁ προήκουσι τοῖς γονεῦσι γενόμενος, μεθ' ὃν οὐκέτι γεννηθῆναι ἕτερος, λέγεται τηλύγετος. καταχρῆται δὲ ἐνίοτε καὶ ἐπὶ τοῦ ἀγαπητοῦ, διὰ τὸ τοὺς ὀψίμως γεννηθέντας ἀγαπᾶσθαι.

Τηλύγετος. Unigenitus. Et τηλύγετον, unigenitum. Homerus: *Qui mihi jam ſeni natus alitur in multis deliciis.* Qui parentibus ætate jam provectis naſcitur, & poſt quem alius non naſcetur, is τηλύγετος vocatur. Interdum tamen etiam abuſive ſumitur pro charo, vel dilecto: quod illi, qui ſero nati ſunt, [a parentibus] amentur.

Τημελές. ἐπιμελές. καὶ τημελής. ἐπιμελής. σπουδαῖος.

Τημελές. Accuratum. Diligens. Studioſum. Et τημελής. Accuratus. Diligens. Studioſus.

Τημελήσαντες. ἐπιμεληθέντες.

Τημελήσαντες. Qui curarunt. Qui curam geſſerunt.

Τημελῆσαι. ἐπιμελήσασθαι. φροντίσαι.

Τημελῆσαι. Curare. Curam gerere.

Τημελούμενον. ἐπιμελούμενον. φιλοκαλούμενον.

Τημελούμενον. Illum, qui curatur, vel cujus cura geritur.

Τῇ μέν. ὅπου μέν. ἤ, ἐν μέρει.

Τῇ μέν. Ubi quidem. [Vel potius, Huc, Hac, vel Illac.] Vel, partim.

Τημένος.[6] ὄνομα κύριον.

Τημένος. Temenus. Nomen proprium.

Τήμερος.[7] ὁ σημερινός. καὶ ἔστι τὸ λεγόμενον ἐπὶ πράγματος. τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. καὶ ἐν Εἰρήνῃ·

Ἰὼ[8] Λακεδαίμων, τί ἄρα[9] ποιήσει τήμερα;

ἀντὶ τοῦ σημερινή.

Τήμερος. Idem quod σημερινός. Hodiernus. Et dicitur de re. At τήμερον, de tempore. Et in *Pace*: *Io Lacedæmon, quibus malis afficieris hodie!*

Τημοῦχος.[10] οὕτω καλοῦσι τοὺς ἄρχοντας Μεσσήνης. Τοὺς[11] γε μὴν Τημούχους καθῆραι πᾶσαν τὴν πόλιν, ὡς δὴ λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην.

Τιμοῦχος. Timuchus. Sic vocant magiſtratus Meſſeniorum. *Timuchos totam urbem luſtrare* [*jubebant,*] *quaſi purgamentis quibuſdam & piaculis liberatam.*

1 Τηλία. πῆγμα τετρ.] Ariſtophanes *Veſpis*, pag. 440.
——— Πῶς δ' ἡ τηλία.
Scholiaſtes ad eum locum: Τηλία, σανὶς βαθεῖα, ἐν ᾗ τὰ ἄλφιτα ἐν τῇ ἀγορᾷ ἐπιπρασκον.

2 Ὅπερ Ἰώσηπος περὶ τὴν πολιορκ.] Locus Joſephi, ad quem Suidas reſpexit, exſtat lib. III. *de Bell. Jud.* cap. XIX. pag. 847. ubi verba Hiſtorici hæc ſunt: Οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπεσφάλλον, τῆλιν ἑφθὴν ὑποχέοντες ταῖς σανίσιν, ἧς ἐπολισθαίνοντες, ὑπεσύροντο, &c.

3 Ἀμβροσίων ἔαρος κ.] Diſtichum hoc eſt pars Epigrammatis, quod ex cod. MS. integrum publici juris fecimus ſupra, v. Θαλάμη. In Pentametro autem, quem Suidas hic citat, pro ἀφ' ἱμάντου (quod corruptum eſt) in Anthologia inedita legitur ἀποιμάντου. Sed nec illam lectionem mendo omnino vacare puto. Scribendum enim potius arbitror, ἀποιμάντου, i.e. paſtore carentis: quod epithetum apibus eleganter tribuetur.

4 Σοφοκλῆς] In *Ajace*, pag. 34. ut Portus monuit.

5 Τηλύγετος] Præter alios Grammaticos vide etiam Schol. Homeri ad Il. I. v. 143. & Schol. Apoll. Rhod. ad lib. 1. v. 99. 149. & 719.

6 Τημένος] Potius, Τημενός. Vide Nos ſupra ad v. Τήβεννα.

7 Τήμερος. ὁ σημ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 98. Ed. Baſ.

8 Ἰὼ Λακεδ.] Verſus hic non eſt ſumptus ex Ariſtophanis *Pace*, ſed ex ejus *Holcadibus*, ut docet Scholiaſta Ariſtoph. loco laudato.

9 Ποιήσει] Scribe, πείσει, a πάσχω: ut apud Enarratorem Comici.

10 Τημοῦχος] Scribe Τιμοῦχος, per ι, & ſuo loco pone.

11 Τοὺς γε μὴν Τημ.] Scribe, Τούς γε μὴν Τιμούχους καθῆραι τὴν πόλιν, &c. Sic enim legitur ſupra v. Ἐπίκουρος, ubi locum integrum habes.

Τῆνα. ἐκείνη. [1]Θεόκριτος·

Ἀδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

Τὴν Ἀκεσαίου σελήνην. παροιμία. λέγεται δὲ ἐπὶ τῶν διαμελλόντων καὶ βραδυνόντων. υἱὸς δὲ Νηλέως ὁ Ἀκεσαῖος κυβερνήτης.

Τηνάλλως. μάτην. καὶ, οὐ τηνάλλως, μετὰ τῆς ἀποφάσεως λέγεται. ὁ δὲ Φιλήμων Νυκτί·

Τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων.

Ἔστι καὶ παρὰ τοῖς περὶ Δημοσθένην· καὶ ἐν Θεαιτήτῳ Πλάτωνος. Ὡς δὲ λόγους τηνάλλως ταῦτα ἤκουσαν ὄντα, χωροῦσιν ἐς σύμβασιν πρὸς Ζήνωνα πάλιν.

Τὴν αὐτὴν ταύτην ἀναχορεύσωμεν ὄρχησιν. ἀντὶ τοῦ, ἐπὶ τὴν αὐτὴν πρᾶξιν ἐπανέλθωμεν. τοῦτο εἴρηκε Μάρκος πρὸς Ζήνωνα τὸν βασιλέα. Τὴν αὐτὴν ταύτην καὶ δεύτερον ἀναχορεύσωμεν ὄρχησιν.

Τὴν [2]γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων

Εἶναι σφετέραν· τὴν δὲ σφετέραν, τῶν πολεμίων·

Πόρον δὲ, τὰς ναῦς· ἀπορίαν δὲ, τὸν πόρον.

[3]Εἴρηται τοῦτο κατὰ τὴν Περικλέους γνώμην, ὃς ἐκέλευσεν Ἀθηναίοις, ἐμβαλόντων μὲν τῶν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι· τὸν δὲ διὰ θαλάσσης, τοῦτον ἡγεῖσθαι πόρον. ἢ οὕτως· Ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν. τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τούτου γένηται, τοῦτον ἀπορίαν νομίζειν· οἷον, τὰ [4]θεωρικὰ, καὶ τὰ δικαστικά. συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γενομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι.

Τὴν γλαῦκα πωθάζουσι τήνδε. ἀντὶ τοῦ ταύτην.

Τὴν [5]δωριστὶ μόνον ἁρμονίαν ἁρμόττεσθαι τὴν λύραν· ἄλλην δ' οὐκ ἐθέλω. τουτέστι, τὴν δωροδοκιστί.

Τήνελλα.[6] μίμημα φωνῆς κρούματος αὐλοῦ ποιᾶς. Ἀρχίλοχος·

Τήνελλα,[7] καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεις,

Αὐτός τε, καὶ Ἰόλαος, αἰχμητὰ δύω.

[8]Ἀριστοφάνης·

Ἀλλ' ἐὰν μέντοιγε νικᾷς τῇ βοῇ, τήνελλος εἶ.

ἀντὶ τοῦ, νικηφόρος. Τήνελλα δὲ, κρουμάτιον ἐπινίκιον. ἢ τήνελλος, ἁρμονία λύρας. ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ.

Ἢν[9] δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς. [10]ὁ δὲ πυραμοῦς, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ πυρῶν πεφρυγμένων· ὡς σησαμοῦς, ὁ διὰ σησά-

Τήνα. [Dorice, pro] ἐκείνη. Illa. Theocritus: *Suavis eſt ſuſurrus: & pinus, caprarie, illa.*

Τὴν Ἀκεσαίου σελήνην. *Aceſæi lunam.* Proverbium, quod dicitur de cunctatoribus & ceſſatoribus. Aceſæus autem, Nelei filius, gubernator fuit.

Τηνάλλως. Inaniter. Fruſtra. Dicitur & οὐ τηνάλλως, cum negatione, non fruſtra. Philemon *Nocte: Caniſtrum vero puer circumit fruſtra tenens.* Exſtat etiam vox hæc apud Demoſthenem: itemque in *Theæteto* Platonis. *Cum audiviſſent hæc verba tantum eſſe inania, ad compoſitionem cum Zenone faciendam redierunt.*

Τὴν αὐτὴν ταύτ. *Eandem ſaltationem denuo ſaltemus.* Pro, Ad eandem actionem redeamus. Hoc dixit Marcus ad Zenonem Imperatorem.

Τὴν γῆν ὅτ. *Terram hoſtium cum putaverint eſſe ſuam; ſuam vero, hoſtium: naves, viam ſalutis; cæteras autem vias invias.* Hæc erat ſententia Periclis, qui, cum Lacedæmonii irruptionem in Atticam feciſſent, Athenienſibus auctor fuit, ne illis obviam prodirent, ſed intra mœnia manerent, ipſique Laconicam claſſe invaderent. In expeditione igitur terreſtri ne ullam ſpem ſalutis ponerent: at contra, expeditionem navalem viam ſalutis exiſtimarent. Vel ſic. [Pericles Athenienſibus ſuaſit,] ut ſolas opes ducerent, naves quam plurimas habere: pro damno vero reputarent pecuniam, quæ in alios uſus impenderetur, veluti in Spectacula & Judicia. Auctor igitur erat, ut omnes ſumptus, qui in iſta conferebantur, navibus aſſignarentur.

Τὴν γλαῦκα πωθ. Noctuam derident iſtam. Τήνδε, pro ταύτην.

Τὴν δωριστὶ μόν. *Doricæ tantum harmoniæ eum ſemper accommodare lyram: aliam vero nolle diſcere.* [Dum δωριστὶ dixit, tacite eum perſtringit, ut munerum captatorem:] quaſi dixiſſet, δωροδοκιστί.

Τήνελλα. Tenella. Imitatio cujuſdam ſoni, quem edit tibia, [vel lyra.] Archilochus: *Tenella, inclyte hoſtium victor, ſalve Rex Hercules: tuque ipſe, & Iolaus, bellatores duo.* Ariſtophanes: *Sed ſi quidem illum vincas clamore, triumphus tibi accinetur.* Vel, victor eris. Τήνελλα enim, eſt carmen, quod in laudem victoris lyra canitur. Vel, τήνελλος, harmonia lyræ. Si igitur, [inquit,] clamando eum vincas, muſicorum præſtantiſſimus eris *Sin impudentia eum ſuperes; noſter erit pyramus.* Pyramus autem eſt genus placentæ, ex melle cocto & frumento toſto confectum; ut ſeſamus ex ſeſamo. Hæ pla-

1 Θεόκριτος] *Idyll.* 1. v. 1.

2 Τὴν γῆν ὅταν νομ.] Hæc ſunt verba Ariſtophanis *Ranis*, pag. 180. (186. Ed. Baſ. *P.*)

3 Εἴρηται τοῦτο κατὰ τὴν Περικλ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli leguntur etiam apud Scholiaſtam ad modo indicatum locum Ariſtophanis; itemque apud Noſtrum ſupra, v. Περικλῆς.

4 Τὰ θεωρ.ικά] Scribe, τὰ θεωρικά. Vide ſupra v. Θεωρικά.

5 Τὴν δωριστί μ.] Hæc ſunt verba Ariſtoph. *Equit.* pag. 346. (243. Ed. Baſ. *P.*) ſed ubi ultima ſic leguntur, Ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν.

6 Τήνελλα. μίμημα φων.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* in fine.

7 Τήνελλα, καλλίνικε χ.] Sic etiam legitur apud Scholiaſtam Ariſtophanis loco laudato. At metri gratia ſcribendum potius eſt,

Τήνελλα, καλλίνικ' ἄναξ χαῖρ' Ἡράκλεις.

8 Ἀριστοφάνης] *Equit.* pag. 303. (204. Ed. Baſ. *P.*)

9 Ἢν δ' ἀναιδ.] Et hic Senarius legitur apud Ariſtoph. loco laudato.

10 Ὁ δὲ πυραμοῦς, εἶδος πλακ.] Hæc, & quæ ſequuntur, nihil faciunt ad vocem τήνελλα, ſed ad vocem πυραμοῦς. Vide ſupra v. Πυραμοῦς, ubi eadem leguntur.

μης

μνς. ταῦτα δὲ ἐπίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς. εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας. καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, νικήσας ἐλάμβανε τὸν πυραμοῦντα. ὁ δὲ νοῦς, ὅτι, ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργίαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ περμάτιον. τουτέστιν, ἡ νίκη.

Τὴν ἐμὴν κάμνει νόσον. παροιμία. ὡς ἡ τοιαύτη· Ταυτὸν ἕλκομεν ζυγόν.

Τὴν θύραν ἔχων τετρημένην, ὥσπερ αἱ ποίμναι. ἐπὶ τοῦ ἀπανθρώπου καὶ ἀπροσπελάστου.

Τηνικαῦτα. τότε.

Τὴν [1] κατὰ σαυτὸν ἔλα. ἀπὸ χρησμοῦ τινος ἐλέχθη. τουτέστιν, οἷος εἶ, τοιοῦτος καὶ φαίνου, καὶ μείζοσι μὴ συμπαρεκτείνου. τοῦτο οἱ μὲν Πιττακοῦ εἶναί φασιν ἀπόφθεγμα· οἱ δὲ, Σόλωνος. ἔνιοι δὲ αὐτὸ Χίλωνα εἰπεῖν συμβουλευομένῳ τινὶ, εἰ πλούσιον ἕλοιτο γάμον.

Τὴν λεοντῆν ἐνδύου. ἴσον τῷ γενναίζου.

Τῆνος. μία τῶν Κυκλάδων νήσων.

Τὴν ταχίστην. ἐπίρρημα, ἀντὶ τοῦ ταχέως. [2] Ὁ δὲ Φιλοτίμως εἶχε πρὸς τὴν ταχίστην κρῖναι τὰ ὅλα.

Τὴν τράπεζαν οἴσομαι. [3] Ἀριστοφάνης. τουτέστιν, ἐμαυτῷ ὑπηρετήσω, καὶ οὐ χρεία παιδός.

Τὴν [4] τρύγα συνεκπιεῖν.

Τὴν [5] χεῖρα προσφέροντα τὸν Θεὸν καλεῖν. Βοηλάτης ἐκ κώμης ἅμαξαν ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος. ἐκεῖνον γὰρ ἐκ πάντων τῶν Θεῶν ἀσπαζόμενος ἐτίμα. ὁ δὲ Θεὸς ἐπιστὰς, εἶπε· Τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, καὶ τότε τῷ Θεῷ εὔχου, ὅταν καὐτός τι ποιῇς· μὴ μὲν τοί γε μάτην εὔχου. ἐκ τούτου εἰς παροιμίαν εἰσήχθη.

Τηξιμελεῖ. φθοροποιῷ.

Τηξιμελεῖ [6] νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
Ἐς προτέρων ἔργων ἄρσενα μαρτυρίην.

Τήραιος. ὄνομα κύριον. ὁ Μῆδος.

Τηρεύς. [7] ὁ τηρῶν.

Τηρίβαζος. ὄνομα κύριον. [8] Ξενοφῶν· Ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε παρείη, οὐδεὶς ἄλλος τὸν βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν. ἀντὶ τοῦ, ἀνεβίβαζε.

centæ præmia proponebantur illis, qui [noctem] pervigilaſſent. Solebant enim in compotationibus de vigilia inter ſe certare; & qui ad auroram uſque pervigilaſſet, victor pyramuntem accipiebat. Senſus vero eſt: Etſi clamore ab ipſo victus fueris; at importuna curioſitate & impudentia cum ſuperaveris, nihilominus victoria noſtra erit.

Τὴν ἐμὴν κ. ν. *Meo laborat morbo.* Proverbium illi ſimile: *Idem trahimus jugum.*

Τὴν θύραν ἔχ. *Januam habens perforatam, ut paſtorum caſæ.* Dicitur de inhumano, & nullum cum aliis commercium habente.

Τηνικαῦτα. Tunc.

Τὴν κατὰ σαυτὸν ἔλα. [*Turbinem,*] *qui juxta te eſt, agita.* Hoc ex oraculo quodam ſumptum eſt. Senſus autem eſt, Qualis es, talis etiam videare, nec majora ſecteris. Hoc apophthegma alii dicunt eſſe Pittaci: alii, Solonis. Quidam vero tradunt, Chilonem id dixiſſe cuidam ipſum conſulenti, an opulenta uxor ducenda eſſet.

Τὴν λεοντῆν ἐνδύου. Leoninam pellem indue. Id eſt, fortem & ſtrenuum te præſta.

Τῆνος. Tenus. Una ex Cycladibus inſulis.

Τὴν ταχίστην. Adverbium, pro ταχέως. Celeriter. Quam primum. *Ille vero quam primum de ſumma rerum decernere cupiebat.*

Τὴν τράπεζαν οἴσομαι. Menſam feram. Hoc eſt, Mihi ipſe miniſtrabo, nec famulo opus eſt.

Τὴν τρύγα συνεκπιεῖν. Fæces una cum vino exhaurire.

Τὴν χεῖρα προσφ. Manum admovens operi, Deum invoca. Bubulcus ex vico plauſtrum agens, cum id in profundam voraginem incidiſſet, & ſuccurrendum eſſet, otioſus adſtabat, Herculem invocans, quem præ cæteris Diis colebat. Deus vero ad illum accedens, dixit: *Rotis manum admove, & boves ſtimula, & tunc Deum invoca, cum & ipſe feceris aliquid: ne autem Deorum opem vanis precibus expoſce.* Hinc proverbium ortum eſt.

Τηξιμελεῖ. Tabifico. [In Epigrammate:] *Tabifico morbo debilitatus, ſecum recoluit priſtina facinora, fortitudinem ſuam teſtantia.*

Τήραιος. Teræus. Nomen proprium. Medus.

Τηρεύς. Tereus. [Quaſi dicas,] ὁ τηρῶν. Cuſtodiens.

Τηρίβαζος. Teribazus. Nomen proprium. Xenophon: *Teribazus autem amicus erat Regis, &, quoties aderat, nullus alius Regem in equum tollebat.*

1 Τὴν κατὰ σαυτ.] Huc egregie faciunt ea, quæ notat Scholiaſtes Æſchyli ad *Prom. Vinct.* v. 886. Τὸν Πιττακὸν λέγει, inquit, ὅν ποτέ τις βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν μιᾶς οὔσης πλουσίας, τῆς δὲ ἑτέρας, πενεστέρας, κατὰ τὸ γένος αὐτοῦ ἀξίας, καὶ ἀπορῶν, ποίας κληθείη ἀνὴρ, ἠρώτησε, ποίᾳ χρήσεται γυναικί. τοῦ δὲ εἰπόντος, μέτιθι πρὸς τοὺς παῖδας, τοὺς πλησίον ἡμῶν ταῖς βέμβιξι παίζοντας (ὅ ἐστι ταῖς στρόμβαις) καὶ ἀπ' αὐτῶν μαθήσῃ, ποίᾳ ἂν χρήσαιο γυναικί. ἀπελθὼν ἐκεῖνος, ἠκροᾶτο τῶν παίδων λεγόντων πρὸς τὴν οἰκείαν στρόμβον, ΤΗ'Ν ΚΑΤΑ' ΣΑΥΤΟ'Ν ἜΛΑΥΝΕ· καὶ αἰσθόμενος τοῦ λόγου τῶν παίδων, τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο γυναικί. Hunc locum ideo adduxi, quod eum ab Eraſmo & Schotto, qui proverbia Græca collegerunt & illuſtrarunt, prætermiſſum eſſe videbam.

2 Ὁ δὲ φιλοτ.] Fragmentum hoc legitur apud Polybium lib. III. cap. LXX.

3 Ἀριστοφάνης] In *Pace,* pag. 700.
Καὶ τὴν τράπεζαν οἴσομαι, τοῦ παιδὸς οὐ δέους.

4 Τὴν τρύγα συνεκπιεῖν] Vide ſupra, v. Συνεκποτέα.

5 Τὴν χεῖρα προσφ.] Simile huic eſt proverbium, Σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει: de quo vide Noſtrum ſupra.

6 Τηξιμελεῖ νούσῳ κεκ.] Eſt pars Epigrammatis in Ælium, ſtrenuum belli ducem; quod integrum legitur Anthol. lib. III. cap. V. pag. 290. Confer etiam Noſtrum ſupra v. Θρασύχειρ.

7 Τηρεύς. ὁ τηρ.] Vide ſupra v. Ταώς, ubi locum hunc illuſtramus.

8 Ξενοφῶν] Ἀναβ. lib. IV. p. 327. ut Portus etiam monuit. Vide quoque v. Ἀνέβαλε, & v. Τηρίβαζος, ubi idem fragmentum legitur.

Τηρ-

Τηριδάτης. ὄνομα κύριον.

Τήρωνες. οἱ ἀρτιμαθεῖς τὰ πολεμικὰ, καὶ οὔπω ἐγγεγυμνασμένοι τοῖς κινδύνοις, τήρωνες καλοῦνται παρὰ Ῥωμαίοις.

Τῆς.[1] ἀντὶ τοῦ ταύτης. οὐκ ἔστι δὲ ἄρθρον. [2]Ὅμηρος· Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι. ἀντὶ τοῦ, ταύτης. καὶ ἐν Ὀδυσσείᾳ· Εἵνεκα τῆς ἀρετῆς. ἀντὶ τοῦ, ταύτης.

Τῆς[3] Μεγαρέων ἄξιοι μερίδος. ἀντὶ τοῦ, ἄτιμοι.

Τῆς μητρὸς ὡς αἲξ καλεῖται. οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται. ἀπὸ πατέρων γὰρ, ἀδύνατον.

Τῆς[4] μωρίας τὸν Δία νομίζειν ὄντα τηλικουτονί. ἐπὶ[5] τῶν παραλόγως τι λεγόντων, ἐνηλίκων ὄντων. οἷον τελείαν ἐχόντων τὴν ἡλικίαν, καὶ πάντα εἰδέναι ὀφειλόντων.

Τῆς[6] σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς ἐπιθυμίας. ζήτει ἐν τῷ Ὑπωπιάζω.

Τητᾶσθαι. στερίσκεσθαι. [7]Σοφοκλῆς·

> Τοιαῦτ' ἀκούσας, κἀξονειδισθεὶς κακὰ,
> Πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
> Πρὸς τοῦ κακίστου, κἀκ κακῶν, Ὀδυσσέως.

καὶ αὖθις·

> ——— Οὗ[8] τητώμεναι,
> Τὸ λοιπὸν ἤδη τοῦ βίου διάξετε.

Τῆτες, καὶ τῆτα. τούτῳ τῷ ἔτει. ἐπ' ἔτος.

> Ἐγελᾶτ',[9] ἀνθ' ὧν λαχὼν Ὑπέρβολος
> Τῆτες ἱερομνημονεῖν. ———

Ἀριστοφάνης Νεφέλαις. τοῦτο δὲ οἱ Δωριεῖς τᾶτες λέγουσι, καὶ διὰ τοῦ δ, τῆδες.

Τητινή. χθεσινή. καὶ οὐδέτερον, τητινόν.

Τητώμενον. στερισκόμενον.

Τηΰσία. ματαία.

Τί. οἱ ἀπὸ τῆς Στοᾶς τοῦτο τὸ Τὶ γένος τοῦ Ὄντος τίθενται. τὸ γὰρ Τὶ δῆλον ὅτι καὶ ὄν. εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ κατ' ἀσωμάτων.

Τιάρα. κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις· οἱ δὲ στρατηγοὶ, κεκλιμένην. καὶ Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημερίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι· ὡς [10]Φίλαρχος ἐν ἑνδεκάτῳ. τὸ δ' αὐτό φασιν εἶναι καὶ [11]κίταριν. Θεόφραστος δ' ἐν τῷ περὶ βασιλείας Κυπρίων, τὴν κίταριν, ὡς διάφορον.

Τηριδάτης. Teridates. Nomen proprium.

Τήρωνες. Tirones. Sic apud Romanos vocantur milites novitii, & bellorum adhuc inexperti.

Τῆς. [Interdum ponitur] pro ταύτης. Hujus. Non eſt autem articulus. Homerus: *Nunquam ſe hujus lectum adſcendiſſe.* Et in *Odyſſea: Propter hanc virtutem.* Τῆς enim hic ponitur pro ταύτης.

Τῆς Μεγαρ. *Digni, qui Megarenſium loco habeantur.* Id eſt, Nullo honore digni. Contempti.

Τῆς μητρ. *A matre tanquam capra denominatur.* Hœdi enim in caprarum gregibus ex matribus dignoſcuntur. Ex patribus enim dignoſci non poſſunt.

Τῆς μωρ. *Stultum eſt exiſtimare, Jovem eſſe, cum ejus jam ſis ætatis.* Dicitur in eos, qui abſurde quid dicunt, quamvis adultæ & perfectæ jam ſint ætatis, & omnia ſcire debeant.

Τῆς σαρκὸς πρ. *Ne carnem curetis ad cupiditates [ejus explendas.]* Vide in v. Ὑπωπιάζω.

Τητᾶσθαι. Privari. Sophocles: *Talibus ab eo probris exceptus, domum navigo, rebus meis privatus a peſſimo & ex malis procreato Ulyſſe.* Et iterum: *Quo [patre] orbatæ reliquum vitæ tempus tranſigetis.*

Τῆτες, & τῆτα. Idem valet ac τούτῳ τῷ ἔτει. Hoc anno. *Ridebatis, quod Hyperbolus ſcriba ſacrorum hoc anno ſorte lectus eſſet.* Ariſtophanes *Nubibus.* Dorienſes autem pro τῆτες dicunt τᾶτες, & per δ, τῆδες.

Τητινή. Heſterna. Et τητινόν, genere neutro, heſternum.

Τητώμενον. Privatum. Orbatum.

Τηΰσία. Inanis. Vana.

Τί. Aliquid. Stoici τὸ Aliquid genus Entis ponunt. Manifeſtum enim eſt, τὸ Aliquid etiam eſſe Ens. Si vero eſt Ens, Entis etiam definitionem admittet. Quare etiam generalius id eſſe dicunt, quippe quod non ſolum de corporibus, ſed etiam rebus incorporeis dicatur.

Τιάρα. Tiara. Capitis ornamentum. Hanc ſoli Reges rectam apud Perſas ferebant: Duces vero, inclinatam. Et Demaratus Lacedæmonius, qui cum Xerxe Athenas ivit, cum ob rem feliciter geſtam Rex ipſi permiſiſſet, ut peteret quidquid vellet; petiit, ut recta tiara Sardes ingredi ſibi liceret, ut Phylarchus libro XI. tradit. Idem autem eſſe dicunt & Citarin. Theophraſtus vero in libro de Cypriorũ Regno, Citarin diverſam ſtatuit.

1 Ἀντὶ τοῦ ταύτης. οὐκ ἔστι δὲ ἄρθρον] Obſervatiuncula hæc infirmo tibicine nititur. Potius enim contra Suidam dixerim, voculam τῆς in ſubjunctis locis Homeri eſſe articulum, non vero ibi pro ταύτης poni.

2 Ὅμηρος] Il. I. v. 133.

3 Τῆς Μεγαρέων ἄξ.] Confer Noſtrum ſupra, v. Μεγαρέων ἄξιοι μερίδος: & infra, v. Ὑμεῖς ὦ Μεγαρεῖς.

4 Τῆς μωρίας τὸν Δ.] Hæc ſunt verba Ariſtophanis *Nubibus*, pag. 172. (103. Ed. Baſ. *P.*)

5 Ἐπὶ τῶν παραλόγως τι λεγόντων, ἐνηλ.] Videtur Grammaticus noſter exiſtimaſſe, citata verba Ariſtophanis ſenſum proverbialem habere. Sed id cum ſecus ſe habeat, obſervatiuncula hæc lituram meretur.

6 Τῆς σαρκὸς πρ.] Hæc ſunt verba Divi Pauli ad Rom. XIII. 14.

7 Σοφοκλῆς] In *Philoctete*. pag. 389. ut Portus monuit.

8 Οὗ τητώμ.] Fragmentum hoc legitur apud eundem Sophoclem *Oedip. Colon.* pag. 323. ut itidem Portus monuit.

9 Ἐγελᾶτ', ἀνθ' ὧν λ.] Ariſtoph. *Nubibus*, pag. 163. (*95.* Ed. Baſ. P.)

10 Φίλαρχος] Scribe, Φύλαρχος.

11 Κίταριν] Vide Heſych. v. Κίδαρις.

Τιαροφόρος. Tiarifer. Qui tiaram fert.

Τὶ βαιόν. ἀντὶ τοῦ, οὐδὲ ὀλίγον. [1] Σοφοκλῆς·

Τί βαιὸν οὕτως ἐντρέπῃ τοῦ συμμάχου.

Τὶ βαιόν. Quare tam parum? Id eſt, Ne parum quidem. Sophocles: *Adeone parum curas belli ſociam.*

Τιβέριος, φιλόσοφος, καὶ σοφιστής. Περὶ ἰδεῶν λόγου, βιβλία γʹ. Περὶ παρασκευῆς. Περὶ μεταποιήσεως. Περὶ ἱστορίας. Περὶ λόγου τάξεως καὶ συνθέσεως. Περὶ διαιρέσεως λόγου. Περὶ μεταβολῆς λόγου πολιτικοῦ. Περὶ λόγων ἐπιδεικτικῶν. Περὶ προλαλιῶν καὶ προοιμίων. Περὶ ἐπιχειρημάτων. Περὶ Δημοσθένους καὶ Ξενοφῶντος. Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

Τιβέριος. Tiberius, Philoſophus, & Sophiſta. Scripſit de Formis orationis lib. III. De Apparatu. De Commutatione. De Hiſtoria. De Diſpoſitione & Compoſitione orationis. De Civilis orationis mutatione. De Demonſtrativis orationibus. De Præfationibus & Proœmiis. De argumentis. De Demoſthene & Xenophonte. De Herodoto & Thucydide.

Τιβέριος, [2] Ὀκταυΐου υἱός, βασιλεὺς Ῥωμαίων, ἐμπλήκτως καὶ ἀνοήτως τὴν ἀρχὴν διῳκήσατο, φοβερᾷ μὲν ὠμότητι, μυσαρᾷ δὲ καὶ ἀθέσμῳ πλεονεξίᾳ, αἰσχρᾷ τε ἡδυπαθείᾳ χρησάμενος. στρατείαν μὲν γὰρ ἅπασαν αὐτὸς ἠρνήσατο, διὰ δὲ τῶν ὑποστρατήγων γλίσχρως καὶ ῥᾳθύμως τοῖς ἐναντίοις προσεπολέμει. κακοήθης δὲ ὤν, ἔστιν οὓς τῶν συμμάχων βασιλεῖς τῶν οἰκείων ἀρχῶν ἀπάτῃ μετελθὼν ἀφείλετο· ὧν Ἀρχέλαος ἦν ὁ Καππαδόκων βασιλεύς, ὃν ἠπίοις καὶ θεραπευτικοῖς καλέσας ὡς ἑαυτὸν λόγοις, οὐκέτι πρὸς τὴν οἰκείαν ἀπονοστῆσαι συνεχώρησεν, ἀλλ' ἐπαρχίαν τὴν Καππαδοκίαν ἀπέφηνε, καὶ τὴν μεγίστην τῶν τῇδε πόλεων, [3] Μάζακα ἔμπροσθεν ὑπὸ τῶν ἐποίκων ὀνομαζομένην, ἀφ' ἑαυτοῦ φέρειν τὴν προσηγορείαν ἐπέταξεν· ἥπερ δὴ καθ' ἡμᾶς Καισαρός ἐστιν ἐπώνυμος. ἐς γῆρας δὲ ὅμως μακρὸν προελθὼν θνήσκει.

Τιβέριος. Tiberius, Octavii filius, Romanorum Imperator, ſtolide & amenter imperium adminiſtravit, terribili crudelitate, deteſtanda avaritia, nefaria turpique voluptate uſus. Omnem enim bellicam expeditionem ipſe recuſavit: per legatos vero ſordide & oſcitanter hoſtibus bellum fecit. Cum autem eſſet homo malitioſus, nonnullos ſocios Reges fraude circumventos, ſuis regnis ſpoliavit. Ex horum numero fuit Archelaus, Cappadocum Rex, quem blandis & benignis verbis ad ſe vocatum, non amplius in regnum ſuum redire ſivit, ſed Cappadociam in provinciam redegit, & maximam illius regionis urbem, ab incolis Mazaca prius vocatam, de ſuo nomine appellari juſſit: quæ nunc Cæſaris nomen fert, [& Cæſarea vocatur.] Ad longam tamen ſenectutem provectus obiit. *Port.*

Τιβέριος, [4] βασιλεὺς Ῥωμαίων. οὗτος ἰδιαιτάτῃ φύσει ἐκέχρητο· οὔτε ὧν ἐπεθύμει, προσεποιεῖτό τι, καὶ ὧν ἔλεγεν, οὐδὲν ποιεῖν ἐβούλετο· ἀλλ' ἐναντιωτάτους τῇ προαιρέσει τοὺς λογισμοὺς ποιούμενος, πᾶν, ὃ ἐπόθει, ἠρνεῖτο, καὶ πᾶν, ὃ ἐμίσει, τούτῳ προσετίθετο. [5] τοὺς πλείονα ἐπαίροντας ἄρχοντας ἐκόλαζε, λέγων, κείρεσθαί μου τὰ πρόβατα, ἀλλ' οὐ ξυρᾶσθαι βούλομαι. οὕτω δὲ ἦν ἴσος, ὥστε ὀρχηστήν τινα ποτὲ [6] ἐλευθερωθῆναι βουληθέντα, μὴ πρότερον συνεπαινέσαι, πρὶν τὸν δεσπότην αὐτοῦ πεισθῆναι, καὶ τὴν τιμὴν λαβεῖν. τοῖς [7] γὰρ ἑταίροις ἐν ἰδιωτείᾳ ἦν, καὶ συνηγωνίζετο, φρουρὰν μὴ ἐπαγόμενος. καὶ παρήγγειλε σηρικῇ ἐσθῆτι μὴ χρῆσθαί τινα. αἰφνιδίως δὲ εἰς τὴν χείρονα γνώμην μετετέθη, ὥστε παραφρονεῖν νομισθῆναι. τοῦτο δὲ τὸ ἀρχαῖον ἐφθέγξατο·

Ἐμοῦ θανόντος γαῖα μιχθήτω πυρί.

καὶ τὸν Πρίαμον ἐμακάριζεν, ὅτι μετὰ τῆς πατρίδος καὶ τῆς βασιλείας ἀπώλετο.

Τιβέριος. Tiberius, Romanorum Imperator. Hic peculiari quodam ingenio præditus fuit. Nam neque præ ſe ferebat, quæ cuperet; & eorum, quæ diceret, nihil omnino cupiebat: ſed cum verbis ab animi ſententia longe diſcrepantibus uteretur, negare, quæcunque appeteret; contra, quæcunque odiſſet, probare conſueverat. His moribus cum eſſet, Præſides, qui plus pecuniæ, quam conſtitutum erat, ex provinciis cogebant, pœna afficiebat, tonderi oves ſuas, non radi velle ſe dicens. Adeo autem æquo & civili jure cum omnibus agebat, ut, cum populus hiſtrionem quendam manumitti poſtulaſſet, non prius adſenſus ſit, quam dominus illius adnuiſſet, pretiumque ejus accepiſſet. Cum ſodalibus perinde ac privatus verſabatur familiariter, eoſque & in judiciis defendebat, [& ægrotantes inviſebat,] ſine ullo ſatellitum comitatu. Edicto etiam vetuit, ne quis ſerica veſte uteretur. Repente autem in deterius mutatus eſt, adeo ut quidam eum inſanire crederent. Idem vetus illud dictum uſurpavit: *Me mortuo terra miſceatur igni.* Priamum etiam beatum prædicavit, quod una cum patria & regno periiſſet.

1 Σοφοκλῆς] In *Ajace*, pag. 6. ut Portus monuit.

2 Τιβέριος, Ὀκταυΐου υἱός, βασ.] Quæ hic Suidas de Tiberio refert, ſumpta ſunt ex Græca verſione Eutropii, non ea, quam hodie habemus, ſed alia multo vetuſtiore, quæ hodie intercidit. Latina autem Eutropii ſic ſe habent: *Tiberius ingenti ſocordia imperium geſſit, gravi crudelitate, ſceleſta avaritia, turpi libidine. Nam nuſquam ipſe pugnavit: bella per legatos geſſit ſuos. Quoſdam Reges per blanditias ad ſe evocatos nunquam remiſit: in queis Archelaum Cappadocem; cujus etiam regnum in provinciæ formam redegit, & maximam civitatem appellari nomine ſuo juſſit; quæ nunc Cæſarea dicitur, cum Mazaca antea vocaretur.* Ex his Græca Suidæ expreſſa eſſe apparet.

3 Μάζακα] Vide Stephanum Byzant. v. Μάζακα, & ibi Interpretes.

4 Τιβέριος, βασιλεὺς Ῥωμ.] Hæc Joanni Antiocheno tribuuntur in Collectaneis Hiſtoricis a Valeſio editis, pag. 801.

5 Τοὺς πλείονα ἐπαίροντας ἀρχ.] Plenius & planius Joannes Antiochenus: Τοιοῦτος δή τις ὢν τοὺς ἄρχοντας, οὓς ὑπὲρ τὸ διατεταγμένον λαμβάνοντας εὕρισκεν, ἢ καὶ τὰ δημόσια σφετερίζοντας, ἐκόλαζε. λέγων, &c.

6 Ἐλευθερωθῆναι βουλ.] Joannes Antioch. rectius, τοῦ δήμου ἐλευθερωθῆναι βουληθέντος.

7 Τοῖς γὰρ ἑταίροις ἐν ἰδ.] Locus hic ex Joanne Antiocheno ſic legendus & ſupplendus eſt, τοῖς γε ἑταίροις ὡς ἐν ἰδιωτείᾳ συνῆν, δικαζομένοις συναγωνιζόμενος, καὶ θύουσι συνεορτάζων, νοσοῦντάς τε ἐπισκεπτόμενος, μηδεμίαν φρουράν, &c.

Τιβέριος. ἐν Κωνσταντινουπόλει βασιλεὺς Ῥωμαίων· ὃν συνίστησιν Ἰουστῖνος ἄνδρα πρᾶον ὁμοῦ, καὶ φιλάνθρωπον, κρείττονα λημμάτων, χρημάτων ἀφρόντιδα· τοῦτο μόνον εὐδαιμονίαν ἡγούμενον, τὸ τεθηλέναι τε καὶ εἰς μέγα πλούτου κομᾷν τὸ ὑπήκοον, τὴν κοινὴν τῶν ἀνθρώπων μακαριότητα πάγκαλον καὶ ἀσύλητον θησαυρὸν λογιζόμενον. ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας, καὶ πρὸς τὸ φιλόστοργον τῶν ὁμοφύλων ἀναδραμὼν, εἵλετο βασιλεύειν αὐτοῦ τὸ ὑπήκοον, ἢ τοὺς ἰθυνομένους τυραννικώτερον ἀνδραποδίζεσθαι, πατὴρ ἐθέλων, ἢ δεσπότης ὑπὸ τῶν ὑπηκόων ἀναγορεύεσθαι. ἄριστος ὑπάρχων ἐν νεότητι, καὶ πρὸς γῆρας ἐλθὼν, [1] αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ παραφρονεῖν αὐτὸν νομισθῆναι, καὶ πρὸς δαίμονος ἐλαύνεσθαι, καὶ πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μανίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ τοῖς παρὰ φύσιν, καὶ ἐν πάσῃ ἀδικίᾳ, καὶ τυραννίδι. οὕτω δὲ μεταπεσὼν εἰς κακίαν, καταστρέφει τὸν βίον.

Τιβέριος. Tiberius, Romanorum Imperator Conſtantinopolitanus: quem Juſtinus commendat, ut virum clementem ſimul & humanum, munerumque contemptorem, & ab omnibus avaritiæ ſordibus alienum: qui felicitatem in eo tantum poſitam ducebat, ut populus imperio ſuo ſubjectus floreret & opibus abundaret; communem hominum felicitatem præclarum & inviolatum theſaurum exiſtimans. Qui tyrannicum faſtum peroſus, & civium ſuorum amans, maluit ſubditos ſuos regnare, quam eos, qui ipſius imperio parebant, tyrannice mancipiorum inſtar tractari; pater potius, quam dominus a ſubditis vocari cupiens. Cum autem in juventute optimus fuiſſet, ſenex jam factus, in pejus ſubito mutatus eſt, adeo ut & deſipere putaretur, & a malo quodam dæmone agitari. Ad omnem enim impietatem, & inſaniam, & furorem, non ſolum in iis, quæ ſunt ſecundum, ſed etiam contra naturam, [pronus ferebatur,] omnique injuſtitia & tyrannide graſſabatur. Sic igitur ad vitia prolapſus, vitam finivit. *Port.*

Τιβεριέων δῆμος.

Τιβεριέων δῆμ. Tiberienſium populus.

Τιβία. [2] ὅλη ἡ Φρυγία οὕτω καλεῖται.

Τιβία. Tibia. Sic tota Phrygia vocatur.

Τί γὰρ δὴ δελφῖνι καὶ βοΐ φασι κοινὸν εἶναι· Σύλλα τε καὶ φιλοσόφοις;

Τὶ γὰρ δὴ δελφ. *Quid enim Delphini & bovi commune dicunt eſſe? Quid Syllæ cum Philoſophis?*

Τί [3] γάρ με λυποῖ τοῦθ', ὅταν λόγῳ θανὼν,
Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος;
Δοκῶ μὲν ὡς οὐδὲν ῥῆμα σὺν κέρδει κακόν.
Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς
Λόγῳ μάτην θνήσκοντας, τοῖς δ' ἔργοισιν οὔ.

[4] Ἀριστοφάνης·

Τί γάρ σε πέφευγ', ὅσα χρὴ
Σοφὸν ἄνδρα; τί δ' οὐ σὺ φρονεῖς, ὁπόσα
Χρεὼν τὸν σοφῇ δόκιμον
Φρενὶ, καὶ πορίμῳ τόλμῃ.

Τουτέστι, Τί σε πέφευγε; τί γὰρ οὐ ποιεῖς, ὅσα χρὴ τοὺς ἐπιστήμονας; Πορίμῳ δὲ, ἀντὶ τοῦ εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν.

Τί γάρ με λυπ. *Quare enim hoc dolore me afficiat, ſi ſermone quidem hominum ferar mortuus, re ipſa vero ſalvus ſim, & factis gloriam reportem? Nihil enim, quod quidem utilitatem alicui afferat, malum puto. Sæpe enim & ante vidi viros ſapientes verbis falſo mortuos, non autem factis.* Ariſtophanes: *Quid enim te fugit eorum, quæ ſapientem [ſcire] oportet? Quid non calles eorum, quæ callere oportet virum cata mente & exprompta audacia.* Vel, Quid enim non facis eorum, quæ rerum peritos facere decet? Πορίμῳ vero dixit, pro, ingenioſa, & ad excogitandas res varias expedita.

Τιγίλλιος. ὄνομα κύριον.

Τιγίλλιος. Tigillius. Nomen proprium.

Τίγρις. τὸ ζῶον. Τίγρης δὲ, ὄνομα ποταμοῦ.

Τίγρις. Tigris. Animal. Τίγρης vero, per η, Tigres. Nomen fluvii.

Τί δ' ἄλλο Μεγαροῖ; λείπει τὸ, ἢ ἀπολέσαι ἡμᾶς [5] σπουδάζεις;

Τί δ' ἄλλο Μεγαροῖ; *Quid vero aliud Megaris?* Deſideratur, *Quam nos perdere ſtudes?*

Τί δαί; τί δή; οὕτω μὲν λέγουσι τὸ τί δή. [6] Ἀριστοφάνης Πλούτῳ·

Τί δαί; τὰς τριήρεις οὐ σὺ πληροῖς; εἰπέ μοι.

Ἔστι δὲ σύνδεσμος ἐρωτηματικὸς διὰ τὴν ἔκτασιν διὰ διφθόγγου γραφόμενος. καὶ [7] Ὅμηρος· Τίς δαίς; τίς ὅμιλος; ἐν Ὀδυσσείᾳ.

Τί δαί; Quid vero? Quid igitur? Idem quod, τί δή. Ariſtophanes *Pluto*: *Quid vero? triremes nonne inſtruis? Dic mihi.* Eſt autem Conjunctio interrogativa, quæ propter productionem per diphthongum αι ſcribitur. Et Homerus: *Quod convivium? Quæ turba?* In Odyſſea.

Τί δαί; εἰπόντος τοῦ δανειστοῦ,

Ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;

Τί δαί; Quid vero? Quid ita? Cum fœnerator dixiſſet: *Deliro, quia pecuniam debi-*

1 Αἰφνίδιον εἰς τὴν χ.] Eadem in præcedenti articulo de Tiberio, Auguſti ſucceſſore, dicuntur. Quare videtur Compilator Tiberium hunc, qui erat Juſtini ſucceſſor, cum altero Tiberio confudiſſe: vel ſaltem huic male tribuere, quæ ad alterum pertinent.

2 Τιβία. ὅλη ἡ Φρ.] Nimirum a monte Tibio, qui ſitus erat in Phrygia. Vide Steph. Byzant. v. Τίβειον.

3 Τί γάρ με λυπ.] Quinque hi Senarii leguntur apud Sophoclem in *Electra*, pag. 82, 83. ut Portus monuit. Confer Noſtrum ſupra v. Ἤδη.

4 Ἀριστοφάνης] In *Pace*, pag. 699.

5 Σπουδάζεις] MS. A. rectius, σπουδάζειν.

6 Ἀριστοφάνης Πλούτῳ] Pag. 18. (9. Ed. Baſ. *P.*) ſed ubi pro τί δαί, rectius legitur, τί δή.

7 Ὅμηρος] Odyſſ. Α. v. 225. Cæterum, locus hic Poetæ nihil ad rem facit.

τοῦ δὲ Στρεψιάδου ἀντιφήσαντος·

Οὐκ ἔσθ' ὅπως σύ γ' αὐτὸς ὑγιαίνεις·

ἐπέφερεν ὁ δανειστής· Τί δαί.

Τί¹ δῆτα θεαῖν στρέφῃ; ἀντὶ τοῦ, Τί δὴ ἐνδιαλείβεις;

Τί² δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις; ἀντὶ τοῦ, ἐπὶ τελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσιν.

Οὐ γὰρ γένοιτ' ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

ἀντὶ τοῦ, ὅπως μὴ οὕτω σχοίη· κατὰ τὸ τοῦ Σιμωνίδου·

Τὸ γὰρ γεγενημένον οὐκέτ' ἄῤῥεκτον ἔσται.

Τί δῆτά σοι; τί σοι;

Τί ἐστι τὸ ἐν³ τοῖς Δημοσθένους Φιλιππικοῖς, Καὶ τὸ θρυλλούμενόν ποτε ἀπόῤῥητον ἐκεῖνο, Θεόπομπος ἐν λά. δεδήλωκε. Φησὶ γάρ· Καὶ πέμπει πρὸς Φίλιππον πρεσβευτὰς, Ἀντιφῶντα καὶ Χαρίδημον, πράξοντας καὶ περὶ φιλίας· οἳ παραγενόμενοι, συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀποῤῥήτῳ συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς· ἐν ἀποῤῥήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον.

Τί; διατί δή;

Τί ἱκανόν; τί ὄφελος;

Τιθασεύει. αἰτιατικῇ. ἡμεροῖ. πραΰνει.

Τιθασόν. ἥμερον. καὶ ἀτίθασον, τὸ ἄγριον, καὶ μὴ ἥμερον.

Τιθέντες. ποιοῦντες.

Τίθεσθαι. Ὁ δὲ πρέσβυς ἔστειλε πρὸς τοὺς Μεγαρέας, παρακαλῶν ἔτι καὶ νῦν τίθεσθαι τὰ πράγματα, καὶ μὴ κινδυνεύειν τοῖς ὅλοις. ἀντὶ τοῦ, συγκατατίθεσθαι, διαπράττεσθαι.

Τιθηνάς.⁴ τροφούς. καὶ τιθηνήτειρα.

Πολλά⁵ τιθηνήτειρ' ὀλοφύρατο χερσὶν ἀμήσας'
Ἀνδρομάχης δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

καὶ τιθήνη.

Τιθηνός. κυρίως, ἐπὶ γυναικὸς τῆς τιθηνούσης καὶ τρεφούσης. κατὰ μεταφορὰν λέγεται καὶ ἡ γῆ τιθηνός.

Τιθηνούμενος. τρέφων.

Τίθησι. ποιεῖ.

Τιθίς,⁶ τιθίδος. καὶ τιθῶ, αἰτιατικῇ.

Τιθωνοῦ γῆρας. παροιμία. ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. ἱστορεῖται δὲ ὅτι ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. ⁷ Ἀριστοφάνης·

Ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν.

tam repeto: & Strepſiades ei reſpondiſſet: *Omnino te ſana mente deſtitutum eſſe oportet:* ſubjecit, *Quid ita?*

Τί δῆτα ἔχων στρέφῃ; Quid cunctaris? Quid tergiverſaris?

Τί δῆτ' ἂν ἀλγ. *Quid igitur doleas ob ea, quæ facta ſunt? Nullo enim pacto fieri poteſt, ut hæc aliter ſe habeant.* Nimirum ea, quæ facta ſunt, mutari non poſſunt; ſecundum illud Simonidis: *Quod enim factum eſt, infectum amplius eſſe nequit.*

Τί δῆτά σοι. *Quid igitur tibi?*

Τί ἐστι τὸ ἐν τ. Quid ſit illud, quod Demoſthenes in *Philippicis* ait, *Et arcanum illud, de quo multus apud nos ſermo eſt*, Theopompus lib. XXXI. declaravit. Dicit enim: *Legatos ad Philippum mittit Antiphontem & Charidemum, acturos etiam de amicitia. Qui cum ad eum perveniſſent, ei perſuadere conabantur, ut occulte juvaret Athenienſes, ut Amphipolim occuparent, [pro tali beneficio] Pydnam ei promittentes. Athenienſium vero Legati populo quidem hac de re nihil renuntiarunt, quod Pydnæos latere vellent [iſtud conſilium;] & quod [eos Philippo] dedere ſtatuiſſent: ſed cum Senatu clam agebant.* Port.

Τί. Quidnam? Cur igitur?

Τί ἱκανόν; Quænam utilitas?

Τιθασεύει. Accuſativo jungitur. Cicurat. Manſuefacit.

Τιθασόν. Cicur. Mite. Et ἀτίθασον. Ferum. Agreſte. Non cicur.

Τιθέντες. [Ponentes. Item,] Facientes.

Τίθεσθαι. Ponere. Diſponere. *Ille vero Legatos miſit ad Megarenſes, adhortans eos, ut vel nunc de ſuis rebus melius ſtatuerent, nec de ſumma rerum periclitarentur.*

Τιθηνάς. Nutrices. Et τιθηνητήρ. Nutritor. Nutritius. [In Epigrammate:] *Valde luxit nutritius, manibus bellicoſis atrum ſuper caput pulverem accumulans.* Et τιθήνη, nutrix.

Τιθηνός. Proprie dicitur de muliere, quæ [fœtum ſuum] nutrit. Nutrix. Alumna. Per tranſlationem vero & terra ſic dicitur.

Τιθηνούμενος. Alens. Nutriens. Educans.

Τίθησι. Ponit. Facit.

Τιθίς. Nutrix, Et τιθῶ, pono.

Τιθωνοῦ γῆρας. Tithoni ſenectus. Proverbium, quod de longævis & decrepitis dicitur. Fertur autem Tithonus ſenectutis exuendæ cupiditate in cicadam eſſe mutatus. Ariſtophanes: *Virum Tithonum lacerans, & turbans, & agitans.*

1 Τί δῆτα θεαῖν στρ.] Ex Platonis *Phædro:* ſed ubi legitur, Τί δῆτ' ἔχων στρέφῃ: uti etiam hic apud Suidam ſcribendum eſt.

2 Τί δῆτ' ἂν ἀλγ.] Senarius hic eſt Sophoclis in *Ajace*, pag. 23. uti & is, qui ſequitur.

3 Ἐν τοῖς Δημοσθένους Φιλιππ.] Demoſthenes *Olynth.* II. haud procul initio: Νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενόν ποτε ἀπόῤῥητον ἐκεῖνο κατασκευάσαι, &c. Ulpianus ad eum locum: Τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλλούμενον τοῦτο καὶ παθούμενον ἐν ἀποῤῥήτῳ κατεσκεύασε. διὰ τί δὲ ἐν ἀποῤῥήτοις ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν, ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, (lego, καὶ Ἀμφιπόλεως) ἵνα δῷ αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξηται δὲ παρ' αὐτῶν τὴν Πύδναν, αὐτοῦ οὖσαν. καὶ τὸ ἀπόῤῥητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται, οὐ γὰρ ἐθελονταὶ εἶναι ὑπὸ τὸν Φίλιππον. Hæc pulchre confirmant & illuſtrant ea, quæ Suidas hic tradit.

4 Τιθηνάς] Rectius, τιθήνας, cum accentu in penultima.

5 Πολλὰ τιθηνήτειρ' ὀλοφ.] Scribe,

Πολλὰ τιθηνητὴρ ὀλοφύρατο, χερσὶν ἀμήσας
Ἀνδρομάχοις δνοφεράν, &c.

Sic enim recte legitur Anthol. lib. III. cap. VII. pag. 319. ubi integrum Epigramma habes, unde diſtichon hoc decerptum eſt. Confer etiam Noſtrum ſupra v Ἀμήσας, & v. Δνοφερόν.

6 Τιθίς] Scribendum eſt, τιτθίς, τιτθίδος.

7 Ἀριστοφάνης] *Acharnenſ.* pag. 403. (289. Ed. Baſ. P.)

Τίθρασος. πόλις τῆς Λιβύης. καὶ [1] Ἀριστοφάνης· Γοργόνες Τιθράσιαι. ἔνθα αἱ Γοργόνες διέτριβον. ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. διαβάλλουσι γὰρ τὸν δῆμον τοῦτον ὡς κακοπράγμονα.

Τιθραύτης. ὄνομα κύριον.

Τιθοί.[2] οἱ μαζοί.

Τιθύμαλλος. εἶδος βοτάνης δριμυτάτης, παρὰ Λάκωσιν εὑρισκομένης· ᾧ παρήλειφον τὰ βλέφαρα τῆς ἑσπέρας. καὶ [3] Ἀριστοφάνης περὶ Νεοκλείδου τοῦ γλάμωνος· Σκόροδ' ὁμοῦ τρίψαντα τιθυμάλλῳ. [4] εἰώθασι δὲ οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον, [5] Κυρηναϊκὸν ὀπόν· τιθύμαλλος Λακωνικός. εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμούς, [6] Νεοκλείδης ὁ γλάμων.

Τί καλὴ ἡ τάξις. ἀντὶ τοῦ λίαν.

Τί κοινὸν κυνὶ καὶ βαλανείῳ; παροιμία ἐπὶ τῶν ἀναρμοδίων. [7] Λουκιανὸς ταύτῃ κέχρηται.

Τί λέγεις σύ; τὸ παρὰ τὴν συνήθειαν κατὰ χεῖρα. εἰώθαμεν γὰρ ἐν ταῖς τῶν ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ἐκπλῆξαι αὐτοὺς βουλόμενοι. [8] Ἀριστοφάνης Νεφέλαις·

Ὡς ἥδομαί σου πρῶτα τὴν χροιὰν ἰδών.
Νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς,
Κἀντιλογικός· καὶ τοῦτο τοὐπιχώριον
Ἀτεχνῶς ἐπανθεῖ, τὸ, Τί λέγεις σύ; καὶ δοκεῖν
Ἀδικοῦντ' ἀδικεῖσθαι, καὶ κακουργοῦντ', οἶδ' ὅτι.
Ἐπὶ [9] τοῦ προσώπου τ' ἔνεστιν Ἀττικὸν βλέπος.

ἐσχημάτισται δὲ τὸ βλέπος. ἀντὶ τοῦ κακοῦργον βλέμμα. τοὺς γὰρ Ἀθηναίους ἐπὶ ἀναιδείᾳ καὶ τῷ δραστικοὺς εἶναι διέβαλλον.

Τίλλοντες. [10] αἰτιατικῇ. ἀνασπῶντες τοὺς στάχυς.

Τιλφώσαιον. ὄρος, μικρὸν ἀπέχον τῆς λίμνης τῆς Κωπαΐδος.

Τιμαγένης, βασιλικοῦ ἀργυραμοιβοῦ υἱὸς, Ἀλεξανδρεὺς, ῥήτωρ, ὡς δέ τινες, Αἰγύπτιος· ὃς ἐπὶ Πομπηΐου τοῦ μεγάλου αἰχμάλωτος ἀχθεὶς εἰς Ῥώμην ὑπὸ τοῦ Γαβινίου, ἐξωνήθη ὑπὸ Φαύστου, τοῦ υἱοῦ Σύλλου, καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ, ἐπί τε τοῦ αὐτοῦ Πομπηΐου, καὶ μετ' αὐτὸν, ἐπὶ Καίσαρος τοῦ Αὐγούστου, καὶ μετέπειτα, συνάμα Κεκιλίῳ. [11] ἐκπεσὼν δὲ τῆς Σχολῆς διὰ τὸ παρρησιαστὴς εἶναι, ἐν ἀγρῷ διῆγε, Τουσκλάνῳ λεγομένῳ. ἐτελεύτησε δὲ ἐν Δαβάνῳ, ἐμέσαι βουληθεὶς μετὰ δεῖπνον, [12] καὶ σφηνωθείς. βιβλία δὲ ἔγραψε πολλά.

Τίθρασος. Tithraſus. Urbs Libyæ. Et Ariſtophanes: *Gorgones Tithraſiæ.* Illic enim Gorgones degebant. [Vel Tithraſias eas vocavit,] a populo Atticæ [ejuſdem nominis,] qui ob malitiam & improbitatē male audiebat.

Τιθραύτης. Tithrautes. Nomen proprium.

Τιθοί. Mammæ. Ubera.

Τιθύμαλλος. Tithymallus. Genus herbæ maxime acris apud Lacones, qua veſperi palpebras perungebāt. Et Ariſtophanes de Neoclide lippo [dicit:] *Poſtquam allia cum tithymallo* [*Laconico*] *triveris, &c.* Conſueverunt autem Medici oſtentationis gratia patrias herbarum nominare, [dicentes] ex. gr. Laſer Cyrenaicum: Tithymallus Laconicus. Dicitur vero de iis, qui lippos habent oculos, *Neoclides lippus.*

Τί καλὴ ἡ τάξις. Quam pulcher eſt ordo. Id eſt, valde pulcher.

Τί κοινὸν κυν. *Quid commune cani cum balneo?* Proverbium de rebus diſconvenientibus: quo uſus eſt Lucianus.

Τί λέγεις σύ; Quid ais tu? Sic vulgari ſermone dicere ſolemus. In diſputationibus enim cum adverſariis dicere ſolemus, *Quid ais tu?* ſic eos perterrefacere volentes. Ariſtophanes *Nubibus*: *Ut lætor, cum primum colorem hunc intueor tuum. Nunc enim primum videris ad inficiandum & contradicendum paratus; & illud, quod vulgari ſermone dici ſolet, in vultu tuo elucet, Quid ais? Item, videri te injuriam pati, dum alterum injuria afficis, & fraudibus circumvenis: ſat ſcio. In vultu etiam tuo ineſt aſpectus Atticus.* Βλέπος [Ἀττικὸν] hic dictum eſt, pro, Aſpectus malignus & callidus. Athenienſes enim ob impudentiam & verſutiam male audiebant.

Τίλλοντες τοὺς στάχυς. Vellentes, vel evellentes ſpicas.

Τιλφώσαιον. Tilphoſæum. Mons, a palude Copaide parum diſtans.

Τιμαγένης. Timagenes, regii argentarii filius, Alexandrinus, orator; vel, ut quidam ajunt, Ægyptius: qui ſub Pompejo M. Romam a Gabinio captivus ductus, & a Fauſto Syllæ filio redemptus, Romæ eloquentiam docuit; cum ſub ipſo Pompejo, tum poſt ipſum ſub Cæſare Auguſto, & poſtea, eodem, quo Cæcilius, tempore. Cum autem ob dicendi libertatem Schola excidiſſet, in prædio, quod Tuſculanum vocabatur, vitam tranſegit. Mortuus eſt Dabani, poſt cœnam vomere volens, ſed cibo exitum non inveniente ſuffocatus. Multos libros ſcripſit.

1 Καὶ Ἀριστοφάνης] *Ranis*, pag. 234. (149. Ed. Baſ. *P.*)

2 Τιθοί] Scribe, τιτθοί.

3 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 735. (494. Ed. Baſ. *P.*) ubi ſic legitur:

———Σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ
Τιθυμάλλου ἐμβαλόντα τοῦ Λακωνικοῦ.

4 Εἰώθασι δὲ οἱ ἰατρ.] Confer Noſtrum ſupra v. Γλάμων, & v. Ἰατρός: ubi eadem leguntur.

5 Κυρηναϊκὸν ὀπόν] Potius caſu recto, Κυρηναϊκὸς ὀπός.

6 Νεοκλείδης ὁ γλάμων] Scribe, Νεοκλείδης ὁ γλάμων. Ariſtoph. *Eccleſiaz.* pag. 731.

Τί δ' ἦν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ;

Confer Noſtrum ſupra v. Γλάμων.

7 Λουκιανὸς ταύτῃ κέχρ.] In libello adverſus Indoctum, ubi ſic inquit: Καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται, Τί κοινὸν κυνὶ καὶ βαλανείῳ;

8 Ἀριστοφάνης Νεφ.] Pag. 189. (116. Ed. Baſ. *P.*)

9 Ἐπὶ τοῦ προσώπου τ' ἔνεσ.] Ut verſui metrum conſtet, legendum eſt, Ἐπὶ τοῦ προσώπου τ' ἐστὶν, &c. ut recte legitur ſupra v. Βλέπος.

10 Τίλλοντες. αἰτ. ἀνασπῶντες τοὺς σ.] Marc. cap. 2. v. 23. Καὶ ἤρξαντο οἱ μαθηταὶ αὐτοῦ ὁδὸν ποιεῖν τίλλοντες τοὺς στάχυας. Hunc locum Suidas ob oculos habuit, ut Portus etiam obſervaverat.

11 Ἐκπεσὼν δὲ τῆς Σχ.] In Schola ei ſucceſſit Aſinius Pollio, ut teſtatur Suidas ſupra, v. Πωλίων.

12 Καὶ σφηνωθείς] Vide ſupra v. Σφηνωθείς.

Τιμα-

Τιμαγένης, ἱστορικός. Περίπλουν πάσης θαλάσσης, ἐν βιβλίοις έ.

Τιμαγένης. Timagenes, hiſtoricus. Totius maris periplum libris v. [ſcripſit.]

Τιμαγένης, ἢ Τιμογένης, Μιλήσιος, ἱστορικὸς, καὶ ῥήτωρ. Περὶ Ἡρακλείας τῆς ἐν τῷ πόντῳ, καὶ τῶν ἐξ αὐτῆς λογίων ἀνδρῶν, βιβλία έ. καὶ Ἐπιστολάς.

Τιμαγένης. Timagenes, ſive Timogenes, Mileſius, hiſtoricus, & orator. [Scripſit] de Heraclea Pontica, & claris ejus urbis viris, lib. v. Item, Epiſtolas.

Τιμαγόρας.[1] οὗτος πρεσβευτὴς πεμφθεὶς πρὸς βασιλέα Ἀρταξέρξην ὑπὸ Ἀθηναίων, οὐ μόνον χρυσίον ἔλαβε παρ' αὐτοῦ καὶ ἀργύριον, ἀλλὰ καὶ κλίνην πολυτελῆ, καὶ στρατιώτας θεράποντας, καὶ βοῦς π', καὶ κατέβη ἐπὶ θάλασσαν ἐν φορείῳ κομιζόμενος· καὶ τοῖς κομίσασι παρὰ βασιλέως ἐδόθη μισθὸς τάλαντα δ'. τοῦτον οὖν ἀνεῖλον οἱ Ἀθηναῖοι. φασὶ γὰρ ὑπεσχῆσθαι αὐτὸν διαλύσειν τὴν οὖσαν Ἀθηναίοις καὶ Λακεδαιμονίοις φιλίαν. οὗτος οὖν ὁ Τιμαγόρας, προσκυνήσας τὸν Περσῶν βασιλέα παρὰ τὰ Ἑλλήνων ἔθη, καὶ δωροδοκηθεὶς, ἀνῃρέθη, ὡς εἴρηται, ὑπὸ Ἀθηναίων.

Τιμαγόρας. Timagoras. Hic legatus miſſus ab Athenienſibus ad Regem Artaxerxem, ab eo non ſolum aurum & argentum accepit, ſed etiam pretioſum lectum, & famulos, & boves LXXX. & ad mare deſcendit lectica geſtatus, & illis, qui eum eo detulerant, a Rege merces quatuor talentorum eſt data. Hunc igitur Athenienſes capitali ſupplicio affecerunt. Dicunt enim ipſum promiſiſſe [Regi Perſarum,] ſe dirempturum eſſe amicitiam, quæ erat inter Athenienſes & Lacedæmonios. Hic igitur Timagoras, cum Perſarum Regem adoraſſet præter Græcorum morem, & largitionibus corruptus fuiſſet, ab Athenienſibus, ut dictum eſt, capitali ſupplicio fuit affectus. *Port.*

Τιμαλφέστερον. τιμιώτερον. λαμπρότερον. Ἀλφεῖν γάρ ἐστι, τὸ εὑρίσκειν. ὥστε γίνεται τὸ τιμαλφέστατον, τὸ τιμὴν εὑρίσκον πλείστην· ὃ δὴ συμβέβηκε τῷ χρυσῷ.

Τιμαλφέστερον. Pretioſius. Splendidius. Ἀλφεῖν enim eſt Invenire. Unde τιμαλφέστατον proprie ſignificat, quod pretium maximum invenit: quod auro contingit.

Τιμάνθης,[2] Κλεωναῖος, παγκράτιον νικήσας· ὅν φασι παυσάμενον διὰ τὴν ἡλικίαν τῶν ἄθλων, τόξον μέγα ἐπὶ ἑκάστης τείνειν τῆς ἡμέρας, ἀποπειρώμενον ἑαυτοῦ. ὡς δὲ ἀποδημήσας, καὶ ἐπανήκων, οὐχ οἷός τε ἦν ἐντεῖναι, τότε πῦρ ἀνακαύσας, ἀφῆκε ζῶντα ἑαυτὸν εἰς τὴν πυράν. ὁπόσα δὲ τοιαῦτα γέγονεν ἀνθρώποις, ἢ γενήσεται ὕστερον, μανία μᾶλλον, καὶ οὐκ ἀνδρεία λογίζοιτο.

Τιμάνθης. Timanthes, Cleonæus, qui pancratio vicit. Hunc ajunt, cum ob ætatem certare deſiiſſet, arcum magnum quotidie intendiſſe, vires ſuas explorantem. Cum autem aliquando peregre abiiſſet, & reverſus arcum intendere non potuiſſet; accenſo igne ſe vivum in rogum conjeciſſe. Quæcunque vero hujuſmodi facinora ab hominibus olim facta ſunt, vel poſtea fient, furori potius quam fortitudini ſunt tribuenda. *Port.*

Τιμάνωρ,[3] Τιμάνωρος. ἐν [4] Ἐπιγράμματι·
Ἀσπὶς ἀπὸ βροτέων ὤμων τιμάνορος ἧμαι.
ἀντὶ τοῦ, ἀνάκειμαι.

Τιμάνωρ. Timanor. [Nomen proprium.] In Epigrammate:] *Clypeus, quem mortalibus humeris Timanor olim geſtavit, hic ſuſpenſus ſum.* Vel, dedicatus ſum.

Τίμαρχος.[5] Ἀριζήλου, ἄσωτος, καὶ πόρνος, ἐν Πειραιεῖ παρ' Εὐθυδίκῳ διατρίψας τὰ πρῶτα· ὕστερον δὲ Μισγόλᾳ καὶ Ἡγησάνδρῳ τῷ Λεωδάμαντος ἐρωμένῳ μισθώσας αὐτὸν, καὶ μετ' αὐτοὺς Πιτταλάκῳ συνὼν, τῆς πόλεως οἰκέτῃ. ἐπίτροπος δὲ αἱρεθεὶς, Ἀριστογείτονος ἀντειπόντος διεκωλύθη. τῷ θείῳ δὲ ὄντι τυφλῷ, καὶ ἀξιοῦντι μετὰ τῶν ἀδυνάτων τρέφεσθαι, οὐ συνεῖπεν· οὐδὲ τῇ μητρὶ χρῄζούσῃ τῶν ἀναγκαίων ἐπεκούρησεν. ἥλω δὲ ὑπὸ Αἰσχίνου πορνείας, γέρων ὤν.

Τίμαρχος. Timarchus, Arizeli F. prodigus, & cinædus, in Piræeo apud Euthydicum principio verſatus eſt: poſtea vero Miſgolæ & Hegeſandro Leodamantis amaſio ſe mercede [proſtituit &] locavit; & poſt eos Pittalaci ſervi publici conſuetudine uſus eſt. Tutor autem electus, Ariſtogitone refragante, rejectus eſt. Patruo vero ſuo, qui cæcus erat, & petebat, ut cum infirmis hominibus aleretur, non eſt patrocinatus; neque matri rebus [ad vitam ſuſtentandam] neceſſariis indigenti opem tulit. Cum autem eſſet ſenex, ab Æſchine proſtitutæ pudicitiæ reus eſt peractus. *Port.*

Τιμᾶσθαι. προτιμᾶν. [6] Ἐξέρχεσθαι, καὶ μὴ πιεῖν ἀνέχεσθαι οἴνου, μηδὲ τιμᾶσθαι τοσούτου τὸν βίον τὸν

Τιμᾶσθαι. Æſtimare. Anteponere. Pluris facere. *Exire [ex hac vita,] nec ſuſtinere*

1 Τιμαγόρας. οὗτος πρεσβευτὴς πεμφ.] Confer Athenæum lib. 2. pag. 48.

2 Τιμάνθης. Κλεωναῖος, παγκρ.] Eadem de Timanthe refert Pauſanias lib. VI. pag. 359. a quo Suidas iſta mutuatus eſt.

3 Τιμάνωρος] Scribendum eſt, Τιμάνορος, per ο in ſyllaba penultima.

4 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XXV. Epigr. X. ubi ſic legitur:

Ἀσπὶς ἀπὸ βροτέων ὤμων Τιμάνορος ἧμαι.

Sic etiam apud Suidam ſcribendum eſt. Τὸ ἧμαι vero, quod proprie ſignificat *ſedeo*, interdum dicitur de donariis, quæ ſuſpenſa, vel parieti affixa ſunt. Sic in alio Epigrammate, quod legitur eodem libro & capite Anthologiæ:

Οὕτω τοι μελίη ταναὴ ποτὶ κίονα μακρὸν
Ἧσο, &c.

Sic haſta longa ad altam columnam ſede. Id eſt, ſuſpenſa eſto. Confer etiam Noſtrum ſupra v. Ἧμαι.

5 Τίμαρχος] Hic eſt Timarchus ille, contra quem Æſchines orationem ſcripſit, quæ hodie adhuc exſtat. Confer etiam Heſychium v. Δημοκλείδης, poſt v. Δῆμον Ἐρεχθῆος; & Tzetzem *Chil.* VI. cap. XXXVI.

6 Ἐξέρχεσθαι] Portus legebat ἐξέρχεσθαι, eamque vocem de exitu ex hac vita, ſive morte, accipiendam putabat: quod non diſplicet.

λοιπὸν, ἵνα τὸν φθάνοντα, φησὶν, ἀφανίσῃ, καὶ ἐκλείπῃ διαίτης ὀλίγης, πίνουσα οἶνον· καὶ τὸν βίον ἡ γενναία κατέστρεψε.

bibere vinum, neque tanti facere reliquam vitam, ut ſuperiorem, inquit, obſcuraret, & a tenui victu recederet, vinum bibens. Quamobrem generoſa illa mulier vitam finivit.

Τιμάσιος. οὗτος ἐπὶ Θεοδοσίου τοῦ βασιλέως ἦν· ὃν Εὐτρόπιος ἐπιστῆσαι τοῖς πράγμασι βουλόμενος, ἐκ τῆς Ἀσίας μεταχαλεῖται πρὸς τὰ βασίλεια·[1] ὁ δὲ γαῦρός τε ὢν ἀνὴρ, καὶ ἀγέρωχος, καὶ στρατείαις ὡμιληκὼς, καὶ τοῦτο πρῶτον ἀγαθὸν ἡγούμενος τὴν ἐν ἀνθρώποις, τιμὴν, καὶ δόξαν, καὶ πλοῦτον ἐπικλύζοντα, καὶ τὸ ἔχειν ἑαυτῷ ὅ, τι βούλοιτο χρῆσθαι, καὶ ἀδεῶς, διά τε μέθην νύκτα καὶ ἡμέραν οὐκ εἰδέναι, οὔτε ἀνατέλλοντα καὶ δυόμενον τὸν ἥλιον καθορᾷν, ἴσα καὶ οὐρανοῦ εἶναι νομίσας τὴν μετάκλησιν, ἐκ τῆς ἀλύπου καὶ διακεχυμένης πρὸς ὀλιγωρίαν διατριβῶν ἀποῤῥήξας ἑαυτὸν, καὶ κατατείνας τὴν ψυχὴν εἰς φιλοδοξίαν, βαρὺς ἀναστὰς ἐκ Παμφυλίας ἐπὶ Λυδίαν ἀνέστρεφεν, ὡς ἂν δή τις βασιλεύων, ἢ τόν γε βασιλέα, καὶ τὸν εὐνοῦχον, κατὰ πάρεργόν τι παιδιὰν θησόμενος, εἰ βούλοιτο.

Τιμάσιος. Timaſius. Hic ſub Theodoſio Imperatore fuit: quem Eutropius rebus præficere volens, ex Aſia ad regiam evocavit. Ille vero, cum eſſet vir inſolens, & ſuperbus, & in rebus bellicis verſatus, & hoc primum ſummumque rerum humanarum bonum exiſtimaret, honorem, & gloriam, & affluentes opes, & arbitratu ſuo vivendi licentiam, & ſecure; & propter ebrietatem noctem & diem neſcire, neque orientem occidentemve Solem aſpicere; cumque vitam ejuſmodi ſecuram cœleſti beatitudini parem duceret, a jucundis & diſſolutis ignaviſque vitæ ſtudiis ſe avellens, & animum ad gloriæ cupiditatem intendens, ex Pamphylia gravis in Lydiam rediit, tanquam quidam Rex, aut qui ipſum Imperatorem & Eunuchum pro oblectamento habiturus eſſet, ſi vellet. *Port.*

Τιμασίων.[2] οὗτος μειράκιον ἦν Αἰγύπτιον. ἐφήβου δὲ ἄρτι ὑπαπτὰς, καὶ τὴν ὥραν ἔῤῥωτο. σωφρονοῦντι δὲ αὐτῷ μητρυιὰ ἐρῶσα ἐπέκειτο, καὶ χαλεπὸν τὸν πατέρα ἐποίει, ξυνθεῖσα μὲν οὐδὲν, ὥσπερ ἡ Φαίδρα, διαβάλλουσα δ' αὐτὸν ὡς θῆλυν, καὶ ἐρασταῖς μᾶλλον ἢ γυναίοις χαίροντα. ὁ δ' ἐκλιπὼν Ναύκρατιν, περὶ Μέμφιν διητᾶτο, καὶ ναῦν δὲ ἐκέκτητο ἤδη, καὶ ἐναυκλήρει ἐν τῷ Νείλῳ. ἰδὼν οὖν ἀναπλέοντα τὸν Ἀπολλώνιον, καταπλέων αὐτὸς, ξυνῆκέ τε ὡς ἀνδρῶν σοφῶν εἴη τὸ πλήρωμα, ξυμβαλλόμενος τοῖς τρίβωσι, καὶ τοῖς βιβλίοις, οἷς προσεσπούδαζον· καὶ ἱκέτευε προσδῦναί οἱ τῆς πλοίου κοινωνίας, ἐρῶντι σοφίας. ὁ δὲ Ἀπολλώνιος, Σώφρων, ἔφη, ὁ νεανίσκος ὅδε, καὶ ἀξιούσθω, ὧν δεῖται. καὶ διῆλθεν ὁ Ἀπολλώνιος τὸν περὶ τῆς μητρυιᾶς λόγον πρὸς τοὺς ἐγγὺς τῶν ἑταίρων ὑφειμένῳ τῷ τόνῳ, προσπλέοντος τοῦ μειρακίου ἔτι. ὡς δὲ ξυνῆσαν αἱ νῆες, μεταβὰς ὁ Τιμασίων, καὶ πρὸς τὸν ἑαυτοῦ κυβερνήτην εἰπών τι περὶ τοῦ φόρτου, προσεῖπε τοὺς ἄνδρας. κελεύσας οὖν αὐτὸν ὁ Ἀπολλώνιος κατ' ὀφθαλμοὺς ἱζῆσαι, Μειράκιον, εἶπεν, Αἰγύπτιον, (ἔοικας γὰρ τῶν ἐπιχωρίων εἶναί τις) τί σοι φαῦλον, ἢ τί χρηστὸν εἴργασται, λέξον· ὡς τῶν μὲν λύσις παρ' ἐμοῦ γένοιτό σοι δι' ἡλικίαν· τῶν δ' αὖ ἐπαινεθεὶς, ἐμοί τε ξυμφιλοσοφοίης, καὶ τοῖσδε. ὁρῶν δὲ τὸν Τιμασίωνα ἐρυθριῶντα, καὶ μεταβαλλόντα τὴν ὁρμὴν τοῦ στόματος εἰς τὸ λέξαι τι, ἢ μὴ, θαμὰ ἤρειδε τὴν ἐρώτησιν, ὥσπερ οὐδεμιᾷ προγνώσει ἐς αὐτὸν κεχρημένος. ἀναθαῤῥήσας οὖν ὁ Τιμασίων, Ὦ θεοὶ, ἔφη, τίνα ἐμαυτὸν εἴπω; κακὸς μὲν γὰρ οὐκ εἰμί. ἀγαθὸν δὲ εἰ χρὴ νομίζεσθαί με, οὐκ οἶδα. τὸ γὰρ μὴ ἀδικεῖν, οὔπω ἔπαινος. καὶ ὁ Ἀπολλώνιος, Βαβαὶ, ἔφη, μειράκιον· ὡς ἀπὸ Ἰνδῶν μοι διαλέγῃ. ταυτὶ γὰρ καὶ

Τιμασίων. Timaſion. Hic fuit adoleſcens Ægyptius: qui cum ex ephebis nuper exceſſiſſet, formaque præſtanti præditus eſſet, & pudicus, noverca amore ejus capta de venere eum ſollicitabat, patremque adverſus eum irritabat, nihil quidem eorum adverſus eum comminiſcens, quæ Phædra; ſed eum criminans ut effœminatum, & amatoribus magis quam mulierculis gaudentem. Ille igitur relicta Naucrate, apud Memphim commorabatur, comparataque ſibi nave, in Nilo nauclerum agebat. Cum igitur Apollonium adverſo flumine navigantem vidiſſet, ipſe deſcendens, intellexit, viros, qui navi illa vehebantur, eſſe ſapientes, id conjiciens cum ex palliis, tum ex libris, quos aſſidue legebant; rogavitque, ut ſe ſapientiæ ſtudioſum in navem reciperent. Apollonius ad hæc: Modeſtus, inquit, adoleſcens eſt, & dignus qui impetret, quod petit. Interim Apollonius ſubmiſſa voce iis, qui propius adſtabant, rem totam de noverca enarrabat, adoleſcente adhuc adnavigante. Cum autem naves jam eſſent conjunctæ, Timaſion e ſua nave in alteram tranſiliens, poſtquam cum gubernatore de ſarcinis ſuis ante locutus eſſet, Apollonium ejuſque comites ſalutavit. Apollonius igitur eo in conſpectu ſuo ſedere juſſo, Adoleſcens, inquit, Ægyptie, (videris enim indigenarum aliquis eſſe) quid mali bonive feceris, expone; ut a malis quidem per me propter ætatem libereris: ex bonis autem laudes meritas conſecutus, mecum, & cum iis, quos vides, ſociis, philoſopheris. Videns autem Timaſionem erubeſcentem, & oris habitum varie mutantem, tanquam ambigeret, dicturuſne eſſet, an non: inſtabat Apollonius, quaſi nihil omnino de eo prænoſſet. Timaſion igitur audentior factus: O Dii, inquit, qualem me dicam? Nam malus quidem non ſum: bonum vero utrum me exiſtimari oporteat, neſcio. Nam ab injuria abſtinere, ad

1 Ὁ δὲ γαῦρός τι ὢν ἀν.] Vide ſupra v. Γαῦρος, ubi idem locus legitur.

2 Τιμασίων. οὗτος μειράκ.] Totus hic articulus ſumptus eſt ex Philoſtrati lib. VI. *de Vit. Apoll.* cap. 2. ut Pearſonius etiam ad oram libri ſui notaverat.

Ἴαρχα

Ἰάρχῳ δοκεῖ τῷ θείῳ. ἀλλ' ὅπως ταῦτα δοξάζεις, καὶ ξένε; Φυλαξάμενος γάρ τι ἁμαρτεῖν ἔοικας. ἐπεὶ δ' ἀρξάμενος λέγειν, ὡς ἡ μητρυιὰ μὲν ἐπ' αὐτὸν φέροιτο, αὐτὸς δ' ἐρῶσαν ἐκσταίη, βοὴ ἐγένετο ὡς δαιμονίως αὐτὰ τοῦ Ἀπολλωνίου προειπόντος. ὑπολαβὼν δὲ ὁ Τιμασίων, Ὦ λῷστοι, ἔφη, τί πεπόνθατε; τοσοῦτον γὰρ ἀπέχει τὰ εἰρημένα θαύματος, ὅσον καὶ γέλωτος. καὶ ὁ Δάμις, Ἕτερόν τι, ἔφη, ἐθαυμάσαμεν, ὅπερ οὔπω γινώσκεις. καὶ σὲ δὲ, μειράκιον, ἐπαινοῦμεν, ὅτι μηδὲν οἴει λαμπρὸν εἰργάσθαι σοι. Ἀφροδίτῃ δὲ θύεις, ὦ μειράκιον, ἤρετο αὐτὸν ὁ Ἀπολλώνιος; καὶ ὁ Τιμασίων, Νὴ Δί', εἶπεν, ὁσημέραι γε. πολλὴν γὰρ ἡγοῦμαι τὴν θεὸν ἀνθρωπίνοις τε καὶ θείοις πράγμασιν. ὑπερησθεὶς οὖν ὁ Ἀπολλώνιος, [1] Ψηφισώμεθα, ἔφη, ὧδε, ἐστεφανῶσθαι αὐτὸν ἐπὶ σωφροσύνῃ, καὶ πρὸ Ἱππολύτου τοῦ Θησέως. ὁ μὲν γὰρ εἰς τὴν Ἀφροδίτην ὕβριζε, καὶ διὰ τοῦτο ἴσως οὐδὲ ἀφροδισίων ἥττητο, οὐδ' ἔρως ἐπ' αὐτὸν οὐδεὶς ἐκώμαζεν· ἀλλ' [2] ἦν τῆς ἀγροικοτέρας τε καὶ ἀτέγκτου μοίρας. οὗτος δὲ ἡττᾶσθαι τῆς θεοῦ φάσκων, οὐδὲν πρὸς τὴν ἐρῶσαν ἔπαθεν, ἀλλ' ἀπῆλθεν, αὐτὴν δείσας τὴν θεὸν, εἰ τὸ κακῶς ἐρᾶσθαι μὴ φυλάξαιτο. καὶ αὐτὸ δὲ τὸ διαβεβλῆσθαι πρὸς ὁντινοῦν τῶν θεῶν, ὥσπερ τὴν Ἀφροδίτην ὁ Ἱππόλυτος, οὐκ ἀξιῶ σωφροσύνης. σωφρονέστερον γὰρ τὸ περὶ πάντων θεῶν λέγειν εὖ, καὶ ταῦτα Ἀθήνησιν, οὗ καὶ ἀγνώστων δαιμόνων βωμοὶ ἵδρυνται. Ἱππόλυτον δὲ αὐτὸν ἐκάλει διὰ τοὺς ὀφθαλμοὺς, οἷς τὴν μητρυιὰν εἶδε.

laudem ſatis non eſt. Tunc Apollonius, Papæ, inquit, adoleſcens, quam ſimilia iis, quæ ab Indis accepi, mihi narras! Idem enim divinus Jarchus ſentit. At age, dic, unde tibi hæc opinio? Videris enim caviſſe, ne peccatum aliquod committeres. Cum igitur narrare cœpiſſet, quo pacto noverca pudicitiam ipſius tentaſſet, ipſe vero amantem fugiſſet: clamor exortus eſt, quod eadem omnia Apollonius divinitus prædixiſſet. Subjiciens autem Timaſion, O viri optimi, inquit, quid ita miramini? Nam quæ dico, tantum a miraculo abſunt, quantum a riſu. Tum Damis, Aliud, inquit, miramur, quod nondum ſcis. Te vero, adoleſcens, laudamus, quod nihil præclari te egiſſe arbitraris. Apollonius autem, an Veneri ſacrificaret, interrogavit. Imo per Jovem, quotidie, inquit Timaſion. Hujus enim Deæ & in rebus humanis & divinis magnam eſſe vim judico. Hoc reſponſo gaviſus Apollonius, Decernamus, inquit, adoleſcenti huic coronam pudicitiæ, vel præ Hippolyto Theſei filio. Ille enim Veneri contumeliam fecit, ac propterea forſan libidine nunquam victus, nec amore captus fuit, utpote homo ingenii agreſtioris & durioris. Ille autem a Dea ſe victum *dicens, nihil tamen* erga amantem mulierem affectus fuit, ſed abiit, Deam ipſam timens, ſi ab amore nefando non abſtineret. Ac quemcunque Deorum maledictis inſectari, ut Hippolytus Venerem, non puto eſſe viri modeſti. Modeſtius enim eſt [& ſanctius] de Diis omnibus bene loqui, Athenis præſertim, ubi etiam ignotis Diis aræ poſitæ ſunt. Hippolytum autem eum vocabat propter oculos, quibus novercam viderat.

Τιμαχίδας[3] Ῥόδιος. οὗτος δείπνων ἀναγραφὰς πεποίηται ἐν βιβλίοις ιά. δι' ἐπῶν· καὶ Νουμήνιος, ὀψαρτυτικῶν· καὶ [4] Μαστρέας ὁ Πιτανᾶος, καὶ Ἡγήμων ὁ Θάσιος, ὁ ἐπικληθεὶς Φακῆ· καὶ Ἀρτεμίδωρος, ὁ Ψευδαριστοφάνειος, ὁ ὀψαρτυτικὰς λέξεις συναγαγών· καὶ [5] Φιλόξενος, ὁ Κλαυδίου· ἀφ' οὗ καὶ Φιλοξένειοι πλακοῦντες. ἦν δὲ ὁ Φιλόξενος ὀψοφάγος, ἐπὶ τοσοῦτον, ὥστε φανερῶς ἐν τοῖς βαλανείοις τὴν χεῖρα συνεθίζειν πρὸς τὰ θερμὰ, καθιέντα εἰς ὕδωρ θερμὸν, καὶ τὸ στόμα ἀναγαργαριζόμενον θερμῷ ὕδατι, ὅπως ἐν τοῖς θερμοῖς δυσκίνητος ᾖ. καὶ τοὺς ὀψοποιοὺς ὑπεποιεῖτο, ἵνα θερμότατα παραθῶσι, καὶ μόνος καταναλίσκῃ. παραπλήσια δὲ ἱστοροῦσι καὶ περὶ Ἀρχύτου. καὶ Κρώβυλός φησιν·

Ἐγὼ δὲ πρὸς τὰ θερμὰ ταῦθ' ὑπερβολῇ
Τοὺς δακτύλους δήπουθεν[6] Ἰδαίους ἔχω, (ἀντὶ τοῦ ψυχρούς)
Καὶ τὸν φάρυγγ' ἥδιστα πυριῶ τεμαχίοις.

Τιμαχίδας. Timachidas Rhodius. Hic cœnas carmine deſcripſit, libris XI. Et Numenius de ratione condiendi cibos ſcripſit; & Maſtreas Pitanæus, & Hegemon Thaſius, cognomento *Lens*, & Artemidorus Pſeudariſtophaneus, qui culinaria vocabula collegit; & Philoxenus, Claudii filius, a quo etiam Philoxeniæ placentæ nomen habent. Hic Philoxenus adeo guloſus fuit, ut palam in balneis manum in aquam ferventem demittens, eam ad calida tractanda aſſuefaceret: itemque os calida collueret, ne fauces ferventibus cibis offenderentur. Cum coquis etiam & ſtructoribus clam agere ſolebat, ut cibos quam calidiſſimos apponerent, quo ſolus eos devoraret. Similia etiam de Archyta tradunt. Et Crobylus inquit: *Ego vero ad calida hæc ſupra modum digitos habeo Idæos,* (i. e. frigidos) *& volupe mihi eſt, guttur ſalſamentis fervidis urere.*

Τίμαιος,[7] ὁ Ἱστορικός. οὗτος κατὰ τοῦ Ἐφόρου πλείστην πεποίηται καταδρομὴν, αὐτὸς ὢν δυσὶν ἁ-

Τίμαιος. Timæus, Hiſtoricus. Hic Ephorum vehementer inſectatus eſt, cum ipſe du-

1 Ψηφισώμεθα, ἔφ.——— ἀτέγκτου μοίρας] Hæc leguntur etiam ſupra v. Κωμάζουσι.

2 Ἀλλ' ἦν τῆς ἀγρ. & ἀτ. μοίρας] Vide ſupra v. Ἄτεγκτος: ubi hoc ipſum fragmentum legitur.

3 Τιμαχίδας Ῥόδιος. οὗτος δείπν.] Hæc omnia ſumpta ſunt ex Athenæi *Dipnoſoph.* lib. I. pag. 5. ut Pearſonius quoque obſervaverat.

4 Μαστρέας] Athenæus loco laudato, Μητρέας.

5 Φιλόξενος, ὁ Κλαυδίου] Si Athenæum ſequamur, legendum erit, Φιλόξενος Λευκάδιος: ut dudum ante monuit Reineſ. *Var. Lect.* lib. III. pag. 478. MS. A. habet, Λευκαδίου: uti & legitur apud ipſum Suidam infra v. Φιλόξενος.

6 Ἰδαίους] Vide ſupra v. Ἰδαίους, & quæ ibi notavimus.

7 Τίμαιος, ὁ Ἱστορικός. οὗτος κ.] Totum hoc de Timæo fragmentum, (quod ex Polybio excerptum eſt) legitur etiam in Collectaneis Hiſtoricis a Valeſio editis, pag. 55. Cæterum de Timæis videndus eſt Meurſius in notis ad Nicom. Geraſ. lib. I.

μαρτή-

μαρτήμασιν ἔνοχος· τοῦ μὲν, ὅτι πικρῶς κατηγορεῖ τῶν πέλας ἐπὶ τούτοις, οἷς ἔνοχος αὐτός ἐστι· τοῦ δὲ, διότι καθόλου διέφθαρτο τῇ ψυχῇ, τοιαύτας ἀποφάσεις ἐκτιθέμενος ἐν τοῖς ὑπομνήμασι, καὶ τοιαύτας ἐντίκτων δόξας τοῖς ἐντυγχάνουσι. πλὴν εἰ τὸν Καλλισθένην δικαίως κολασθέντα μεταλλάξαι τὸν βίον, τί χρὴ πάσχειν Τίμαιον; πολὺ γὰρ ἂν δικαιότερον τούτῳ νεμεσήσαι τὸ δαιμόνιον, ἢ τῷ Καλλισθένει. ἐκεῖνος μὲν γὰρ ἀποθεοῦν Ἀλέξανδρον [1]ἠβουλήθη· Τίμαιος δὲ μείζω ποιεῖ Τιμολέοντα τῶν ἐπιφανεστάτων Θεῶν. καὶ Καλλισθένης μὲν ἄνδρα τοιοῦτον, ὃν πάντες μεγαλοφυέστερον ἢ κατ' ἄνθρωπον γεγονέναι τῇ ψυχῇ συγχωροῦσιν· οὗτος δὲ Τιμολέοντα, τὸν οὐχ οἷον δόξαντά τι πεπραχέναι μεγαλεῖον, ἀλλ' οὐδ' ἐπιβαλλόμενον, μίαν δὲ τοῦ βίου γραμμὴν διανύσαντα, καὶ ταύτην οὐδὲ σπουδαίαν τρόπον τινὰ πρὸς τὸ μέγεθος τῆς οἰκουμένης· λέγω δὴ τὴν ἐκ πατρίδος εἰς Συρακούσας. ἀλλά μοι δοκεῖ πεισθῆναι Τίμαιος, ὡς ἂν Τιμολέων πεφιλοδοξηκὼς ἐν αὐτῇ Σικελίᾳ, καθάπερ ἐν ὀξυβάφῳ, [2]σύγκριτος φανῆναι τοῖς ἐπιφανεστάτοις τῶν ἡρώων, κἂν αὐτὸς ὑπὲρ Ἰταλίας μόνον καὶ Σικελίας πραγματευόμενος, εἰκότως παραβολῆς ἀξιωθῆναι τοῖς ὑπὲρ τῆς οἰκουμένης τῶν καθόλου πράξεων πεποιημένοις τὰς συντάξεις. ἔγραψε περὶ Συρίας, καὶ τῶν αὐτῆς πόλεων καὶ βασιλέων, βιβλία γʹ.

Τίμαιος, Λοκρὸς, Φιλόσοφος Πυθαγόρειος. Μαθηματικά. Περὶ Φύσεως. Περὶ τοῦ Πυθαγόρου βίου.

Τίμαιος, [3]Ἀνδρομάχου, Ταυρομενίτης· ὃν Ἀθηναῖοι Ἐπιτίμαιον ὠνόμασαν· Φιλίσκου μαθητὴς τοῦ Μιλησίου. παρωνόμασται δὲ τοῦτο, διὰ τὸ πολλὰ ἐπιτιμᾶν. καὶ Γραοσυλλέκτρια δὲ, διὰ τὸ τὰ τυχόντα ἀναγράφειν. ἔγραψεν Ἰταλικὰ, καὶ Σικελικὰ, ἐν βιβλίοις ηʹ. Ἑλληνικὰ, καὶ Σικελικά. Συλλογὴν ῥητορικῶν ἀφορμῶν, βιβλία ξηʹ. Ὀλυμπιονίκας, ἢ χρονικὰ πραξίδια. [4]Οὗτος ὁ Τίμαιος τὰς ἁμαρτίας τῶν πρὸ ἑαυτοῦ συγγραφέων πικρότατα ἐξελέγξας, κατὰ μὲν ἄλλα μέρη τῆς γραφῆς πλείστην πρόνοιαν εἶχε τῆς ἀληθείας· ἐν δὲ ταῖς Ἀγαθοκλέους πράξεσι τὰ πολλὰ κατέψευσται τοῦ δυνάστου, διὰ τὴν πρὸς αὐτὸν ἔχθραν. Φυγαδευθεὶς γὰρ ὑπ' Ἀγαθοκλέους ἐκ τῆς Σικελίας, ζῶντα μὲν ἀμύνασθαι τὸν δυνάστην οὐκ ἴσχυσε· τελευτήσαντα δὲ διὰ τῆς ἱστορίας ἐβλασφήμησεν εἰς τὸν αἰῶνα. καθόλου γὰρ ταῖς προϋπαρχούσαις τῷ βασιλεῖ τούτῳ κακίαις ἄλλα πολλὰ παρ' ἑαυτοῦ προσθεὶς ὁ συγγραφεὺς, τὰς μὲν εὐημερίας ἀφαιρούμενος αὐτοῦ, τὰς δὲ ἀποτεύξεις, οὐ τὰς δι' αὐτὸν γενομένας μόνον, ἀλλὰ καὶ τὰς διὰ τύχην, μεταφέρων εἰς τὸν μηδὲν ἐξαμαρτάνοντα. γενομένου δὲ ὁμολογουμένως αὐτοῦ στρατηγικοῦ μὲν κατὰ τὴν ἐπίνοιαν, δραστικοῦ δὲ καὶ τεθαῤῥηκότος κατὰ τὴν ἐν τοῖς κινδυ-

obus peccatis ſit obnoxius: uni quidem; quod alios acerbe criminetur, ob ea maxime delicta, quibus ipſe conſtringitur: alteri vero, quod ingenio fuerit plane corrupto, qui ejuſmodi ſententias commentariis ſuis prodiderit, eaſque opiniones legentium animis inſtillaverit. Sed ſi Calliſthenem merito pœnas dediſſe ſtatuendum eſt, quid Timæum pati oportet? Huic enim multo juſtius numen infenſum fuerit, quam Calliſtheni. Calliſthenes enim Alexandrum in Deorum numerum referre voluit. Timæus vero Timoleontem ſupra omnes Deos extollit. Et Calliſthenes quidem eum virum, quem omnes præſtantiore vi mentis, quam humana ferat conditio, fuiſſe conſentiunt. Hic vero Timoleontem, qui non modo nihil magnificum videtur geſſiſſe, ſed ne ſuſcepiſſe quidem; & qui unicum in tota vita ſpatium decucurrit, atque illud parum illuſtre præ orbis terrarum magnitudine; intervallum ſcilicet, quod eſt Corintho Syracuſas uſque. Sed prorſus mihi videtur Timæus perſuaſum habuiſſe, ſi Timoleon, qui in ſola Sicilia tanquam in acetabulo gloriam captaſſet, celeberrimis tamen heroibus comparandus eſſe videretur; ita & ſe ipſum, tametſi de Italia tantum ac Sicilia tractaviſſet, cum iis ſcriptoribus merito comparatum iri, qui univerſi orbis hiſtoriam condiderunt. Scripſit de Syria, ejuſque urbibus & Regibus, libros tres.

Τίμαιος. Timæus Locrus, Philoſophus Pythagoreus. Scripſit Mathematica. De Natura. De Pythagoræ vita.

Τίμαιος. Timæus, Andromachi F. Tauromenites, (quem Athenienſes Epitimæum vocarunt) Philiſci Mileſii diſcipulus. Epitimæus autem dictus eſt, quod multus eſſet in aliis redarguendis & reprehendendis. Idem & Graoſyllectria appellatus eſt, quod quævis ſine delectu in ſcripta referret. Scripſit Italica & Sicula, lib. VIII. Græca & Sicula. Collectionem argumentorum Rhetoricorum, lib. LXVIII. Olympionicas, ſive, Acta Chronica. Hic Timæus, qui anteriorum hiſtoriæ ſcriptorum errores acerbiſſime caſtigavit, fuit ille quidem in cæteris hiſtoriæ ſuæ partibus veritatis ſtudioſiſſimus, ſed in rebus geſtis Agathoclis, præ odio, quo in illum erat affectus, multa confinxit. Namque ab Agathocle ex inſula in exilium pulſus, tyrannum quidem ipſum, quamdiu vixit, ulciſci minime valuit: mortuum vero omnibus convitiis in hiſtoria ad poſteritatis memoriam laceravit. Siquidem iis vitiis, quæ in Rege illo fuerunt, multa ille alia commentus de ſuo adjicit; atque in univerſum omnes proſperos ejus ſucceſſus deterit; adverſos autem caſus, non eos ſolum, qui Agathoclis culpa, ſed etiam, qui fortuito evenerant, ei vitio vertit. Cumque inter omnes conſtet,

1 Ἠβουλήθη] In Collectaneis Conſtantini legitur οὐκ ἐβουλήθη; ſed addito aſteriſco.

2 Σύγκριτος φανῆναι] In Collectaneis a Valeſio editis rectius legitur, σύγκριτος φανῇ.

3 Τίμαιος, Ἀνδρομ.] Hic eſt idem ille Timæus, de quo Suidas egit in ſuperiore illo articulo, Τίμαιος, ὁ Ἱστορικός, &c.

4 Οὗτος ὁ Τίμαιος τὰς ἁμαρτίας τῶν πρ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Diodori, ut diſcimus ex Collectaneis Hiſtoricis a Valeſio editis, pag. 258. ubi hæc ſcriptori illi tribuuntur.

νοις εὐτολμίαν, οὐ διαλείπει παρ' ὅλην τὴν ἱστορίαν ἀποκαλῶν αὐτὸν ἄνανδρον καὶ δειλόν. καί τοι γε τίς οὐκ οἶδεν, ὅτι τῶν πώποτε δυναστευσάντων οὐδεὶς ἐλάττοσιν ἀφορμαῖς χρησάμενος μείζω βασιλείαν περιεποιήσατο; χειροτέχνης γὰρ ἐκ παίδων γενόμενος δι' ἀπορίαν βίου, καὶ πατέρων ἀδοξίαν, ἐξ ὑστέρου διὰ τὴν ἰδίαν ἀρετὴν οὐ μόνον Σικελίας ὅλης ἐκυρίευσεν, ἀλλὰ καὶ [1]πολλὴν τῆς Ἰταλίας καὶ Λιβύης τοῖς ὅπλοις κατεστρέψατο. θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν εὐχέρειαν. παρ' ὅλην γὰρ τὴν γραφὴν ἐγκωμιάζων τὴν τῶν Συρακουσίων ἀνδρείαν, τὸν τούτων κρατήσαντα δειλίᾳ φησὶ διενηνοχέναι τοὺς ἅπαντας ἀνθρώπους. [2]διὰ γὰρ τῶν ἐν ταῖς ἐναντιώσεσιν ἐλέγχων φανερός ἐστι τὸ φιλάληθες τῆς ἱστορικῆς παῤῥησίας προδεδωκὼς, ἰδίας ἕνεκα ἔχθρας καὶ φιλονεικίας. διόπερ τὰς ἐσχάτας τῆς συντάξεως ε βίβλους τοῦ συγγραφέως τούτου, καθ' ἃς περιείληφε τὰς Ἀγαθοκλέους πράξεις, οὐκ ἄν τις δικαίως ἀποδέξαιτο.

Agathoclem & conſilio in re militari valuiſſe, & induſtria atque audacia in maximis diſcriminibus ſingulari præditum fuiſſe; ipſe tota paſſim hiſtoria imbellem eum atque ignavum vocitare non deſinit. Et tamen quis eſt qui ignorat, neminem minoribus uſum præſidiis atque adjumentis tantam dominationem ſibi unquam comparaſſe? Qui cum a puero ob egeſtatem atque obſcuritatem generis ſellularius opifex fuiſſet, poſtmodum ſua virtute non univerſæ modo Siciliæ dominationem adeptus eſt, ſed & Italiæ Africæque maximam partem armis ſubegit. Ac levitatem ipſius Timæi merito quis miretur: qui cum fere omnibus paginis Syracuſanorum fortitudinem laudibus efferat, eum, qui Syracuſanos ſubegit, omnium hominum ignaviſſimum fuiſſe affirmat. Ex his igitur adeo inter ſe pugnantibus atque contrariis manifeſto convincitur, veritatis ſtudium, quod in hiſtorico præcipuum eſſe debet, privatæ ſimultatis ac contentionis cauſa prodidiſſe. Quamobrem poſtremos ejus quinque libros, quibus res ab Agathocle geſtas complexus eſt, nemo unquam jure comprobaverit.

Τιμή. ἔσθ' ὅτε δηλοῖ καὶ τὸ πρόστιμον. Ὅμηρος·

Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
Τίνειν οὐκ ἐθέλωσι. ———

Τιμή. Interdum & mulctam ſignificat. Homerus: *Si vero Priamus Priamique filii mulctam mihi perſolvere noluerint.*

Τιμὴ εὐσεβῶν, δουλεύειν Θεῷ· περὶ τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.

Τιμὴ εὐσεβῶν δουλ. *Piorum honor eſt, ſervire Deo: ſed de honore meo repudiando conſilium inierunt.*

Τιμήεις, τιμήεντος.

Τιμήεις. Honoratus.

Τίμημα. ζημία. Ἀριστοφάνης Πλούτῳ·

Τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
Ἐὰν ἁλῷς;

[3]Ἐπέβαλλον γὰρ ζημίαν ἐνίοτε τοῖς ἁλοῦσιν, ἢ χρήματα καταθέσθαι, ἤ τι τοιοῦτον. Καὶ αὖθις· Τίμημα τῆς εἰσαγγελίας ἐχούσης χρηματικόν. † Ταῖς οὐσίαις ἑκάστου τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθεὶς, δικαιότατον πολίτευμα εἰσηγήσατο.

Τίμημα. Mulcta. Pœna. Ariſtoph. *Pluto: Quam pœnæ æſtimationem liti inſcribam, ſi cauſa cecideris?* Interdum enim mulcta irrogari ſolebat iis, qui judicio victi fuiſſent; ut nempe vel certam pecuniæ ſummam perſolverent, vel hujuſmodi quid. Et iterum: *Accuſatio illa mulctam habebat pecuniariam.* [Et τίμημα, cenſus, ſive æſtimatio bonorum.] *Cum ſingulis civibus pro modo facultatum cenſum impoſuiſſet, juſtiſſimam Reip. adminiſtrandæ rationem alios docuit.*

Τίμημα. ἡ ζημία, καὶ ἡ καταδίκη.

Τίμημα. Mulcta, vel pœnæ, quæ ſententia Judicis irrogatur.

Τίμημα.[4] ἀντὶ τοῦ ἐνέχυρον, καὶ οἷον ἀποτίμημα. ὡς Λυσίας φησίν· Οὗτοι δὲ φάσκοντες πλείονα μισθώσασθαι, καὶ τίμημα καταστήσασθαι. Τοῦτο δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ. τίθεται δὲ καὶ ἀντὶ τοῦ οἷον κεφάλαιον· ὡς ἐν τῷ περὶ τῶν συμμάχων Δημοσθένης. λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας εἰσφερόμενον παρ' ἑκάστου τίμημα. Ταῖς οὐσίαις ἑκάστου τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθεὶς, δικαιότατον πολίτευμα εἰσηγήσατο. ἐν δὲ τῷ κατὰ Μειδίου ἐπὶ τῆς τιμωρίας εἴρηται.

Τίμημα. [Interdum] ſignificat pignus, & idem, quod ἀποτίμημα, ut Lyſias inquit: *Illi vero dicentes ſe plura conduxiſſe, & pignus conſtituiſſe.* Quod autem, [hic τίμημα vocat,] in ſequentibus appellat ἀποτίμημα. Ponitur item pro capite, [ſive ſumma pecuniæ, quam & *ſortem* Latini vocant:] ut apud Demoſthenem in oratione de Sociis. Sic etiam dicitur cenſus; ſive id, quod quiſque pro modo bonorum ſuorum in ærarium confert. *Cum ſingulis civibus pro modo facultatum*, &c. [ut ſupra.] In oratione vero contra Midiam ponitur pro pœna.

Τί μήν; κατάφασιν δηλοῖ. ἀντὶ τοῦ, πῶς γὰρ οὔ; διατί γὰρ οὔ.

Τί μήν; Affirmationem indicat. Pro, Quidni? Cur non? Maxime.

Τιμησάμενος. καταψηφισάμενος. Οὗ κατηγορεῖ Ξάνθιππος, θανάτου τιμησάμενος αὐτῷ. ὁ δὲ

Τιμησάμενος. Qui condemnavit. Qui pœna aliqua aliquem dignum cenſuit. *Quem accuſat Xanthippus, capitale ſupplicium eum commeruiſſe cenſens. Ille vero cum in lectulo decumbens*

1 Πολλὴν τῆς Ἰταλίας καὶ Λιβύης] Deeſt vox μοῖραν, vel ſimile quid.
2 Διὰ γὰρ] Potius, διὰ γοῦν.
3 Ἐπέβαλλον γὰρ ζημ.] Vide Petitum *de Leg. Att.* pag. 336.
4 Τίμημα. ἀντὶ τοῦ ἐνέχ.] Ex Harpocratione.

[1] κλωνήρης ἀπολογούμενος, ἐζημιώθη ταλάντοις η'.

Τιμησαίμην. Αἰλιανός· Ὃν [2] ἂν ἐγὼ τιμησαίμην περὶ παντὸς συγγενέσθαι καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσι. Καὶ αὖθις Αἰλιανός· Τιμησαίμην τὸν βίον πάντα [3] τελημοίρου, εἰ μὴ ἔχοιμι τοὺς ἐμοὺς κηδεμόνας. ἀντὶ τοῦ, ἀλλάξοιμι.

Τιμήσεως. εὐθύνης. ζημίας. Ἡ Ῥώμη ἑαυτὴν ἐπιδέδωκεν εἰς πολυανθρωπίαν, ὡς ἐκ τῆς ἔγγιστα τιμήσεως ἐφάνη, ἐν ᾗ Ῥωμαίων, τῶν ἐν ἥβῃ, τέσσαρες μυριάδες ἐφάνησαν ἀριθμηθεῖσαι, τριῶν ἀποδέουσαι χιλιάδων.

Τιμησίθεος, Τραγικός. δράματα αὐτοῦ, Δαναΐδες β'. Ἕκτορος λύτρα. Ἡρακλῆς. Ἰξίων. Καπανεύς. Μέμνων. Μνηστῆρες. Ζηνὸς γοναί. Ἑλένης ἀπαίτησις. Ὀρέστης. Πυλάδης. Κάστωρ καὶ Πολυδεύκης.

Τιμητεία. ἡ τιμή.

Τιμητής. [4] Ἄππιος Κλαύδιος ἦν τιμητής, Κήνσωρ δὲ παρὰ Ῥωμαίοις ὀνομαζόμενος, ὅ ἐστιν ἐξεταστὴς πολιτικῶν διαιτημάτων, πρὸς τὸ σῶφρον καὶ ἀρχαΐζοντα ἑκάστου τῶν πολιτῶν ἐπιστρέφων βίον. ἀρχὴ μεγίστη, καὶ πασῶν ἐντιμοτάτη παρὰ Ῥωμαίοις κέκριται, τοῖς διὰ πάσης γεγονόσιν ἐνδόξου πολιτείας, ἀμωμήτῳ τε βίῳ χρησαμένοις κληρουμένη.

Τίμιον. [5] τὸ σπάνιον παρὰ τοῖς Ῥήτορσι.

Τιμιουλκῶν. ἕλκων τὴν τιμήν· τουτέστι, βαρυτιμῶν, καὶ μεγαλύνων. καὶ ὁ Προφήτης· [6] Ὁ γὰρ τιμιουλκῶν τὸν σῖτον, δημοκατάρατος.

Τιμιώτερος. ἐντιμότερος.

Τιμόθεος, Ἀθηναῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἦν, Πύκτης, Παρακαταθήκη, Μεταβαλλόμενος, ἢ Μεταφερόμενος. καὶ Κυνάκιον Τιμοθέου δρᾶμα, ὥς φησιν [7] Ἀθήναιος ἐν τοῖς αὐτοῦ.

Τιμόθεος, Θερσάνδρου, ἢ Νεομύσου, ἢ Φιλοπόλιδος, [8] Μιλήσιος, λυρικός· ὃς [9] τὴν δεκάτην καὶ ἑνδεκάτην χορδὴν προσέθηκε, καὶ τὴν ἀρχαίαν μουσικὴν ἐπὶ τὸ μαλακώτερον μετήγαγεν. ἦν δὲ ἐπὶ τῶν Εὐριπίδου χρόνων τοῦ τραγικοῦ, καθ' οὓς καὶ Φίλιππος ὁ Μακεδὼν ἐβασίλευεν. ἐτελεύτησε δὲ ἐτῶν ἐνενήκοντα ἑπτά, γράψας δι' ἐπῶν [10] Νόμους μουσικοὺς δεκαεννέα. Προοίμια λϛ'. Ἄρτεμιν. Διασκευὰς η'. Ἐγκώμιον. [11] Πέρσας, ἢ [12] Ναύπλιον. Φινείδας. Λαέρτην.

cauſam dixiſſet, octo talentis mulctatus eſt.

Τιμησαίμην. Æſtimem, Dignum cenſeam. Ælianus: *Quem ego præ omnibus rebus cenſeam adeſſe debere tyrannis, & iis, qui opibus excellunt.* Et iterum Ælianus: *Vitam omnem vix æſtimarem triente, niſi meos curatores haberem.*

Τιμήσεως. Æſtimationis. Cenſus. Mulctæ. *Roma hominum multitudine maxime crevit, ut ex proximo cenſu apparuit; quo Romanorum puberum* XXXVII. *millia numerata ſunt.*

Τιμησίθεος. Timeſitheus, Tragicus. Ejus fabulæ ſunt, Danaides II. Hectoris redemptio. Hercules. Ixion. Capaneus. Memnon. Proci. Jovis natales. Helenæ repetitio. Oreſtes. Pylades. Caſtor & Pollux.

Τιμητεία. Cenſura. Dignitas Cenſoris.

Τιμητής. Cenſor. Morum magiſter. Appius Claudius Cenſor erat. Sic autem apud Romanos vocatur vitæ morumque magiſter, qui ſingulos cives ad modeſtiam & antiquam diſciplinam revocat: iſque magiſtratus ſummus & honoratiſſimus apud Romanos cenſetur: qui tantum mandatur iis, qui ampliſſimis honoribus functi ſunt, vitamque omni labe vacuam egerunt.

Τίμιον. Pretioſum. Apud Oratores [interdum] ſignificat, rarum.

Τιμιουλκῶν. [Proprie,] Pretium trahens. Id eſt, Rerum venalium pretium intendens & augens. Et Propheta ait: *Qui annonæ pretium intendit, publice execrabilis eſt.*

Τιμιώτερος. Honoratior. Pretioſior.

Τιμόθεος. Timotheus, Athenienſis, Comicus mediæ Comœdiæ. Ex ejus fabulis ſunt, Pugil, Depoſitum, Mutatus, ſeu Tranſlatus. Eſt & Catellus Timothei fabula, ut ait Athenæus in libris [*Dipnoſophiſtarum.*]

Τιμόθεος. Timotheus, Therſandri, vel Neomyſi, vel Philopolidis filius, Lyricus: qui decimam & undecimam chordam [lyræ] addidit, & antiquam muſicam ad molliorem modum traduxit. Fuit autem temporibus Euripidis Tragici, quibus & Philippus Macedo regnabat. Obiit ætatis anno XCVII. Scripſit verſibus Nomos muſicos XIX. Procemia XXXVI. Dianam. Diaſceuas VIII. Encomium. Perſas, ſive Nauplium. Phinidas. Laertem.

1 Κλωνήρης] Portus vocem hanc ridicule pro nomine proprio viri accipiebat, cum ſit nomen appellativum, habens eam ſignificationem, quam in verſione expreſſimus.

2 Ὃν ἂν ἐγὼ τιμησαίμην περὶ π.] Vide ſupra v. [illegible], ubi idem fragmentum legitur.

3 Τελημοίρου] Eſt vox corrupta. An legendum eſt, τριημερίου? ut ſit ſenſus. *Vitam omnem vix tridui ſpatio dignam cenſeam,* &c. Sed ob brevitatem fragmenti nihil certi ſtatui poteſt.

4 Ἄππιος Κλαύδιος ἦν τιμ.] Confer Noſtrum ſupra v. Κήνσωρ.

5 Τίμιον. τὸ σπ.] Hac ſignificatione vox τίμιον etiam accipitur 1 Sam. 3. 1. Καὶ τὸ ῥῆμα κυρίου τίμιον ἦν ἐν ταῖς ἡμέραις ἐκείναις.

6 Ὁ γὰρ τιμιουλκῶν τ.] Sic olim Græcæ quædam Bibliorum verſiones habebant *Proverb.* XI. 16. Hodie vero apud LXX. Interpretes ſic legitur: Ὁ συνέχων τὸν σῖτον, ὑπολείποιτο αὐτὸν τοῖς ἔθνεσι.

7 Ἀθήναιος] Lib. VI. pag. 243.

8 Μιλήσιος] Vide Stephan. Byzant. v. Μίλητος.

9 Ὃς τὴν δεκάτην καὶ ἑνδεκ.] Pauſaniæ in *Laconicis*, pag. 183. Ἐνταῦθα ἐκρέμασαν Λακεδαιμόνιοι τὴν Τιμοθέου τοῦ Μιλησίου κιθάραν, καταγνόντες, ὅτι χορδαῖς ἑπτὰ ταῖς ἀρχαίαις ἐφεῦρεν ἐν τῇ κιθαρῳδίᾳ τέσσαρας χορδάς. Nota, Timotheum, ſecundum Pauſaniam, quatuor chordas prioribus ſeptem addidiſſe: cum Suidas hoc loco duas tantum ab eo inventas fuiſſe ſcribat. Cæterum, καινοτομία illa Lacedæmoniis non placuit; quippe qui Timotheum ideo ex urbe ſua expulerunt. Vide Caſaub. ad Athen. lib. VIII. cap. XI.

10 Νόμους μουσικούς] Vide Salmaſium ad Capitolin. p. 70. Ed. Pariſ.

11 Πέρσας] Carminis hujus meminit Pauſanias in *Arcadicis*, pag. 535. Πυλάδην τὸν Μεγαλοπολίτην ᾄδοντος Τιμοθέου νόμον τοῦ Μιλησίου, ΠΕΡΣΑΣ, ἐπικαταρξαμένου τῆς ᾠδῆς·

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον.

Item Plutarchus in *Philopœmene*, pag. 362. Ἄρτι δὲ αὐτῶν εἰσεληλυθότων, κατὰ τύχην Πυλάδην τὸν κιθαρῳδὸν ᾄδοντα τοὺς Τιμοθέου ΠΕΡΣΑΣ ἐνάρξασθαι,

Κλεινὸν ἐλευθερίας τεύχων μέγαν Ἑλλάδι κόσμον.

Idem in libello *de Audiendis Poetis*, pag. 32. Ἀφ' ὧν καὶ Τιμόθεος ὁρμηθεὶς, οὐ κακῶς ἐν τοῖς Πέρσαις τοὺς Ἕλληνας παρακαλεῖ, &c.

12 Ναύπλιον] Scribendum puto, Ναυτίλον. Timotheum enim ἐν

Δίθυ-

Διθυράμβους ιη. Ὕμνους κα. καὶ ἄλλα τινά. † Ὅτι Ἀλέξανδρος φιλήκοος ἦν, εἴπερ τις ἄλλος, τῶν μουσικῶν. [1] Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν, ὅτε ποτὲ αὐλοῦντα λέγουσι τῆς Ἀθηνᾶς τὸν Ὄρθιον νόμον ἐπικαλούμενον, ἐς τοσόνδε ἐκπλῆξαι τὸν Ἀλέξανδρον τοῖς μέλεσιν, ὥστε μεταξὺ ἀκούσαντα ἀναΐξαι ἐπὶ τὰ ὅπλα. τὸν δὲ φάναι, ὅτι τοιαῦτα χρὴ εἶναι τὰ βασιλικὰ αὐλήματα. οὗτος τε δὴ ὁ Τιμόθεος ἀνεληλύθει πρὸς αὐτὸν σπουδῇ μετάπεμπτος γενόμενος.

Τιμόθεος, [2] Γαζαῖος, γραμματικός, γεγονὼς ἐπὶ Ἀναστασίου τοῦ βασιλέως· εἰς ὃν καὶ τραγῳδίαν ἐποίησε περὶ τοῦ δημοσίου τοῦ καλουμένου Χρυσαργύρου. ἔγραψε δὲ καὶ ἐπικῶς περὶ ζώων τετραπόδων καὶ θηρίων τῶν παρ' Ἰνδοῖς καὶ Ἄραψι καὶ Αἰγυπτίοις, καὶ ὅσα τρέφει Λιβύη· καὶ περὶ ὀρνέων ξένων τε καὶ ἀλλοκότων, καὶ ὄφεων, βιβλία δ'.

Τιμόθεος. ὄνομα κύριον. Ὁ Τιμοθέου δὲ πύργος ἐμπέσοι γέ σοι. Ἀριστοφάνης Πλούτῳ. [3] Οὗτος ὁ Τιμόθεος πλούσιος ὤν, καὶ στρατηγὸς Ἀθηναίων, τεῖχος ᾠκοδόμησεν. ὃς [4] εἰς τοσοῦτον ἦλθε τύχης, ὡς τὸν δαίμονα φαίνεσθαι ὄψει τούτῳ. ἐποίουν τε αὐτὸν ἐν εἰκόσιν οἱ ζωγράφοι κοιμώμενον, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις, καὶ πορθοῦντα αὐτάς, αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ. ἀλαζονευόμενος δὲ ἐπὶ εὐτυχίᾳ ὁ Τιμόθεος, ἔφη, αὐτοῦ εἶναι μᾶλλον, ἢ τῆς τύχης τὰ κατορθώματα. διὸ καὶ ἠτύχησεν, ὕστερον νεμεσησάσης αὐτῷ τῆς τύχης. πολλοὶ δὲ Τιμόθεοι κωμῳδοῦνται. νῦν δὲ τὸν στρατηγὸν λέγει.

Τιμοκλῆς, Ἀθηναῖος, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι, Δημοσάτυροι, Κένταυρος, Καύνιοι, Ἐπιστολαί, Ἐπιχαιρέκακος, Φιλοδικαστής, Πύκτης· ὥς φησιν Ἀθήναιος ἐν τοῖς βιβλίοις τῶν Δειπνοσοφιστῶν.

Τιμοκλῆς [5] ἕτερος, καὶ αὐτὸς κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι, Διονυσιάζουσαι, Πολυπράγμων, Ἰκάριοι, Δῆλος, Λήθη, Διόνυσος, Κονίσαλος, Πορφύρα, (ἥτις καὶ δοκεῖ Ξενάρχου εἶναι) Ἥρωες, Δρακόντιον, Νέαιρα, (ἑταίρας δὲ ὄνομα ἐστὶν ἡ Νέαιρα) Ὀρέστης, Μαραθώνιοι. ταῦτα Ἀθήναιος λέγει ἐν τοῖς βιβλίοις τῶν Δειπνοσοφιστῶν. εἰσὶ δὲ καὶ ἄλλα.

Τιμοκρέων, Ῥόδιος, κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητήν, καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, [6] εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς τινος ποιήματος.

Dithyrambos xviii. Hymnos xxi. & alia quædam. † Alexander Muſicorum audiendorum, ſi quiſquam alius, cupidus fuit. Timotheum enim tibicinem ajunt, cum aliquando carmen Minervæ, Orthium vocatum, tibia caneret, Alexandrum adeo commoviſſe, ut inter audiendum ad arma proſiliret. Illum vero dixiſſe, talia eſſe debere carmina regia. Timotheus vero ad eum acceſſerat, miſſis celeriter nuntiis ab eo accerſitus.

Τιμόθεος. Timotheus, Gazæus, Grammaticus, qui fuit temporibus Anaſtaſii Imperatoris; in quem etiam tragœdiam fecit de vectigali publico, quod Chryſargyrum dicebatur. Scripſit etiam verſibus de animalibus quadrupedibus & feris, quæ ſunt apud Indos, Arabes, & Ægyptios, quaſque Africa alit: itemque de avibus peregrinis & inſolitis, & de ſerpentibus, lib. iv.

Τιμόθεος. Timotheus. Nomen proprium. Ariſtoph. *Pluto: Timothei vero turris in caput tuum incidat.* Timotheus iſte dives fuit, & Athenienſium Imperator, qui turrim ædificavit. Hic ad eam felicitatem evectus eſt, ut Fortuna ei coram appareret. Eundem pictores dormientem pingebant, vaſtantemque urbes, quas Fortuna in retia ejus coegerat; felicitatem ejus indicare volentes. Timotheus autem felicitate illa elatus, dixit, proſperos rerum ſucceſſus ſibi potius quam Fortunæ tribuendos eſſe. Quare poſtea etiam, ſuccenſente ipſi Fortuna, infeliciter rem geſſit. Multi autem Timothei a Comicis traducuntur. Nunc autem [Ariſtophanes.] Imperatorem [Athenienſium] intelligit.

Τιμοκλῆς. Timocles, Athenienſis, Comicus. Ex ejus fabulis ſunt, Demoſatyri, Centaurus, Caunii, Epiſtolæ, Malis alienis gaudens, Philodicaſtes, Pugil: ut ait Athenæus in libris *Dipnoſophiſtarum.*

Τιμοκλῆς ἕτ. Timocles alter, & ipſe Comicus. Ex fabulis ejus ſunt, Dionyſiazuſæ, Polypragmon, Icarii, Delus, Lethe, Bacchus, Coniſalus, Purpura, (quæ & Xenarcho a quibuſdam tribuitur) Heroes, Dracontium, Neæra, (Neæra vero eſt nomen meretricis) Oreſtes, Marathonii. Harum fabularum mentionem facit Athenæus in libris *Dipnoſophiſtarum.* Sunt autem & aliæ.

Τιμοκρέων. Timocreon Rhodius, Comicus & ipſe veteris Comœdiæ. Huic inimicitiæ interceſſerunt cum Simonide Melico, & Themiſtocle Athenienſi: in quem etiam numeroſum facit, cum ſit idem Comicus: ut cenſet etiam Meurſius in *Bibliotheca Attica.*

Ναυτίλῳ citant, Athenæus lib. viii. cap. iv. pag. 338. & Euſtathius ad Odyſſ. E. pag. 1538.

1 Τιμόθεος γὰρ ὁ αὐλητὴς ἔτι πρόσθεν] Locus eſt corruptus, quem Pearſonius ſic emendandum cenſebat, Τιμόθ. γὰρ ὁ αὐλ. ἔστι πρόσθεν αὐτοῦ, &c. Cæterum in MS. B. locus hic ita legitur: Τιμόθεον γάρ φασι τὸν αὐλητὴν αὐλοῦντά ποτε, &c. Hoc amplector. Confer etiam Noſtrum ſupra v. Ἀλέξανδρος, & v. Ὀρθιασμάτων: ubi eadem de Timotheo referuntur.

2 Τιμόθεος Γαζ.] Hujus Timothei meminit Tzetzes *Chil.* iv. cap. cxxviii. ubi ſic inquit:

Καὶ σὺν αὐτοῖς Τιμόθεος, Γραμματικὸς Γαζαῖος,
Ἀναστασίῳ βασιλεῖ σύνδρομος ὢν ἐν χρόνοις.

3 Οὗτος ὁ Τιμόθεος κτλ.] Quæ hic Suidas de Timotheo refert, leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Plutum*, pag. 20.

4 Ὃς εἰς τοσοῦτ.] Confer Ulpianum ad *Olynth.* ii. pag. 28.

5 Τιμοκλῆς ἕτερ.] Male Suidas Timoclem hunc a priore diverſum facit, cum ſit idem Comicus: ut cenſet etiam Meurſius in *Bibliotheca Attica.*

6 Εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς τ.] Hoc poema intelligit Plutarchus in *Themiſtocle*, pag. 122. ubi ait: Τιμοκρέων δ' ὁ Ῥόδιος, μελοποιός, ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον ὄντα προδεμένου δι' ἀργύριον. λέγει δὲ οὕτως, &c. Id eſt: *Timocreon Rhodius, poeta melicus, in carmine quodam Themiſtoclem acerbe perſtringit; quod exulibus aliis mercede reditum in patriam confeciſſet, ſe vero hoſpitem & amicum prodidiſſet, pecunia adductus. Sic autem inquit,* &c. Et paulo poſt: Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων, ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχή, &c. I. c. *Longe vero petulantioribus & apertioribus probris Themiſtoclem jam exulem & damnatum proſcidit Timocreon; compoſuitque carmen, cujus hoc eſt exordium,* &c.

ἔγραψε δὲ κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιστοκλέα, καὶ εἰς Σιμωνίδην τὸν μελοποιὸν, καὶ [1] ἄλλα.

Τιμόλαος, [2] Λαρισσαῖος, ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής· ὃς καὶ ποιητικῶς ἔχων [3] παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον, καὶ ἐπέγραψε τὸ σύνταγμα [4] Τρωϊκόν.

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλλῆος,
Ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,
Οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε

Μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτος.
Πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν
Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

ἔγραψε καὶ ἄλλα τινά.

Τιμῶμαι. [5] Σωκράτης ὁ Φιλόσοφος καταδικασθεὶς ἔφησεν· Ἕνεκα μὲν τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως. καὶ οἱ θάνατον αὐτοῦ κατέγνωσαν.

Τιμώμενον. ἀντὶ τοῦ ζημιούμενον. Ὄνομα μόνον ἐστὶν ἔργου τιμώμενον. ἀντὶ τοῦ ζημιούμενον. τίμησις γὰρ, καὶ ἡ ζημία. ἢ τὸ εὐθυνόμενον, καὶ ἐπιτίμια ὑπέχον.

Τίμων, [6] ὁ Μισάνθρωπος, καὶ [7] αὐτὸς Φιλόσοφος, ἀποστρεφόμενος πᾶσαν αἵρεσιν.

Τίμων [8] Φλιάσιος, καὶ αὐτὸς Φιλόσοφος, τῆς Πύῤῥωνος ἀγωγῆς, ὁ γράψας τοὺς καλουμένους Σίλλους, ἤτοι ψόγους τῶν Φιλοσόφων, βιβλία γ'.

Τίμων. ὄνομα κύριον. ὁ Μισάνθρωπος καλούμενος. ἦν δὲ [9] καθαρός. [10] Τίμων τις ἦν, [11] ἀνίδρυτος, ἀβάτοισιν ἐν [12] σκώλοισι περιειργμένος, Ἐριννύων ἀποῤῥώξ. [13] Ὅν φησιν ἀπὸ ἀχράδος πεσόντα χωλὸν γενέσθαι· μὴ προσιέμενον δὲ ἰατρὸν, ἀποθανεῖν σαπέντα· καὶ μετὰ τὴν τελευτὴν αὐτοῦ [14] ἄβατον γενέσθαι ὑπὸ θαλάσσης περιῤῥαγέντα ἐν ὁδῷ. Ἄβατον δὲ, οἷον ἀκάνθαις πεφραγμένον, καὶ σκληροῖς σκόλοψι καὶ πασσάλοις [15] ἠφανισμένον. ἀντὶ τοῦ σκυθρωποῦ, καὶ μισανθρώπου.

roſo carmine vituperium contexuit. Scripſit item Comœdiam in Themiſtoclem, & Simonidem Melicum: & alia.

Τιμόλαος. Timolaus, Lariſſæus, Macedo, orator, Anaximenis Lampſaceni diſcipulus: qui, cum ingenio poetico præditus eſſet, ſingulis Iliadis [Homericæ] verſibus ſingulos verſus adjecit & id opus *Troica* inſcripſit. [Ejus autem initium tale erat:]

Iram cane, Dea, Pelidæ Achillis,
Quā animo concepit propter puellā Chryſis,
Pernitioſam, quæ infinita Græcis mala attulit,
Cum abſque Rege cum Trojanis bellum gererent:
Multas etiam animas fortes Orco demiſit
Græcorum, Hectoribus manibus & haſta occiſorum.

Scripſit & alia quædam.

Τιμῶμαι. Æſtimo. *Socrates condemnatus dixit: Eorum cauſa, quæ a me geſta ſunt, cenſeo, me hanc æſtimationem litis meruiſſe, ut publice in Prytaneo victus mihi præbeatur. Illi vero eum capitis condemnarunt.*

Τιμώμενον. [Æſtimatum. Interdum &] Mulctatum. *Nomen tantum eſt, quod facto æſtimatur.* Vel, mulctatur. Τίμησις enim eſt mulcta. Vel τιμώμενον, id, quod caſtigatur, & pœna afficitur.

Τίμων. Timon, Miſanthropus dictus, & ipſe Philoſophus, qui ſectam omnem averſabatur.

Τίμων. Timon Phliaſius, & ipſe Philoſophus, qui ſcripſit Sillos, ita vocatos: hoc eſt, vituperationes Philoſophorum, lib. III.

Τίμων. Timon, Miſanthropus dictus: qui omnibus inviſus erat. [Ariſtophanes:] *Timon quidam erat, vir execrabilis, inacceſſis ſpinis circumſeptus, Furiarum propago.* Hunc [Neanthes] ait, cum de pyro ſylveſtri cecidiſſet, claudum factum eſſe: cumque medicum admittere nollet, putredine conſumptum fuiſſe. Poſt mortem autem ejus, ſepulcrum, in quo conditus erat, juxta viam fluctibus marinis a reliqua terræ parte diviſum, & inacceſſum factum eſſe. Inacceſſum dixit, quaſi ſpinis cinctum, duriſque ſtipitibus & palis circumſeptum. Eo autem ſignificare vult, eum fuiſſe tetricum & ſocietatis humanæ oſorem.

1 Καὶ ἄλλα] Inter ea erant & Scolia. Vide Noſtrum ſupra v. Σκολιὸν, & Enarratorem Comici ad *Ranas*, pag. 273. Cæterum, non alienum erit ab hoc loco monere, epitaphium in Timocreontem hunc exſtare Anthol. lib. III. cap. VII. pag. 308. & apud Athen. lib. X. cap. IV. pag. 415.

2 Τιμόλαος, Λαρισσ.] Euſtathius in Procœmio Odyſſ. Τιμόλαος, ὁ εἴτε Λαρισσαῖος εἴτε Μακεδὼν, εἴτε καὶ ἄμφω, λογοδοξίαν οἷον ὀκνεῖ κηρύγματος τοῦ ποιητικοῦ Ὠκεανοῦ, ἐγχεάμενος μικρογραφικῶς τινας οἰκείους στίχους ὥσπερ τινὰς ἢ μύξας τοῦ παρ' ἑαυτοῦ. λέγεται γὰρ ὅτι παρενέβαλε τῇ Ἰλιάδι οἰκεῖον στίχον πρὸς στίχον, ἐπιγράψας τὸ σύνταγμα Τρωϊκὸν, Μῆνιν ἄειδε θεὰ, &c. Reliqua enim, ut hic apud Suidam.

3 Παρενέβαλε τῇ Ἰλιάδι στίχ.] Simili modo Iliadem Homericam olim interpolaverat Pigres, ut teſtatur Suidas ſupra v. Πίγρης, quem conſule.

4 Τρωϊκὸν] Euſtathius loco laudato, Τρωϊκά: quod malim.

5 Σωκράτης ὁ Φιλόσοφος κατεδικ.] Hæc ſunt verba Laertii in *Socrate*, lib. II. num. XLII. Confer Petitum *de Leg. Att.* p. 335, 336.

6 Τίμων, ὁ Μισανθρ.] Ejus crebra apud Scriptores veteres mentio occurrit. Lucianus vero & Dialogum ſcripſit, qui *Timon*, ſive *Miſanthropus* inſcribitur: in quo inhumanos viri illius mores eleganter depingit.

7 Καὶ αὐτὸς] Hæ duæ voculæ ſupervacaneæ ſunt. Nihil enim præceſſit, ad quod referri poſſint.

8 Τίμων Φλιάσιος] Hujus vitam deſcripſit Laertius lib. IX.

9 Καθαρός] Lector vel parum acutus videat, ſcribendum eſſe, κατάρατος, i. e. *execrandus*, vel, *omnibus inviſus*. Portus tamen vulgatam lectionem abſque cenſura dimiſerat, eamque bona fide in verſione ſua ſecutus erat.

10 Τίμων τις ἦν, ἀνίδρ.] Hæc ſunt verba Ariſtophanis *Lyſiſtrata*, pag. 887. (559. Ed. Baſ. P.) Confer Noſtrum ſupra v. Ἀποῤῥώξ, ubi eadem leguntur.

11 Ἀνίδρυτος] Suidas v. Ἀποῤῥώξ rectius habet, ἀΐδρυτος, abſque ν. De voce ἀΐδρυτος autem vide Heſychium.

12 Ἐν σκώλοισι] Edit. Genev. poſt σκώλοισι addit, τε περιέοσιν: ſed neſcio, unde ſumptum. Nam non ſolum MSS. Pariſ. ſed nec reliquæ Edit. vocem iſtam agnoſcunt: eademque apud Ariſtophanem deeſt.

13 Ὅν φησιν] Excidit hic nomen ſcriptoris: qui vel Evanthes eſt, ſecundum Suidam ſupra v. Ἀποῤῥώξ vel Neanthes, ſecundum Scholiaſtam ineditum in *Lyſiſtratam* Ariſtophanis. Vide Nos ſupra ad v. Ἀποῤῥώξ.

14 Ἄβατον γενέσθαι] Adde, τὸν τάφον αὐτοῦ, auctoritate ipſius Suidæ v. Ἀποῤῥώξ.

15 Ἠφανισμένον] Portus, *obſcuratum*. Sed non animadverte-

Τιμω-

Τιμωνίδης. ὄνομα κύριον.

Τιμῶνται. ζημιοῦσι. καταδικάζουσιν. Οἵγε μὴν Ἱμεραῖοι τὸν Φιλόδημον τιμῶνται πρὸς τῇ δημεύσει, καὶ φυγῆς ζημίᾳ.

Τιμωρεῖν. ἀντὶ τοῦ βοηθεῖν. καὶ τιμωρὸς, ὁ ἐκδικητής. Οἱ δὲ ᾤοντο αὐτὸν τιμωρὸν ἀφῖχθαι τοῦ Ἀετίου φόνου.

Τιμωροῦντος. βοηθοῦντος. [1] ἐκδικοῦντος. Αἰλιανός· Ἐμοὶ δοκεῖν, τοῦ Διονύσου τιμωροῦντος παρθένῳ δυστυχεῖ, καὶ παθούσῃ τραγῳδίας ἄξια. † [2] Ἀποθανόντων τῶν ἀγαθῶν ἀνθρώπων ὁ Θεὸς τίθεται πρόνοιαν καὶ ὤραν, καὶ τιμωρεῖ τοῖς ἀδίκως ἀνῃρημένοις. [3] λέγει γοῦν Χρύσιππος, ἐν Μεγάροις καταχθῆναί τινα, χρυσίου ζώνην ἐπαγόμενον πεπληρωμένην. ἀπέκτεινε δὲ ἄρα αὐτὸν πανδοκεὺς, ὁ ὑποδεξάμενος ὀψισθέντα, ἐποφθαλμίσας τῷ χρυσίῳ. εἶτα ἔμελλεν ἐκκομίζειν ἐφ' ἁμάξης ἀγούσης κόπρον, ὑποκρύψας ἐν ταύτῃ τὸν πεφονευμένον. ἡ τοίνυν ψυχὴ τοῦ τεθνεῶτος ἐφίσταται Μεγαρεῖ τινι, καὶ λέγει ὅσα τε ἔπαθε, καὶ ὑφ' ὅτου, καὶ ὅπως ἐκκομίζεσθαι μέλλει, καὶ κατὰ ποίας πύλας. ὁ δὲ οὐκ ἤκουσε ῥαθύμως τὰ λεχθέντα· [4] κνεφαῖος δὲ διαναστὰς καὶ παραφυλάξας τοῦ ζεύγους ἐπελάβετο, καὶ ἀνίχνευσε τὸν νεκρόν. καὶ ὁ μὲν, ἐτάφη· ὁ δὲ, ἐκολάσθη.

Τιμωρῶ σοι. βοηθῶ σοι. Τιμωρῶ σε δὲ, ἀντὶ τοῦ βασανίζω, αἰτιατικῇ.

Τιναγμὸν, καὶ ἀνατιναγμόν.

Τινάξαι. [5] διαρρῆξαι. κόψαι. ἐν [6] Ἐπιγράμμασι·

Αὐτὰρ ἐγὼ τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι
Οἰόμενος. ——————

Τίνειν. διδόναι. καὶ τῖνε, ἀπόδιδου.

Τινθαλέοισι. χλιαροῖς. θερμοῖς.

Τινθαλέοισι καταικμήναιντο λοετροῖς.

χλιαροῖς. θερμοῖς. καθυγρανθείησαν.

Τινύμενος. [7] ἀπαιτούμενος. ἀποδιδόμενος.

Τίνυνται. τιμωροῦνται.

Τίοντες. τιμῶντες.

Τίος. πόλις ἐν Παφλαγονίᾳ. ὁ πολίτης, Τΐϊος, καὶ Τῖος, κατὰ κρᾶσιν τῶν δύο ιι· ὡς Χΐϊος, Χῖος.

Τί [8] οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας; ἐν τῷ Ἀρβέλα.

Τί οὐκ ἀπήγξω, ἵνα Θήβησιν ἥρως γένῃ; κέχρηται τῇ παροιμίᾳ Πλάτων ἐν Μενελάῳ. παρὰ δὲ τὴν ἱστορίαν. οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς διαχειρισάμενοι οὐδ' ἡστινοσοῦν τιμῆς ἠξιοῦντο.

Τιμωνίδης. Timonides. Nomen proprium.

Τιμῶνται. Mulctant. Condemnant. *Himeræi autem Philodemum, præter bonorum publicationem, etiam exilio mulctant.*

Τιμωρεῖν. [Cum dativo.] Opitulari [Ulciſci. Vindicare.] Et τιμωρός. Ultor. Vindex. *Illi vero putabant ipſum cædis Aetii vindicem veniſſe.*

Τιμωροῦντος. Auxiliantis. Opitulantis. Vindicantis. Ulciſcentis. Ælianus: *Baccho, ut mihi videtur, ulciſcente virginem infelicem, & tragica perpeſſam.* † Bonos viros etiam mortuos Deus providentia & cura ſua dignatur, & injuſte occiſos vindicat. Etenim, ut Chryſippus refert, quidam aliquando Megara venit, zonam auri plenam ſecum ferens; quem caupo, ad quem die jam ad veſperam vergente diverterat, obtruncavit, auri cupiditate inductus. Deinde cum cæſi cadaver in plauſtrum conjectum ſimoque tectum urbe exportare vellet; anima defuncti Megarenſi cuidam adſtitit, quidque paſſa ſit, & a quo, & quomodo, quaque porta corpus exportandum ſit, ei indicat. Ille vero cum haud ſegniter, quæ dicta erant, audiviſſet, luce nondum orta ſurrexit, obſervatoque plauſtro ei manus injecit, mortuumque ſimo eruit. Et ita hic quidem ſepulturæ, ille vero ſupplicio datus eſt.

Τιμωρῶ σοι. Opitulor tibi. Ulciſcor injuriam tibi illatam. At τιμωρῶ σε, cum accuſativo, ſupplicio te afficio.

Τιναγμόν. Quaſſationem. Vibrationem. Concuſſionem. Et ἀνατιναγμόν, idem.

Τινάξαι. Excutere. Diſrumpere. Diſcindere. In Epigrammate: *Sed ego primum quidem cachinnatus ſum, vincula me excuſſurum eſſe putans.*

Τίνειν. Luere. Perſolvere. Reddere. Et τῖνε, redde, perſolve.

Τινθαλέοισι. Tepidis. Calidis. [In Epigrammate:] *Calidis perfundantur lavacris.*

Τινύμενος. Qui aliquid repetit. Qui reddit. [Qui ulciſcitur. Qui punit.]

Τίνυνται. Vindicant. Ulciſcuntur. Puniunt.

Τίοντες. Honorantes. Colentes.

Τίος. Tius, urbs Paphlagoniæ: cujus civis dicitur Tiius, & per craſin duorum ιι, Tius: ut Chiius, Chius.

Τί οὐ γεν. *Quid non futurus es, cum Arbelas veneris?* Quære in v. Ἀρβέλα.

Τί οὐκ ἀπ. *Cur te non ſuſpendiſti, ut Thebis heros fieres?* Uſus eſt hoc proverbio Plato in *Menelao*: ſed præter hiſtoriam. Qui enim Thebis ſe ipſos interfecerant, nullo prorſus honore afficiebantur.

bat, vocem eſſe corruptam, ejuſque loco ſcribi debere, ἠσφαλισμένον, i. e. munitum, ſeptum. Idem mendum occurrit etiam apud Suidam ſupra v. Ἀποῤῥῶγας.

1 Ἐκδικοῦντος] Hæc vox in prioribus Editt. deeſt, quam ex MSS. Pariſ. revocavi.

2 Ἀποθανόντων τῶν ἀγ.] Totum hunc locum ex libro Æliani *de Providentia* excerptum eſſe puto.

3 Λέγει γοῦν Χρύσιππος, ἐν Μεγάροις καταχθ.] Eandem hiſtoriam narrat Cicero lib. I. *de Divinat.* qui cum hoc loco Æliani conferri meretur.

4 Κνεφαῖος δὲ διαν.] Locus hic legitur etiam ſupra v. Κνεφαῖος.

5 Διαῤῥῆξαι. κόψαι] Hæ interpretationes voci τινάξαι non ſemper & abſolute, ſed tantum κατὰ συμβεβηκὸς, & pro ſenſu loci, conveniunt; ut in ſubjuncto fragmento.

6 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VII. pag. 591. ubi integrum Epigramma vide.

7 Τινύμενος] Homerus Odyſſ. Ω. v. 325.

8 Τί οὐ γενήσῃ ἰὼν ἐς Ἀρβ.] Confer Noſtrum infra v. Τίς οὐ γενήσῃ, &c. ante vocem Τιθασιδῆς.

Τί[1] οὖν ἔτι ζητῶν κοράκων πονηρίαν; τοῦτο φησὶν, ὅτι πονηροὶ οἱ κόρακες, διότι μέχρι καὶ νῦν οὐκ ἐσπάραξάν σε.

Τίω. τὸ τιμῶ.

Τίπτε. τί δή.

Τιρήβαζος.[2] ὄνομα κύριον. [3]Ὁ δὲ Τιρήβαζος φίλος ἦν τοῦ βασιλέως, καὶ, ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον ἀνέβαλλεν.

Τίρυνθος. ὄνομα ὄρους.

Τίς.[4] ἀντὶ τοῦ, οὐδείς. Δαβίδ· Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι; σημαίνει δὲ τὸ τίς διάφορα. Τίς ἔγνω βουλὴν Κυρίου; Καὶ, Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ; τίς ἔστησε τὰ ὄρη σταθμῷ; τὸ τίς δὲ ἐνταῦθα οὐκ ἄπορον παντελῶς, ἀλλὰ τὸ σπάνιον δηλοῖ. ὡς τὸ, Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένους; Καὶ, Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν; Καὶ παροιμία· [5]Ἀεί τις ἐν Κύδωνος. ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους. ἀπὸ Κύδωνος Κορινθίου, φιλοξένως διατεθέντος ὑπερβαλλόντως.

Τί οὖν ἔτι ζ. *Quid igitur adhuc vivis corvorum ignavia?* Hoc dicere vult: Corvi ſunt ignavi, quod te ad hoc uſque tempus non dilacerarunt.

Τίω. Colo. Honoro.

Τίπτε. Cur. Ob quid.

Τιρήβαζος. Tirebazus. Nomen proprium. *Tirebazus vero amicus erat Regis, &, quoties aderat, nullus alius Regem in equum tollebat.*

Τίρυνθος. Tirynthus. Nomen montis.

Τίς; [Quis? Interdum idem valet ac] οὐδείς, i.e. Nemo. David : *Deus, quis tecum comparari poterit ?* Vox τίς autem diverſa ſignificat. Ut, *Quis cognovit conſilium Dei?* Et, *Quis dimenſus eſt manu aquam? Quis montes libra ponderavit ?* Hic τὸ τίς non eſt vox omnino dubitantis, ſed raritatem ſignificat. Ut illud, *Quis ſurget pro me adverſus improbos?* Et, *Quis eſt homo, qui vitam velit?* [Aliquando τὸ τίς eſt indefinitum, & ſignificat *Aliquis* : ut] in illo proverbio : *Semper quis eſt in Cydonis [domo.]* Dicitur de illis, qui hoſpites humaniter excipiunt. A Cydone Corinthio, qui ſupra modum hoſpitalis erat.

Τίς εἰς ἀναπαύλας; αὗται πορθμευτικαὶ τοῦ Χάρωνος πεύσεις καὶ κηρύγματα·

Τίς[6] εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
Τίς εἰς τὸ Λήθης πεδίον;

Λήθης πεδίον χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον ὡς καὶ τὸν Αὐαίνου λίθον. [7]Τίς εἰς ὄνου πόκας; Οὕτω λέγουσι τὸ ἄχρηστον. οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκαι χρησιμεύουσι. λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνηνύτων ἐν ᾧ τρόπῳ φαμὲν, Χύτραν ποικίλλεις. ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς.

Τίς εἰς ἀναπ. *Quis ad quietem ?* Charon [apud Ariſtophanem] hæc portitorum more interrogat & publice proclamat : *Quis ad quietem ex malis & moleſtiis [tranſire cupit ?] Quis ad Lethes campum?* [Comicus] locum apud Inferos confinxit, Lethes campum appellatum : ut & Auæni ſaxum. *Quis ad aſini lanas?* Sic vocant ea, quæ inutilia ſunt. Aſini enim lanæ nullius omnino ſunt uſus. Dicitur autem proverbium hoc de rebus vanis & irritis: ut & illud, *Ollam pingis.* Quoniam igitur inania ſunt & ea, quæ apud Inferos ſunt; ideo poetice aſini lanas commentus eſt.

Τισαμενός. ὄνομα κύριον. Τισάμενος δὲ, ἀντὶ τοῦ τιμωρήσας.

Τισαμενοφαινίππους.[8] ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται. ὁ δὲ Φαίνιππος, ὡς συώδης, καὶ ἑταιρηκώς.

Τίς[9] ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ; ἀντὶ τοῦ, πολύχαλκα. τραγικώτερον λέγει, διὰ τὸ μεγαλόρρημον τοῦ Λαμάχου.

Τίσανδρος. ὄνομα κύριον.

Τισσαφέρνης. ὄνομα κύριον. ὁ Πέρσης. καὶ κλίνεται εἰς ους.

Τίς[10] δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,

Τισαμενός. Tiſamenus. Nomen proprium. At τισάμενος, [cum acuto in antepenultima.] Qui ultus eſt. Qui punivit.

Τισαμενοφαινίππους. Tiſamenophænippos. Tiſamenus ut peregrinus & verbero a Comicis traducitur. Phænippus vero, ut ſpurcus & impudicus.

Τίς ἀμφὶ χαλκ. *Quis circa domum multo ære nitentem ſtrepit?* Tragicorum more vocibus utitur grandibus & magnificis, propter Lamachi magniloquentiam.

Τίσανδρος. Tiſander. Nomen proprium.

Τισσαφέρνης. Tiſſaphernes. Nomen proprium. Perſa. Declinatur Τισσαφέρνους.

Τίς δ' οἶδεν, εἰ τ. *Quis vero novit, an vivere ſit*

1 Τί οὖν ἔτι ζητῶν κοράκων πονηρίαν] Sic etiam habent omnes Editt. præcedentes, itemque MSS. Pariſ. B. & C. At antiquiſſimus MS. Pariſ. A. rectius, Τί δ' ἔτι ζῇς ὦ κοράκων πονηρία: in qua lectione nihil aliud mutandum putem, quam τὸ ζῇ in ζῇς. Id enim ſuadet ipſius Suidæ interpretatio. Vide verſionem noſtram, in qua verum hujus loci ſenſum nos expreſſiſſe putamus.

2 Τιρήβαζος] Supra ſuo loco rectius, Τιρίβαζος.

3 Ὁ δὲ Τιρήβαζος φίλ.] Hæc ſunt verba Xenophontis lib. IV. *de Expedit. Cyr.* pag. 227. eademque leguntur ſupra v. Ἀνέβαλλε, v. Παρείη, & v. Τιρίβαζος.

4 Τίς ἀντὶ τ.] Cum hoc loco confer omnino Etymologum v. Τίς, qui melius & fuſius hæc exponit.

5 Ἀεί τις ἐν Κύδ.] Vide ſupra v. Ἀεί τις, ubi eadem leguntur.

6 Τίς εἰς ἀναπ.] Ariſtoph. *Ranis*, pag. 220. (137. Ed. Baſ. *P.*) ubi vide Scholiaſtam. Confer etiam Noſtrum v. Ἀναπαύλας, & v. Χάρων, ubi eadem leguntur.

7 Τίς εἰς ὄνου πόκας;] Vide ſupra v. Ὄνου πόκαι.

8 Τισαμενοφαινίππους. ὁ Τισαμ.] Ex Scholiaſta Ariſtophanis ad *Acharnenſ.* pag. 399. (285. Ed. Baſ. *P.*)

9 Τίς ἀμφὶ χαλκοφ.] Hæc ſunt verba Ariſtoph. *Acharnenſ.* pag. 422. (302. Ed. Baſ. *P.*)

10 Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μ.] Duo hi Senarii leguntur apud Ariſtophanem in *Ranis*, ſub finem. Verſus autem prior, quem Ariſtophanes ab Euripide mutuatus eſt, citatur a pluribus ſcriptoribus: ut a Platone in *Gorgia*, pag. 300. Clemente Alex. *Strom.* lib. III. pag. 315. Laertio in *Pyrrhone*, Num. LXXIII. Sexto Empir.

Τὸ

Τὸ πνεῖν ἐστὶ, δειπνεῖν, καὶ τὸ καθεύδειν, κώδιον; παρὰ τὸ ἐκ Φρίξου Εὐριπίδου.

mori; ſpirare vero, cœnare, & dormire, villoſa pellis? Alludit ad locum Euripidis in *Phryxo.*

Τίσαι, καὶ τίσασθαι. ἀποδοῦναι. Δαρεῖος, ὁ Περσῶν βασιλεὺς, ὡς ἔσχε τὴν ἀρχὴν, ἐπεθύμησε τὸν Ὀροίτεα τίσασθαι πάντων τῶν ἀδικημάτων εἵνεκα. Ἡρόδοτος.

Τίσαι, & τίσασθαι. Reddere. Rependere. [Ulciſci. Punire.] *Darius Perſarum Rex, poſtquam regno potitus erat, ab Orœte pœnas omnium facinorum, injuſte ab eo perpetratorum, exigere ſtatuit.* Herodotus.

Τίσειαν.[1] ἀποδοῖεν.

Τίσειαν. Rependant. Perſolvant. Luant.

Τισίας. ὁ τιμώμενος.

Τισίας. Tiſias. [Nomen proprium.]

Τίσις. τιμωρία. ἀπόδοσις.

Τίσις. Pœna. Retributio. Ultio. Vindicta.

Τίσομαι. τιμωρήσομαι. ἀποτίσω.

Τίσομαι. Puniam. Ulciſcar. Luā. Perſolvam.

Τίσω. ἀποδώσω.

Τίσω. Reddam. Rependam. Luam.

Τίσωσι. τιμήσωσιν. ἢ, τιμωρήσονται.

Τίσωσι. Honorent. Vel, ulciſcantur.

Τίς πατέρ᾽ [2]αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα; ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων.

Τίς πατέρ᾽ αἰν. *Quis patrem laudet, niſi infelices liberi?* Fortaſſe hoc de iis dicitur, qui majorum ſuorum præclara facinora commemorant.

Τίς[3] τῇδε; Οἱ σπένδοντες ἔλεγον, Τίς τῇδε; ἀντὶ τοῦ, τίς πάρεστι; εἶτα οἱ παρόντες [4]εὐφημιζόμενοι ἔλεγον· Πολλοὶ κἀγαθοί. τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ συνειδότες τι ἑαυτοῖς ἄτοπον, ἐκχωροῖεν τῶν σπονδῶν.

Τίς τῇδε; Quis adeſt? Qui [Diis] libabant, dicebant, *Quis adeſt?* Deinde, qui aderant, linguis faventes reſpondebant, *Multi & boni.* Quod ideo fiebat, ut illi, qui ſceleris alicujus ſibi conſcii eſſent, a libationibus recederent.

Τίς τρόπος ἵππων; παροιμία ἐπὶ τῶν ἀλλοκότων. Μεταγένης Θουριοπέρσαις· Τίς τρόπος ἵππων; ὡς δ᾽ ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι.

Τίς τρόπος ἵππων; *Quis modus equorum?* Proverbium de rebus abſurdis. Metagenes *Thurioperſis: Quis modus equorum? Ecce, ut ſaltant iſti more barbarico!*

Τί σοι ὁ Ἀπόλλων κεκιθάρικεν; ἀντὶ τοῦ, τί σοι ἐμαντεύσατο;

Τί σοι ὁ Ἀπ. *Quid tibi Apollo cecinit?* Vel, Quid tibi vaticinatus eſt.

Τίς[5] οὐ γενήσῃ ἰὼν ἐς Ἀρβέλας; Ἀρβέλη ἐστὶ πόλισμα Σικελικόν. εὐεξαπάτητοι δὲ οἱ ἐκεῖσε ἐνοικοῦντες ἐδόκουν εἶναι.

Τίς οὐ γεν. *Quis non futurus es, cum Arbelam veneris?* Arbela eſt oppidum Siciliæ, cujus incolæ ſimplices & deceptu faciles eſſe credebantur.

Τιτακίδαι.[6] δῆμός ἐστι τῆς Αἰαντίδος φυλῆς. μήποτε δὲ ἀπὸ Τιτακοῦ ὠνομάσθησαν, οὗ μέμνηται Ἡρόδοτος.

Τιτακίδαι. Titacidæ. Populus eſt Tribus Æantidis, ſic dictus forte a Titaco, cujus meminit Herodotus.

Τιτᾶνες. οἱ καταχθόνιοι δαίμονες.

Τιτᾶνες. Titanes. Dæmones ſubterranei.

Τιτανίδα γῆν. οἱ μὲν, πᾶσαν. οἱ δὲ, τὴν Ἀττικήν. ἀπὸ [7]Τιτηνίου, ἑνὸς τῶν Τιτάνων ἀρχαιοτέρου, οἰκήσαντος περὶ Μαραθῶνα, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς Θεοὺς, ὡς Φιλόχορος ἐν Τετραπόλει. Ἴστρος δ᾽ ἐν α΄ Ἀττικῶν, Τιτᾶνας βοᾷν. ἐβοήθουν γὰρ τοῖς ἀνθρώποις, ἐπακούοντες, ὡς Νίκανδρος ἐν α΄ Αἰτωλικῶν. ἐνομίζοντο δὲ τῶν πελαπωδῶν Θεῶν εἶναι.

Τιτανίδα γῆν. Terram Titaniam. Quidam omnem terram [ſic appellari putant:] alii vero, Atticam. A Titenio, uno antiquiorum Titanum, qui Marathone habitavit, & ſolus bellum Diis non intulit, ut Philochorus in *Tetrapoli* [tradit.] Iſter vero lib. I. *Rerum Atticarum* [proverbium refert,] *Titanas invocare.* Opem enim hominibus ferebant, clamore eorum audito, ut Nicander lib. I. *Rerum Ætolicarum* [auctor eſt.] Exiſtimabantur autem eſſe Dii ex genere Priaporum.

Τίτανον. λευκὸν, ἢ γύψον, κονίαν. [8]Λίθος ἐστὶ διακεκαυμένη, ἣν πάλαι μὲν τίτανον, νῦν δὲ ἄσβεστον καλοῦσι.

Τίτανον. Terram albam. Gypſum. Calcem. *Lapis eſt peruſtus, quem olim calcem, nunc vero asbeſtum vocant.*

Pyrrhon. Hypotyp. lib. III. cap. XXIV. Origene lib. VII. contra Celſum, pag. 366. & aliis. Ad eandem ſententiam Euripidis alluſit Ariſtophanes in *Ranis*, pag. 263. ubi ait:

Καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν.

Scholiaſtes ad illum locum: Ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου·

Τίς δ᾽ οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν,
Τὸ κατθανεῖν δὲ ζῆν.

1 Τίσειαν. ἀποδοῖεν] Homerus Il. A. v. 42.

Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσι.

Ad hunc locum Suidas reſpexit.

2 Αἰνήσει] Potius αἰνέσειε. Lectio enim vulgata metro repugnat.

3 Τίς τῇδε; οἱ σπ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis in *Pace*, pag. 696.

——————— Ἀλλ᾽ εὐχώμεσθα.
Τίς τῇδε ποῦ ποτ᾽ εἰσί; Πολλοὶ κἀγαθοί.

Vide ibi Scholiaſtam, qui eadem habet, quæ hic Suidas.

4 Εὐφημιζόμενοι] Portus verterat, *ſeſe laudantes.* Ridicule. Longe enim aliud vox iſta ſignificat, ut Lector ex verſione noſtra diſcere poterit.

5 Τίς οὐ γενήσῃ ἰὼν ἐς Ἀρβ.] Metrum verſus hujus claudicat, quod recte ſe habebit, ſi cum Michaele Apoſt. ſcribas,

Τίς οὐ γελοῖος τυγχάνων ἐς Ἀρβέλας;

Vel, cum Scaligero in *Stromat.*

Τίς οὐ γελοῖος δήποτ᾽ Ἀρβέλας ἰών;

Confer Noſtrum ſupra v. Τί οὐ γενήσῃ.

6 Τιτακίδαι. δῆμ.] Ex Harpocratione.

7 Ἀπὸ Τιτηνίου] Etymologus, ἀπὸ Τιτανοῦ: quod magis placet.

8 Λίθος ἐστὶ διακεκ.] Fragmentum hoc ſumptum eſt ex Procopii lib. II. *de Bello Goth.* cap. XXVII.

Τίτα-

Τίτανος. ἡ κεκαυμένη λίθος. ἡ ἄσβεστος. θηλυκῶς δὲ, ἡ τίτανος. σπάνιον δὲ, ἀρσενικῶς.

Τιτανῶδες βλέπειν. καταπληκτικόν. φοβερόν. καὶ Τιτανικὸν σπέρμα. Αἰλιανός· Ὁ δὲ ἐν τοσούτῳ κακῷ ὢν, οὐκ ἐπελάθετο τῆς βδελυρᾶς ἐκείνης καὶ ἀθέου συγγραφῆς, ἣν ὁ Γαργήττιος, ὥσπερ ὢν τὰ ἐκ Τιτανικῶν σπερμάτων φύντα, τῷ βίῳ προσέτρίψατο.

Τιταρήσιος.[1] ποταμὸς Θεσσαλίας.

Τιτάρων, Τιτάρωνος. πόλις Θεσσαλίας. τὸ ἐθνικὸν, Τιταρώνιος.

Τί ταῦτα; [2]Ἀριστοφάνης. ἀντὶ τοῦ, διατί;

Τί ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα;

Βαρέως τε φέρομεν;

Τιταινάριον. ἀκρωτήριον.

Τιτανίδα γῆν. ἐν τῷ Τιτανίδα γῆν.

Τίτθαι. [3]Ἀριστοφάνης·

Καθάπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.

Μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντιθεῖς,

Αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.

Οὕτω καλοῦνται αἱ τοῖς τιτθίοις καὶ τῷ γάλακτι τρέφουσαι τὰ παιδία· αἵ τινες διὰ τὸ μὴ δύνασθαι τὰ παιδία ὁλοκλήρους τὰς τροφὰς ἐσθίειν, διαμασώμεναι, οὕτω μετὰ τὸ κατεργάσασθαι τὰ ἐδέσματα, ἐξαίρουσαι τοῦ ἰδίου στόματος, ἐντιθέασι τοῖς τῶν παιδίων. εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις· αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. οὕτω καὶ Κλέων ὀλίγα τῷ δήμῳ χαριζόμενος, τὰ πλείω αὐτὸς ἐκέρδαινε.

Τίτθη. τροφός. μάμμη. [4]Ὅσα δὲ ἀργίᾳ μεμάρανται, καὶ ῥᾳθυμίᾳ διέφθαρται μειράκια, ταῖς τίτθαις ἀπομύττειν, καὶ ταῖς γυναιξὶ λούειν ἀποπέμψατε, καὶ θρυπτόμενα περὶ ταύταις στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων ἐάσωμεν. Καὶ, τιτθεία, ἡ ἐπιμέλεια.

Τιτθοί. οἱ μαστοὶ, ἤτοι τῶν μαστῶν τὰ ἄκρα.

Τίτλος. [5]Τίτλος διαφέρει κεφαλαίου. καὶ ὁ μὲν Ματθαῖος ἔχει τίτλους ξή. κεφάλαια τνέ. ὁ δὲ Μάρκος, τίτλους μή. [6]κεφάλαια λς'. ὁ δὲ Λουκᾶς, τίτλους πγ'. κεφάλαια τμή. ὁ Ἰωάννης, τίτλους ιή. κεφάλαια σλβ'. Καὶ, Τιτλάριον. δέλτος, σχεδάριον, πινακίδιον.

Τῖτος,[7] βασιλεὺς Ῥωμαίων, υἱὸς Οὐεσπεσιανοῦ, ἀνὴρ πᾶν ἀρετῆς συνειληφὼς γένος, ὡς παρὰ ἁπάντων ἔρως τε καὶ τρυφὴ τοῦ θνητοῦ προσαγορευθῆναι γένους. εὐγλωττότατός τε γὰρ, καὶ πολεμικώτατος, καὶ μετριώτατος ἦν, καὶ τῇ μὲν Λατίνων ἐπιχωρίῳ γλώττῃ πρὸς τὰς τῶν κοινῶν ἐχρῆτο διοικήσεις· ποιήματα δὲ καὶ τραγῳδίας Ἑλλάδι φωνῇ διεπονεῖτο. ἐπεὶ δὲ ἥρηκει τὰ Ἱεροσόλυμα ὁ Τῖτος, Συρία τε πᾶσα, καὶ

Τίτανος. Lapis peruſtus. Calx viva. Gypſum. Eſt generis fœminini. Raro vero maſculini.

Τιτανῶδες βλέπειν. Giganteum aſpectum habere. Id eſt, terribilem. Et, Giganteum ſemen. Ælianus: *Ille vero in tanto malo deprehenſus non oblitus eſt impuri illius & impii ſcripti, quod Gargettius ille* [*Epicurus*] *tanquam Giganteo ſemine natus, vitæ hominum magno cum ipſorum damno impegit.*

Τιταρήσιος. Titareſius. Theſſaliæ fluvius.

Τιτάρων. Titaron, urbs Theſſaliæ. Gentile nomen eſt, Titaronius.

Τί ταῦτα; Quid hæc? Cur hæc? Ariſtophanes: *Quid, tales cum ſimus, illum accuſamus, graviterque ferimus?*

Τιταινάριον. Titænorium. Promontorium.

Τιτανίδα γῆν. Terram Titaniam. Vide in v. Τιτανίδα γῆν.

Τίτθαι. Nutrices. Ariſtophanes: *Tanquam nutrices male paſcis* [*populum.*] *Cibo enim præmanſo, huic quidem paullum in os inſeris: tu vero triplo plus, quam ille, deglutis.* Τίτθαι vocantur nutrices, quæ lacte mammarum infantes alunt. Hæ, quoniam infantes integros cibos edere non poſſunt, ipſæ cibos mandunt, &, poſtquam eos dentibus confecerunt, ita demum ex ore ſuo exemptos in puerorum os inſerunt. Nutrices igitur inhumanæ parum cibi pueris præbentes, ipſæ majorem ejus partem devorant. Sic etiam Cleon, cum pauca populo largiretur, ipſe majorem pecuniæ partem in rem ſuam vertebat.

Τίτθη. Nutrix. Mater, vel Avia. *Adoleſcentes vero, qui otio elanguerunt, & ſocordia corrupti ſunt, ad nutrices amandate emungendos, & ad mulieres, a quibus laventur; delicatuloſque iſtos de trama & ſtaminibus garrire ſinamus.* Et τιτθεία, nutritio.

Τιτθοί. Mammæ. Vel, mammarum papillæ.

Τίτλος. Titulus. Titulus a capite differt. Nam Matthæus habet titulos LXVIII. capita vero CCCLV. Marcus, titulos XLVIII. capita XXXVI. Lucas, titulos LXXXIII. capita, CCCXLVIII. Joannes, titulos XVIII. capita, CCXXXII. Et τιτλάριον, titularium, pugillares, tabella.

Τῖτος. Titus, Romanorum Imperator, Veſpaſiani filius, vir omni virtutis genere ornatus, ut ab omnibus Amor & Deliciæ generis humani vocaretur. Nam & eloquentiſſimus erat, & bellicoſiſſimus, & moderatiſſimus. Et Latina quidem lingua in adminiſtrandis publicis negotiis uſus eſt: poemata vero & tragœdias Græce compoſuit. Expugnatis autem Hieroſolymis, undique ex Syria

1 Τιταρήσιος.] Vide Homerum Il. B. v. 751. & Athen. lib. II. p. 41.
2 Ἀριστοφάνης] *Theſmophor.* pag. 791. (522. Ed. Baſ. *P.*)
3 Ἀριστοφάνης] *Equit.* pag. 330. (229. Ed. Baſ. *P.*)
4 Ὅσα δὲ ἀργίᾳ μεμ.] Confer Noſtrum ſupra v. Πλαδῶσιν, & v. Στωμύλος, ubi idem fragmentum legitur.
5 Τίτλος διαφέρει κεφ.] Hæc leguntur etiam ſupra v. Κεφάλαιον, ubi vide quæ notavimus.
6 Κεφάλαια λς'] Hic latet error, ut docuimus ſupra v. Κεφάλαιον.
7 Τῖτος ——— ἐκ τῶν εὐφορωτάτων μερῶν] Hæc omnia Joanni Antiocheno tribuuntur in Collectaneis Hiſtoricis a Valeſio editis, pag. 817.

Αἰγυ-

Αἰγύπτου, καὶ ὅσα τῇ Παλαιστίνῃ πρόσοικα ἔθνη, ἐστεφάνουν τὸν ἄνδρα, νικητὴν ἀνακαλοῦντες. ὁ δὲ διωθεῖτο τοὺς στεφάνους, οὐκ αὐτὸς λέγων εἰργάσθαι ταῦτα, Θεοῦ δὲ φήναντι ὀργὴν ἐπιδεδωκέναι τὰς ἑαυτοῦ χεῖρας. οὕτως ἦν μέτριος καὶ σωφροσύνης μεστός. † [1] Ἐπὶ δὲ Τίτου τοὺς τὴν Ἱερουσαλὴμ πολιορκοῦντος Ῥωμαῖός τις τῶν ἱππέων δοκιμώτατος τοὺς Ἰουδαίους ὠθουμένους κατὰ τῆς φάραγγος θεασάμενος, ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ νεανίαν φεύγοντα, στιβαρὸν κατὰ τὸ σῶμα, καὶ ὡπλισμένον, ἐκ τοῦ σφυροῦ ἐπιδραξάμενος, ἑαυτὸν κλίνας τοῦ ἵππου τρέχοντος, καὶ τὸν Ἰουδαῖον ἔφιππον χαλιναγωγῶν. καὶ τοσοῦτον τῆς δεξιᾶς [2] τόνου καὶ τοῦ λοιποῦ σώματος ἐπιδειξάμενος, καὶ τῆς ἱππικῆς τέχνης ἐμπειρίαν, ὥσπερ τι κειμήλιον ἧκε τῷ Καίσαρι κομίζων τὸν αἰχμάλωτον. ὁ δὲ Τίτος ὑπερθαυμάσας τῆς ἰσχύος τούτου καὶ δυνάμεως τὸ ἀήττητον, δώροις αὐτὸν ἀμείψας τὸν ληφθέντα ἀπέκτεινε.

Τίτος, [3] στρατηγὸς Ῥωμαίων. τούτῳ δὲ ἐγεγόνει πάντα κατὰ νοῦν, καὶ ταὐτομάτου συνεργήσαντος, τὸ δὲ πολὺ διὰ τῆς αὐτοῦ προνοίας ἁπάντων κεχειρισμένων. πάνυ γὰρ ἀγχίνους εἰ καί τις ἕτερος ὢν οὗτος γέγονεν. οὕτως γὰρ εὐστόχως ἐχείριζε, καὶ νουνεχῶς, οὐ μόνον τὰς κοινὰς ἐπιβολάς, ἀλλὰ καὶ τὰς κατ' ἰδίαν ἐντεύξεις, ὥστ' ὑπερβολὴν μὴ καταλιπεῖν· καί τοι γε νέος ἦν κομιδῇ. πλείω γὰρ τριάκοντα ἐτῶν οὐκ εἶχε. καὶ [4] πρῶτον εἰς τὴν Ἑλλάδα διέβη μετὰ στρατοπέδων.

Τί [5] τοῦτό σοι τὸ πυρρόν ἐστιν; οὔ τι που Κινησίας σου κατατετίληκεν; Οὗτος μαλακὸς ἦν.

Τιτώ. [6] ἡ ἡμέρα.

Τιττυβίζετε. [7] ποιὸν ἦχον ἀποτελεῖτε. καὶ Βάβριος·

——————Ἔπη χελιδόνος

Ταύτης ἀκούσας, μικρὰ τιττυβιζούσης.

Τιτυός. [8] οὗτος ἐρῶν τῆς Λητοῦς, κατέσχεν αὐτὴν τῷ κρηδέμνῳ· ἧς παῖδες Ἀπόλλων καὶ Ἄρτεμις κατετόξευσαν αὐτόν, καὶ ἀνεῖλον. καὶ νῦν φασὶν ὡς ἐν τῷ ᾅδῃ κολάζεται, ἔχων βέλη ἐμπεπαρμένα τῷ ἥπατι.

Τιτυσκόμενος. [9] στοχαζόμενος. ἀπὸ [10] μετοχῆς εἰς ῥῆμα. [11] ἔστι δὲ παρὰ τὸ θέω, θῶ, τὸ τύω, τύσω, τιτύσκω.

Τίφη. ἡ καλουμένη σίλφη. ἔστι δὲ ζῶον κανθαρῶδες. ζήτει ἐν τῷ Νεώρια.

Τῖφος. ὁ κάθυγρος τόπος.

Τί φῶ; τί εἴπω; καὶ, Τί φῄς;

Τλεγγίς, [12] τλεγγίδος. ἡ καὶ στλεγγὶς τὸ παρ' ἡμῖν κτένιον.

atque Ægypto ac finitimis Palæſtinæ regionibus legati ad Titum miſſi ſunt, coronas aureas ei offerentes, victoremque appellantes. Ille vero coronas repudiavit, non ſe ea perfeciſſe dicens, ſed Deo Judæis infenſo manus tantum commodaviſſe. Tantæ erat moderationis & modeſtiæ. † Tito Hieroſolyma obſidente, eques quidam Romanus ſpectatæ virtutis, videns Judæos de loco ſuperiore in vallem detrudi, equo a latere incitato prætervectus, juvenem fugientem rapit, corpore robuſtum & armatum, quem talo comprehenderat, equo currente ſe inclinans, & judæum equo inſidentem perſequens. Cum igitur tantum dexteræ & reliqui corporis robur, artiſque equeſtris peritiam oſtendiſſet, captivum illum, ut pretioſum quoddam munus, ad Cæſarem attulit. Titus igitur robur ejus & virium vim ſupra modum admiratus, ipſum quidem muneribus donavit, at captivum interfecit.

Τίτος. Titus, Conſul Romanorum. Huic omnia ex animi ſententia ſucceſſerunt, quod & fortuna ei faveret, & ipſe prudenter admodum negotia adminiſtraret. Cum enim ſolers eſſet, ſi quiſquam alius; adeo dextre & prudenter non ſolum in negotiis publicis ſe gerebat, ſed etiam in privatis congreſſibus, ut nihil poſſet magis. Et tamen valde juvenis erat; quippe qui tum annum ætatis trigeſimum non exceſſerat. Idem primus cum exercitu in Græciam trajecit.

Τί τοῦτό σοι τὸ π. *Quid ſibi vult rubrum iſtud, quod habes? Num Cineſias te concacavit?* Hic Cineſias mollis erat & effœminatus.

Τιτώ. Tito. Dies.

Τιττυβίζετε. Tittybizatis. Sonum quendam editis. Strepitis. Et Babrius: *Verbis hirundinis hujus auditis, exigua voce tittybizantis.*

Τιτυός. Tityus. Hic Latonam amans, eam vitta comprehendit: ſed ejus liberi Apollo & Diana ipſum ſagittis confoderunt ac interfecerunt. Et nunc, ajunt, eum apud inferos pœnas dare, habentem tela hepati infixa.

Τιτυσκόμενος. Collineans. Oculos in ſcopum intendens. A participio ad verbum. Fit a θέω, θῶ: unde τύω, τύσω, [τύσκω, & per reduplicationem,] πτύσκω.

Τίφη. Tiphe. Animal ſcarabæo ſimile: quod & σίλφη dicitur. Quære in v. Νεώρια.

Τῖφος. Locus paluſtris. Locus uliginoſus.

Τί φῶ; Quid dicam? Et τί φῄς; Quid ais?

Τλεγγίς. Idem quod στλεγγίς. Strigilis. Apud nos [vulgo] κτένιον vocatur, i.e. pecten.

1 Ἐπὶ δὲ Τίτου τοῦ.] Quæ hic Suidas de mira dexteritate & inſolito robore equitis cujuſdam Romani refert, ſumpta ſunt ex Joſephi lib. VI. *de Bello Jud.* cap. XV. pag. 952. ut Pearſonius ad oram libri ſui notaverat.

2 Τόνου] Joſephus, τόνον. Et ſic apud Suidam ſcribendum eſt.

3 Τίτος, στρατηγὸς Ῥωμ.] Forſan erunt, qui putabunt, & hæc de Tito, filio Veſpaſiani, accipienda eſſe. Sed res ſecus ſe habet. Referenda enim ſunt ad Titum Quintium Flaminium, Conſulem Romanorum: ut patet ex Polybii Hiſtor. lib. XVII. cap. XII. unde articulum hunc excerpſit Suidas.

4 Πρῶτον] Polybius rectius, πρῶτος.

5 Τί τοῦτό σοι τὸ π.] Hæc ſunt verba Ariſtophanis *Eccleſiaz.* pag. 733. (492. Ed. Baſ. P.)

6 Τιτώ] Vide Etymologum.

7 Τιττυβίζετε——ἀποτελεῖτε] Sic rectius MSS. Pariſ. quam priores Editt. quæ habent, τιτυβίζετε, & ἀποτελεῖται.

8 Τιτυός. οὗτος ἐρῶν τῆς Λητ.] Eadem habet Nonnus in Gregor. Nazianz. *Stelit.* pag. 171.

9 Τιτυσκόμενος] Homerus Il. Λ. v. 350. & alibi.

10 Ἀπὸ μετοχῆς εἰς ῥῆμα] Quid hæc ad rem faciunt?

11 Ἔστι δὲ παρὰ τὸ θ.] Nugæ hæ ſunt: quæ tamen ſi cui placeant, videat Etymologum, qui pluribus de vocis hujus etymologia agit.

12 Τλεγγίς] Corrupte, pro στλεγγίς.

Τλῆ[1] δ' Ἥρη. ὑπέμεινε.

Τλῆθι. ὑπόμεινον.

Τλήμονος. ἐλεεινοῦ.

Τλήμων. τολμηρός.

Ἡ[2] δ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι
Ξύνεστ', Ἐριννὺν οὔτιν' ἐκφοβουμένη.

ἤγουν ἀναιδής.

Τλῆναι. ὑπομεῖναι.

Τληπαθής. ὑπομένων ἐν τῷ πάσχειν.

Τρίγληνα [2] ὁ μὲν Ἡλιόδωρος, τρικόρα. γλήνη γὰρ, ἡ τοῦ ὀφθαλμοῦ κόρη. ὁ δὲ Ἀππίων, πολύγληνα, τὰ θέας ἄξια.

Τριγλίς. εἶδος ἰχθύος. καὶ κλίνεται τριγλίδος. ὁ κανών. τὰ γὰρ εἰς ις δισύλλαβα, ἔχοντα πρὸ τῆς ις ἀμετάβολον, ἐὰν κλίνωνται διὰ τοῦ δ, ὀξύνονται· οἷον, σμαρὶς, τριγλὶς, μαινίς. εἰ δὲ διὰ τοῦ τ, βαρύνονται. [3] ἐν Ἐπιγράμματι·

Τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοι λιμενίτιν,

Ἄρτεμι, δωρεῦμαι Θῆρις ὁ δικτυβόλος.

Τριγλώχινα τόξα. τρίγωνα.

Τριγονία. ἡ τρίτη γενεά. [4] Διαδεξάμενος ὥσπερ ἄλλο τι τοῦ πατρὸς, ἐς τριγονίαν παρέπεμπε τὸ ἔχθος.

Τρίγωνον. [5] ὄνομά ἐστι δικαστηρίου, ἴσως καὶ τῷ σχήματι τριγώνου ὄντος.

Τριγχός. [6] τειχίον. στεφάνη. περίφραγμα. Βάβριος·

Λύκος παρῄει τριγχὸν, ἔνθεν ἐκκύψας

Ἀρνειὸς αὐτὸν ἔλεγε πολλὰ βλασφήμως.

[7] Πλάτων τὴν διαιρετικὴν φιλοσοφίαν ἐξυμνῶν, τριγχὸν φιλοσοφίας αὐτὴν λέγει.

Τριγχός. περιβολή. περιτείχισμα.

Τρίαινα. ἡ χάμαξ. καὶ [8] τριαινοῦν, τουτέστι, τῇ τριαίνῃ ἠρέμα σκάπτειν καὶ ἐπισύρειν τὰς βώλους, ἐπὶ τῷ κατακρύπτειν τὰ σπέρματα.

Τρίεμβολον. πολλάκις ἐμβάλλεσθαι δυνάμενον. [9] Ἀριστοφάνης·

—— Ὥστε θαυμάζεις, ὅπως

Οὕτω γέρων ὢν στύομαι τρίεμβολον.

ἔστι δὲ καὶ πλοίου τις κατασκευή. καὶ γὰρ Αἰσχύλος εἶπε δεκέμβολον τὴν τοῦ Νέστορος ναῦν, ἐν Μυρμιδόσι. Τρίεμβολον οὖν, ἐπίφθεγμα τάχους.

Τριέσπερος. [10] κατὰ τρεῖς ἑσπέρας, ἤγουν νύκτας. ἀπὸ μέρους τὸ ὅλον.

Τριετηρίδες. ἡμέραι παρὰ Βιθυνοῖς, ἐν αἷς [11] ἀφ' ἡμέρας πότοι συνεχεῖς ἐγένοντο· καὶ παρὰ τὰς συνουσίας πᾶν γένος ἀκροαμάτων εἰσήγετο. καὶ καθόλου πολλήν τινα ῥᾳθυμίαν εἶχε τὸ Πέργαμον.

Τριηκάδας. παρὰ Ἡροδότῳ, δεῖπνα, ἢ δήμους, ἢ ἀριθμὸν τριάκοντα ἡμερῶν.

Τριγέρων. Ter ſenex. Sive, qui tres ætates vixit. Hoc eſt, nonagenarius. *Neſtor ter ſenex in Pylo valde divina ſepultus eſt.*

Τρίγληνα. Secundum Heliodorum ſignificat, tres pupillas habentia. Γλήνη enim eſt pupilla oculi. Appion vero idem quod πολύγληνα, i. e. ſpectatu digna.

Τριγλίς. Genus piſcis. Mullus. Declinatur, τριγλίδος. Regula. Nomina diſſyllaba in ις, quæ ante ις habent literam immutabilem, ſi declinentur per δ, acuuntur: ut σμαρὶς, τριγλὶς, μαινίς. Sin per τ, acuto notantur in penultima, [ut χάρις, ιτος.] In Epigrammate: *Mullum ex prunis, & phycidem in portu captam, tibi, Diana, dono Theris ego piſcator.*

Τριγλώχινα τόξα. Tricuſpides ſagittæ.

Τριγονία. Tertia generatio. Tertia Progenies. *Illud autem odium tanquam jure hæreditario a patre acceptum, ad tertiam uſque progeniem propagavit.*

Τρίγωνον. Trigonum. Nomen eſt dicaſterii, fortaſſe [ita dicti,] quod figura ejus triangularis eſſet.

Τριγχός. Murus. Septum. Babrius: *Lupus præteribat ſeptum, ex quo agnus proſpiciens multis eum maledictis inceſſebat.* † Plato methodum dividendi laudibus extollens, eam philoſophiæ ſeptum vocat.

Τριγχός. Ambitus. Murus. Septum. Vallum.

Τρίαινα. Fuſcina. Tridens. Et τριαινοῦν, tridente leviter fodicare & perſtringere glebas, ut iis ſemina contegantur.

Τρίεμβολον. Quod [ter, i. e.] ſæpius impetum in aliquam rem facere poteſt. [Tribus roſtris munitum.] Ariſtophanes: *Quare miraris, quomodo ſenex cum ſim erigam penem tam firmiter.* Sic autem & ſtructura quædam navis appellatur. Nam Æſchylus in *Myrmidonibus* Neſtoris navem dixit δεκέμβολον, i. e. decem roſtris inſtructam. Τρίεμβολον eſt etiam vox feſtinare aliquem jubentis.

Τριέσπερος. Triveſper. Sive, per tres noctes durans. [Veſpera enim hic pro nocte ponitur:] pars nimirum pro toto.

Τριετηρίδες. Trieterides. Dies apud Bithynos ſic appellabantur, quibus continuæ potationes fiebant, & in conviviis omne cantorum & muſicorum genus introducebatur. Et prorſus tunc genio Pergamum indulgebat.

Τριηκάδας. [Ionice, pro τριακάδας.] Triacadas. Apud Herodotum [ſignificat] cœnas, vel populos, vel numerum xxx dierum.

1 Νέστωρ ἐν Πύλῳ ἠγ.] Verba hæc decerpta ſunt ex Epigrammate, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. Γεραιά.

2 Τρίγληνα] Eſt vox Homerica Il. Ξ. v. 183. ubi vide Scholiaſtam.

3 Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. iii. Epigr. xiii. ut Portus etiam monuit.

4 Διαδεξάμενος ὥσπ.] Fragmentum hoc legitur apud Procopium *Hiſt. Arc.* cap. xv.

5 Τρίγωνον. ὄνομά ἐστι δικ.] Ex Harpocratione.

6 Τριγχός] Alias τριγχίον & θριγγίον.

7 Πλάτων τὴν διαιρ.] Alex. Aphrod. in *Topica*, pag. 3. Πλάτων δὲ τὴν διαιρετικὴν μέθοδον ἐξυμνῶν, ὡς θριγκὸν αὐτὴν φιλοσοφίας λέγων, &c. Hinc Suidas ſua deprompſit, ut Pearſonius recte obſervaverat.

8 Τριαινοῦν, τουτέστι τῇ τρ.] Ex Enarratore Comici ad *Pacem*, pag. 664.

9 Ἀριστοφάνης] *Avibus*, pag. 599. (415. Ed. Baſ. P.) Vide ibi Scholiaſtam, apud quem pro ἐμβάλλεσθαι legitur ἐμβαλεῖν.

10 Τριέσπερος] Eſt epithetum Herculis apud Lycophronem Caſſand. v. 33. ubi vide Scholiaſtam.

11 Ἀφ' ἡμέρας] Scribe, ἐφ' ἡμέρας.

Τριηκόντορος ναῦς.

Τριηραρχεῖν.[1] καὶ τριηραρχία. λειτουργία παρὰ Ἀθηναίοις δαπανηρά. ἔδει γὰρ τὴν τριήρη πάντα ἔχειν πρὸς πόλεμον εὐτρεπῆ, ἅπερ παρεσκεύαζεν ὁ εἰς τὴν λειτουργίαν ταύτην προβληθείς. [2]Ἀριστοφάνης· Ἐγώ σε ποιήσω τριηραρχεῖν.

Τριηράρχημα.[3] τὸ εἰς τὴν τριηραρχίαν ἀνάλωμα. Ἐπιτριηράρχημα δὲ, τὸ ἀναλισκόμενον [4]κατὰ τὸν τῆς τριηραρχίας χρόνον.

Τριηραύλης. ὄνομα κύριον.

Τριήρεις.[5] πλοῖα πολεμικὰ, ἃ καλοῦνται Λίβερνοι.

Τρικάρανον.[6] Φρούριόν ἐστι τῆς Ἀργίας οὕτω καλούμενον.

Τρικάρηνος. ὁ τρεῖς κεφαλὰς ἔχων.

Τρικκαῖοι. ὄνομα ἔθνους.

Τρικέφαλος.[7] ὁ Ἑρμῆς, ὥσπερ διδάσκων τὰς ὁδοὺς, καὶ ἔχων ἐπιγραφὴν, ποῦ μὲν αὕτη φέρει ἡ ὁδὸς, ποῦ δὲ ἐκείνη. ἴσως δὲ πρὸς ἑκάστην ὁδὸν κεφαλὴν εἶχεν. ἔστι δὲ ὁ ἀναθεὶς τὸν τρικέφαλον Ἑρμῆν, ὡς Φιλόχορός φησι, Προκλείδης Ἱππάρχου ἐραστής. Ἰσαῖος ἐν [8]τῷ περὶ Εὐκλείδου· Μικρὸν δ' ἄνω τοῦ Τρικεφάλου, παρὰ [9]τὴν Ἑστίαν ὁδόν. τὸ πλῆρές ἐστι, τοῦ τρικεφάλου Ἑρμοῦ.

Τρικέφαλος.[10] Ὁ γὰρ Γηρυόνης τρικέφαλος ὢν, πολὺν ἀγῶνα παρέσχε τῷ Ἡρακλεῖ.

Τρίκλινος.[11] Ἀναστάσιος ὁ βασιλεὺς, ὁ Δίκορος, κτίζει τὸν μέγαν τρίκλινον, τὸν ἐν Βλαχέρναις· ὃς μέχρι τοῦ δεῦρο Ἀναστασιακὸς λέγεται.

Τρικορυσία. Αἰλιανός· [12]Καὶ τὸ τοῦ Μενάνδρου, ἵνα τι καὶ παίσω, Τρικορυσία [13]βασίλισσα, καὶ αὕτη δέσποινα εἶναι τοῦ Πόντου ἐθέλουσα.

Τρικορυσία[14] ἐμπίς. ὡς ἐν Τρικορυσίᾳ πολλῶν ἐμπίδων γινομένων. ἔστι γὰρ ἀλσώδης καὶ κάθυγρος ὁ τόπος.

Τρικύλιστος. Ἐὰν [15]μὴ ἀφίκησθε, βούλομαι τρικύλιστος ὠθεῖσθαι, ὅπου ἂν ὑμεῖς παρακαλῆτε.

Τρίλλη. τί σημαίνει; γέγραπται γὰρ ἐν τῷ τοῦ Ἀ-

Τριηκόντορος ναῦς. Navis, quæ triginta remis agitur.

Τριηραρχεῖν. Trierarcham eſſe. Triremis præfectum eſſe. Et τριηραρχία. Trierarchia. Hoc erat publicum munus apud Athenienſes, idque valde ſumptuoſum. Oportebat enim triremem omnibus rebus ad bellum neceſſariis inſtructam eſſe; quas præbebat ille, qui ad munus iſtud delectus erat. Ariſtophanes: *Ego effitiam, ut trierarcha ſis.*

Τριηράρχημα. Sumptus, qui fit in trierarchiam. Ἐπιτριηράρχημα vero, ſumptus, qui finito jam trierarchiæ tempore impenditur.

Τριηραύλης. Trieraules. Nomen proprium.

Τριήρεις. Triremes, bellica navigia, quæ Liburnicæ [etiam] vocantur.

Τρικάρανον. Tricaranum. Caſtellum eſt Argivorum ita dictum.

Τρικάρηνος. Triceps. Tria capita habens.

Τρικκαῖοι. Triccæi. Nomen gentis.

Τρικέφαλος. Triceps. [Sic dicebatur] Mercurius, ut monſtrator viarum, ejuſque ſtatuæ ſubſcriptum erat, quonam hæc vel illa via ferret. Fortaſſe vero caput ad unamquamque viam converſum habebat. Qui vero Tricipitem Mercurium dedicavit, fuit Proclides, Hipparchi amator, ut ait Philochorus. Iſæus in oratione de Euclide: *Parum vero ſupra Tricipitem, juxta Veſtæ viam.* Plena oratio eſt, τοῦ Τρικεφάλου Ἑρμοῦ.

Τρικέφαλος. Triceps. *Geryones enim, qui triceps erat, multum negotii in certamine Herculi exhibuit.*

Τρίκλινος. Triclinium. Anaſtaſius Imperator, Dicorus [vocatus,] condidit magnum Triclinium, quod eſt in Blachernis: quod ad hodiernum uſque diem vocatur Anaſtaſiacum.

Τρικορυσία. Tricoryſia. Ælianus: *Et ſecundum illud Menandri, ut aliquid joci interſpergam, Tricoryſia regina, eaque Ponti etiam Domina eſſe volens.*

Τρικορυσία ἐμπίς. Tricoryſius culex. [Hoc ideo dixit Ariſtophanes,] quod Tricorynthi multi eſſent culices. Eſt enim nemoroſus & humidus ille locus.

Τρικύλιστος. In caput ſæpius devolutus. *Niſi ad me veneritis, in præceps detrudi cupio, quo vos juſſeritis.*

Τρίλλη. Trille. Quid vox hæc ſignificat?

1 Τριηραρχεῖν] De Trierarchia & Trierarchis veterum Athenienſium nihil indictum reliquerunt viri docti. Vide præter alios Sam. Petit. *de Leg. Att.* pag. 269, 270, & ſeqq.

2 Ἀριστοφάνης] *Equit.* pag. 343. (241. Ed. Baſ. P.)

3 Τριηράρχημα. τὸ εἰς τ.] Ex Harpocratione.

4 Κατὰ τὸν τ.] Harpocratio rectius, μετὰ τὸν &c.

5 Τριήρεις. πλοῖα πολ.] Vide ſupra v. Λίβερνοι.

6 Τρικάρανον] Ex Harpocratione: apud quem rectius legitur τῆς Ἀργείας.

7 Τρικέφαλος. ὁ Ἑρμ.] Et hæc ex Harpocratione ſumpta ſunt. Confer Heſych. v. Ἑρμῆς τρικέφαλος, & Tzetzem ad Lycophron. v. 680.

8 Ἐν τῷ περὶ Εὐκλείδου] Harpocratio, ἐν τῷ πρὸς Εὐκλείδην: quod ſequor.

9 Τὴν Ἑστίαν ὁδὸν] An potius, τὴν Ἑστίας ὁδὸν, ut Portus putabat? Sed ego nihil temere mutandum cenſeo. Potuit enim via illa nominari Ἑστία.

10 Ὁ γὰρ Γηρυόνης τρικ.] Fragmentum hoc legitur etiam ſupra v. Γηρυόνης.

11 Ἀναστάσιος ὁ βασιλ.] Vide ſupra v. Ἀναστάσιος, ubi eadem reperies.

12 Καὶ τὸ τοῦ Μενάνδ.] Eadem habes ſupra, v. Παίσωμεν.

13 Βασίλισσα] Sic & omnes Editt. præcedentes. At MSS. Pariſ. rectius, βασίλιννα, uti etiam legitur apud ipſum Suidam ſupra v. Παίσωμεν.

14 Τρικορυσία ἐμπίς] Nota hæc referenda eſt ad locum illum Ariſtophanis in *Lyſiſtrata*, pag. 900.

Οὐχ ὁρᾷς; οὐκ ἐμπίς ἐστιν ἥδε Τρικορυσία;

Scholiaſtes ineditus ad illum locum eadem habet, quæ hic Suidas: niſi quod pro ἐν Τρικορυσίᾳ rectius apud eum legatur, ἐν Τρικορύνθῳ. Nomen enim loci illius erat Τρικόρυνθος, vel Τρικόρυνθον, a quo deducebatur gentile Τρικορύσιος, ut docet Stephanus *de Urbibus*, v. Τρικόρυνθον. Vide Nos etiam ſupra ad v. Ἐμπίς.

15 Ἐὰν μὴ ἀφ.] Laertius in *Epicuro*, ſub initium: Οἷος τ' εἰμὶ, ἐὰν μὴ ὑμεῖς πρός με ἀφίκησθε, αὐτὸς τρικύλιστος, ὅπου ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε, ὠθεῖσθαι. Hinc Suidæ verba deprompta ſunt, ut Pearſonius recte obſervaverat.

Ἀθηναίου Σίμωνος Ἱππιατρικοῖς περὶ γνωρισμάτων φλεβῶν, ὅτι καὶ ἀπὸ τῆς τρίλλης εἰσὶ φλέβες δύο.

Scriptum enim eſt in libro Simonis Athenienſis de re veterinaria, ubi de venis dignoſcendis agitur, a trille quoque binas oriri venas.

Τρίμμα.[1] δι' ἀρωμάτων πόμα. ταῦτα λέγων ὁ Σωκράτης, ὥσπερ εἰς τὰ θύματα λίθους περιτρέβων πυρίους, καὶ κρούων πρὸς ἀλλήλους, συναγαγὼν τὰ [2]τούτων θραύσματα, βάλλει τὸν πρεσβύτην αὐτοῖς, καθάπερ τὰ ἱερεῖα ταῖς οὐλαῖς οἱ θύοντες. καὶ διὰ τοῦτο παίζει τοῖς ὀνόμασι, τρίμμα μὲν αὐτὸν ἔσεσθαι λέγων, παρὰ τὸ τρίβειν καὶ θίγειν πρὸς ἀλλήλους τοὺς λίθους. Κρόταλον δὲ, παρὰ τὸ περικροτεῖν τοὺς λίθους ἑαυτοῖς. Παιπάλην δὲ, διὰ τὴν ἐκ τούτων ἐκπίπτουσαν λεπτότητα. καλοῦμεν δὲ τῶν ἀνθρώπων τοὺς κακεντρεχεῖς, καὶ μὴ ἁπλοῦς, περιτρίμματα, καὶ πολυκρότους, καὶ κρόταλα. ὅθεν καὶ τὸν πρῶτον στίχον Ὀδυσσείας οὕτως ἀξιοῦσι γράφειν τινές·

Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

Τρίμμα. Potus ex aromatibus confectus. [Item, homo in rebus tritus & exercitatus. Ariſtophanes: *Fies in dicendo tritus, crepitaculum, pollen.*] Hæc autem Socrates dicens, tanquam ad victimas adolendas ignarios lapides inter ſe atterit & collidit, collectaque eorum fragmenta in ſenem conjicit; quemadmodum illi, qui ſacrificant, molam ſalſam in victimas conjiciunt. Quare vocibus ludit, dum τρίμμα eum fore dicit, a verbo τρίβειν, terere; quod nempe lapides inter ſe atterantur. Crepitaculum vero [dixit,] quod lapides inter ſe colliſi ſonum edant. Pollinem vero, propter minuta fruſta, quæ de lapidibus colliſis decidunt. Homines autem malitioſos & aſtutos vocare ſolemus περιτρίμματα, i.e. in fraudibus tritos & exercitatos; πολυκρότους, multicrepos; & κρόταλα, crepitacula. Quamobrem etiam primum verſum Odyſſeæ quidam ita ſcribendum cenſent: Ἄνδρα μοι ἔννεπε Μοῦσα πολύκροτον.

Τρίμμα. ὁ τετριμμένος ἐν τοῖς πράγμασι. καὶ Ἀριστοφάνης Νεφέλαις· Λέγειν γενήσῃ τρίμμα. τουτέστι, τετριμμένος, ἱκανὸς καὶ δεινὸς ἔσῃ λέγειν. καὶ Δημοσθένης ἐν τῷ περὶ Στεφάνου, ὡς ἰταμοῦ καὶ ἀναισχύντου ῥήτορος καθαπτόμενος Αἰσχίνου, περίτριμμα ἀγορᾶς αὐτὸν καλεῖ.

Τρίμμα. Homo in rebus tritus & valde exercitatus. Ariſtophanes *Nubibus: In dicendo fies tritus.* Id eſt, in eloquentia exercitatus. Vel, ſummam dicendi facultatem conſequeris. Et Demoſthenes in oratione de Corona, Æſchinem oratorem ut hominem audacem & impudentem perſtringens, eum περίτριμμα ἀγορᾶς vocat: i.e. in rebus forenſibus tritum & exercitatum.

Τριμηθοῦς, Τριμηθοῦντος. ὄνομα πόλεως.

Τριμηθοῦς. Trimethus, Trimethuntis. Nomen urbis.

Τριμμούς. τὰς τετριμμένας ὁδούς. Αἰλιανός· Καὶ ἀναβλέποντες ὁρῶσι τριμμοὺς τῆς ἀνόδου, καὶ προσβάσεις, δι' ὧν ἀνῆλθεν ὁ Ῥωμαῖος, καὶ συνέβαλλον μὴ ἄπορον εἶναι, ἀλλ' [3]εὐεπίβατον.

Τριμμούς. Tritas vias. Calles. Ælianus: *Et ſuſpicientes animadvertunt calles ad ſuperiora loca ferentes, & acceſſus, per quos Romanus adſcenderat, & exinde collegerunt, non eſſe locum inacceſſum, ſed facilem adſcenſu.*

Τρίμνων. τριῶν μνῶν [4]ἀξίων.

Τρίμνων. Tres minas valentium.

Τρινακρία. ὄνομα τόπου. ἡ νῦν νῆσος Σικελία.

Τρινακρία. Trinacria. Nunc inſula Sicilia ſic vocatur.

Τρίναξ. γεωργικὸν ἐργαλεῖον. ἐν [5]Ἐπιγράμμασι·

Καὶ τρίνακας ξυλίνας, χεῖρας ἀρχιγεωργῶν.

Τρίναξ. Ruſticum inſtrumentum. Furca. In Epigrammate: *Et furcas ligneas, manus agricolarum.*

Τριόρχης. ἱέρακος εἶδος, ὁ τριόρχης. Ὁ [6]τύραννος Σικελίας, κοινὸς πόρνος, ἕτοιμος τοῖς ἀκρατεστάτοις, κολοιὸς, τριόρχης, πάντων τῶν βουλομένων τοῖς ὄπισθεν ἔμπροσθεν γινόμενος· ὃς ὅτε ἀπέθανε, τὴν γυναῖκά φασι καταλκλαιομένην αὐτὸν, οὕτω θρηνεῖν· Τί δ' οὐκ ἐγὼ σέ; τί δ' οὐκ ἐμὲ σύ;

Τριόρχης. Triorches. Accipitris genus. [Timæus: Agathocles,] Siciliæ tyrannus, publicum proſtibulum fuit, omnium incontinentiſſimorum libidini expoſitus; graculus, triorches, qui averſus & adverſus omnibus copiam ſui præberet. Hunc fato functum uxor lamentans iſta verba dixiſſe fertur: *Quid non ego tibi? Quid non tu mihi?*

Τριόφθαλμος. Βοιωτοῖς ἐδόθη χρησμὸς, ὅτῳ ἂν συναντήσωσι πρώτῳ τριοφθάλμῳ ὄντι, τούτῳ ἕπεσθαι. Ὄξυλος δέ τις ἐχόμενος ἐπὶ ἵππου ἑτεροφθάλμου, συνήντησεν αὐτοῖς. οἱ δὲ συνέντες τὸ θεοπρόπιον, ἠκολούθησαν αὐτῷ.

Τριόφθαλμος. Trioculus. Tres oculos habens. Bœotis oraculum præcepit, ut trioculum, in quem prium incidiſſent, ſequerentur. Cum igitur Oxylus quidam equo mōnoculo vectus ipſis occurriſſet, mente oraculi intellecta, eum ſecuti ſunt.

Τριοβολιμαῖος.[7] τριῶν ὀβολῶν ἄξιος. τοπαλαιὸν

Τριοβολιμαῖος. Tribus obolis dignus. Trio-

1 Τρίμμα. δι' ἀρωμάτων π.] Ariſtophanes *Nubibus*, pag. 138. (74. Ed. Baſ. *P.*)

Λέγειν γενήσῃ τρίμμα, κρόταλον, παιπάλη.

Ad hunc locum nota hæc referenda eſt, quam excerpſit Suidas ex Enarratore Comici.

2 Τὰ τούτων θραύσματα] Sic recte MS. Pariſ. A. itemque Scholiaſtes Ariſtophanis. At priores Editt. male, τῷ τούτων θραύσματι.

3 Εὐεπίβατον] MS. A. rectius, εὐεπίβατον.

4 Ἀξίων] Sic recte MS. A. At priores Editt. male, ἄξιον. Τὸ τρίμνων enim hic non eſt nominativus Doricus, pro τρίμνουν, ut Portus putabat; ſed genitivus pluralis: cui proinde ἀξίων recte reſpondet.

5 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. VII. ut Portus monuit. Vide etiam ſupra v. Θρῖναξ.

6 Ὁ τύραννος Σικελίας, κοινὸς π.] Hæc ſunt verba Timæi de Agathocle Siciliæ tyranno, quæ Suidas excerpſit ex Polyb. *Hiſtor.* lib. XII. cap. VI. Eadem etiam leguntur ſupra v. Ἀγαθοκλῆς.

7 Τριοβολιμαῖος] Vel ſeries literarum ſuadet, ſcribendum eſſe τριωβολιμαῖος, per ω in ſyllaba ſecunda.

οἱ ϛρα-

οἱ στρατηγοὶ τριώβολον ἐλάμβανον βλακείας χάριν.

Τριώβολον. τὸ τρεῖς ὀβολοὺς ἔχον. [1] Ἀριστοφάνης Πλούτῳ·

Δεινὸν γὰρ, εἰ τριωβόλου μὲν ἕνεκα
Ὠστιζόμεσθ' ἑκάστοτ' ἐν τῇ ἐκκλησίᾳ.

Οὐδεὶς ἐδίκαζεν, εἰ μὴ ἐπέβαινε τῶν ξ' ἐνιαυτῶν. ὅσοι δὲ τελείας ἡλικίας ἦσαν, εἰσήρχοντο μὲν εἰς τὴν ἐκκλησίαν, οὐκ ἐδίκαζον δέ. τούτους οὖν τοὺς ἐκκλησιαστὰς ἐποίησαν φανερόν τι λαμβάνειν ἀπὸ τῶν τῆς πόλεως προσόδων οἱ δημαγωγοί, πείσαντες τὴν πόλιν. ὕστερον δὲ ὁ Κλέων ἐποίησεν αὐτὸ [2] τριώβολον. ἀφῆλιξ δὲ εἰς τὴν ἐκκλησίαν οὐκ εἰσήρχετο.

Τρίπαλαι. ἐπίρρημα χρονικόν, ἢ δηλωτικὸν χρόνου. [3] Ἀριστοφάνης·

Τρίπαλαι κάθημαι βουλόμενος εὐεργετεῖν.

Ἐγὼ δὲ δεκάπαλαι, ἢ καὶ χιλιόπαλαι, καὶ προπάλαι, ἔκπαλαι, πάλαι, πάλαι.

Τρίποδα. λέβητα ἐν Δελφοῖς. Ἐπὶ τρίποδα κείμενον μαντικὸν Ἀπόλλωνι.

Τρίπος. Ἡ τρίπος, ἠὲ γυνή. ὁ τρίπους. Καὶ ἀνθράκιον, βραχὺ τριποδίσκιον, [4] παρὰ Ἀλέξιδι.

Τρίπους. [5] κατὰ τοὺς τρεῖς χρόνους μαντευόμενος, ἐνεστῶτα, παρεληλυθότα, καὶ μέλλοντα.

Τριπτῆρα. [6] Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους. τριπτήρ ἐστι πιθάκνη. [7] ἐκπέτανος, οἷα τὰ ἐπιλήνια, ὡς Νίκανδρός φησι. ἐπὶ τούτου δ' ἂν πύθοιτο νῦν παρὰ τῷ ῥήτορι. πολλὰ γὰρ καὶ ἄλλα σημαίνει τοὔνομα.

Τρὶς ἕξ. νικητήριος βόλος. καὶ ἑτέρα παροιμία· Τρὶς ἕξ, ἢ τρεῖς οἶναι. οὕτω γὰρ καλοῦσιν οἱ Ἴωνες τοὺς κύβους.

Τρὶς [8] ἕξ, ἢ τρεῖς κύβοι. οἱ μὲν τρὶς ἓξ νικῶσιν· οἱ δὲ τρεῖς κύβοι, κενοί. καὶ τὸ παρ' Εὐριπίδῃ τοιοῦτον·

Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα.

τριῶν γε ὄντων τῶν ἀναρριπτουμένων βόλων, δύο μὲν κενοὺς αὐτόν φησι βάλλειν· ἕνα δὲ, τὸν τέταρτον. [9] διττὸς οὖν ὁ κύβος, εἴτε ἀναριπτόμενος, [10] εἴτε κενὸς, εἴτε πλήρης εἴη· καὶ ἰδίως ὁ κενός. ὅτι δὲ ὁ τρὶς ἓξ βαλὼν κατώρθου, καὶ [11] Αἰσχύλος ἐν Ἀγαμέμνονι παρίστησι·

Τὰ δεσποτῶν γὰρ [12] εὖ πεσὸν παθήσομαι,
Τρὶς ἓξ βαλούσης τῆς ἐμῆς φρυκτωρίας.

bolaris. Olim belli duces ignaviæ cauſa triobolum accipiebant.

Τριώβολον. Triobolum. Tres oboli. Ariſtophanes *Pluto*: *Indignum fuerit, ſi trioboli cauſa in concione nos mutuo ſemper impellamus & trudamus.* Nemo Athenis Judex erat, niſi ſexageſimum ætatis annum ingreſſus fuiſſet. Qui vero perfectæ erant ætatis, concionem quidem ingrediebantur, ſed non judicabant. Oratores igitur perſuaſerunt civibus, ut illis, qui concionem frequentabant, ſtipendium aliquod publice præberetur: quod Cleon poſtea triobolum effecit. Qui autem juſta ætate major erat, is in concionem non ingrediebatur.

Τρίπαλαι. Valde olim. Valde pridem. Adverbium temporis. Ariſtophanes: *Jam pridem ſedeo, benefacere tibi volens. Ego vero decies pridem, & millies pridem, & valde pridem, & iterum atque iterum pridem.*

Τρίποδα. Tripodem, ſive lebetem Delphicum. *In fatidico tripode, qui dedicatus eſt Apollini.*

Τρίπος. [Metri cauſa, pro, τρίπους.] Tripus. Tripes. *Vel tripes, vel mulier.* Et ἀνθράκιον, parvus tripes, apud Alexidem.

Τρίπους. Tripus. [Hic Apollini dedicatus eſt,] quod de tribus temporibus vaticinetur, præſenti, præterito, futuro.

Τριπτῆρα. Iſæus in oratione contra Dioclem. Τριπτὴρ eſt vas latum ac patens, ut torcular: ut ait Nicander. Hoc igitur ſignificatu nunc apud Oratorem τριπτὴρ forte ponitur. Nam & multa alia nomen hoc ſignificat.

Τρὶς ἕξ. Ter ſex. Jactus aleæ, quo qui potitur, victoriam conſequitur. Et aliud proverbium: *Aut ter ſex, aut tres uniones.* Οἶναι enim Iones uniones, ſive puncta in teſſeris vocant.

Τρὶς ἕξ, ἢ τρεῖς κύβοι. *Ter ſex, aut tria puncta.* Ter ſex victoriam ferunt. At tria puncta, jactus eſt inanis. Hujuſmodi eſt, quod apud Euripidem legitur: *Jecit Achilles duo puncta & quatuor.* Cum autem ſint tres jactus, qui jaciuntur, duos inanes eum jeciſſe dicit: unum vero, quartum. Duplex igitur eſt teſſera, quæ jacitur; vel inanis, vel plena: & peculiariter, inanis [κύβος vocatur.] Illum autem, qui ter ſex jecerat, viciſſe, & Æſchylus in *Agamemnone* declarat: *Res enim heriles ut bene cedant efficiam, cum hæc ſpeculatio mihi ter ſex jecerit.*

1 Ἀριστοφάνης Πλούτῳ] Pag. 37. (20. Ed. Baſ. P.) ubi pro ἕνεκα rectius legitur εἵνεκα.

2 Τριώβολον] Vide Petitum *de Leg. Att.* pag. 205. 323. 324.

3 Ἀριστοφάνης] *Equit.* pag. 354. (250. Ed. Baſ. P.) ubi ſic legitur:

Τρίπαλαι κάθημαι βουλόμενός σ' εὐεργετεῖν.
Ἐγὼ δὲ δεκάπαλαί γε, καὶ δωδεκάπαλαι,
Καὶ χιλιόπαλαι, καὶ προπάλαι, πάλαι, πάλαι.

4 Παρὰ Ἀλέξιδι] Locum Alexidis citat Pollux lib. x. cap. xxiv. pag. 480. quem confer. Vide etiam ſupra v. Ἀνθράκιον.

5 Τρίπους. καθ' τοὺς τρεῖς χρ.] Locus hic eſt mutilus, qui ſic ſupplendus eſt: Τρίπους. Τρίποδι χρῆται ὁ Ἀπόλλων, κατὰ τοὺς τρεῖς χρόνους, &c. Vide Scholiaſtam Ariſtoph. ad *Plutum*, pag. 2.

6 Τριπτῆρα. Ἰσ.] Ex Harpocratione.

7 Ἐκπέτανος] Scribe, ἐκπέταλος, ut habet Harpocratio.

8 Τρὶς ἕξ, ἢ τρ.] Confer Noſtrum ſupra, v. Ἢ τρὶς ἕξ. Notet hic autem Lector, vocem κύβος apud Græcos non ſolum ſignificare ipſam teſſeram, quæ jacitur, ſed etiam puncta, ſive uniones qui ſunt in teſſeris. Euſtathius: Διχῶς γὰρ ὁ κύβος· αὐτό τι τὸ ἀναρριπτόμενον, καὶ ἡ ἐν αὐτῷ μονάς. Pollux lib. ix. cap. vii. Ἴσον δὲ ὅτι κύβος αὐτό τε τὸ βαλλόμενον καλεῖται, καὶ ἡ ἐν αὐτῷ κοιλότης. ὁ τύπος, ἡ γραμμὴ, τὸ δηλοῦν τὸν ἀριθμὸν τῶν βληθέντων. καὶ μάλιστα ἡ μονάς, ἣ παρ' Ἴωσιν οἴνη, εἶχε καλεῖσθαι κύβος· καθάπερ καὶ ὁ παροιμιώδης λόγος μηνύειν ἔοικεν, Ἢ τρὶς ἕξ, ἢ τρεῖς κύβοι. Locus eſt inſignis: ex quo clare patet, τρὶς ἓξ κύβοι, non ſignificare, *ter ſex teſſeræ*, ut Portus verterat; ſed, *ter ſex puncta*, ſive, *ter ſex uniones.* Plura hac de re vide apud Salmaſium ad Flav. Vopiſcum, pag. 471, 472. Edit. Pariſ.

9 Διττὸς οὖν ὁ κύβος, εἴτε ἀναρρ.] Legendum eſt, διττὸς οὖν ὁ κύβος ἀναρριπτόμενος, &c. ut Portus etiam monuit.

10 Εἴτε κενὸς, εἴτε πλήρης] Jactus vacuus dicebatur, cum tantum unitas jaciebatur: plenus vero, cum ſex. Vide Salmaſium loco laudato.

11 Αἰσχύλος ἐν Ἀγαμέμνονι] Verſu 31, 32.

12 Εὖ πεσὸν παθήσομαι] Scribe. εὖ πεσόντα θήσομαι, ut habet Æſchylus loco laudato. Et in verſu ſecundo, βαλούσης, pro βαλούσα.

Τρισμέγιστος Ἑρμῆς. ζήτει ἐν τῷ Ἑρμῆς.

Τριστάται. [1] οἱ παρὰ χεῖρα τοῦ βασιλέως· οἷοι, ἔχοντες λόγχας ἀνὰ τρεῖς κατὰ χεῖρα.

Τρίστομος. ἐπίθετον αἰχμῆς.

Σοὶ [2] γὰρ Καστορίδος ὑλακὰ καὶ τρίστομος αἰχμὴ
Εὔαδε. ———————

Τριστοιχεί. [3] κατὰ τρεῖς τάξεις.

Τριταγωνιστής. Αἰσχίνης ἐν πολλοῖς σκώπτεται ὑπὸ Δημοσθένους, ὡς ὑποκριτὴς τραγῳδιῶν· καὶ τριταγωνιστὴν αὐτόν φησιν, ὡς ἀδοκιμώτατον τῶν ὑποκριτῶν, ἐν τρίτῃ τάξει καταριθμῶν. Τριταγωνιστὴς, ἀπὸ Σοφοκλέους, ὃς πρῶτος ἐχρήσατο τρισὶν ὑποκριταῖς, καὶ τῷ καλουμένῳ τριταγωνιστῇ.

Τριτάλαντον. βάρος τριῶν ταλάντων. Τριτάλαντον βάρος διαύσατ' ἀπειλοῦντας ἐπῶν.

Τριτάνυστον. μακρόν. [4] Καὶ δόνακα τριτάνυστον.

Τρίτη κεφαλή. τοῦτο εἴρηται ἀπὸ τῶν ἀχθοφορούντων, οὐ μόνον κατὰ τὸν ὦμον, ἀλλὰ καὶ κατὰ τῆς κεφαλῆς.

Τριτημόριον. τοὺς ἓξ χαλκοῦς εἴρηκε Φιλήμων τοῦ ὀβολοῦ τριτημόριον. θαυμάζω μὲν οὖν ἐγὼ πῶς τεταρτημόριον εἰσὶ δύο χαλκοῖ· τριτημόριον δὲ, ἕξ. εἰ μὴ ἄρα ἐκεῖνο μὴ κυρίως ὠνομάσθη τέταρτον μέρος τοῦ ὀβολοῦ. τὸ δὲ τριτημόριον, ὡς ἀπὸ δ' μερῶν ὄντων, ἀνὰ δύο χαλκοῦς, τρία ἔχον μέρη, ϛ' χαλκοῦς συνάγει.

Τριτημορίς. Ἡρόδοτος· Ἑτέρη δὲ ᾔιε τοῦ στρατοῦ τριτημορὶς τὴν μεσογαίην.

Τριτογένεια. φοβερά. καταπληκτική. [5] Δημόκριτος ὁ Ἀβδηρίτης ἔγραψε περὶ τῶν ἐν ᾅδου. Τριτογένεια. τοῦτο δέ ἐστιν, ὅτι τρία γίνεται ἐξ αὐτῆς, ἃ πάντα τὰ ἀνθρώπινα συνέχει. καὶ παροιμία εἴρηται·

Παῖς μοι Τριτογενὴς εἴη, μὴ Τριτογένεια.

ἢ ὅτι τὴν Ἀθηνᾶν ἀνδρώδη ἐνόμιζον εἶναι, καὶ παῖδας ἄῤῥενας παρέχειν.

Τριτογενής. ἡ Ἀθηνᾶ. ἤτοι ὅτι ἐκ τῆς νηδύος καὶ τῆς μήτρας καὶ τῆς κεφαλῆς τοῦ Διὸς ἐξῆλθε. τριτὼ γὰρ, ἡ κεφαλὴ κατὰ διάλεκτον. ἢ ὅτι παρὰ Τρίτωνι τῷ ποταμῷ Λιβύης ἐγεννήθη, [6] φθίνοντος, ὡς καὶ Ἀθηναῖοι ἄγουσιν. ἢ ὅτι τρίτη μετὰ Ἄρτεμιν καὶ Ἀπόλλωνα ἐγεννήθη. ἢ ὅτι τρίτωνα τὴν κεφαλὴν οἱ Ἀθηναῖοι λέγουσιν. ἢ ὅτι τοῦ τρεῖν καὶ εὐλαβεῖσθαι αἰτία· ἢ γεννητική. ἢ ὅτι ἀπελούσατο ἐν τῷ Τρίτωνι, τῷ τῆς Λιβύης ποταμῷ.

Τρισμέγιστος Ἑρμῆς. Mercurius Ter maximus. Quære in v. Ἑρμῆς

Τριστάται. Triſtatæ. Sive regii ſatellites, qui ternas haſtas manu tenebant.

Τρίστομος. Tricuſpis. Epithetum haſtæ. [In Epigrammate:] *Tibi enim canum latratus & tricuſpis haſta placuit.*

Τριστοιχεί. Triplici ordine.

Τριταγωνιστής. Tertiarum partium actor. Æſchines in multis locis a Demoſthene carpitur, ut hiſtrio Tragicus: & tritagoniſtam eum vocat, ut hiſtrionum viliſſimum, in tertio ordine eum numerans. Primus vero Sophocles uſus eſt tribus hiſtrionibus, & eo, qui vocatur tritagoniſta.

Τριτάλαντον. Pondus trium talentorum. *Verba trium talentorum pondus habentia minaciſſime proferentes.*

Τριτάνυστον. Valde extenſum. Longum. *Et arundinem longam.*

Τρίτη κεφαλή. Tertium caput. Hoc dictum eſt [per tranſlationem] a bajulis, ſarcinas ferentibus, non ſolum humeris, ſed etiam capite.

Τριτημόριον. Sex æreos Philemon vocavit oboli tertiam partem. Miror autem, quomodo duo ærei ſint quarta pars; ſex vero, tertia pars. Niſi forte τὸ τεταρτημόριον, i. e. quarta pars, proprie ſic dicta fuerit. Τριτημόριον vero, cum ex quatuor partibus (quarum ſingulæ duobus æreis conſtant) tres contineat, ſex in ſumma æreos colligat.

Τριτημορίς. Tertia pars. Triens. Herodotus: *Alter vero triens exercitus mediterranea loca petiit.*

Τριτογένεια. Tritogenia. Id eſt, formidabilis, terribilis. Democritus Abderites ſcripſit de iis, quæ ſunt apud Inferos. Tritogenia. [Hæc ſic dicta eſt,] quod tria ex ea naſcantur, quæ res omnes humanas continent. Et proverbium: *Puer mihi Tritogenes ſit, non Tritogenia.* Vel, quia Minervam putabant eſſe virilem, & liberos mares donare.

Τριτογενής. Tritogenia. Id eſt, Minerva. Sic autem dicta eſt, quod ex ventre & matrice & capite Jovis exierit. Τριτὼ enim ſecundum dialectum caput ſignificat. Vel quod ad Tritonem fluvium Libyæ nata ſit, menſe ad finem jam vergente: quem diem & Athenienſes celebrant. Vel, quod tertia poſt Dianam & Apollinem nata ſit. Vel, quia Athenienſes caput etiam vocant τρίτωνα. Vel quod tremoris & metus cauſa ſit. Vel, quod generationis cauſa ſit. Vel, quod in Tritone flumine Libyæ ſe abluerit.

Τριτομηνίς. [7] τὴν τρίτην τοῦ μηνὸς τριτομηνίδα ἐκάλουν. δοκεῖ δὲ γεγενῆσθαι τότε ἡ Ἀθηνᾶ. Ἴστρος δὲ καὶ Τριτογένειαν αὐτήν φησι λέγεσθαι, τὴν αὐτὴν τῇ σελήνῃ νομιζομένην.

Τριτομηνίς. Tertius dies menſis. Tunc autem Minerva nata fuiſſe creditur. Iſter vero dicit, eam & Tritogeniam vocari, & eandem cum Luna putari.

1 Τριστάται] Occurrit hæc vox *Exod.* cap. XIV. & II. *Reg.* cap. VII. Confer Heſychium, qui eadem habet.

2 Σοὶ γὰρ Καστ.] Scribe, Σοὶ γὰρ Καστορίδων, &c. Sic enim recte legitur Anthol. lib. VI. cap. XVI. Epigr. ult.

3 Τριστοιχεί] Sic etiam habet antiquiſſima Edit. Mediolanenſis. At exteræ Editt. male, τριστοιχεία.

4 Καὶ δόνακα τριτάνυστον] Verba hæc decerpta ſunt ex Epigrammate Archiæ, quod ex Cod. MS. integrum exhibuimus ſupra v. Γαμψόν.

5 Δημόκριτος ὁ Ἀβδηρ.] Ex Laertio: quem vide in *Democrito.*

6 Φθίνοντος] Locus videtur eſſe mutilus, qui ſic fortaſſe ſupplendus eſt, ἢ ὅτι τρίτῃ φθίνοντος, &c. Vide etiam vocem ſequentem.

7 Τριτομηνίς. τὴν τρ.] Ex Harpocratione: apud quem legitur τριτομηνὶς, cum accentu in ultima.

Τρίτον ἡμιδραχμιον. τὰς δύο ἥμισυ δραχμὰς οὕτως εἰώθασι λέγειν οἱ παλαιοί.

Τριτοπάτορες.[1] Δήμων ἐν τῇ Ἀτθίδι φησὶν, ἀνέμους εἶναι τοὺς Τριτοπάτορας. Φιλόχορος δὲ, τοὺς Τριτοπάτορας πάντων γεγενῆσθαι πρώτους. τὴν μὲν γὰρ γῆν καὶ τὸν ἥλιον, φησὶν, ὃν καὶ Ἀπόλλωνα καλεῖ, γονεῖς αὐτῶν ἠπίσταντο τότε οἱ ἄνθρωποι· τοὺς δὲ ἐκ τούτων τρίτους πατέρας. Φανόδημος δὲ ἐν ἕκτῳ φησὶν, ὅτι μόνοι οἱ Ἀθηναῖοι θύουσί τε καὶ εὔχονται αὐτοῖς ὑπὲρ γενέσεως παίδων, ὅταν γαμεῖν μέλλωσιν. [2] ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ ὀνομάζεσθαι τοὺς Τριτοπάτορας Ἀμαλκείδην καὶ Πρωτοκλέα καὶ Πρωτοκλέοντα, θυρωροὺς καὶ φύλακας ὄντας τῶν ἀνέμων. ὁ δὲ τὸ Ἐξηγητικὸν ποιήσας, Οὐρανοῦ καὶ Γῆς φησὶν αὐτοὺς εἶναι παῖδας. ὀνόματα δὲ αὐτοῖς,[3] Κόττον, Βριάρεων, καὶ Γύγην.

Τρίτου[4] κρατῆρος. τοῦ [5] Σωτῆρος· ὃν καὶ τέλειον ἔλεγον. τὸν μὲν γὰρ πρῶτον Ὀλυμπίων φασί. τὸν δὲ β′, Ἡρώων. Πλάτων ἐν Πολιτείᾳ. τὸν δὲ γ′, [6] Ὀλυμπικῶς τῷ Σωτῆρί τε καὶ Ὀλυμπίῳ.

Τρίτῳ καὶ τετάρτῳ ἔτει. ἀντὶ τοῦ, πρὸ τριῶν καὶ τεσσάρων ἐτῶν. οὕτως Ἀντιφάνης.

Τριτωνίς. λίμνη.

Τρίτων. Ποσειδῶνος. θαλάσσης.

Καὶ[7] βυθίην Τρίτωνος ἁλιπλάγκτοιο χαμεύνην
Σπόγγον, ἀκεστορίην πλαζομένης γραφίδος.

Τρίτῳ φάει. τρίτῃ ἡμέρᾳ.

Τριττύς.[8] φυλῆς μέρος τρίτον. αὕτη γὰρ διῄρηται εἰς τρία μέρη, τριττῦς, καὶ ἔθνη, καὶ φατρίας, ὡς Ἀριστοτέλης φησί.

Τριττύς.[9] ἡ ἐντελὴς θυσία, ἐκ συὸς, κριοῦ, καὶ τράγου, ἐκ τριῶν ὥσπερ [10] δωδεκηΐδες, θυσίαι δώδεκα ἱερείων.

Τριφάλης, Τριφάλητος. ὄνομα κύριον παρὰ Ἀριστοφάνει.

Τριφύλλιος, Ἐπίσκοπος, μαθητὴς Σπυρίδωνος τοῦ Κυπρίου καὶ θαυματουργοῦ· ὃς ἔγραψε τὰ θαύματα τοῦ ὁσίου καὶ τερατουργοῦ πατρὸς ἡμῶν Σπυρίδωνος· ὡς γέγραπται ἐν τῷ βίῳ αὐτοῦ δι᾽ ἰάμβων· ἃ χρὴ ἐκζητῆσαι ὡς λίαν ὠφέλιμα.

Τρίχαπτον. κτένιον.

Τρίχαπτον.[11] τὸ [12] βαμβύκινον ὕφασμα. ἱμάτιον πολυτίμητον.

Τρίχας[13] κρῆναι, πραγμάτων δηλοῖ βλάβην.
Τρίχας πεσεῖν δὲ, κίνδυνον φέρει μέγαν.

Τρίτον ἡμίδραχμον. Duas drachmas & dimidiam. Sic antiqui dicere conſueverunt.

Τριτοπάτορες. Demon in *Atthide* dicit, Tritopatores eſſe ventos. Philochorus vero, Tritopatores omnium fuiſſe primos. Tellurem enim & Solem, inquit, (quem & Apollinem vocat) tunc homines eorum parentes eſſe crediderunt: horum vero liberos tertios patres appellarunt. Phanodemus vero lib. VI. dicit, ſolos Athenienſes ipſis ſacrificare, & vota facere pro liberorum generatione, quum uxores ſunt ducturi. In Orphei vero *Phyſico* Tritopatores vocari Amalcidem & Protoclem & Protocleontem, qui ventorum janitores & cuſtodes ſunt. Qui vero Exegeticum ſcripſit, eos Telluris & Cœli filios eſſe dicit. Eorum vero nomina eſſe Cottum, Briareum, & Gygem.

Τρίτου κρατῆρος. Tertii crateris. Is erat Jovis Servatoris: quem etiam perfectum dicebant. Primum enim Cœleſtium eſſe dicunt: ſecundum, Heroum: tertium vero, Jovis Servatoris.

Τρίτῳ καὶ τετ. Ante tres & quatuor annos. Sic Antiphanes.

Τριτωνίς. Tritonis. Palus [ſic dicta.]

Τρίτωνος. Tritonis. Neptuni. Maris. [In Epigrammate:] *Et ſpongiam, in qua Trito marivagus in fundo maris cubat, quæque errantem ſtylum corrigit.*

Τρίτῳ φάει. Tertia luce. Tertio die.

Τριττύς. Tertia pars Tribus. Hæc enim in tres partes dividebatur, Trittys, & Gentes, & Curias, ut ait Ariſtoteles.

Τριττύς. Perfectum ſacrificium, quod conſtabat ex tribus victimis, ſue, ariete, & hirco: ut δωδεκηΐδες, ſacrificia ex XII. victimis conſtantia.

Τριφάλης. Triphales, Triphaletis. Nomen proprium apud Ariſtophanem.

Τριφύλλιος. Triphyllius, Epiſcopus, diſcipulus Spyridonis Cyprii, miraculis clari: qui literis mandavit miracula ſancti patris noſtri Spyridonis, qui multa miracula edidit, ut legitur in vita ejus, verſibus Jambicis ſcripta: quæ quærenda ſunt, ut valde utilia.

Τρίχαπτον. Parvus pecten.

Τρίχαπτον. Bombycinum textum. Veſtimentum valde pretioſum.

Τρίχας καρ. *Si capilli cuipiam reſecentur, id rerum damnum ſignificat. Si vero capilli cadant, id periculum fert magnum.*

1 Τριτοπάτορες. Δήμ.] Eadem habet Etymologus, quem confer.

2 Ἐν δὲ τῷ Ὀρφέως Φυσικῷ] Etymologus, ἐν δὲ τοῖς Ὀρφέως Φυσικοῖς.

3 Κόττον] Sic etiam appellatur ab Heſiodo in *Theogonia*:

Τρεῖς παῖδες μεγάλοι καὶ ὄμβριμοι οὐκ ὀνομαστοί,
Κόττος τε, Βριάρεώς τε, Γύγης θ᾽, ὑπερήφανα τέκνα.

Alii vero Κοῖον appellant. Apollodorus initio *Bibliothecæ*: Οὐρανὸς πρῶτος τοῦ παντὸς ἐδυνάστευσε κόσμου. γήμας δὲ Γῆν ἐτέκνωσε πρώτους τοὺς Ἑκατόγχειρας προσαγορευθέντας, Βριάρεων, Γύην, Κοῖον. Sic etiam Scholiaſtes Æſchyli ad *Prom. Vinct.* v. 351.

4 Τρίτου κρατ.] Confer Noſtrum ſupra v. Κρατήρ.

5 Τοῦ Σωτῆρος] Id eſt, Τοῦ Διὸς Σωτῆρος, Jovis Servatoris.

6 Ὀλυμπικῶς τῷ Σωτῆρί τε καὶ Ὀλ.] Hæc corrupta ſunt, nec ſanum ſenſum habent. Si mei res ſit arbitrii, expuncta voce Ὀλυμπικῶς locum hunc ſic legendum eſſe cenſeam, τὸν δὲ τρίτον, Τοῦ Σωτῆρος, ἢ Διὸς Ὀλυμπίου.

7 Καὶ βυθίην Τρίτωνος ἁλιπλ.] Anthol. lib. VI. cap. XXVI. Epigr. IV.

8 Τριττύς. φυλῆς μ.] Ex Harpocratione. Confer Noſtrum ſupra v. Γεννῆται, & infra v. Φατρία.

9 Τριττύς. ἡ ἐντελὴς θυσ.] Vide Scholiaſtam Ariſtoph. ad *Plutum*, pag. 83.

10 Δωδεκηΐδες] Dicebatur etiam δωδεκίδες. Vide ſupra h. v.

11 Τρίχαπτον] Occurrit hæc vox apud LXX. Interpr. Ezech. cap. XVI. v. 10.

12 Βαμβύκινον] Pro βομβύκινον. Sic etiam habent Heſychius & Etymologus. At Photius in Lex. MS. ὕφασμα βαρβαρικόν.

13 Τρίχας καρ.] Sunt duo verſus oneirocritici, qui leguntur etiam apud Aſtrampſychum.

Τριχῆ. τριχῶς.

Τριχίδες. [1] εἶδος ἰχθύος, αἱ λεγόμεναι θρίσσαι. [2] Ἀριστοφάνης· Ἔβη ποτὲ τὴν νύχθ᾽ ὅλην τριχίδων πεπλησμένος.

Τριχθά. τριχῆ. [3] Ὅμηρος· Τριχθὰ δὲ πάντα δέδασται. ἔστι δὲ τὸ πάντα κατὰ παρολκήν· ὡς,

——— Οἱ δ᾽ ἐννέα πάντες ἀνέσταν.

Γαῖα [4] δέ τι ξυνὴ πάντων καὶ μακρὸς Ὄλυμπος. συναφὴς τῇ γῇ Ὄλυμπος, ὡς ὄρος. τὸ δὲ ὅμοιον καὶ ἐν Ὀδυσσείᾳ πεποίηκε·

Ναιετάω δ᾽ Ἰθάκην εὐδείελον· ἐν δ᾽ ὄρος αὐτῇ

Νήριτον εἰνοσίφυλλον.

κεχώρικε γὰρ τὸ ὄρος τῆς Ἰθάκης. εἰ δὲ ἦν ὁ Ὄλυμπος τοῦ οὐρανοῦ μέρος ἐπουράνιον, οὐκ ἦν κοινὸς, ἀλλὰ ἴδιος.

Τριχοβρῶτες. [5] ζῶα κατεσθίοντα τὰς τρίχας. οἱ σῆτες. ὁ θρίψ.

Τριχολογεῖν. τὰς τρίχας ἀναλέγεσθαι, καὶ περὶ αὐτῶν φροντίζειν.

Τρίψεις. ἀντὶ τοῦ διατρίψεις. διατελέσεις. Ἀριστοφάνης Πλούτῳ· Ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν.

Τρίψις. τῶν ποταμῶν ἡ πορεία. [6] Δαβίδ· Ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν.

Τριψίωνος.

Τροίην. κατὰ διάλυσιν Τροίαν.

Τρομερόν. Ὁ δὲ ὑπὸ ἀρρωστίας λεπτόν τι καὶ τρομερὸν ἐφθέγξατο.

Τρόμητος. [7] Δημοσθένης καὶ ἄλλα σκώπτει τὸν Αἰσχίνην, καὶ Γραμματοκύφωνα καλεῖ· ὃν καὶ υἱὸν εἶναί φησιν ὀνόματι μὲν Τρόμητος, διδασκάλου δὲ τῶν πρώτων γραμμάτων.

Τροπᾶσθαι. [8] τρέπεσθαι.

Τρόπαια. νικητήρια. [9] Ἀριστοφάνης Πλούτῳ·

Τρόπαιον ἂν στήσαιτο τῶν τούτης τρόπων.

τὸ τρόπαιον δὲ οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν· οἱ δὲ νεώτεροι προπαροξύνουσι. ἡ δὲ παλαιὰ Ἀτθίς ἐστιν, ἧς ἦρχεν Εὔπολις, Κρατῖνος, Ἀριστοφάνης, Θουκυδίδης. ἡ δὲ νέα Ἀτθίς ἐστιν, ἧς ἐστι Μένανδρος, καὶ ἄλλοι.

Τροπή. ἡ δίωξις. [10] Τροπῆς ἀποσκίασμα. ἀντὶ τοῦ ἀλλοιώσεως καὶ μεταβολῆς ἴχνος, καὶ ὁμοίωμα φαντασίας.

Τροπίας οἶνος. ὁ πεπτραμμένος καὶ ἐξεστηκώς. καὶ ἐκτροπίας. Ἀριστοφάνης Δαιταλεῦσι·

Τάχυνον πότον, καὶ μὴ τροπίαν οἶνον φέρε.

Τριχῆ. Tripliciter. In tres partes.

Τριχίδες. Trichides: quæ etiam thriſſæ dicuntur. Genus piſcis. Ariſtophanes: *Maritus enim meus totam noctem tuſſivit, trichidibus veſperi repletus.*

Τριχθά. Tripliciter. In tres partes. Homerus: *In tres partes autem omnia diviſa ſunt.* Hic τὸ πάντα ſuperfluum eſt: ut & in illo loco: *Illi vero novem omnes ſurrexerunt.* † *Tellus enim eſt communis omnibus, & magnus Olympus.* Olympus eſt terræ contiguus, ut mons. Simili genere loquendi uſus eſt etiam in Odyſſea, [ubi inquit:] *Incolo autem Ithacam bene temperatam, in qua eſt mons Neritus, excelſas habens arbores.* Montem enim ab Ithaca ſeparavit. Si autem Olympus eſſet pars cœli, non foret communis, ſed [quibuſdam tantum] proprius.

Τριχοβρῶτες. Animalcula pilos corrodentia. Tineæ.

Τριχολογεῖν. Pilos colligere, eoſque curare.

Τρίψεις. Teres. Deges. Ariſtophanes *Pluto: Vitam longe moleſtiorem deges, quam nunc.*

Τρίψις. [Tritio. Frictio.] Fluviorum meatus. David: *Tollent fluvii meatus ſuos.*

Τριψίωνος. Tripſionis. [Genitivus, a recto Τριψίων.]

Τροίην. Trojam. Per diſſolutionem Τροίαν.

Τρομερόν. Tremulum. *Ille vero propter adverſam valetudinem tenuem quandam & tremulam vocem edebat.*

Τρόμητος. Trometis. Demoſthenes cum aliis dicteriis Æſchinem inſectatur, tum etiam eum Γραμματοκύφωνα vocat: quem etiam filium eſſe dicit cujuſdam nomine Trometis, literatoris, & primorum elementorum doctoris.

Τροπᾶσθαι. Verti. In fugam verti. Fugari.

Τρόπαια. Tropæa. Monumenta victoriæ. Ariſtophanes *Pluto: De moribus hujuſce tropæum erigat.* Antiqui Attici ſcribunt τροπαῖον, cum circumflexo in penultima. Recentiores vero acuunt in antepenultima, τρόπαιον. Antiqua vero lingua Attica eſt illa, cujus principes fuerunt Eupolis, Cratinus, Ariſtophanes, Thucydides. Nova vero, cujus Menander, & alii.

Τροπή. In fugam verſio. Fugatio. Τροπῆς ἀποσκ. Verſionis adumbratio. Vel, mutationis veſtigium, & imaginationis ſimilitudo.

Τροπίας, & ἐκτροπίας οἶνος. Vinum vappeſcens. Ariſtophanes *Dætalenſibus: Accelera potum, nec vappeſcens vinum affer.*

1 Τριχίδες. εἶδος ἰχθ.] Ex Enarratore Comici ad *Equit.* pag. 328.

2 Ἀριστοφάνης] *Ecclesiaz.* pag. 726. (486. Ed. Baſ. *P.*) ubi ſic legitur:

———Ὁ γὰρ ἀνὴρ τὴν νύχθ᾽ ὅλην

Ἔβηττε, τριχίδων ἑσπέρας ἐμπεπλησμένος.

ſic etiam apud Suidam ſcribendum eſt. Vide etiam ſupra v. Ἐμπεπλησμένος.

3 Ὅμηρος] Il. Ο. v. 189.

4 Γαῖα δέ τι ξυν.] Scribe, Γαῖα δ᾽ ἔτι ξυνὴ, &c. Sic enim legitur apud Homerum Il. Ο. v. 193.

5 Τριχοβρῶτες. ζῶα κατεσθ.] Ariſtoph. *Acharnenſ.* pag. 423.

Ἀλλ᾽ ὦ τριχόβρωτες τοὺς λόφους μου κατεφάγετε.

Scholiaſtes: Τριχόβρωτες. σῆτες. θρίψ. σκώληξ, κατεσθίων τὰς τρίχας. καὶ παρασεσυρμένως δὲ λέγεται, τριχοβρῶτες.

6 Δαβίδ] Pſalm. xcii. 5.

7 Δημοσθένης] In orat. pro Cteſiphonte, pag. 343. Vide etiam ſupra v. Γραμματοκύφων.

8 Τροπᾶσθαι] Homerus Il. Ο v. 666.

9 Ἀριστοφάνης Πλούτῳ] Pag. 48. (24 Ed. Baſ. P.) ubi pro ἂν στήσαιτο una voce legitur, ἀναστήσαιτο.

10 Τροπῆς ἀποσκίασμα] Epiſt. Jac. 1, 17. Παρ᾽ ᾧ οὐκ ἔνι παραλλαγὴ, ἢ τροπῆς ἀποσκίασμα.

Τροπηλίς. ἡ τῶν σκορόδων δέσμη. ἀπὸ τοῦ εἰλεῖσθαι, τροπαλίς, καὶ τροπῇ τοῦ α εἰς η, τροπηλίς. [1] Ἀριστοφάνης Ἀχαρνεῦσι· Σκορόδων τροπηλίδος.

Τροπηλίς. Alliorum faſciculus. Τροπηλὶς vero dicta eſt a verbo τρέπεσθαι: unde τροπαλὶς, & verſo α in η, τροπηλίς. Ariſtophanes *Acharnenſibus: Alliorum faſciculi.*

Τρόπις. ἡ τῆς νηός. καὶ κλίνεται τρόπιος.

Τρόπις. Carina navis. Et declinatur τρόπιος.

Τροπολογία. ἀλλοίωσις ἑτέρου πρὸς ἕτερον κατά τι· τουτέστι, καθ' ἓν τῶν ὑποκειμένων τριῶν· νοημάτων, λέξεως, καὶ μέλους.

Τροπολογία. Tropologia. Sive, mutatio alterius in alterum, ſecundum quid: hoc eſt, ſecundum unum trium ſubjectorum; ſententiarum, dictionis, & carminis.

Τρόπος. ἦθος. [2] Τρόπος δὲ ἐπὶ τῶν συλλογισμῶν, οἱονεὶ, σχῆμα τοῦ λόγου. οἷον ὁ τοιοῦτος· Εἰ τὸ πρῶτον, τὸ β'. Ἀλλὰ μὴν τὸ πρῶτον. Τὸ ἄρα δεύτερον. παρεισήχθη δὲ ὁ [3] λογότροπος ὑπὸ τοῦ ἐν ταῖς μακροτέραις συντάξεσι τῶν λόγων μηκέτι τὴν πρόσληψιν, μακρὰν οὖσαν, καὶ τὴν ἐπιφορὰν λέγειν, ἀλλὰ συντόμως ἐπενεγκεῖν, Τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον. καὶ Πισίδης·

Ὁ βάρβαρος δὲ τῷ λόγῳ καὶ τῷ τρόπῳ.

ἀντὶ τοῦ, τῷ ἤθει.

Τρόπος. Modus. Mos. Ingenium. In ſyllogiſmis vero τρόπος vocatur quaſi figura quædam orationis: cujuſmodi eſt illud: Si primum, & ſecundum. Atqui primum: ergo & ſecundum. Logotropus vero excogitatus eſt, ne in prolixioribus verborum ſtructuris neceſſe eſſet aſſumptionem longam & concluſionem repetere, ſed breviter tantum inferre: Atqui primum, ergo & ſecundum. Et Piſides: *Barbarus vero oratione & more.*

Τρόπον τινά. ἀντὶ τοῦ καλῶς ἄν.

Τρόπον τινά. Quodam modo.

Τροποφορεῖν.

Τροποφορεῖν. Mores ferre.

Τροπώσομαι. νικήσω. ὑποτάξω.

Τροπώσομαι. Vertam in fugam. Fugabo. Vincam.

Τροπωτῆρες. ἱμάντες, ἐν οἷς αἱ κῶπαι περὶ τοὺς σκαλμοὺς περιδέονται.

Τροπωτῆρες. Lora, quibus remi ad ſcalmos alligantur.

Τροφαλίς. τυρός. [4] Ἁρπάσας ὁ κύων τροφαλίδα τυροῦ Σικελὴν κατεδήδοκε. παρὰ τὸ τρέφω, τὸ πήσσω· ὡς τὸ ἔλπω, ἐλπίς· κρέκω, κρεκίς, καὶ κερκίς. οὕτω τρέφω, τροφίς, καὶ πλεονασμῷ τοῦ α καὶ τοῦ λ, τροφαλίς.

Τροφαλίς. Caſeus coagulatus. *Canis raptum caſeum Siculum coagulatum devoravit.* [Τροφαλὶς vero dictum eſt] a τρέφω, coagulo: ut ab ἔλπω, ἐλπίς; a κρέκω, κρεκὶς, & κερκίς. Sic etiam a τρέφω, τροφὶς, & per pleonaſmum ſyllabæ αλ, τροφαλίς.

Τροφεῖα. τὰ ὀφειλόμενα τοῖς τροφεῦσι.

Τροφεῖα. Præmia, quæ debentur nutriciis. Merces, quæ debetur illis, qui nos nutriverunt & educarunt.

Τροφή. ἀντὶ τοῦ ἀγωγὴ καὶ παιδεία. καὶ τραφὲν, ἀντὶ τοῦ ἀχθὲν, παιδευθέν. ἐνίοτε δὲ καὶ ὁμοίως ἡμῖν. Πλάτων Πολιτείαις· Ἐπιθυμοῦμεν δ' αὖ τριῶν τινων τῶν περὶ τὴν τροφὴν καὶ γέννησιν. Τροφὴν μὲν γὰρ βρῶμα καὶ πόμα λέγει· γέννησιν δὲ, τὰ ἀφροδίσια. ἐν [5] δὲ τῷ τρίτῳ Πολιτείας· Καὶ ὑπὸ τῷ σοφωτάτῳ Χείρωνι τεθραμμένος. ἀντὶ τοῦ, πεπαιδευμένος· ἵνα μὴ [6] ἐναντιῶνται Ὁμήρῳ, πεπαιδεῦσθαι λέγοντι τὸν Ἀχιλλέα παρὰ Χείρωνι, οὐχὶ τεθράφθαι.

Τροφή. [Interdum,] educatio & inſtitutio. Et τραφὲν, educatum, inſtitutum. Interdum vero eodem ſenſu accipitur, quo apud nos: id eſt, pro alimento. Plato in libris *de Republ. Appetimus autem tria, quæ ad alimentum & generationem faciunt.* Τροφὴν enim cibum & potum vocat. Γέννησιν vero, coitum. Libro tertio autem *de Rep.* inquit: *Sub ſapientiſſimo Chirone educatus.* Sive, inſtitutus. [Sic enim vox τεθραμμένος hic interpretanda eſt, ne Plato] adverſetur Homero, qui dicit, Achillem a Chirone inſtitutum fuiſſe, non vero nutritum.

Τρόφι [7] κῦμα. ἀντὶ τοῦ τεθραμμένον, ἤγουν τρόφιμον. κατὰ πάθος γίνεται τρόφι, καὶ ἔστιν ἄκλιτον, ὡς τὸ ἄλφι, καὶ ἔρι, καὶ κρῖ.

Τρόφι κῦμα. Fluctus magnus & tumidus. Τρόφι autem per apocopen formatum eſt a τρόφιμον; eſtque indeclinabile, ut ἄλφι, ἔρι, & κρῖ.

Τροφώνιος. καὶ Τροφωνίου κατὰ γῆς παίγνια. [8] ἐν Λεβαδείᾳ χρηστήριον ἦν, ὃ Καταβάσιον ἐκάλουν. στόμιον γάρ τι ἦν, ὡς τὰ ἄκρα δύνασθαι μόνον τῶν ποδῶν χωρῆσαι. οἱ οὖν τῷ Θεῷ χρώμενοι, ἁγνεύσαντες πρότερον ὡρισμέναις ἡμέραις, καὶ κοσμήσαντες ἑαυτοὺς ἱερῷ

Τροφώνιος. Trophonius. Et Trophonii ſub terra ludibria. Lebadiæ fuit oraculum, quod a deſcenſu vocabant Καταβάσιον. Erant enim ibi fauces quædam, quæ tantum extremas pedum partes capere poterant. Qui igitur Deum illum conſulebant, cum prius per certos

1 Ἀριστοφάνης Ἀχαρν.] Pag. 410. (293. Ed. Baſ. P.) ſed ubi pro τροπηλίδος hodie legitur τροπαλίδος.
2 Τρόπος δὲ———ἐπενεγκεῖν, τὸ δὲ πρῶτον, τὸ ἄρα δεύτερον] Hæc ſunt verba Laertii in *Zenone Citt.* lib. VII. num. 76. 77.
3 Λογότροπος] Sic recte MSS. Pariſ. itemque Laertius loco laudato. At priores Editt. male, λόγος τρόπος.
4 Ἁρπάσας ὁ κ.] Ariſtophanes *Veſpis*, pag. 490. (240. Ed. Baſ. P.)

Ὁ κύων παρᾴξας εἰς τὸν ἰπνὸν ἁρπάσας
Τροφαλίδα τυροῦ Σικελὴν κατεδήδοκε.
5 Ἐν δὲ τῷ τρίτῳ Πολιτείας] Pag. 434.
6 Ἐναντιῶνται] Malim, ἐναντιῶται, numero ſingulari, ut referatur ad Platonem.
7 Τρόφι κῦμα] Homerus Il. Λ. v. 307.
8 Ἐν Λεβαδείᾳ χρηστ.] Confer Philoſtrat. lib. VIII. *de Vita Apoll.* cap. VIII.

τινι σχήματι, ἀμφοτέραις ταῖς χερσὶ μελιτούτας λαβόντες, ὅ ἐστι μάζας μέλιτι δεδευμένας, οὕτως ἐκαθίζον ἐπὶ τὸ στόμιον, καὶ αἰφνίδιον ἡρπάζοντο, καὶ κατεδύοντο [1] ἐπὶ τῆς γῆς. τὰς δὲ μάζας ἐλάμβανον ὑπὲρ τοῦ μὴ ἀδικηθῆναι ὑπὸ τῶν συναντώντων ὄφεων, ἀλλ' ἐκείνας αὐτοὺς παραλαμβάνειν τροφήν. πολλοὶ μὲν οὖν καὶ αὐθημερὸν ἀνεπέμφθησαν δι' οὗ στομίου κατῆλθον· πολλοὶ δὲ καὶ διὰ πλειόνων ἡμερῶν. ἦν δὲ ὁ Τροφώνιος Ἐρεσίνου παῖς, [2] τἀδελφοῦ Ἀγαμήδους· ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον.

Τροχάζειν. διατρέχειν. [3] Πολύβιος· Τὴν μὲν πρώτην ἡμέραν ἐκέλευσε τροχάζειν ἐπὶ λ' σταδίους ἐν τοῖς ὅπλοις.

Τροχαῖον. Οἱ δὲ σαλπιγκταὶ οἱ σὺν αὐτοῖς ὄντες τροχαῖόν τι συμβοήσαντες, δόξαν τοῖς ἐναντίοις ὡς παρὰ τοῦ στρατηγοῦ πεπεμμένοι παρέσχον. καὶ ἐν Ἐπιγράμματι· Οὐ [4] τροχιεῖ τις τὸν Λαπίθην λῃστήν.

Τροχηλατεῖν. ἐλαύνειν.

Τροχιάς. πορείας. τρίβους. ἐργασίας.

Τροχιλίας. [5] Σωκράτης πρὸς Ἀλκιβιάδην εἰπόντα, ὡς οὐκ ἀνεκτὴ ἡ Ξανθίππη λοιδοροῦσα· Ἀλλ' ἔγωγε, ἔφη, συνείθισμαι καθαπερεὶ καὶ τροχιλίας ἀκούων συνεχῶς.

Τροχίλος. ὄνομα τοῦ ὑπηρέτου Ἔποπος. παρὰ τὸ τρέχειν. ἔστι [6] δὲ καὶ ὄνομα ὀρνέου τροχίλος. καὶ λέγεται εἶναι δριμύ. ἀξιοῦσι δέ τινες τὴν μέσην ὀξύνειν.

Τροχισθεῖσα. βασανισθεῖσα. ἀπὸ τοῦ τροχοῦ, ὅπερ ἐστὶν ὄργανον βασανιστικόν, καὶ διατείνον τὰ σώματα. καὶ [7] Ἀριστοφάνης·

Ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος.

οὕτω γὰρ οἱ δοῦλοι ἐπὶ τροχοῦ δεσμούμενοι ἐτύπτοντο. καὶ αὖθις·

Ἐπὶ [8] τοῦ τροχοῦ γὰρ δεῖ σ' ἐκεῖ στρεβλούμενον
Εἰπεῖν ἃ πεπανούργηκας.

Τροχός. ξύλινόν τι ἦν ὁ τροχός, ἐν ᾧ δεσμούμενοι οἱ οἰκέται ἐκολάζοντο. [9] Ἀριστοφάνης·

Εἴ τις στρατηγεῖν βουλόμενος μὴ ξυλλάβῃ,
Ἢ δοῦλος αὐτομολεῖν παρεσκευασμένος,
Ἐπὶ τοῦ τροχοῦ γ' ἕλκοιτο μαστιγούμενος.

Τροχός. [10] Δαβίδ· Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ. περὶ τῆς ἐρυθρᾶς θαλάσσης. Φησὶ γὰρ ἡ ἱστορία, ὅτι νότου πνεύσαντος διῃρέθη ἡ θάλασσα. τοῦ δὲ ἀέρος συστρεφομένου, καὶ τῶν νεφῶν συνισταμένων, ὁ ἄνεμος τίκτεται. Αἱ δὲ τιμωρίαι σου, φησί, δίκην βελῶν κατὰ τῶν πολεμίων ἐχώρουν. τῷ δὲ κτύπῳ τῆς

dies caſtitatem ſervaſſent, & ſe ſacro quodam habitu ornaſſent, ambabus manibus mellitutas tenentes, hoc eſt, placentas melle conſperſas, ſic ad fauces illas ſedebant, & repente ſub terram abripiebantur. Placentas autem ſecum ferebant, ne ſerpentes occurrentes eos læderent, ſed cibo illo objecto delinirentur. Ac multi quidem eodem die remiſſi ſunt ad ſuperos per eaſdem fauces, per quas deſcenderant: multi vero etiam poſt plures dies. Trophonius vero fuit Ereſini filius, fratris Agamedis: ubi erat draco vaticinans, cui illius loci incolæ placentas objiciebant.

Τροχάζειν. Currere. Decurrere. Polybius: *Primo quidem die milites in armis ad triginta ſtadia decurrere juſſit.*

Τροχαῖον. Citum. Velox. Sive, quod celeres habet numeros. *Tubicines autem, qui cum ipſis erant, claſſicum celeribus numeris canentes, adverſariis opinionem præbuerunt, quaſi a duce ſuo miſſi eſſent.* Et in Epigrammate: *Nonne aliquis latronem iſtum Lapithã rota torquebit?*

Τροχηλατεῖν. Rotas agere. Aurigari.

Τροχιάς. Orbitas Vias. Semitas. Tramites.

Τροχιλίας. Trochleæ. [Genitivus, a recto, τροχιλία.] Socrates Alcibiadi, dicenti, Xanthippes convitia nullo modo ferenda eſſe, reſpondit: *Atqui ego ita jampridem hiſce aſſuetus ſum, ac ſi jugiter ſonum trochlearum audiam.*

Τροχίλος. Trochilus Nomen ſervi Epopis. A verbo τρέχειν, i. e. currere. Eſt τροχίλος & nomen avis, quæ acris eſſe dicitur. Quidam vero ſyllabam mediam acuendam eſſe cenſent.

Τροχισθεῖσα. Quæ torquetur. Quæ cruciatur. A τροχός, i. e. rota, quod eſt inſtrumentum, quo homines torquentur, & corpora diſtenduntur. Et Ariſtophanes: *In rota diſtentus flagris cædatur.* Servi enim rotæ alligati verberari ſolebant. Et iterum: *In rota enim diſtentum oportet te mala tua facinora confiteri.*

Τροχός. Rota. Ligneum quoddam inſtrumentum erat rota, cui alligati ſervi flagris cædebantur. Ariſtophanes: *Siquis imperator eſſe cupiens, nos non adjuvet; vel ſervus transfugere paratus ſit; in rota diſtentus flagris cædatur.*

Τροχός. Rota. David: *Vox tonitrus tui in rota.* De rubro mari. Dicit enim hiſtoria, ſpirante Auſtro mare diviſum eſſe. Aere autem in turbinem acto, & nubibus denſatis, ventus gignitur. Supplicia vero tua, inquit, telorum inſtar in hoſtes ferebantur. Strepitu vero tonitrus Ægyptiorum rotas conſtrinxiſti.

1 Ἐπὶ τῆς γῆς] Imo, ὑπὸ τὴν γῆν.
2 Τἀδελφοῦ Ἀγαμήδους] Vide Luc. Holſten. ad Steph. v. Δελφοί.
3 Πολύβιος] Lib. x. cap. xx.
4 Οὐ τροχιεῖ τις τὸν Λαπ.] Exemplum hoc pertinet ad vocem τροχίζειν, non τροχαῖον. Cæterum, ubi locus hic exſtet, jam non memini.
5 Σωκράτης πρὸς Ἀλκιβ.] Hæc ſunt verba Laertii in *Socrate*, Num. xxxvi.
6 Ἔστι δὲ καὶ ὄνομα ὀρν.] Eadem leguntur apud Scholiaſtam Ariſtoph. ad *Aves*, pag. 545. (371. Ed. Baſ. P.)
7 Ἀριστοφάνης] In *Pace*, pag. 653. (449. Ed. Baſ. P.)
8 Ἐπὶ τοῦ τροχ.] Ariſtoph. *Pluto*, pag. 87. (43. Ed. Baſ. P.)
9 Ἀριστοφάνης] In *Pace*, pag. 653. (449. Ed. Baſ. P.) ubi pro βουλόμενον recte legitur βουλόμενος.
10 Δαβίδ] Pſalm. lxxvi. v. 19. Vide ibi Theodoretum, pag. 703. ex quo totum hunc locum Suidas deſcripſit.

βροντῆς

βροντῆς τοὺς τῶν [1] Αἰγυπτίων τροχοὺς συνεπόδισας. ὅτι δὲ λέγει, Ὁ Θεός μου, θοῦ αὐτοὺς ὡς τροχόν· ἐν παντοδαπαῖς συμφοραῖς κέλευσον αὐτοὺς στρέφεσθαι, καὶ κακοῖς ἐπαλλήλοις περίβαλλε.

Τρωγαλίων. τῶν τραγημάτων. οὕτω γὰρ τὰ τραγήματα ἐκάλουν οἱ παλαιοί.

Τρώγλη. ἡ ὀπή. καὶ τρωγλίτης. καὶ Τρωγλοδύται, ἐθνικόν. Ἄλλοι μὲν οὖν σωθέντες ἦσαν ἐν τρώγλαις.

Τρώγω. ἐσθίω. αἰτιατικῇ.

Τρώγων [2] γλυκερὰ, πικρίας ἕξεις τρόπους.

Τρωαί. αἱ Τρωϊκαί. Τρωϊκὸς, ὁ ἀπὸ τῆς Τροίας. καὶ Τρὼϊος, ὁμοίως ὁ Τρωϊκός.

Τρώϊλος, [3] σοφιστὴς, παιδεύσας ἐν Κωνσταντινουπόλει. Λόγους πολιτικούς. Ἐπιστολῶν βιβλία ζʹ.

Τρωκτά. τὰ κατακτὰ τῶν ὀπωρῶν· οἷον κάρυα, καὶ βάλανοι.

Τρώκτης. ὁ ἐκ παντὸς κερδαίνων. οἷον ἀποτρώγων.

Τρόμης. [4] ὄνομα κύριον.

Τρώματα. Ἐν [5] τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένοντο, ἔν τε Λιμενηΐῳ χώρης τῆς σφετέρης μαχεσαμένων, καὶ ἐν Μαιάνδρου πεδίῳ.

Τρώξονται. Φάγωσιν. [6] Ἀριστοφάνης·

Ἐνεγκάτω τις ἔνδοθεν τῶν ἰσχάδων

Τοῖς χοιριδίοισιν. ἆρα τρώξονται; βαβαί.

Τροία. πόλις.

Τροιζὴν, Τροιζῆνος. ὄνομα πόλεως. ὁ ἀπὸ ταύτης, Τροιζήνιος. καὶ ζήτει παροιμίαν ἐν τῷ, Εἰς Τροιζῆνα δεῖ βαδίζειν.

Τρύβλιον. ὀξυβάφιον. πινάκιον. ποτήριον ὀρθομίλιον. τοῦτο μεῖζον τοῦ ὀξυβάφου ἐστί. καὶ ἡ κωμῳδία·

——— [7] Τὸ τρύβλιον

Τὸ περυσινὸν τέθνηκέ μοι. ἀντὶ τοῦ κέκλασται.

Τρυγαῖος. [8] Ἀριστοφάνης·

Τρυγαῖος Ἀθμονεὺς, ἀμπελουργὸς δεξιὸς,

Οὐ συκοφάντης, οὐδ' ἐραστὴς πραγμάτων.

Ἐπὶ τῶν ἀπραγμόνων παρόσον οἱ γεωργοὶ, μάλιστα οἱ δεξιοὶ, ἀπραγμοσύνην ἀσπάζονται. καὶ Τρυγαῖος μὲν, παρὰ τὸ τρυγᾷν. ἁρμόζει γὰρ γεωργοῖς. Ἀθμονεὺς δὲ, ἀπὸ δήμου τῆς Ἀττικῆς.

Τρύγητος. ὁ καιρὸς, ἐν ᾧ δεῖ τρυγᾷν. καὶ ἄμητος, ὁ καιρὸς, ἐν ᾧ δεῖ ἀμᾷν καὶ θερίζειν· προπαροξυτόνως. Τρυγητὸς δὲ, ὁ τρυγώμενος βότρυς. καὶ ἀμητὸς, ὁ θεριζόμενος. οἷον, ἀμητὸς στάχυς· ὀξυτόνως. καὶ ἔμετος. καὶ ἐμετὸς, αὐτὸ τὸ πρᾶγμα.

Cum autem [David] dicit, *Deus, ut rotam eos effice*: [ſignificare vult,] Fac ut in omnis generis calamitatibus verſentur, & continuis malis eos affige.

Τρωγαλίων. Bellariorum. Secundarum menſarum. Sic enim antiqui vocabant τὰ τραγήματα.

Τρώγλη. Caverna. Foramen. Et τρωγλίτης. In foramine degens. Cavernas incolens. Et Troglodytæ, nomen gentis. *Alii quidem in terræ cavernis ſervati fuerunt.*

Τρώγω. Comedo. Rodo.

Τρώγων γλυκ. *Dulcia edens, amaros habebis mores.*

Τρωαί. Idem quod Τρωϊκαί. Troicæ. Trojanæ. Et Τρωϊκὸς, Trojanus. Et Τρώϊος, idem.

Τρώϊλος. Troilus, Sophiſta, qui Conſtantinopoli docuit. [Scripſit] orationes civiles. Epiſtolarum libros VII.

Τρωκτά. [Edulia, quæ cruda comeduntur.] Fructus, qui franguntur, ut nuces, & glandes.

Τρώκτης. Qui ex qualibet re quæſtum facit. Quaſi dicas, roſor, arroſor.

Τρόμης. Tromes. Nomen proprium.

Τρώματα. Vulnera. Damna. Clades. *In quibus Mileſii binas magnas clades acceperunt, pugna commiſſa & in Limeneio ſuæ regionis agro, & in Mæandri planitie.*

Τρώξονται. Comedent. Ariſtophanes: *Afferat aliquis ex ædibus ficus iſtis porcellis. An comedent? Papæ!*

Τροία. Troja. Urbs.

Τροιζήν. Trœzen. Nomen urbis. Ejus civis, Trœzenius. Quære proverbium in v. Εἰς Τροιζῆνα.

Τρύβλιον. Acetabulum. Patella. Olla. Poculum, [quod apud nos Græcos recentiores dicitur,] orthomilium. Hoc autem majus eſt acetabulo. Et Comicus: *Olla, anno ſuperiore empta, mortua eſt.* Id eſt, fracta eſt.

Τρυγαῖος. Trygæus. Ariſtophanes: *Trygæus Athmonenſis, vinitor egregius, non ſycophanta, nec amans vitæ negotioſæ.* Dicitur de iis, qui a negotiis abhorrent. Agricolæ enim, & præcipue periti, vitam otioſam & quietam amant. Τρυγαῖος autem derivatur a τρυγᾷν, i. e. vindemiare. Convenit enim agricolis. Athmonenſis vero dictus eſt ab Atticæ pago [Athmonon.]

Τρύγητος. Tempus vindemiæ: ut ἄμητος, tempus meſſis: cum Acuto in antepenultima. At τρυγητὸς, [cum Acuto in ultima,] ipſæ uvæ, quæ vindemiantur, ſive, ipſa vindemia. Sic etiam ἀμητὸς, ipſa meſſis, & fruges, quæ metuntur: & ἀμητὸς στάχυς, ſpica, quæ demetitur. Pariter, ἔμετος dicitur, vomitus, ſive vomitio. At ἐμετὸς, ipſa res per vomitum ejecta.

1 Αἰγυπτίων] Theodoretus addit, ἁρμάτων.

2 Τρώγων γλυκερ.] Metri gratia ſcribendum eſt, Τρώγων τὰ γλυκερὰ, &c. Eſt autem verſus onirocriticus, qui etiam reperitur apud Aſtrampſychum. Apud eum vero pro γλυκερὰ legitur γλυκεῖα, quod non probo.

3 Τρώϊλος, σοφ.] Ejus meminit Socrates *Hiſt. Eccleſ.* lib. VI. cap. VI. & lib. VII. cap. I. & XXVII. Ex poſtremo loco diſcimus, eum Sideten fuiſſe. An idem eſt Troilus, cujus meminit Syneſius *Epiſt.* CXXVIII?

4 Τρόμης] Series literarum requirit, ut ſcribatur, Τρώμης, per ω.

5 Ἐν τοῖσι τρώματα μεγ.] Hæc ſunt verba Herodoti lib. I. pag. 5.

6 Ἀριστοφάνης] *Acharnenſ.* pag. 410. (193. Ed. Baſ. *P.*)

7 Τὸ τρύβλιον τὸ περυσ.] Hæc ſunt verba Ariſtoph. in *Ranis*, pag. 258. (169. Ed. Baſ. *P.*)

8 Ἀριστοφάνης] In *Pace*, pag. 636.

Τρυγη-

Τρυγίας.[1] ὑπὸ Θεοῦ ἡ χαλεπωτέρα τιμωρία. Πίονται πάντες οἱ ἁμαρτωλοί.[2]

Τρυγίας. [Proprie, fæx. In S. Scriptura autem ſic dicitur] gravis pœna, [quæ peccatoribus infligitur] a Deo. [*Fæx ejus non eſt exinanita:*] *omnes peccatores eam bibent.*

Τρυγοδαίμονες.[3] ὥσπερ τὸ κακοδαίμονες. ἐπεὶ πολλῇ τῇ αἰσχρολογίᾳ ἐχρῶντο, παρ' ὅσον ἀφέμενοι τὸ σέβεσθαι τὸ θεῖον περὶ τὸ σκώπτειν ἐτρέποντο.

Τρυγοδαίμονες. Trygodæmones. Dictum hoc eſt præter expectationem pro κακοδαίμονες. Valde enim fœdi erant [Comici] & immodeſti, omiſſoque Dei cultu, ſtudio cavillandi totos ſe dedebant.

Τρυγόνος. εἶδος περιστερᾶς. καὶ παροιμία· Τρυγόνα ψάλλειν. ἐπὶ τῶν φαύλως πραττόντων. ἴσως παρὰ τὸ τρύζειν. ὡς, Μή μοι τρύζητε. καὶ ἑτέρα παροιμία· Τρυγόνος λαλίστερος. ἐπειδὴ αἱ τρυγόνες οὐ μόνον τῷ στόματι, ἀλλὰ καὶ τοῖς ὀπισθίοις μέρεσι λαλοῦσι.

Τρυγόνος. Turturis. [Genitivus, a recto τρυγών.] Eſt autem columbæ ſpecies. Et proverbium: *Turturem canere.* In eos, qui rem aliquam perperam agunt. Fortaſſe a τρύζειν, tryſſare: [quod de turturum voce proprie dicitur.] Ut, *Ne mihi tryſſetis.* Et alterum proverbium: *Turture loquacior.* Turtures enim non ſolum ore, ſed etiam poſterioribus partibus corporis loquuntur.

Τρυγῶσα. ἡσύχως κνῶσα.[4] Ἀριστοφάνης· Τρυγῶσα τὴν θύραν.

Τρυγῶσα. Leviter radens, vel ſcalpens. Ariſtophanes: *Leviter ſcalpens januam.*

Τρυγός. τῆς τοῦ οἴνου ὑποστάθμης.[5] Ἀριστοφάνης· Ὄζων τρυγός. Καὶ αὖθις·

Ἔοικας,[6] ὦ πρέσβυτα, νεοπλύτῳ τρυγί.

Ἀριστοφάνης φησί.

Τρυγός. Fæcis vini. Vini novi. Muſti. Ariſtophanes: *Redolens fæcem.* Et iterum: *Similis es, ſenex, muſto novo.*

Τρυγὸς γλυκείας. τουτέστι, τοῦ νέου οἴνου. τρύγα γὰρ καὶ τὸν νέον οἶνον ἐκάλουν, καὶ τὴν ὑποστάθμην.

Τρυγὸς γλυκείας. Muſti dulcis. Vini novi. Τρύγα enim & muſtum vocabant & fæcem.

Τρυγοκωμῳδία.[7] ἤτοι διὰ τὴν τρύγα ἔπαθλον λαμβάνειν· τουτέστι, νέον οἶνον. ἢ διὰ τὸ μὴ ὄντων προσωπείων τὴν ἀρχὴν, τρυγὶ χρίεσθαι τὰς ὄψεις.

Τρυγοκωμῳδία. Trygocomœdia. [Sic dicta,] vel quod [victores] præmium acciperent τρύγα, i.e. vinum novum: vel quod olim, cum larvæ nondum inventæ eſſent, fæcibus ora per ungerent.

Τρύγοιπος. ὁ ὑλιστὴρ ὁ σάκκινος.[8] Ἀριστοφάνης Πλούτῳ·

Ἀλλ' ἔστι κομιδῇ τρὺξ παλαιὰ καὶ σαπρά.

Οὐκοῦν τρύγοιπος ταῦτα πάντ' ἰάσεται.

Προπαροξυτόνως. καὶ τρυγοιπῶ, ῥῆμα.

Τρύγοιπος. Qualus. Colum, per quod liquor ex uvis expreſſus tranſmittitur. Ariſtophanes *Pluto: Sed fæx eſt valde antiqua & putris. Ergo colum his malis omnibus medebitur.* Scribitur τρύγοιπος, cum Acuto in antepenultima. Et τρυγοιπῶ, verbum, Percolo.

Τρύζει. ψιθυρίζει. γογγύζει. ἀσήμως λαλεῖ. παρὸ καὶ ἡ τρυγών· ἐπεὶ ἀσήμως φθέγγεται καὶ γογγυστικῶς.

Τρύζει. Stridet. Suſurrat. Murmurat. Obſcuro vocis ſono loquitur. Hinc etiam dicta eſt τρυγών, i.e. turtur: quod obſcurum tantum murmur edat.

Τρύμη.[9] ὁ τετριμμένος σφόδρα. καὶ πεπειραμένος ἐν τοῖς πράγμασιν· ὃν ἡμεῖς τρυπᾶν φαμέν. θέλει δὲ εἰπεῖν, ὡς τρύπανον εὐτόνως.

Τρύμη. In rebus exercitatus, & in iis quodammodo tritus: quem nos etiam terebrum vocamus. Illud igitur dicere vult, acutus eris & ſubtilis in dicendo, ut terebrum.

Τρύπανα. ἐργαλεῖα τεκτονικά.

Τρύπανά[10] τ' εὐδίνητα, καὶ ὠκύεντα τέρετρα.

Τρύπανα. Terebra. Inſtrumenta fabrilia. *Terebraque, quæ facile circumaguntur, & velocia terebella.*

Τρυσιβίου[11] γαστρός. καταπονούσης τὸν βίον. Ἀριστοφάνης Νεφέλαις.

Τρυσιβίου γαστρός. Ventris vitam vexantis, vel moleſtia afficientis. Ariſtophanes *Nubibus.*

Τρυσμός. γογγυσμός.

Τρυσμός. Stridor. Gemitus. Murmur.

Τρυτάνη. ὁ ζυγός. ταύτην οἱ Δωριεῖς στατῆρα καλοῦσιν. ἔνθεν καὶ παροιμία· Δικαιότερος στατῆρος.

Τρυτάνη. Trutina. Lanx. Hanc Dorienſes vocant σταχάνην. Hinc proverbium: *Trutina juſtior.*

1 Τρυγίας] Confer Noſtrum ſupra v. Ὁ τρυγίας.

2 Πίονται πάντες οἱ ἁμαρτ.] Pſalm. LXXV. v. 8. Πλὴν ὁ τρυγίας αὐτοῦ οὐκ ἐξεκενώθη· πίονται πάντες οἱ ἁμαρτωλοὶ τῆς γῆς. Hinc Suidas ſupplendus eſt.

3 Τρυγοδαίμονες. ὥσπ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 142. (76. Ed. Baſ. *P.*)

4 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 725. (486. Ed. Baſ. *P.*) ſed ubi legitur θρυγανῶσα.] Confer Heſych. v. Θρυγανᾷ.

5 Ἀριστοφάνης] *Nubibus*, pag. 61. Ed. Baſ. P.

6 Ἔοικας, ὦ πρεσβ.] Hæc ſunt verba Ariſtoph. *Veſpis*, pag. 524.

7 Τρυγοκωμῳδία] Scribendum erat, Τρυγῳδία. κωμῳδία. Ariſtoph. *Acharnenſ.* pag. 395.

——Τρυγῳδίαν ποιῶν.

Τὸ γὰρ δίκαιον οἶδε καὶ τρυγῳδία.

Vide ibi Scholiaſtam, a quo Suidas notam hanc mutuatus eſt.

8 Ἀριστοφάνης Πλούτῳ] Pag. 104. (51. Ed. Baſ. *P.*)

9 Τρύμη. ὁ τετριμμένος σφ] Ariſtophanes *Nubibus*, pag. 152. (85. Ed. Baſ. *P.*)

Κύρβις, κρόταλον, κίναδος, τρύμη.

Scholiaſtes ad eum locum: Τρύμη. ὁ περιτετριμμένος ἐν τοῖς πράγμασι, ὃν ἡμεῖς τρύπανον καλοῦμεν. τρύμα καὶ τρῆμα τὴν ὀπὴν φασι. θέλει οὖν εἰπεῖν λεπτολόγος καὶ εὔστομος, ὡς τρύπανον. Hinc Suidas emendandus eſt.

10 Τρύπανά τ' εὐδ.] Hexameter hic decerptus eſt ex Epigrammate, quod ex cod. MS. integrum publici juris fecimus ſupra v. Ἀμφίξουν. Ibi autem pro ὠκύεντα legitur ὠκήεντα.

11 Τρυσιβίου γαστρός. καταπ.] Ex Scholiaſta Ariſtoph. ad *Nubes*, pag. 151. (84. Ed. Baſ. *P.*)

Τρυτο-

Τρυτοδόκη. ἡ θήκη τῆς τρυτάνης. ἐν Ἐπιγράμματι·

Καὶ [1] τὴν τρυτοδόκην κιτίδα παμβακίδων.

ἤ ζυγὸν τῆς παμβακίδος.

Τρυφάλεια. περικεφαλαία.

Τρύφαινα. ὄνομα κύριον.

Τρυφή. ἡ απατάλη.

Τρυφηλὸς, καὶ τρυφητής. ὁ ἄπληστα τρώγων.

Τρυφιόδωρος, Αἰγύπτιος, γραμματικὸς, καὶ ποιητὴς ἐπῶν. ἔγραψε Μαραθωνιακά. Ἰλίου ἅλωσιν. Τὰ καθ' Ἱπποδάμειαν. [2] Ὀδύσσειαν λειπογράμματον. ἔστι δὲ ποίημα τῶν Ὀδυσσέως καμάτων, καὶ ὅσα μυθολογοῦσι περὶ αὐτοῦ· καὶ ἄλλα.

Τρυφιόδωρος. διάφορα ἔγραψε δι' ἐπῶν. Παράφρασιν τῶν Ὁμήρου παραβολῶν· καὶ ἄλλα πλεῖστα.

Τρύφος ἄρτου. κλάσμα ἄρτου.

Τρύφων, Ἀμμωνίου, Ἀλεξανδρεὺς, γραμματικὸς, καὶ ποιητὴς, γεγονὼς κατὰ τοὺς Αὐγούστου χρόνους, καὶ πρότερον. [3] Περὶ πλεονασμοῦ τῶν ἐν τῇ Αἰολίδι διαλέκτων, βιβλία ζ'. Περὶ τῶν παρ' Ὁμήρῳ διαλέκτων, καὶ Σιμωνίδῃ, καὶ Πινδάρῳ, καὶ Ἀλκμᾶνι, καὶ τοῖς ἄλλοις λυρικοῖς. [4] Περὶ τῆς Ἑλλήνων διαλέκτου, καὶ Ἀργείων, καὶ Ἱμεραίων, καὶ Ῥηγίνων, καὶ Δωριέων, καὶ Συρακουσίων. Περὶ τῆς ἐν κλίσεσιν ἀναλογίας, α'. Περὶ τῆς ἐν εὐθείᾳ ἀναλογίας. Περὶ ὀνομάτων συγκριτικῶν, α'. Περὶ τῆς ἐν μονοσυλλάβοις ἀναλογίας. Περὶ ὀνομάτων χαρακτήρων, α'. Περὶ ῥημάτων ἀναλογίας βαρυτόνων, α'. Περὶ ῥημάτων ἐγκλιτικῶν, καὶ ἀπαρεμφάτων, καὶ προστακτικῶν, καὶ εὐκτικῶν, καὶ ἁπλῶς πάντων· καὶ περὶ ὀρθογραφίας, καὶ τῶν ἐν αὐτῇ ζητουμένων. Περὶ πνευμάτων, καὶ τρόπων, καὶ ἄλλα.

Τρύχεται. κακοπαθεῖ. καταπονεῖται. ταλαιπωρεῖται. ἐκνενεύρισται. καὶ ἐκτετρυχωμένος. Ὁ δὲ ὑπὸ τῆς ἀπορίας ἐκτετρυχωμένος ἦν.

Τρύχη. τὰ ῥάκη. τραγικῶς. [5] Προῆλθεν ἡ μήτηρ πένθιμα ἠμφιεσμένη τρύχη, καὶ τὰς ὁράσεις ἐκτετηκυῖα ὑπὸ τῶν δακρύων.

Τρυχηρά. ῥακώδη.

Τρύχνον. τὴν πόαν. θηλυκῶς λέγουσιν, οὐ τὸ τρύχνον. σὺν τῷ σ δὲ, στρύχνον, οὐδαμοῦ εὗρον. καὶ παρὰ τὴν παροιμίαν, τὴν, [6] Ἁπαλώτερος τρύχνου· τὴν παρῳδῶν ὁ κωμικός φησιν, Ἤδη εἰμὶ μουσικώτερος τρύχνου.

Τρυχόμενος. τετρυχωμένος δέ.

Τρύχουσιν. ἐλαττοῦσι.

Τρυτοδόκη. Trutinæ theca. In Epigrammate: *Et trutinæ thecam, & ciſtulam goſſipii.*

Τρυφάλεια. Galea triplicem conum habens.

Τρύφαινα. Tryphæna. Nomen proprium.

Τρυφή. Luxus. Delitiæ.

Τρυφηλὸς, & τρυφητής. Homo luxurioſus. Helluo.

Τρυφιόδωρος. Tryphiodorus, Ægyptius, Grammaticus, & poeta Heroicus. Scripſit Marathoniaca. Ilii excidium. De Hippodamia. Odyſſeam litera carentem. Eſt autem poema de laboribus Ulyſſis, & iis, quæ fabulæ de eo tradunt: & alia.

Τρυφιόδωρος. Tryphiodorus. Varia ſcripſit carmine. Paraphraſin ſimilitudinum Homeri: & alia plurima.

Τρύφος ἄρτου. Fruſtum panis.

Τρύφων. Tryphon, Ammonii F. Alexandrinus, Grammaticus, & Poeta: qui vixit Auguſti temporibus, & ante. Scripſit de pleonaſmo Dialectorum, quæ ſunt in Æolica lingua, lib. VII. De Dialectis, quæ ſunt apud Homerum, & Simonidem, & Pindarum, & Alcmanem, & alios Lyricos. De Dialecto Atticorum, Argivorum, Himeræorum, Rheginorum, Dorienſium, & Syracuſanorum. De inflexionum analogia, lib. I. De recti caſus analogia. De nominibus comparativis lib. I. De monoſyllaborum analogia. De nominum characteribus, l. I. De verborum gravitonorũ analogia, lib. I. De verbis encliticis, & infinitivis, & imperativis, & optativis, denique omnibus. De orthographia, & de iis, quæ in ea quæruntur. De ſpiritibus, & tropis: & alia.

Τρύχεται. Malis affligitur. Vexatur. Fatigatur. Enervatur. Et ἐκτετρυχωμένος, attritus, afflictus, vexatus, &c. *Ille vero propter rerum inopiam macie confectus erat.*

Τρύχη. Veſtes laceræ. *Prodiit mater lugentium more ſordidata, oculiſque lacrymatione tabidis.*

Τρυχηρά. Pannoſa. Lacera. Attrita.

Τρύχνον. Trychnon. Herbam. Genere fœminino dicitur, τὴν τρύχνον, non autem τὸ τρύχνον. Sed cum σ, στρύχνον, nuſquam inveni. Et ad proverbium illud, *Mollior trychno*, Comicus alludens dicit, *Jam ſum canendi peritior, quam trychnus.*

Τρυχόμενος. Attritus. [Scribitur per ο in ſyllaba antepenultima.] At ἐκτετρυχωμένος, [per ω.]

Τρύχουσι. Terunt, atterunt, extenuant, minuunt.

1 Καὶ τὴν τρυτοδ.] Integrum Epigramma, ex quo fragmentum hoc decerptum eſt, ex cod. MS. exhibuimus ſupra v. Θέριστρον: ad quem locum Lectorem remittimus. Cæterum, pro κιτίδα, quod corruptum eſt, in Anthologia inedita legitur κοιτίδα, uti & apud ipſum Suidam ſupra v. Πάμβαξ. At Portus legendum putabat κιστίδα, i. e. ciſtulam: quod non diſplicet.

2 Ὀδύσσειαν λειπογράμματον] Deerat enim in illo poemate litera σ: ut teſtatur Euſtathius in procem. *Odyſſ.* pag. 1379. 54. Confer Noſtrum ſupra v. Νέστωρ Λαρανδεύς.

3 Περὶ πλεονασμοῦ τ.] Præter opera a Suida hic citata ſcripſerat etiam Tryphon περὶ Ἀττικῆς προσῳδίας, cujus operis meminit Athen. lib. II. cap. XIII. Ejuſdem operis librum ſecundum laudat Ammonius v. Ἐξαίφνης, v. Θαλάμαι, v. Μισητή, & v. Τροχοί. Librum tertium idem v. Ἀρπαγή. Περὶ ἀρχαίας ἀναγνώσεως: cujus operis mentionem facit Euſtathius ad Iliad. Ε. pag. 556. Περὶ ὀνομασιῶν. Athenæus lib. IV. cap. XXIII. Τρύφων δ' ἐν τρίτῳ περὶ ὀνομασιῶν. ἔστι δὲ τὸ σύγγραμμα περὶ αὐλῶν καὶ ὀργάνων. Meminit idem operis iſtius & alibi. Φυτῶν ἱστορία. Laudat itidem Athenæus lib. III. cap V. & alibi. Παρώνυμα. Citat Stephanus Byzantius, v. Ἀγυιά, v. Ἀπολλωνία, & alibi. Περὶ σχημάτων. Laudat Etymologus. v. Ἀργιόδους. Περὶ πνευμάτων. Laudat idem Etymologus, v. Ἀρπίς. Meminit præterea Tryphonis (hujuſne, an alius, dicere non habeo) Galenus ἐν τῷ περὶ συνθέσεως φαρμάκων τῶν κατὰ τόπους, Part. II. pag. 218. & pag. 228.

4 Περὶ τῆς Ἑλλήνων διαλέκτου] Hoc opus intelligi puto ab Ammonio, qui Tryphonem ἐν πέμπτῳ περὶ Ἑλληνισμοῦ citat v. Δίσκος, & v. Χλαῖναν.

5 Προῆλθεν ἡ μήτηρ πένθ.] Fragmentum hoc legitur apud Dionyſ. Halicarnaſſ. l. VIII. p. 516. ubi de matre Marcii Coriolani verba fiunt.

6 Ἁπαλώτερος τρύχνου] Vide ſupra v. Ἁπαλώτερος τρύχνου.

Τρυχωθείς. πιεσθείς. ἢ [1] φανερωθείς.

Τρυχῶ. τρίτης ἐστὶ συζυγίας τῶν περισπωμένων. ἀλλὰ καὶ βαρύτονον, τρύχω, τρύχεις.

Τοιᾶσδε. τοιαύτης.

Τοία [2] Στυγός σε μελανοκάρδιος πέτρα,
Ἀχερόντιός τε σκόπελος αἱματοσταγὴς
Φρουροῦσι, Κωκυτοῦ τε περίδρομοι κύνες,
Ἔχιδνά θ' ἑκατοντακέφαλος, ἣ τὰ σπλάγχνα σου
Διασπαράξει, πνευμόνων τ' ἀνθάψεται
Ταρτησία μύραινα· τὼ νεφρὼ δέ σου
Αὐτοῖσιν ἐντέροισιν ᾑματωμένω
Διασπάσονται Γοργόνες Τιθράσιαι,
Ἐφ' ἃς ἐγὼ δρομαῖον ὁρμήσω πόδα.

Τοιαυτί. τοιαῦτα.

Τοιγὰρ ἐγώ. ἐγὼ μὲν γάρ.

Τοιγαροῦν. ἀμέλει. ὅθεν δή. οὐκοῦν. διὰ τοῦτο δὴ οὖν.

Τοιγάρτοι. τούτου γὰρ ἕνεκεν.

Τοιαῖσδε πράξεις.

Τοῖιν.[3] ἀντὶ τοῦ σοί, Δωρικῶς. Καὶ πολιὴν λευκῶν κεῖραι ἀπὸ κροτάφων τοῖιν. ἀλλ' ἐπένευε.

Τοίνυν. διὰ τοῦτο.

Τοῖο. τοιούτου. καὶ τοῖος, τοιοῦτος. καὶ τοῖον, τοιοῦτον.

Τοιουτονὶ Θεμιστοκλῆς οὐ πώποτ' ἐπενόησεν. Ἀριστοφάνης. ἢ διὰ [4] τὸ τειχίσαι τὸν Πειραιᾶ· ἢ ὅτι σοφίας δόξαν ἀπηνέγκατο Θεμιστοκλῆς, σαφηνίσας Ἀθηναίοις τὸν δοθέντα χρησμόν·

Τεῖχος [5] Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεύς.

ἄλλα δὲ ἄλλων λεγόντων, Θεμιστοκλῆς ἔφη τὰς τριήρεις λέγειν ξύλινον τεῖχος.

Τοιουτῶδες. τοιοῦτον. Οὐδὲν ὁπηοῦν ἐβεβαιώθη τοιουτῶδες.

Τοῖς [6] Ἱπποκράτους υἱέσιν εἴξεις, καί σε καλοῦσι βλιτομάμμαν. οὗτοι ὡς ὑώδεις τινὲς καὶ ἀπαίδευτοι ἐκωμῳδοῦντο· καὶ τάχ' ἂν ἦσαν προκέφαλοί τινες, ὡς ἐν Γεωργοῖς φησι, καὶ ἐν Τριφάλητι. καὶ Εὔπολις Δήμοις·

Ἱπποκράτους δὲ παῖδες ἐμβόλιμοί τινες,
Βληχητὰ τέκνα, καὶ [7] οὐδαμῶς τοῦ τρόπου.

Τὰ δὲ ὀνόματα αὐτῶν, Τελέσιππος, Δημοφῶν, Περικλῆς.

Τοῖς ὀρθῶς. Τὸ τοῖς ὀρθῶς ὑπ' ἄλλου γνωσθεῖσι πεισθῆναι, μείζονος ἀρετῆς ὁ Ζήνων ποιεῖται γνώρισμα, τοῦ γνῶναί τινα αὐτὸν ἐξ ἑαυτοῦ τὰ δέοντα· τὸ [8] Ἡσιόδου μεθαρμόττων ῥῆσιν·

Οὗτος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται·

λέγων, ἀντὶ τοῦ, νοήσῃ πάνθ' ἑαυτῷ.

Τρυχωθείς. Attritus. Vexatus. Preſſus. Vel, palam factus.

Τρυχῶ. Eſt verbum tertiæ conjugationis verborum circumflexorum. Eſt & gravitonum, τρύχω, εις.

Τοιᾶσδε. Talis.

Τοία Στ. *Talis te Stygis atra rupes, Acherontiuſque ſcopulus ſanguine manans, cuſtodiunt, Cocytique circumcurſantes canes, viperaque centiceps, quæ viſcera tua dilacerabit, pulmoneſque arrodet muræna Tarteſia. Renes vero tuos cum ipſis viſceribus cruentatos diſcerpent Gorgones Tithraſiæ; ad quas nunc cito gradu contendo.*

Τοιαυτί. Idem quod τοιαῦτα. Talia.

Τοιγὰρ ἐγώ. Quamobrem ego. Vel, Ego enim.

Τοιγαροῦν. Igitur. Ergo. Scilicet. Propterea igitur.

Τοιγάρτοι. Quare. Ideo. Igitur.

Τοιαῖσδε πράξεις. Tales actiones.

Τοῖιν. Dorice, pro σοί. Tibi. *Et canos ab albis tondere temporibus tuis. Sed annuit.*

Τοίνυν. Ergo. Igitur.

Τοῖο. Pro τοιούτου. Talis. Et τοῖος, idem quod τοιοῦτος, talis. Et τοῖον, talem.

Τοιουτονὶ Θεμιστ. *Tale quid Themiſtocles nunquam excogitavit.* Ariſtophanes. Vel [hoc ideo dixit,] quod Themiſtocles Piræeum muro muniverit; vel quod ſapientiæ gloriam conſecutus ſit, cum interpretaretur oraculum Athenienſibus redditum, *Murum Minervæ ligneum dat latos oculos habens Jupiter.* Aliis autem alia dicentibus, Themiſtocles dixit, per ligneum murum triremes intelligi.

Τοιουτῶδες. Pro, τοιοῦτον. Tale. *Nihil unquam ſancitum eſt tale quicquam.*

Τοῖς Ἱπποκρ. *Hippocratis filiis ſimilis eris, & te vocabunt Blitomammam.* Hi tanquam ſpurcis moribus præditi & indocti a Comicis perſtringebantur; & fortaſſe prominente erant capite, ut [Ariſtophanes] in *Agricolis* & *Triphalete* ait. Et Eupolis *Demis*: *Hippocratis vero filii ſunt ſubditítii, & ovina ſimplicitate præditi, nec temporis hujus moribus accommodati.* Eorum vero nomina erant, Teleſippus, Demophon, Pericles.

Τοῖς ὀρθῶς. *Rectis aliorum conſiliis parere, majoris virtutis argumentum eſſe judicabat Zeno, quam ſi quis ipſe per ſe cognoſcat ea, quæ ſint facienda, verſum illum Heſiodi, Ille omnium optimus eſt, qui ipſe, quæ e re ſua ſunt, videt; ſic refingens: Ille omnium optimus eſt, qui recte monenti paret.*

1 Ἢ φανερωθείς] Sic etiam Photius in Lexico inedito. At interpretatio non parum eſt ſuſpecta.

2 Τοία Στυγός σε μελαν.] Hic, & ſequentes verſus, leguntur apud Ariſtoph. in *Ranis*, pag. 234. (149. Ed. Baſ. *P.*)

3 Τοῖιν. ἀντὶ τοῦ σοί, Δωρ.] Imo, Dorienſes τὶν dicunt pro σοί, non vero τοῖιν. Quare nota hæc inutilis eſt. Cæterum, exemplum ſequens ex Anthologia Epigrammatum depromptum eſt; quamvis locus nunc non ſuccurrat.

4 Διὰ τὸ τειχίσαι τὸν Πειραιᾶ] Vide Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 338.

5 Τεῖχος Τριτογ.] Vide Noſtrum ſupra v. Ἀπείλει: itemque Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 349. ubi integrum oraculum refertur.

6 Τοῖς Ἱπποκρ.] Ariſtoph. *Nubibus*, pag. 180. (109. Ed. Baſ. *P.*) Confer Noſtrum ſupra v. Βληχή, & infra v. Ὑώδης.

7 Καὶ οὐδαμῶς τοῦ τρόπου] Verſus ſtabit, ſi ſcribas,
—— κ' οὐδαμῶς τοῦ νῦν τρόπου.

8 Τὴν Ἡσιόδου μεθαρμ.] Heſiodi ſententia erat,
Οὗτος μὲν πανάριστος, ὃς αὐτῷ πάντα νοήσῃ.
Hanc Zeno ſic refingebat:
Οὗτος μὲν πανάριστος, ὃς εὖ εἰπόντι πίθηται.
Hic eſt loci hujus ſenſus.

Τοῖς[1] τεκοῦσι γὰρ οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην ἔχειν. τουτέστιν, ὅταν τις ὑπὲρ γονέων πονῇ, μὴ ἡγεῖσθαι πόνον εἶναι τὸν κάματον.

Τοῖς Φθάνουσι. τοῖς ἤδη γεγονόσι.

Τοίχαρχος.[2] ἐπὶ νεώς, ὁ ἄρχων αὐτῆς. τοιχάρχου δὲ, πρωρεύς· πρωρέως δὲ, κυβερνήτης· κυβερνήτου δὲ, ναύκληρος.

Τοιχωρύχημα γαλῆς.

Τοίχου ὀπή.

Τοιχωρύχης. κλέπτης. τοιχωρύχος, λῃστής. τοιχωρύκτης δέ.

Τύανα. μητρόπολις ἐν Καππαδοκίᾳ.

Τύγα.[3] παρὰ Ῥωμαίοις συγκλητικὴ ἐσθής.

Τυγχανόντων. ἀντὶ τοῦ τυγχανέτωσαν. Ἀττικῶς. οἱ γὰρ Ἀττικοὶ ἀπὸ ὁριστικῶν, τῶν μὴ ἐχόντων τὸ μι κλιτικὸν, τὸ γ' πρόσωπον ποιοῦσιν ὁμόφωνον τῇ γενικῇ τῶν πληθυντικῶν τῶν ἰδίων μετοχῶν· οἷον, τύπτετε, τυπτόντων· ἀντὶ τοῦ, τυπτέτωσαν. μέλλετε, μελλόντων, ἀντὶ τοῦ μελλέτωσαν. καὶ ἐπὶ τῶν ἐχόντων τὸ μι κλιτικὸν, τὸ γ' πρόσωπον τῶν πληθυντικῶν ὁμοφώνως ποιοῦσι τῷ γ' τῶν δυϊκῶν. τυπτέσθων, ἀντὶ τοῦ τυπτέσθωσαν.

Τύκος.[4] ἐργαλεῖόν τι, ᾧ τοὺς λίθους περικόπτουσι καὶ ξέουσιν. ἔνθεν καὶ τὸ ἐτύκιζον, ἀντὶ τοῦ ἔξεον, ἔκοπτον. Ἀριστοφάνης Ὄρνισι·

Τούτους δ' ἐτύκιζον αἱ κρέκες τοῖς ῥύγχεσι.

Τυκτόν. χειροποίητον.

Τύλη,[5] καὶ τύλος, ἀρσενικῶς. τοῦ ὤμου τὸ πεπυλωμένον καὶ πεπιλημένον τῆς σαρκὸς, ὁποῖον πολλάκις ἐπὶ τοῦ ὤμου γίνεται τοῖς ἀχθοφόροις ἐκ τοῦ βαστάζειν τι συνεχῶς. Ἀριστοφάνης Ἀχαρνεῦσιν·

[6] Ἴστω γ' Ἡρακλῆς. ἔκαμον τὴν τύλην κακῶς.

καὶ Τηλεκλείδης τραχήλου τύλην εἶπε. Πολύβιος· Τῆς πέτρας αὐτοῖς δυσχρηστίας παρεχούσης, διὰ τὸ δεῖν τρῆμα ποιεῖν ἐν αὐτῇ τοῖς τύλοις κρατοῦσι τὴν σύριγγα τὴν προσαγομένην.

Τύλη. ἡ στρωμνή. οἷον, [7] Ἔδοξέ τις ἐν τῇ τύλῃ πυροὺς ἔχειν ἀντὶ κναφάλων, καὶ παιδίον ἐγέννησεν ἄρρεν.

Τύλις. ὄνομα πόλεως.

Τύλος. ἡ νῆσος.

Τύλος.[8] νενεκρωμένη σάρξ. ἀποσκίρρωμα τῶν γονάτων.

Τυλοῦται. τραυματίζεται. παχύνεται. Οἱ δὲ πλεῖστοι τῶν Πάρθων κορύνας εἶχον σιδηρᾶς, ἢ σιδήρῳ τετυλωμένας.

Τοῖς τεκ. *Pro parentibus enim ſi quis laborem ſuſcipiat, laboris meminiſſe non oportet.* Vel, ſi quis parentibus in re aliqua operam navet, operam illam non oportet exiſtimare moleſtiam.

Τοῖς Φθάνουσι. Præteritis. Illis, qui jam fuerunt.

Τοίχαρχος. Lateri navis præpoſitus. Tœcharchus. *Tœcharcho imperat proreta; proretæ, gubernator; gubernatori nauclerus.*

Τοιχωρύχημα γαλῆς. Parietis perfoſſio, quam muſtela fecit.

Τοίχου ὀπή. Parietis foramen.

Τοιχωρύχης, τοιχωρύχος, & τοιχωρύκτης. Parietum perfoſſor. Fur. Latro.

Τύανα. Tyana. Cappadociæ metropolis.

Τύγα. Toga. Apud Romanos eſt Senatoria veſtis.

Τυγχανόντων. Attice, pro τυγχανέτωσαν. Sunt Attici enim ab Indicativis, qui non deſinunt in μι, tertiam perſonam [pluralem Imperativi activi] formant ſimilem genitivo plurali propriorum participiorum; ut τυπτόντων, pro τυπτέτωσαν: μελλόντων, pro μελλέτωσαν. A verbis autem, quæ in μαι deſinunt, tertiam perſonam pluralem [Imperativi paſſivi] formant ſimilem tertiæ Dualis: ut, τυπτέσθων, pro τυπτέσθωσαν.

Τύκος. Inſtrumentum quoddam, quo lapicidæ lapides circumcidunt & poliunt. Hinc & ἐτύκιζον, poliebant, cædebant. Ariſtophanes *Avibus: Hos autem [lapides] creces aves roſtris poliverunt.*

Τυκτόν. Manu factum. Fabricatum.

Τύλη, & maſculino genere, τύλος. Callus, ſive durior & craſſior cutis, qualis in bajulorum humeris ſæpe exiſtere ſolet, quod onera aſſidue geſtent. Ariſtophanes *Acharnenſibus: Sciat hoc Hercules. Callus mihi valde dolet.* Et Teleclides *cervicis callum* dixit. [Item, τύλος, clavus.] Polybius: *Cum rupes illis multum negotii faceſſeret, quod in ea facienda eſſent foramina clavis, qui fiſtulam, quæ [ad urbem] perducebatur, retinebant.*

Τύλη. Culcitra. *Cum quidam ſomniaret, ſe triticum pro tomento in culcitra habere, puerum marem genuit.*

Τύλις. Tylis. Nomen urbis.

Τύλος. Tylus. Inſula.

Τύλος. Callus. Caro mortua. Cutis indurata in genibus.

Τυλοῦται. Sauciatur. Vulneratur. Calli inſtar obdureſcit. Occalleſcit. *Parthorum vero plerique clavas habebant ferreas, aut ferro munitas.*

1 Τοῖς τεκοῦσι γ.] Hæc ſunt verba Sophoclis *Oedip. Colon.* pag. 289. ut Portus monuit.

2 Τοίχαρχος. ἐπὶ νεώς, ὁ ἀρχ.] Locus hic excerptus eſt ex Artemidori lib. I. cap. XXXVII. ſed ubi ſic legitur: Ἄρχει δὲ πρεσβεύς μὲν ὁ τοίχαρχος· τοιχάρχου δὲ ὁ πρωρεύς· πρωρέως δὲ, ὁ κυβερνήτης, &c. Hinc Suidas emendandus eſt. Nam priora illa, τοίχαρχος. ἐπὶ νεώς, ὁ ἄρχων αὐτῆς, corrupta ſunt: pro quibus ſcribi debet, τοίχαρχος μὲν πρεσβεύς, &c. Quid ſit autem πρεσβεύς, docet Suidas ſupra ſuo loco.

3 Τύγα] Male pro τόγα.

4 Τύκος. ἐργαλεῖόν τ.] Ex Scholiaſta Ariſtoph. ad *Aves*, pag. 595. (412. Ed. Baſ. *P.*)

5 Τύλη, καὶ τύλος, ἀρσεν.] Ex Enarratore Comici ad *Acharnenſ.* pag. 413. (295. Ed. Baſ. *P.*)

6 Ἴστω γ' Ἡρακλ.] Apud Ariſtophanem verſus hic Dorica dialecto hodie ſic ſcriptus legitur:

Ἴττω Ἡρακλῆς, ἔκαμόν γα τὰν τύλαν κακῶς.

7 Ἔδοξέ τις ἐν τῇ τ.] Hæc ſunt verba Artemidori lib. V. pag. 254. ut Pearſonius ad oram libri ſui notaverat. Eadem etiam leguntur ſupra v. Γνάφαλοι.

8 Τύλος. νενεκρωμένη σ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 397.

Τύλωμα.

Τυμβογέρων. ὁ πέμπελος. [1] Προκόπιος· Ὁ δὲ Ἰουστινιανὸς ὁ βασιλεὺς τυμβογέρων ἦν ἤδη. ἢ τυμβογέρων, ὁ ἐσχατόγηρως.

Τύμβος. τάφος. παρὰ τὸ τύφεσθαι, ὅ ἐστι, καίεσθαι τὰ σώματα τῶν τεθνεώτων.

Τί [2] ταῦτα ληρεῖς ὥσπερ ἀπὸ τύμβου πεσών.

Τυμβεία. καὶ τυμβείτης, ὁ μνηματίτης. Εἰ [3] καὶ μικρὸς ἰδεῖν λᾶας ὁ τυμβείτης ἄμμιν ἐπικρέμαται.

Τυμβογέροντες. πέμπτη ἡλικία γερόντων, ὡς καὶ Θεόφραστος. παραπλῆγες, καὶ τῇ διανοίᾳ παρηλλαγμένοι.

Τυμβοχοεῖ. θάπτει.

Τύμμα. κροῦμα.

Τυμμαῖς. πληγαῖς. Καὶ εἴ πού τις εὑρεθείη τῷ ὁπωσοῦν ὅρκῳ κεχρημένος, τυμμαῖς οὐ ταῖς τυχούσαις ἐβάλλετο.

Τύμπανα. Οἱ Ἰνδοὶ ἀντὶ σάλπιγγος ταῖς μάστιξιν ἀπέκτυπον εἰς τὸν ἀέρα. εἶχον δὲ καὶ τύμπανα, φρικώδη τινὰ βόμβον ἐξ ἑαυτῶν ἀνιέντα. ἦν δὲ ἡ κατασκευὴ τοιάδε. Φιτρὸν ἐλάτης κοιλάναντες, ἐνήρμοζον εἰς αὐτὸν κώδωνας ὀρειχάλκου. τὸ γὰρ στόμα τοῦ ἄγγους ταυρείῳ δέρματι περικυπώσαντες, μετέωρον ἔφερον ἐς τὰς μάχας τοῦτο τὸ τύμπανον. ἐπὰν δὲ θόρυβον πολὺν ἐργάσασθαι ἤθελον, ἢ σημᾶναί τι, καταστρέψαντες ἐπὶ τὸ στόμα τὸ ξύλινον ἄγγος, ἐτίνασσον. οἱ δὲ ἐν αὐτῷ κώδωνες, πολλοί τε ἅμα ὄντες καὶ μεγάλοι, ἔν τε στεγανῷ ἠχοῦντες, ἀσαφῆ τινα βόμβον ἀνέπεμπον ἔνδοθεν· ὅντινα οὐ ῥᾴδιον ἦν τοῖς οὐκ εἰδόσιν ἐπιγνῶναι, τίνος ἦν ὀργάνου ἢ θηρίου. βρυχήματι γὰρ ἐῴκει.

Τύμπανα. [4] βάκλα. παρὰ τὸ τύπτειν. ξύλα, ἐν οἷς ἐτυμπάνιζον. ἐχρῶντο γὰρ ταύτῃ τῇ τιμωρίᾳ.

Τυμπανίζεται. [5] ξύλῳ πλήσσεται, ἐκδέρεται, καὶ κρεμᾶται.

Τύμπανον. ἐκ δερμάτων ἐστὶ γινόμενον, [6] καὶ κροῦον, ὃ κατεῖχον αἱ Βάκχαι. ἐν Ἐπιγράμματι· [7] Ἀραξόχειρα ταῦτά τοι τὰ τύμπανα λεοντίδιφρε σοὶ, Ῥείη, θῆκε.

Τύμπανος. ἀρσενικῶς.

——————— Καί [8] τινος αὔρῃ
Δαίμονος ἐς τὸ ἑὸν τύμπανον ἧκε χέρας.

Τύλωμα. [Idem, ac τύλη, & τύλος.] Callosa caro. Callus.

Τυμβογέρων. Capularis ſenex. Senex decrepitus. Procopius: *Imperator autem Juſtinianus decrepitus jam erat ſenex.*

Τύμβος. Buſtum. Sepulcrum. A τύφεσθαι, uri, cremari: quod mortuorum corpora cremarentur, [& in buſtis conderentur.] *Quid iſta nugaris, tanquam de buſto cecidiſſes?*

Τυμβεία. Sepultura. Humatio. Et τυμβείτης, ſepulcralis. Ad buſtum ſeu monumentum pertinens. *Quamvis aſpectu parvus lapis ſepulcralis nobis impoſitus ſit.*

Τυμβογέροντες. [Capulares ſenes.] Quinta ætas ſenum, ut & Theophraſtus ait. Hi autem ſunt deliri, & mente alienati.

Τυμβοχοεῖ. Sepelit. Humat.

Τύμμα. Percuſſio. Vulnus. Ictus.

Τυμμαῖς. Percuſſionibus. Ictibus. Plagis. *Et ſi quis inventus fuiſſet, qui vel minimo jurejurando uſus fuiſſet, plagis non levibus cædebatur.*

Τύμπανα. Tympana. Indi tubæ loco flagellis in aere vibratis ſtrepitum edebant. Habebant autem & tympana, bombum quendam horribilem emittentia: quæ ſic confecta erant. In abietis ſtipitem excavatum nolas ex orichalco factas inſerebant, & ore vaſis taurino corio circumtecto, tympanum ſublime ferebant in pugnis. Quum autem magnum tumultum excitare, vel aliquid ſignificare volebant, *vas ligneum in os converſum* quatiebant. Tum quæ in eo erant tintinnabula, & multa, & magna, & in loco undique clauſo ſonantia, obſcurum quendam bombum intrinſecus reddebant; qui ab ignaris haud facile dijudicari poterat, cujus eſſet inſtrumenti, vel belluæ. Mugitui enim ſimilis erat.

Τύμπανα. Tympana. Baculi. Fuſtes, quibus aliquem cædebant. A τύπτειν, verberare, cædere. Hoc enim ſupplicio olim utebantur.

Τυμπανίζεται. Fuſtibus cæditur. Excoriatur. Vel, ſuſpenditur.

Τύμπανον. Tympanum. Id ex pellibus conficiebatur, & pulſabatur: quod Bacchæ geſtabant. In Epigrammate: *Pulſata manibus hæc tympana tibi, Rhea a leonibus vecta, dedicavit.*

Τύμπανος. Genere maſculino. Tympanus. *Et dæmonis cujuſdam afflatu in tympanum ſuum miſit manum.*

1 Προκόπιος] *Hiſtor. Arc.* cap. VI. ſed ubi de Juſtino, non vero Juſtiniano verba fiunt. Cæterum pro Προκόπιος in prioribus Editt. male legitur πρὸ κδ΄. quod Portus bona fide verterat, *ante* XXIV. exiſtimans nimirum addi debere vocem ἐτῶν, & loci iſtius ſenſum hunc eſſe, Juſtinianum Imperatorem jam ante XXIV. ætatis annum ut ſenem decrepitum fuiſſe. Sed hæc conjectura quam longe a vero abſit, manifeſto pa et.

2 Τί ταῦτα ληρ.] Eſt verſus Ariſtophanis in *Veſpis*, pag. 518. (360. Ed. Baſ. F.)

3 Εἰ καὶ μικρὸς ἰδ.] Anthol. lib. III. cap. XXIV. Epigr. XVI. pag. 384.

Εἰ καὶ μικρὸς ἰδεῖν, καὶ ἐπ' οὔδεος, ὦ παροδῖτα,
Λᾶας ὁ τυμβίτης ἄμμιν ἐπικρέμαται.

Verba ibi fiunt de locuſta mortua, cui aliquis monumentum erexerat.

4 Τύμπανα. βάκλ.] Ex Scholiaſta Ariſtophanis ad *Plutum*, pag. 50.

5 Τυμπανίζεται] Vide omnino Gatakerum in *Miſcell. Poſth.* cap. XLVI. ubi de ſignificatione vocis τυμπανίζεσθαι prolixe & accurate agit.

6 Καὶ κροῦον] Imo, ἢ κρουόμενον. Intelligitur enim hic ipſum inſtrumentum, quod pulſatur.

7 Ἀραξόχειρα ταῦτά τοι τ.] Verba hæc decerpta ſunt ex Epigrammate Philippi, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. Κύμβαλα. Inde locum hunc ſupplebis & numeris ſuis reſtitues.

8 Καί τινος αὔρῃ δ.] Fragmentum hoc decerptum eſt Epigrammate Dioſcoridis, quod ex eadem Anthologia inedita integrum cum Lectore communicavimus ſupra, v. Θαλάμη. Eo igitur Lectorem remittimus.

Τυμ-

Τυμφαΐς. πόλις. καὶ βοῦς Ἀρτέμιδος.

Τυνδαρείδης. ὁ υἱὸς τοῦ Τυνδάρεω.

Τύνη. σύ. Δωρικῶς.

Τυννουτονί. δεικτικῶς. ἀντὶ τοῦ μικρόν. [1] Ἀριστοφάνης·
 Ἐν πλοιαρίῳ τυννουτωΐ σ' ἀνὴρ γέρων
 Ναύτης διάξει.
περὶ τοῦ Χάρωνος λέγων, καὶ τοῦ πορθμείου αὐτοῦ, καὶ πλοίου.

Τυντλάζειν. αὐτὸ καὶ αὐτὸ λέγειν. [2] Ἀριστοφάνης·
 Οὐ γὰρ οἷόν τ' ἐστὶ πάντως οἰναρίζειν τήμερον,
 Οὐδὲ τυντλάζειν· ἐπειδὴ παρδακὸν τὸ χωρίον.

Τυντλώδους. [3] ὑλώδους.

Τυπαῖς. πληγαῖς. Ἔχοντας τύμπανα καὶ τυπάς. τουτέστι, πληγάς.

Τυπείς. πληγείς. τρωθείς. καὶ τυπεῖσι, τρωθεῖσι.

Τύπη. Ὥστε [4] συνέβαινεν ὑπὸ τοῦ πυρὸς τὰς βάσεις τῶν πύργων καὶ τὰ τύπη τῶν κριῶν ἀχρειωθῆναι.

Τύπος. χαρακτήρ. Πρόσειπε τοῦτῳ πολλὰ παρ' ἐμοῦ. ὃν [5] εἰ παραλαβὼν Ἀριστείδην Ἑρμοῦ λογίου τύπον εἰς ἀνθρώπους ἔφην ἐληλυθέναι, μόλις ἔτυχον τῆς ἀξίας, ὅτι πλέον ἐστὶν ἢ τύπος. καὶ [6] Ἀππιανός· Ὁ δὲ Ἀννίβας Μαρκέλλου τοῦ ὑπάτου ἀποθανόντος, τῷ πτώματι αὐτοῦ ἐπιστάς, ὡς εἶδε τὰ τραύματα πάντα ἐπὶ τῶν στέρνων, ἐπῄνεσε μὲν ὡς στρατιώτην, ἐπέσκωψε δὲ ὡς στρατηγόν. καὶ τὸν δακτύλιον αὐτοῦ περιελών, ἐτύπωσεν ἐπιστολὴν τῇ σφραγῖδι τοῦ Μαρκέλλου, πρὶν αἰσθέσθαι πολλοὺς περὶ τοῦ θανάτου αὐτοῦ· καὶ αὐτόμολον ἄνδρα Ῥωμαῖον ἔπεμψε φέρειν, δηλοῦντα, ὅτι στρατιὰ Μαρκέλλου κατόπιν ἔρχοιτο, καὶ ὁ Μάρκελλος αὐτὴν ὑποδέξασθαι κελεύει.

Τυπῆσι. τρώσεσι.

Τύπωμα [7] χαλκόπλευρον. τὸ ἀγγεῖον. τὴν ὑδρίαν, ἐν ᾗ ἦσαν τὰ δοκοῦντα εἶναι ὀστέα τοῦ Ὀρέστου ἀπέκειτο.
 Τύπωμα χαλκόπλευρον ἡρμόσοι χεροῖν.

Τυπτήσεις. τύψεις. καὶ τυπτῶ, Ἀττικῶς.

Τυραννεῖον. κυρίως, ἡ ἀκρόπολις. Τυραννία δέ, ἡ τυραννίς. καὶ τυραννιῶ, ἐπιθυμῶ τυραννῆσαι.

Τυραννίων, Ἐπικρατίδου, καὶ Λινδίας Ἀλεξανδρίνης, Ἀμισηνός. ἐχρημάτιζε δὲ Κορύμβου, γεγονὼς ἐπὶ Πομπηΐου τοῦ μεγάλου, καὶ πρότερον, μαθητὴς ἄλλων τε, καὶ Ἑστιαίου τοῦ Ἀμισηνοῦ, ὑφ' οὗ καὶ Τυραννίων ὠνομάσθη, ὡς καταστρέχων τῶν ὁμοσχόλων, πρότερον καλούμενος Θεόφραστος. εἶτα διήκουσε καὶ Διονυσίου τοῦ Θρᾳκὸς ἐν Ῥόδῳ. ἀντεσοφίστευσε [8] Δημητρίῳ τῷ Ἐρυθραίῳ· ὃς [9] ἤχθη εἰς Ῥώμην, ληφθεὶς αἰχμάλωτος ὑπὸ Λουκούλλου, ὅτε κατεπολέμησε Μιθριδάτην, τοῦ

Τυμφαΐς. Tymphais. Urbs. Item, bos Dianæ.

Τυνδαρείδης. Tyndarides. Tyndarei filius.

Τύνη. Dorice, pro σύ. Tu.

Τυννουτονί. Tantillum. Parvum. Ariſtophanes: *In navigio tantillo te ſenex nauta trajiciet.* Loquitur de Charonis trajectione & navicula.

Τυντλάζειν. Idem ſæpius dicere. [Item glebas frangere. Repaſtinare.] *Non enim licebit cuipiam pampinare hodie, vel repaſtinare, cum ſit uda tellus.*

Τυντλώδους. Limoſi. Lutoſi. Cœnoſi.

Τυπαῖς. Plagis. *Habentes tympana & plagas.*

Τυπείς. Verberatus. Percuſſus. Vulneratus. Et τυπεῖσι. Vulneratis. Percuſſis.

Τύπη. [A recto ſingulari, τύπος, εος, τό.] *Ut & baſes turrium & acumina arietum ignis inutilia redderet.*

Τύπος. Typus. Character. Figura. Effigies. Similitudo. *Huic meo nomine dic plurimam ſalutem: quem ſi, ut ante Ariſtidem, ſic hunc Mercurii eloquentiæ præſidis typum dixerim, vix eum pro meritis laudem. Eſt enim plus quam typus.* Et Appianus: *Annibal autem Marcello Conſule mortuo, ad ejus cadaver adſtans, cum omnia vulnera in pectore vidiſſet, eum laudavit quidem ut militem; ſed deriſit ut imperatorem: annuloque ei detracto epiſtolam obſignavit, antequam fama mortis ejus in vulgus exiviſſet: & Romanum transfugam miſit, qui epiſtolam illam ferret, & ſignificaret, Marcelli exercitum a tergo ſequi, quem Marcellus in urbem intromitti jubeat.*

Τυπῆσι. Ictibus. Plagis. Vulneribus.

Τύπωμα χαλκόπλευρον. Vas æreum. Sive, urnam [Sophocles ſic appellat,] in qua ea, quæ putabantur eſſe Oreſtis oſſa, repoſita erant. *Urnam æream manibus geſtantes.*

Τυπτήσεις. [Attice, pro] τύψεις. Verberabis. Et τυπτῶ, [pro τύπτω.] Verbero.

Τυραννεῖον. Tyranni domus. Arx urbis. At τυραννία, tyrannis. Et τυραννιῶ, tyrannidem affecto.

Τυραννίων. Tyrannio, Epicratidis & Lindiæ Alexandrinæ filius, Amiſenus: qui dicebatur Corymbi filius. Vixit ſub Pompejo Magno, & ante, diſcipulus cum aliorum, tum etiam Heſtiæi Amiſeni; a quo etiam Tyrannio dictus eſt, quod condiſcipulos exagitaret: cum Theophraſtus antea diceretur. Poſtea vero etiam Dionyſium Thracem Rhodi audiit: æmulusque fuit Demetrii Erythræi. Idem Romam captivus a Lucullo ductus eſt, quum

1 Ἀριστοφάνης] *Ranis*, pag. 217. (136. Ed. Baſ. *P.*)

2 Ἀριστοφάνης] In *Pace*, pag. 708. (477. Ed. Baſ. *P.*)

3 Ὑλώδους] *Sic etiam Heſychius & Etymologus.* At viri docti jam ante recte monuerunt, ſcribendum eſſe, ἰλυώδους, i.e. limoſi, vel cœnoſi. Τύντλος enim idem ſignificat, quod ἰλύς, vel πηλός, i.e. lutum, vel cœnum.

4 Ὥστε συνέβαινεν ὑπὸ.] Hæc ſunt verba Polybii lib. I. cap. XLVIII.

5 Ὃν εἰ παραλαβὼν Ἀρισ.] Locus non ſatis ſanus mihi videtur, cujus neſcio an verum ſenſum in verſione expreſſerim.

6 Ἀππιανός] In *Annibalicis*, pag. 589. ſed ubi nonnulla aliter leguntur. Vide etiam ſupra v. Δακτύλιος, ubi idem locus occurrit.

7 Τύπωμα χαλκόπλευρον. τὸ ἀγγ.] Ex Scholiaſta Sophoclis ad *Electram*, pag. 82. ut Portus monuit.

8 Δημητρίῳ τῷ Ἐρυθραίῳ] Hujus inter reliquos Demetrios mentionem facit Laertius in *Demetrio Phalereo*, num. 84.

9 Ὃς ἤχθη εἰς Ῥώμην, ληφθεὶς αἰχμ. ὑπὸ Λουκ.] Vide Plutarchum in *Lucullo* pag. 504.

τοῦ Πόντου ἐθνῶν βασιλεύσαντα. διαπρεπὴς δὲ γενόμενος ἐν Ῥώμῃ, καὶ πλούσιος, ἐκτήσατο καὶ βιβλία ὑπὲρ τὰς τρεῖς μυριάδας. ἐτελεύτησε δὲ γηραιὸς, ὑπὸ ποδάγρας παραλυθεὶς, [1] Ὀλυμπιάδι ρκ'. ἐν τῷ γ' ἔτει τῆς Ὀλυμπιάδος.

Mithridatem Ponticarum gentium Regem debellaſſet. Romæ vero clarus & dives factus, librorum etiam ultra triginta millia ſibi comparavit. Senex obiit, podagra confectus, Olympiadis cxx. anno tertio.

Τυραννίων, [2] ὁ νεώτερος, Φοίνιξ, παῖς Ἀρτεμιδώρου, μαθητὴς Τυραννίωνος τοῦ πρεσβυτέρου· διὸ καὶ ὠνομάσθη Τυραννίων, πρότερον καλούμενος Διοκλῆς. αἰχμάλωτος δὲ καὶ αὐτὸς γενόμενος ἐπὶ τοῦ πολέμου Ἀντωνίου καὶ Καίσαρος, ὑπό τινος Δύμαντος ὠνήθη, τοῦ Καίσαρος ὄντος ἀπελευθέρου. εἶτα ἐδωρήθη Τερεντίᾳ, τῇ τοῦ Κικέρωνος γυναικί. ἐλευθερωθεὶς δὲ ὑπ' αὐτῆς, ἐσοφίστευσεν ἐν Ῥώμῃ, καὶ ἔγραψε βιβλία ὀκτὼ πρὸς τοῖς ξ'. ὧν καὶ ταῦτα. Περὶ τῆς Ὁμηρικῆς προσῳδίας. Περὶ τῶν μερῶν τοῦ λόγου· ἐν ᾧ λέγει, ἄτομα μὲν εἶναι τὰ κύρια ὀνόματα· θεματικὰ δὲ, τὰ προσηγορικά· ἀθέματα δὲ, τὰ μετοχικά. Περὶ τῆς Ῥωμαϊκῆς διαλέκτου, ὅτι ἐστὶν ἐκ τῆς Ἑλληνικῆς. Τοῦ Ἀντιγένους ἡ Ῥωμαϊκὴ διάλεκτος. Ὅτι διαφωνοῦσιν οἱ νεώτεροι ποιηταὶ πρὸς Ὅμηρον. Ἐξήγησιν τοῦ Τυραννίωνος μερισμοῦ. Διόρθωσιν Ὁμηρικήν. Ὀρθογραφίαν.

Τυραννίων. Tyrannio junior, Phœnix, Artemidori filius, diſcipulus Tyrannionis ſenioris: unde etiam Tyrannio dictus eſt, cum ante Diocles vocaretur. Cum autem & ipſe bello inter Antonium & Cæſarem captus fuiſſet, a quodam Dymante Cæſaris liberto redemptus eſt. Poſtea Terentiæ Ciceronis uxori donatus eſt: a qua manumiſſus, Romæ docuit, & libros ſcripſit LXVIII. ex quibus & hi ſunt: De Homerica Proſodia. De partibus orationis: in quo libro dicit, nomina propria eſſe individua: Appellativa vero, primitiva; & Participalia, derivativa. De lingua Romana: eam nimirum a Græca oriundam eſſe. Antigenis dialectus Romana. Recentiores poetas ab Homero diſſentire. Enarrationem partitionis Tyrannionis. Correctionem Homericam. Orthographiam.

Τυραννίων, Μεσσήνιος, Φιλόσοφος. Οἰωνοσκοπικὰ ἐν βιβλίοις τρισί. καὶ ἄλλα δὲ τῶν βιβλίων αὐτοῦ φέρεται χρήσιμα.

Τυραννίων. Tyrannio, Meſſenius, Philoſophus. Scripſit lib. III. de Auguriis. Extant & alii ejus libri utiles.

Τύραννος. [3] οἱ περὶ τὰ Τρωϊκὰ ποιηταὶ τοὺς βασιλεῖς τυράννους προσηγόρευον, ὀψέ ποτε τοῦδε τοῦ ὀνόματος εἰς τοὺς Ἕλληνας διαδοθέντος, κατὰ τοὺς Ἀρχιλόχου χρόνους, καθάπερ Ἱππίας ὁ σοφιστής φησιν. Ὅμηρος γοῦν τὸν πάντων παρανομώτατον Ἔχετον βασιλέα φησὶ, καὶ οὐ τύραννον. προσηγορεύθη δὲ τύραννος ἀπὸ τῶν Τυῤῥηνῶν. χαλεποὺς γὰρ περὶ λῃστείας τούτους γενέσθαι. [4] οὐδεὶς δὲ οὐδὲ ἄλλος τῶν ποιητῶν ἐν τοῖς ποιήμασιν αὐτοῦ μέμνηται τὸ τοῦ τυράννου ὄνομα. ὁ δὲ Ἀριστοτέλης ἐν Κυμαίων πολιτείᾳ τοὺς τυράννους φησὶ τὸ πρότερον Αἰσυμνήτας καλεῖσθαι. εὐφημότερον γὰρ ἐκεῖνο τὸ ὄνομα. † Καὶ ἕτεροι ἐτυράννησαν. ἀλλ' ἡ τελευταία καὶ μεγίστη κάκωσις πάσαις ταῖς πόλεσιν ἡ Διονυσίου τυραννὶς ἐγένετο.

Τύραννος. Tyrannus. Poetæ, qui bellum Trojanum anteceſſerunt, Reges appellabant Tyrannos; ſero tandem hoc nomine apud *Græcos vulgato, Archilochi temporibus,* ut ait Hippias Sophiſta. Homerus *certe* hominum omnium crudeliſſimum Echetum Regem appellat, non vero tyrannum. Dictus eſt autem tyrannus a Tyrrhenis. Hos enim in latrociniis exercendis ajunt ſævos fuiſſe. Sed ne aliorum quidem Poetarum ullus meminit nominis tyranni. Ariſtoteles vero in Cumanorum Repub. tyrannos ait olim vocatos fuiſſe Æſymnetas: quod nomen lenius & mollius putabant. † Et alii [in Sicilia] tyranni fuerunt: ſed ultima & maxima vexatio, quam omnes civitates paſſæ ſunt, fuit Dionyſii tyrannis.

Τύραννος Σικελίας. καὶ ἔστιν ἐν τῷ Τειόρχης.

Τύραννος Σικ. Tyrannus Siciliæ. Eſt in voce Τειόρχης.

Τύραννος, σοφιστής. Περὶ στάσεων καὶ διαιρέσεως λόγου, βιβλία δέκα.

Τύραννος. Tyrannus, Sophiſta. Scripſit de ſtatibus & diviſione orationis, lib. x.

Τυραννῶ. γενικῇ. Ὁ δὲ Δευκαλίων ἐτυράννει τῶν εἰς Παρνασσὸν κατοικούντων.

Τυραννῶ. Genitivo jungitur. Sum tyrannus. Sum Rex. Regno. Impero. *Deucalion imperavit iis, qui Parnaſſum accolebant.*

Τυρβάζῃ. ἑτοιμάζῃ. οἱ δὲ, φροντίζεις.

Τυρβάζῃ. Paras. [Turbas. Perturbas.] Alii vero [dicunt accipi pro,] ſolicitus es, vel, curis agitaris.

1 Ὀλυμπιάδι ρκ'.] Numeri manifeſto vitiati ſunt. Diu enim poſt illam Olympiadem Pompejus & Lucullus, ſub quo Tyrannio vixit, floruerunt. Quare ſcribendum eſt Ὀλυμπιάδι ρπ', i.e. Olymp. CLXXX. Cæterum Tyrannio hic ſcripſerat περὶ τοῦ σκολιοῦ μέτρου, ὃ προσετέθη αὐτῷ ὑπὸ Γαΐου Καίσαρος, teſte Scholiaſta Ariſtoph. ad *Ranas*, pag. 273. Meminit etiam Tyrannionis hujus Plutarchus in *Sylla*, pag. 468. & Strabo lib. XIII. pag. 609. Sit ne autem hic Tyrannio, an vero alter, cujus mentio exſtat apud Scholiaſtam Nicandri, pag. 8. videant eruditi.

2 Τυραννίων, ὁ νεώτ.] Hic eſt Tyrannio ille, quem Strabo ſe audiviſſe teſtatur lib. XII. pag. 548. Nec alius exiſtimandus eſt, cujus meminerunt Euſtathius & Etymologus.

3 Οἱ περὶ τὰ Τρωϊκὰ ποιηταὶ τοὺς βασ.] Inepte. Scribendum enim eſt: Οἱ μεθ' Ὅμηρον ποιηταὶ τοὺς πρὸ τῶν Τρωϊκῶν βασιλεῖς τυράννους προσαγορεύουσι. Sic enim legitur apud Scholiaſtam Sophoclis in argumento *Oedipi Tyranni*, unde totum hunc locum Suidas excerpſit.

4 Οὐδεὶς δὲ οὐδὲ ἄλλος τῶν ποιητ.] Rectius & plenius Scholiaſta Sophoclis loco laudato: Ὀψὲ δὲ νεώτερον τὸ τοῦ τυράννου ὄνομα, δῆλον. ὅτι γὰρ Ὅμηρος, οὔτε Ἡσίοδος, οὔτε ἄλλος οὐδεὶς τῶν παλαιῶν, τύραννον ἐν τοῖς ποιήμασιν ὀνομάζει.

Τύρβη.[1] ἀπόλαυσις. ἢ θόρυβος. ἢ τάραξις. Γέργηθες καλοῦνται παρὰ Μιλησίοις ἡ τύρβη, καὶ οἱ χειρώνακτες. τουτέστιν, οἱ διὰ τῶν χειρῶν ἐργαζόμενοι.

Τυρβυθέντα. κινηθέντα, ταραχθέντα.

Τυρεύων. κατασκευάζων. καὶ τυρεύσαντες, ἀντὶ τοῦ κατασκευάσαντες.

Τυῤῥηνία. χώρα. καὶ Τυῤῥηνοί, οἱ λεγόμενοι Τοῦσκοι. [2]Ἱστορίαν δὲ παρ' αὐτοῖς ἀνὴρ ἔμπειρος συνεγράψατο. ἔφη γὰρ τὸν δημιουργὸν τῶν πάντων Θεὸν δώδεκα χιλιάδας ἐνιαυτῶν τοῖς πᾶσιν αὐτοῦ φιλοτιμήσασθαι κτίσμασι, καὶ ταύτας διατεῖναι τοῖς ιβ. λεγομένοις οἴκοις· καὶ τῇ μὲν α χιλιάδι ποιῆσαι τὸν οὐρανὸν, καὶ τὴν γῆν. τῇ δευτέρᾳ ποιῆσαι τὸ στερέωμα τοῦτο τὸ φαινόμενον, καλέσας [3]αὐτὸν οὐρανόν. τῇ τρίτῃ, θάλασσαν, καὶ τὰ ὕδατα τὰ ἐν τῇ γῇ πάντα. τῇ δ', τοὺς φωστῆρας τοὺς μεγάλους, ἥλιον, καὶ σελήνην· καὶ τοὺς ἀστέρας. τῇ ε', πᾶσαν ψυχὴν πετεινῶν, καὶ ἑρπετῶν, καὶ [4]τετράποδα, ἐν τῷ ἀέρι, καὶ ἐν τῇ γῇ, καὶ τοῖς ὕδασι. τῇ ϛ', τὸν ἄνθρωπον. Φαίνεται οὖν τὰς μὲν πρώτας ἓξ χιλιάδας πρὸ τῆς τοῦ ἀνθρώπου διαπλάσεως παρεληλυθέναι· τὰς δὲ λοιπὰς ἓξ χιλιάδας διαμένειν τὸ γένος τῶν ἀνθρώπων. ὡς εἶναι τὸν πάντα χρόνον τῆς συντελείας [5]μέχρι χιλιάδας δώδεκα.

Τυρμίδαι.[6] δῆμος τῆς Οἰνηΐδος οἱ Τυρμίδαι.

Τυρόκνηστις. ἡ μάχαιρα. καὶ παροιμία·

Οὐ[7] στήσομαι λέαινα ἐπὶ τυροκνήστιδος.

ἀντὶ τοῦ ὡς λέαινα. σχῆμα δέ ἐστιν ἀκόλαστον καὶ ἑταιρικόν. τυρόκνηστις δὲ, ἡ μάχαιρα. ἐπὶ δὲ ταῖς λαβαῖς τῶν μαχαιρῶν ἐλέφαντες καὶ λέοντες ἐγλύφοντο ὀκλάζοντες, ὅπως μὴ ἀποθραύοιντο αὐτῶν οἱ πόδες, εἰ ὀρθοὶ ἑστῶτες γλύφοιντο. λέγει οὖν, ὅτι οὐκ ἐπ' ἀνδρὶ στήσομαι πορνεύουσα, ὡς λέαινα ἐπὶ τυροκνήστιδος.

Τυρόκνη. ἡ μάχαιρα.

Τυροπωλήσω.[8] ἀντὶ τοῦ σταθμήσω. πρὸς γὰρ σταθμὸν ἐπωλεῖτο ὁ τυρός.

Τύρος. ὄνομα πόλεως. καὶ Τύριοι, οἱ πολῖται. καὶ ζήτει ἐν τῷ Παῦλος, πότε γέγονεν ἡ Τύρος μητρόπολις.

Τυροφόρον. ἐν Ἐπιγράμμασι·

Αἰχμητὰν δ' ἐπέθυσεν ἀλέκτορα, καὶ πλακόεντα
Παῖς Ἡγησιδίκου, πίονα, τυροφόρον.

Τυρσηνία. χώρα.

Τύρσις. ὁ περίβολος τοῦ τείχους. [9]Ξενοφῶν· Οὕτω δὴ Κῦρος κύκλῳ διαμετρήσας περὶ τὸ τεῖχος, ἀπολιπὼν ὅσον τύρσεσι μεγάλαις ἀπὸ τοῦ ποταμοῦ,

Τύρβη. Vita voluptuariorum. Item, tumultus, vel perturbatio. † Apud Mileſios turba plebeja & viles operarii vocantur *gergethes*.

Τυρβυθέντα. Motum. Turbatum. Perturbatum.

Τυρεύων. Moliens. Struens. Machinans. Et τυρεύσαντες, moliti, machinati.

Τυῤῥηνία. Tyrrhenia. Regio. Et Tyrrheni, qui & Thuſci vocantur. Apud eos vir peritus hiſtoriam ſcripſit; in qua ait, opificem rerum omnium Deum duodecim annorum millia Univerſi hujus creationi impendiſſe, reſque omnes in XII. domos ita dictas diſtribuiſſe: ac primo millenario feciſſe cœlum & terram: altero feciſſe firmamentum illud, quod appareat, idque cœlum vocaſſe: tertio, mare, & aquas omnes, quæ ſunt in terra: quarto, luminaria magna, Solem & Lunam, itemque ſtellas: quinto, omnem animam volucrum, & reptilium, & quadrupedum, in aere, terra, & aqua degentium. Videntur igitur primi ſex millenarii ante formationem hominis præteriiſſe; & reliquos ſex millenarios duraturum eſſe genus hominum: ut ſit univerſum conſummationis tempus duodecim millium annorum.

Τυρμίδαι. Tyrmidæ. Populus Tribus Oeneidis.

Τυρόκνηστις. Tyrocneſtis. Culter culinarius, quo caſeus raditur. Et proverbium: *Non ſtabo leæna in tyrocneſtide.* Id eſt, tanquam leæna. Eſt autem figura venerea & meretricia. Τυρόκνηστις præter expectationem hic dictum eſt pro μάχαιρα, i. e. gladius. In manubriis enim gladiorum elephantes & leones ſculpi ſolebant, genua flexa habentes, ne pedes illorum frangerentur, ſi recti ſtarent. Dicit igitur, Non ſtabo juxta virum rem veneream peragens, ut leæna in tyrocneſtide.

Τυρόκνη. Radula caſei. Culter, quo caſeus raditur.

Τυροπωλήσω. [Caſeos vendam. Vel, caſeos] ad libram expendam. Caſeus enim ad libram vendebatur.

Τύρος. Tyrus. Nomen urbis. Et Tyrii, cives urbis Tyri. Quære in v. Παῦλος, quando Tyrus facta fuerit metropolis.

Τυροφόρον. Caſeo conſperſum. Caſeo conditum. In Epigrammate: *Pugnacem autem immolavit gallum gallinaceum filius Hegeſidici, & placentam pinguem, caſeoque conſperſam.*

Τυρσηνία. Eadem, quæ Τυῤῥηνία. Tyrrhenia. Regio.

Τύρσις. Turris. Propugnaculum. Xenophon: *Sic igitur Cyrus undique circa murum ſpatia dimenſus, relicto a flumine intervallo,*

1 Τύρβη. ἀπόλαυσις] Vide Caſaub. ad Athen. lib. VIII. cap. III.

2 Ἱστορίαν δὲ παρ' αὐτοῖς ἀνὴρ ἔμπ.] Miror unde hæc Suidas hauſerit. Procul dubio ex ſcriptore aliquo, qui hodie intercidit.

3 Αὐτόν] Imo, αὐτό. Refertur enim ad στερέωμα.

4 Τετράποδα] Rectius, τετραπόδων, ut reſpondeat genitivis præcedentibus, πετεινῶν, ἑρπετῶν.

5 Μέχρι χιλιάδας] Scribe, μέχρι χιλιάδων.

6 Τυρμίδαι. δῆμος τ.] Ex Harpocratione.

7 Οὐ στήσομαι λέαινα ἐπὶ τυρ.] Eſt Senarius Ariſtophanis in *Lyſiſtr.* pag. 850. (546. Ed. Baſ. *P.*) ubi Scholiaſtes ineditus eadem plane habet, quæ hic Suidas. Vide etiam ſupra v. Λέαινα, ubi eadem leguntur.

8 Τυροπωλήσω. ἀντὶ τοῦ σταθμ.] Ariſtophanes *Ranis*, pag. 276. (183. Ed. Baſ. *P.*)

Ἀνδρῶν ποιητῶν τυροπωλῆσαι τὴν τέχνην.

Scholiaſtes: Τυροπωλῆσαι. πρὸς γὰρ τὸν σταθμὸν ἐπωλεῖτο ὁ τυρός. Poſt τυροπωλῆσαι addendum eſt, σταθμῆσαι: auctoritate Suidæ.

9 Ξενοφῶν] Lib. VII. *de Inſtitut. Cyri*, pag. 190.

ὤρυσσεν· [1] ἐνθένδε τοῦ τείχους τάφρον ὑπερμεγέθη, καὶ τὴν γῆν ἀνέβαλλον πρὸς ἑαυτούς.

Τύρσος. τὸ ἐν ὕψει ᾠκοδομημένον.

Τυρταῖος, Ἀρχιμβρότου, Λάκων, ἢ Μιλήσιος, ἐλεγειοποιὸς, καὶ αὐλητής· ὃν λόγος τοῖς μέλεσι χρησάμενον παροτρῦναι Λακεδαιμονίους, καὶ πολεμοῦντας Μεσσηνίοις ταύτῃ ἐπικρατεστέρους ποιῆσαι. ἔστι δὲ παλαίτατος, σύγχρονος τοῖς ἑπτὰ κληθεῖσι Σοφοῖς, ἢ καὶ παλαίτερος. ἤκμαζε γοῦν κατὰ τὴν λέ ὀλυμπιάδα. ἔγραψε πολιτείαν Λακεδαιμονίοις, καὶ ὑποθήκας δι' ἐλεγείας, καὶ μέλη πολεμιστήρια, βιβλία έ.

Τυρταῖος. Οἱ Λακεδαιμόνιοι ὤμοσαν, ἢ Μεσσήνην αἱρήσειν, ἢ αὐτοὶ τεθνήξεσθαι. χρήσαντος δὲ τοῦ Θεοῦ στρατηγὸν παρὰ Ἀθηναίων λαβεῖν, λαμβάνουσι Τυρταῖον τὸν ποιητὴν, χωλὸν ἄνδρα· ὃς ἐπ' ἀρετὴν αὐτοὺς παρακαλῶν, εἷλε τῷ κ' ἔτει τὴν Μεσσήνην. καὶ ταύτην κατέσκαψαν, καὶ τοὺς αἰχμαλώτους ἐν τοῖς Εἵλωσι κατέταξαν.

Τυτθήν. ὀλίγην. ἢ μικράν. καὶ τυτθὸς, μικρός.

Τυφαωνία. χώρα.

Τυφεδανός.

Ὦ [2] οὗτος, τυφεδανὲ, καὶ χειρόθλιψ,
Ποθεῖς, ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.

Τυφεδῶνος. τῆς καύσεως. ἢ ὄνομα κύριον, ὁ Τυφεδών.

Τύφεται. καίεται.

Τυφήρεα. τυφωνικήν.

Λαμπάδα [3] κηροχίτωνα, Κρόνου τυφήρεα λύχνον,
Σχοίνῳ καὶ λεπτῇ σφιγγομένην παπύρῳ.

Τυφλοπλαστεῖται. τυφλὸς ἀναπλάττεται. καὶ τυφλοπλεῖται, ὁμοίως.

Τυφλὴ ὁδός. Ὁ δὲ ὁδοῖς ἐπιτυγχάνει τυφλαῖς καὶ ἀνεξόδοις, καὶ ἀβάτοις σκολιωτέραις.

Τυφλὸς [4] τά τ' ὦτα, τόν τε νοῦν, τά τ' ὄμματ' εἶ. Οἰδίπους.

Σὺ δ' ἄθλιός γε, ταῦτ' ὀνειδίζων, ἅ σοι
Οὐδεὶς ὃς οὐχὶ τῶνδ' ὀνειδιεῖ τάχα.

οἷον, οὐδείς ἐστιν, ὃς οὐ ταῦτά σοι ὀνειδίσει, ἅπερ μοι ὠνείδισας. τὸ δὲ τάχα, ἀντὶ τοῦ ταχέως. καί σε μετ' ὀλίγον ἐροῦσι τυφλόν. πρὸς Τειρεσίαν ὁ λόγος.

Τυφλὸν [5] φαίνεσθαι, πάγκαλον πέλει λίαν.

Τυφλότερος [6] ἀσπάλακος. διὰ τὸ μὴ ἔχειν τὸ ζῶον τοῦτο ὀφθαλμούς. Φησὶ δ' αὐτὸ Στησίμβροτος ὑπὸ τῆς Γῆς τυφλωθῆναι, διὰ τὸ φθείρειν τοὺς καρπούς. ἔχει γὰρ ὀδόντας μιαρωτάτους, καὶ ῥύγχος ὥσπερ γαλῆς, καὶ πόδας ὡς ἄρκτου.

quantum magnis turribus ſufficeret, undique foſſam ingentem circum murum egit, terra verſus ſe ipſos aggeſta.

Τύρσος. Excelſum ædificium. Turris.

Τυρταῖος. Tyrtæus, Archimbroti F. Lacon, aut Mileſius, poeta Elegiacus, & tibicen: quem ferunt carminum ſuorum cantu Lacedæmonios ad prælium incitaſſe, & ſic effeciſſe, ut bello contra Meſſenios victoria potirentur. Eſt autem antiquiſſimus, æqualis ſeptem illorum, qui Sapientes vocantur, aut etiam antiquior. Floruit autem Olympiade xxxv. Scripſit Rempub. Lacedæmoniorum: & præcepta vitæ, verſibus elegiacis: itemque carminum bellicorum libros quinque.

Τυρταῖος. Tyrtæus. Lacedæmonii jurarant, ſe vel Meſſenam capturos, vel mortem oppetituros. Cum autem Oraculum eos juſſiſſet ducem ab Athenienſibus petere, Tyrtæum poetam hominem claudum ab iis acceperunt, qui ad virtutem eos cohortando, vigeſimo anno Meſſenam cepit: quam Lacedæmonii ſolo æquarunt, & captivos inter Helotas retulerunt.

Τυτθήν. Exiguam. Parvam. Et τυτθός. Exiguus.

Τυφαωνία. Typhaonia. Regio.

Τυφεδανός. Capularis ſenex. *Heus tu, capularis ſenex, & cunni contrectator, deſiderare & amare videris formoſam ſandapilam.*

Τυφεδῶνος. Uſtionis. Incendii. Vel, Τυφεδὼν eſt nomen proprium. Typhedon.

Τύφεται. Crematur. Uritur. Incenditur.

Τυφήρεα. Fumigantem. Ardentem. [In Epigrammate:] *Lampadem cerea indutam tunica, Saturni ardentem lucernam, junco & tenui conſtrictam papyro.*

Τυφλοπλαστεῖται. Cœcus fingitur. Et τυφλοπλεῖται, cœcus eſt. Luminibus captus eſt.

Τυφλὴ ὁδός. Cœca via. *Ille vero incidit in vias cæcas & impervias, & calles tortuoſos.*

Τυφλός. Cœcus. Oedipus [apud Sophoclem inquit:] *Cæcus es & auribus, & mente, & oculis.* [Cui Tireſias reſpondet:] *Tu vero miſer ea mihi exprobras, quæ nemo non mox tibi exprobraturus eſt.* Τάχα hic poſitum eſt pro ταχέως, mox, cito. [Senſus autem eſt:] Et te paulo poſt cœcum vocabunt.

Τυφλὸν φαίνεσθαι, πάγκ. *Cœcum videri, valde bonum eſt.*

Τυφλότερος ἀσπ. Talpa cœcior. Animal enim hoc nullos habet oculos. Steſimbrotus autem ait, talpam a Tellure excœcatam fuiſſe, quod fruges corrumperet. Habet enim dentes nocentiſſimos, & roſtrum inſtar muſtelæ, & pedes, ut urſa.

1 Ἐνθένδε] Apud Xenophontem, ἔνθεν καὶ ἔνθεν.

2 Ὦ οὗτος, τυφεδανὲ, καὶ χειρ.] Hæc ſunt verba Ariſtophanis in *Veſpis*, pag. 528. (360. Ed. Baſ. P.) ſed ubi pro χειρόθλιψ rectius legitur χοιρόθλιψ. Confer Noſtrum v. Σπφεδανὸς, & v. χοιρόθλιψ.

3 Λαμπάδα κηροχ.] Integrum Epigramma, ex quo diſtichum hoc decerptum eſt, legitur Antholog. lib. vi. cap. x. Vide etiam Scaligerum in Guilandinum, pag. 10.

4 Τυφλὸς τά τ' ὦτ.] Hic, & duo ſequentes Senarii leguntur apud Sophoclem in *Oedip. Tyran.* pag. 167.

5 Τυφλὸν φαιν.] Eſt verſus ad ſomniorum interpretationem pertinens, qui apud Aſtrampſychum rectius ſic legitur:

Τυφλὸν φανέσθαι, πάγκαλον λίαν ἔφυ.

Nicephorus autem ſic habet:

Τυφλὸν φέρεσθαι πάγκαλον τοὔναρ νόει.

6 Τυφλότερος ἀσπάλακος. διὰ τ.] Confer Heſychium.

Τυφλότερος[1] λεβηρίδος. καὶ Κενότερος λεβηρίδος. ἀμφότερα λέγεται. λεβηρὶς, οἷον λεπηρίς. [2] καὶ λεποστάται. καὶ ἐπὶ ἰχθύων, καὶ ἐπὶ τεττίγων, καὶ πάντων τῶν τὸ γῆρας ἀπολειπομένων.

Τυφλῶν[3] ὀνείρων. ἤτοι τῶν ἀπατηλῶν. καὶ ἴσως περιέπεσε τούτῳ·

Δοιαὶ γάρ τε πύλαι ψευστάων εἰσὶν ὀνείρων.

ἢ [4] ὅτι μύουσι καὶ προσδιαλέγονται.

Τυφογέρων. ἐσχατόγηρως. ἢ ὑπερήφανος, τετυφωμένος γέρων.

Τυφομένης. καπνιζομένης. καιομένης. Καὶ καπνῷ τύφει δίκην σφηκῶν. τὸ ῥῆμα, τύφω.

Τύφος. ἀλαζονεία. μανία. Ὁ δὲ τοιοῦτος ἀγνοεῖ καὶ ὡς τετύφωται.

Τυφωεύς. ὄνομα κύριον.

Τυφών. οὐχ ἡ φλὸξ ἐκ τοῦ ἀέρος, ἀλλ' ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὸ τοῦ ἐκπυρωθῆναι· ὡς Πλάτων ἐν Φαίδρῳ.

Τυφών.[5] κεραυνὸς βίαιος, πολὺς, καὶ πνευματώδης. ἢ, πνεῦμα καπνῶδες, ἐρρωγὸς ἀπὸ νέφους. λέγεται καὶ διὰ τοῦ σ, τυφώς.

Ἄρν',[6] ἄρνα μέλαιναν παῖδες ἐξενέγκατε·
Τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.

Τοὺς γὰρ καταιγιδώδεις ἀνέμους τυφὼς καλοῦσι. τούτῳ ἐνόμιζον μέλαιναν ἄρνα σφαγιάζειν, ὅπως λήξῃ τὸ πνεῦμα.

Τυφῶνος. πυρώδους δαίμονος.

Τυφῶνος πολυπλοκώτερον. [7] Τυφὼν, ὁ λεγόμενος κεραυνωθῆναι ὑπὸ Διός. τούτου ποικιλώτερον.

Τυφώς.

Καὶ[8] γενναίως πρὸς τὸν τυφῶ χωρεῖ, καὶ τὴν ἐριώλην.

Τυφὼς[9] Γῆς μὲν ἦν υἱὸς, ἴσχυσεν δὲ τοσοῦτον, ὥστε οὐκ ἀνθρώποις δοκεῖν μόνοις φοβερὸς εἶναι, ἀλλὰ καὶ τοῖς θεοῖς· οἵ τινες, ὡς μῦθος, καὶ εἰς ἀλόγων ζώων μετεβάλλοντο μορφὰς, διὰ τὸν ἐκείνου φόβον. Ἐριώλη δὲ, πνοὴ σφοδρά. ὁ δὲ τυφὼς μεῖζόν τι πνεῦμα καὶ κακοποιόν.

Τυφρηστός. ὄνομα πόλεως.

Τυχαία. ἀντὶ τοῦ κατὰ τύχην. Οὐκ αὐτομάτῳ τινὶ συντυχίᾳ κατά τινα ἄτακτον καὶ τυχαίαν φορὰν οὕτως ἀναφαινόμενα, ἀλλ' ὡς ἡ ἀναγκαία τῆς φύσεως τάξις ἐπιζητεῖ τὸ ἐν τοῖς γινομένοις ἀκόλουθον, οὕτως ἕκαστα γεγενῆσθαι φησὶν ὁ ἅγιος Γρηγόριος ὁ Νύσσης. ἐν τῇ Κοσμογενείᾳ λέγει.

Τυχαῖος. ὁ τῆς Τύχης ναός.

Τύχη. συντυχία, παρὰ Σοφοκλεῖ. Πολύβιος.

Τυφλότερος λεβ. Cœcior leberide. Et, Inanior leberide. Utrumque dicitur. Λεβηρὶς autem, quaſi dicas λεπηρὶς, dicitur de piſcibus, & cicadis, & omnibus [aliis animalibus,] quæ veterem pellem exuunt.

Τυφλῶν ὀνείρων. Cœcorum ſomniorum. Hoc eſt, fallacium. Fortaſſe autem incidit in hunc verſum Homeri: *Binæ enim portæ ſunt fallacium ſomniorum.* Vel quia cum muribus colloquuntur.

Τυφογέρων. Senex decrepitus. Vel, ſenex ſuperbus, & faſtu inflatus.

Τυφομένης. Illius, quæ infumatur. Vel, illius, quæ uritur & crematur. *Et fumo [eos] abigit inſtar veſparum.*

Τύφος. Faſtus. Superbia. Furor. Inſania, [Et τυφοῦσθαι, faſtu inflatum eſſe.] *Hujuſmodi vero homo ignorat, ſe faſtu inflatum eſſe.*

Τυφωεύς. Typhœus. Nomen proprium.

Τυφών. Non eſt aer incenſus, ſed turbo venti ex vaporibus ortus, antequam incendantur: ut Plato in *Phædro.*

Τυφών. Typhon. Fulmen violentum, ingens, & cum magno vento deſcendens. Vel, ſpiritus fumoſus, ex nube erumpens. Dicitur etiam per σ, τυφώς. *Agnam, agnam nigram, pueri, efferte. Turbo enim jamjam erupturus eſt.* Procellas enim & turbines typhonas vocant: quibus agnam nigram immolare [olim] moris erat, ut ventus ceſſaret.

Τυφῶνος. Typhonis. Ignei dæmonis.

1 Φαβρίκιος. οὗτος τῆς ἐπὶ τ.] Hæc ſumpta ſunt ex verſione Græca Eutropii, non ea, quam hodie habemus; ſed alia longe vetuſtiore, quæ hodie intercidit. Vide quæ hac de re notavimus ſupra v. Ἀμύνασθαι.

2 Ἀντικαθεζομένων —— πορείας τὸν ἥλιον] Hæc omnia leguntur etiam ſupra, v. Ἀποστυγήσας.

3 Δηλητηρίοις φαρμ. —— ὑφιστάμενος] Vide ſupra v. Ὑφιστάμενος.

4 Ἰούνιος ὄνομα, εἰς τ.] Vide ſupra v. Ἰούνιος.

5 Καὶ φαγεῖν ζῶν] Legendum eſt, διὰ τὸ φαγεῖν ζῶν.

6 Φαγόνα. φίλ.] Nota hæc obſcura mihi eſt: nec quicquam ex penu meo depromere poſſum, quod ad locum hunc illuſtrandum faciat. Quare videat Lector me eruditior & acutior. Pro ἄπλαστος tamen forte ſcribendum eſt, ἄπληστος, i. e. inſatiabilis; quod referetur ad vocem φάγων, φάγωνος, edax, vorax.

7 Φαδεσίδαρον. παιδὸς ἑοῦ φ.] Peſſime. Scribe, & diſtingue:
—————— Φᾶ δὲ, σίδαρον
Παιδὸς ἑοῦ φύρδην μεστὸν ἔχουσα φόνου.

Φαέθοντα τόκον. ἐπιφανῆ, καὶ καταπληκτικὴν τὴν πρόσοψιν.

Φαέθων. λάμπων. ἥλιος. [1] Σοφοκλῆς·

Ποῦ ποτε κεραυνοὶ Διὸς, ἢ
Ποῦ φαέθων ἅλιος,
Εἰ ταῦτ' ἐφορῶντες
Κρύπτουσιν ἕκηλοι;

Οἷον, οὐκ ἄγουσιν εἰς φῶς τὴν παρανομίαν. καὶ [2] Ὅμηρος·

Εὖτε γὰρ ἠέλιος φαέθων ὑπερέσχετο γαίης.

Δείκνυσι δὲ ὁ Ποιητὴς, σφαιροειδῆ εἶναι τὸν κόσμον.

Φαελουρέα.

Φαεσίμβροτος. [3] ὡς φέρουσα φῶς τοῖς ἀνθρώποις.

Φαεσφόρους. φωτοφόρους. φωτὸς παρεκτικάς. γνώσει φωτιζούσας.

Φαεινόν. λαμπρόν. Καὶ πλέγμασι φαεινοῖς ἐκδεχόμενοι τὰ τρωκτά, κάρυα, καὶ βαλάνους.

Φαείνω. λάμπω.

Φαθί. ὀξυτόνως. [4] Ἐξόπισθεν αὐτὸ φαθὶ τοῦ μόλωμεν. Ἀριστοφάνης Ἱππεῦσι.

Φακαί. [5] τὸ ἕψημα τοῦ φακοῦ. θηλυκῶς, ἡ ἑψηθεῖσα. ἀρσενικῶς δὲ, ἡ ἀνέψητος. καὶ παροιμία·

Ἔπειτα [6] πλουτῶν οὐκ ἔθ' ἥδεται φακῇ.
Πρότου δ' ὑπὸ τῆς πενίας ἅπαντα κατήσθιεν.

Ἐπὶ τῶν πλουσίων γεγονότων ἀπὸ πενήτων. καὶ φακὸς, τὸ ὠμὸν ὄσπριον.

Φακὸς [7] ὕδατος. εἶδος ὑδατοδόχου ἀγγείου ὁδοιδίου, ὃ ἀγροικικῶς παρ' ἡμῖν ἀσκοδαῦλα λέγεται. καὶ ἐπεφέρετο παρὰ τοῦ Σαοὺλ, ὅτε ἐδίωκε τὸν Δαβίδ.

Φακᾶς. [8] Φακᾶς Διοσκουρίδης ὁ ἰατρὸς ἐπεκλήθη, διὰ τοὺς ἐπὶ τῆς ὄψεως φακούς. παροιμία· Φακοῦ γωνίαν κρατεῖς. ἐπὶ τῶν ἀδυνάτων.

Φακὸν κόπτεις. ἐπὶ τῶν ἀνηνύτων καὶ μὴ ὄντων λέγεται.

Φακεὶ, [9] βασιλεὺς Ἰσραήλ· ὃς ἐπολέμησε [10] τῷ Ἀχαβ, καὶ ἀνεῖλεν ἡμέρᾳ μιᾷ ἄνδρας δυνατοὺς αφ'. καὶ ᾐχμαλώτευσε γυναῖκας καὶ παῖδας ατ'.

Φάκελλον. [11] Φορτίον. ἢ εὐάγκαλον. [12] Θουκυδίδης· Φοροῦντες ὕλης φακέλλους, παρέβαλον ἀπὸ τοῦ χώματος. καὶ Ἰώσηπος· Φακέλλους ὕλης ξηρᾶς περιβαλὼν τῷ χωρίῳ, πῦρ ἐνῆκε. Φάκελλον οὖν, φορτίον. [13] Ὁ δὲ Ἀπόλλων κελεύει ἀποδόσθαι τῷ Νικάνορι

Φαέθοντα τόκον. Illuſtrem, & terribilem aſpectu progeniem.

Φαέθων. Lucens. Splendens. Epithetum Solis. Sophocles: *Ubi ſunt fulmina Jovis, aut ubi ſplendens Sol, ſi [Dii] hæc taciti intuentes, occulta eſſe ſinunt?* Vel, ſi impia facinora hominum non producunt in lucem. Et Homerus: *Poſtquam enim Sol lucidus ſupra terram exortus eſt.* Oſtendit nimirum Poeta, mundum eſſe rotundum.

Φαελουρέα. Phaelurea. [Vide infra v. Φελουρέα.]

Φαεσίμβροτος. Lucem mortalibus ferens. [Epithetum auroræ.]

Φαεσφόρους. Lucem præbentes. Lucem afferentes. Cognitione illuminantes.

Φαεινόν. Lucidum. Splendens. Perlucidum. *Et perlucidis vaſis textilibus excipientes nuces, & glandes, aliaque bellaria.*

Φαείνω. Luceo. Splendeo.

Φαθί. Dic. Acuto notatur in ſyllaba poſteriore. *Dic αὐτὸ poſt μόλωμεν.* Ariſtophanes *Equitibus.*

Φακαί. Lentes coctæ. Nam fœminino genere, Φακῆ, vel Φακῆ, dicitur lens cocta. At maſculino genere, Φακὸς, lens cruda. Et proverbium: *Deinde dives factus non amplius delectatur lente. Ante vero, cum pauper eſſet, omnia devorabat.* Dicitur hoc de iis, qui divites e pauperibus evaſerunt. Et Φακὸς, lens cruda.

Φακὸς ὕδατος. Vas, lenticulæ figuram habens, quo in itinere aqua portari ſolet. Apud nos ruſtice aſcodaula dicitur. Hoc Saul ſecum tulit, cum Davidem perſequeretur.

Φακᾶς. Phacas. Dioſcorides Medicus cognominatus eſt Phacas, propter lentigines, quibus facies ejus obſita erat. Et proverbium: *Lentis angulum tenes.* Dicitur de rebus, quæ fieri nequeunt.

Φακὸν κόπτεις. Lentem ſecas. Dicitur de rebus irritis, & quæ nunquam fieri ſolent.

Φακεί. Phacee, Rex Iſraelis, qui bellum geſſit cum Achabo, & uno die ſuſtulit viros bellatores MD. captivoſque abduxit mulieres & pueros MCCC.

Φάκελλον. Faſciculum. Thucydides: *Ferentes faſciculos lignorum eos de aggere jecerunt.* Et Joſephus: *Materiæ aridæ faſciculis circa caſtellum congeſtis ignem injecit.* [Et Ælianus:] *Apollo vero Nicanori faſciculum*

Fragmentum nimirum hoc decerptum eſt ex Epigrammate Antipatri in fœminam Lacænam, quæ filium ſuum Demetrium, qui ex acie fugerat, & abjecto clypeo domum redierat, ſtricto gladio occidit. Epigramma iſtud ex Anthologia inedita integrum publici juris fecimus ſupra v. Ἄρης: quo Lectorem remittimus. Vide etiam infra v. Φύρδην.

1 Σοφοκλῆς] *Electra*, pag. 117. ut Portus monuit.
2 Ὅμηρος] Il. Λ. v. 734.
3 Φαεσίμβροτος] Homerus Il. Ω. v. 785.
4 Ἐξόπισθεν αὐτὸ φ.] Ariſtophanes *Equit.* ſub initium:
Καὶ δὴ λέγω μόλωμεν. Ἐξόπισθέ νυν
Αὐτὸ φαθὶ τὸ μόλωμεν. ———
5 Φακαί] Rectius ſcripſeris, φακαῖ, cum circumflexo in ultima.
6 Ἔπειτα πλουτ.] Duo hi Senarii leguntur apud Ariſtoph. in *Pluto*, pag. 98. (48. Ed. Baſ. *P.*)

7 Φακὸς ὕδατος] LXX. Interpretes 1 Sam. 26. 12. Καὶ ἔλαβε Δαβὶδ τὸ δόρυ, καὶ τὸν φακὸν τοῦ ὕδατος. Et v. 16. Καὶ νῦν ἴδε δὴ τὸ δόρυ τοῦ βασιλέως, καὶ ὁ φακὸς τοῦ ὕδατος. Huc Suidas reſpexit.
8 Φακᾶς Διοσκουρ.] Vide ſupra v. Διοσκουρίδης, ubi eadem leguntur.
9 Φακεὶ, βασιλ. Ἰσρ.] Vide IV. *Reg.* cap. XVI.
10 Τῷ Ἀχαβ] Imo, τῷ Ἄχαζ. Vide locum in nota præcedente citatum.
11 Φορτίον. ἢ εὐάγκαλον] Heſychius rectius, φορτίον εὐάγκαλον. i. e. onus, quod manibus facile capi & comprehendi poteſt. Hoc enim ſenſu τὸ εὐάγκαλον hic capiendum eſt: quamvis fatear, vocem illam apud meliores ſcriptores ea ſignificatione adhiberi non ſolere.
12 Θουκυδίδης] Lib. II. cap. LXXVII.
13 Ὁ δὲ Ἀπόλλων κελ.] Fragmentum hoc eſſe Æliani, diſcimus ex ipſo Suida ſupra, v. Βάλλων.

Φάκελ-

φάκελλον βύβλου υ΄ χρυσῶν, καὶ τέφραν ἐργάσασθαι, καὶ βρέξαντα τῷ τῆς Μαιώτιδος λίμνης ὕδατι, ἐπιπλάσαι τοὺς ὀφθαλμούς.

papyri CD *aureis vendi jubet, cineremque inde paratum aqua paludis Mæotidis humectari, oculiſque illini.*

Φάκελλος. τὸ τῆς κεφαλῆς φόρημα, ὃ καὶ φακιόλιον λέγεται. λέγεται δὲ καὶ ὁ δεσμὸς τῶν καλάμων.

Φάκελλος. Faſcia capitis: quæ & φακιόλιον dicitur. Item, faſciculus calamorum, [& alius cujuſque rei, φάκελλος] dicitur.

Φακιόλιον. [1]Κρέων ἐν τῷ ά τῶν Ῥητορικῶν, κορδύλην φησὶ καλεῖσθαι παρὰ Κυπρίοις τὸ κεφαλῆς περιείλημα· ὃ δὴ παρ᾽ Ἀθηναίοις καλεῖται [2]κρώβυλον· παρὰ δὲ Πέρσαις, κιδάριον.

Φακιόλιον. Faſcia. Creon libro I. *Rhetoricorum* dicit, faſciam capitis apud Cyprios appellari κορδύλην: quæ apud Athenienſes vocatur κρώβυλος; & apud Perſas, κιδάριον.

Φάλα. κόσμος τῆς περικεφαλαίας.

Φάλα. Galeæ ornamentum. Conus galeæ.

Φαλαγγαρχία. αἱ δύο Μεραρχίαι, ἀνδρῶν τετρακισχιλίων ἐννενήκοντα ἕξ. τοῦτο ἔνιοι καὶ ἀποτομὴν κέρατός φασιν. οἱ δὲ, μέρος. πάλαι δὲ καὶ στρατηγία ἐκαλεῖτο. καὶ ὁ ἡγούμενος, στρατηγός. νῦν δὲ, φαλαγγάρχης.

Φαλαγγαρχία. Phalangarchia. Id eſt, duæ Merarchiæ, quæ ſunt quater mille & nonaginta ſex virorum. Hoc nonnulli vocant & cornu ſegmentum: alii, partem. Olim autem & ſtrategia appellabatur. Dux eorum [olim dicebatur] Strategus: nunc vero, Phalangarches.

Φάλαγγες. στίχες. τάξεις. οἱ δὲ, τὸ ἐκ πλειόνων τάξεων ὁπλιτικὸν πλῆθος. λέγεται καὶ [3]τὰ τῶν δακτύλων ἄρθρα· καὶ νεὼς ὑπερείσματα. ἔνιοι καὶ τὸ στρογγύλον ξύλον, καὶ σύμμετρον, φαλάγγιον. λέγεται καὶ τοῦ ζυγοῦ ὁ κανὼν, φάλαγξ. καὶ ἐπὶ τῆς νεὼς ἡ ἀποβάθρα. καὶ ὁ ἀράχνης δὲ, ὃν ἔνιοι καλοῦσι φαλάγγιον. καὶ οἱ κόρακες δὲ παρὰ Ἀττικοῖς, φαλάγγια.

Φάλαγγες. Phalanges. Ordines militares. Quidam ſic vocant multitudinem armatorum, ex pluribus ordinibus conſtantem. Sic etiam digitorum articuli vocantur: itemque, ligna, quæ navibus fulcri loco ſupponuntur. Nonnulli quoque lignum teres, quo ſuppoſito naves in mare deducuntur, φαλάγγιον vocant. Regula item libræ, φάλαγξ dicitur: nec non, ſcala nautica. Araneus quoque, quem nonnulli φαλάγγιον vocant. Item, corvi apud Atticos phalangia dicuntur.

Φάλαγγες. αἱ τάξεις. παρὰ τὸ πελάσαι ἄγχι. Φάλαγγες δὲ, αἱ τῶν νηῶν, παρὰ τὸ σπᾷν εἰς ἅλα.

Φάλαγγες. Phalanges. Ordines militares. Dictæ autem φάλαγγες, a πελάσαι ἄγχι, i. e. prope accedere. Phalanges vero navium, [dictæ ſunt quaſi σπάλαγγες,] a σπᾷν εἰς ἅλα: quod ſcilicet naves in mare trahant.

Φάλαγξ. θηλυκῶς, ὁ ἀράχνης. [4]Πλάτων Ἑλλάδι· Ἐοίκασιν ἡμῖν οἱ νόμοι τούτοις τοῖς λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοισιν ἡ φάλαγξ ὑφαίνει.

Φάλαγξ. Phalanx. Genere fœminino, aranea. Plato in *Hellade: Similes ſunt leges noſtræ tenuibus iſtis telis, quas in parietibus aranea ſuſpendit.*

Φάλαγξ. ἀράχνιόν τι. λέγουσι δὲ φάλαγγας καὶ τὰ [5]ἄκρα τῶν δακτύλων· ὥσπερ λέγει Ἀριστοφάνης ἐν Βατράχοις·

Εἱλίσσετε [6]δακτύλων φάλαγγες
Ἱστότονα πηνίσματα.

Καὶ στρατιωτικὴ τάξις, ἐκ [7]μ΄ ἀνδρῶν. [8]Λεύκιος δὲ ὁ Ὕπατος, οὐχ ἑωρακὼς φάλαγγα τοπαράπαν, ἀλλὰ τότε πρῶτον ἐπὶ τοῦ Περσέως, πολλάκις ἀνθωμολογεῖτο πρός τινας τῶν ἐν τῇ Ῥώμῃ, μηδὲν ἑωρακέναι φοβερώτερον Μακεδόνων φάλαγγος· καίτοι γε πολλοὺς οὐ μόνον τεθεαμένος, ἀλλὰ καὶ κεχειρισμένος ἀγῶνας, εἰ καί τις ἄλλος.

Φάλαγξ. Phalanx. Araneæ ſpecies. Dicunt & phalangas, ſummas digitorum partes. Ariſtophanes *Ranis*: *Deducitis digitis araneæ ſtamina.* Item, phalanx vocatur ordo militaris, ex XL. viris conſtans. *Lucius autem Conſul, cum phalangem nunquam ante vidiſſet, ſed tunc primum in exercitu Perſei; apud quoſdam Romanos ſæpe confeſſus eſt, ſe nihil vidiſſe phalange Macedonica terribilius: quamvis non ſolum multa prælia, ſi quiſquam alius, vidiſſet, ſed etiam commiſiſſet.*

Φαλαγγηδόν. δίκην τάξεως.

Φαλαγγηδόν. Phalangis inſtar.

Φαλάγγια. ζῶόν τι τῶν δακέτων ἐστὶ τὸ φαλάγγιον.

Φαλάγγια. Phalangia. Phalangium eſt animalculum quoddam venenoſum.

1 Κρέων ἐν τῷ ά τῶν Ῥητορ.] Hæc leguntur etiam ſupra v. Κιδάριον.

2 Κρώβυλον] Rectius, κρώβυλος, genere maſculino. Cæterum, vocem κρώβυλος aliud communiter ſignificare, ac Suidas ex Creonte hic docet, vel Lexica vulgata doceant.

3 Τὰ τῶν δακτύλων ἄρθρα] Paulo poſt Suidas φάλαγγας ſignificare ait, τὰ τῶν δακτύλων ἄκρα. Confer Lexica vulgata.

4 Πλάτων Ἑλλάδι· Ἐοίκασιν ἡμ.] Euſtathius ad Il. N. pag. 924. 8. Αἴλιος δὲ Διονύσιος παράγει τοιαύτην (χρῆσιν τῆς φάλαγξ ὀνόματος) ἐκ τῆς Κωμικοῦ Πλάτωνος· Ἐοίκασιν ἡμῖν οἱ νόμοι τοῖσι λεπτοῖς ἀραχνίοις, ἃ τοῖσι τοίχοις ἡ φάλαγξ ὑφαίνει. De fragmenti autem hujus metro, quod prorſus turbatum eſt, reſtituendo deſpero.

5 Τὰ ἄκρα τῶν δακτύλων] Sic etiam legitur apud Scholiaſtam Ariſtoph. ad *Ranas*, pag. 274. (181. Ed. Baſ. *P.*) qui eadem habet. Paulo tamen ante Suidas τὸ φάλαγγας exponit, τὰ τῶν δακτύλων ἄρθρα.

6 Εἱλίσσετε δακτύλων φαλ.] Ariſtophanes loco laudato:

———————— Αἵ θ᾽ ὑπωρόφιοι
Εἰειειειειλίσσετε δακτύλοις φάλαγγες
Ἱστότονα πηνίσματα.

Hinc Suidas emendandus eſt.

7 Ἐκ μ΄ ἀνδρῶν] Peſſime a librariis hic erratum eſt. Phalanx enim veterum multo plures continebat milites, ut vel pueris notum eſt. Vide omnino Ælianum in *Tacticis*, cap. IX.

8 Λεύκιος δὲ ὁ Ὕπατος οὐχ ἑωρ.] Fragmentum hoc Fulv. Urſinus & Caſaubonus Polybio tribuunt. Vide etiam ſupra v. Ἀνθωμολογησάμεθα.

Φαλαγ

Φαλαγγίτης.

Φαλακρός. καὶ Φαλακρότερος εὐδίας.

Φαλακρὸν τίλλεις. ἐπὶ τῶν μάτην πονούντων.

Φαλακρώματα.

Φάλανθοι. Φαλακροί. ἄνθος γὰρ, ἡ λευκὴ θρίξ.

Φάλαρα. τὰς περιμετωπίδας. τοὺς ἀσπιδίσκους. τὴν κόσμησιν τὴν κατὰ τὸ μέτωπον τῶν ἵππων. παρὰ δὲ Ἡροδότῳ, τὰ περὶ τὰς γνάθους σκεπάσματα.

Φάλαρις, Ἀκραγαντῖνος, τυραννήσας Σικελίας ὅλης κατὰ [1] τὴν νβ'. ὀλυμπιάδα. [2] ἔγραψεν ἐπιστολὰς θαυμασίας πάνυ. Αἰλιανός φησι περὶ τούτου. [3] Ὅτι Λοξίας δὲ καὶ Ζεὺς ὁ πατὴρ ἀναβολὴν θανάτου ἐψηφίσαντο ἔτη δύο Φαλάριδι, ἀνθ' ὧν ἡμέρως Χαρίτωνι καὶ Μελανίππῳ προσηνέχθη.

Φαλλαίκιον. [4] ποίημα αὐτοσχέδιον, ἐπὶ τοῦ Φαλλοῦ ᾀδόμενον. καὶ Φάλλαικος.

Φάλεκ. κατὰ τὴν προφητικὴν φωνὴν, τὸ ἥμισυ λέγει τοῦ χρόνου τῆς Χριστοῦ παρουσίας. ἀπὸ γὰρ Ἀδὰμ μέχρι τοῦ κατακλυσμοῦ ἐπὶ Νῶε, ἔτη ͵βσμβ'. ἀπὸ δὲ τοῦ κατακλυσμοῦ, ἕως τοῦ Φάλεκ, ἔτη ψνή. ὡς γίνεσθαι ἔτη τρισχίλια. ἀπὸ γὰρ κτίσεως κόσμου μέχρι τῆς ἀναλήψεως τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἔτη ἑξακισχίλια.

Φαληρεύς. πολίτης ἐκ Φαλήρων. Φάληρον δὲ, λιμὴν τῆς Ἀττικῆς.

Φαληριόωσα. [5] εἰς ὕψος ἐπαιρομένη.

Φαληρίς. ὄρνις λιμναία. ἐσχημάτισται δὲ παρὰ τὸ φάλον. καὶ Φαληρῖται, ἔθνος.

Φάληροι. δῆμος τῆς Ἀντιοχίδος. ἀφ' οὗ ὁ δημότης, Φαληρεύς.

Φαλῆς. [6] ὡς Ἑρμῆς. Φαλῆς, Φαλῆτος. ὥσπερ Ὅμηρος ἥρμοσε κατάπληξιν τῇ φυγῇ, καὶ ἑταίραν αὐτῆς ἔφησεν εἶναι, Θεσπεσίη ἔχε φύζα, εἰπὼν, φόβου κρυόεντος ἑταίρη· οὕτω καὶ ὁ Κωμικὸς ἐκεῖθεν λαβὼν τὰς ἀφορμὰς, Διονύσου Φαλῆν ἑταῖρον εἶναί φησι. ἀκόλουθα γὰρ Διονυσιακοῦ πότου τὰ ἀφροδίσια. [7] Φαλλίονες δὲ εἰς τιμὴν τοῦ Διονύσου οὕτω καλούμενοι, ἀπὸ τῶν Φαλλῶν τοῦ Διονύσου. Πολλίωνας δὲ ὕστερον αὐτοὺς παραφθείραντες τὸ ὄνομα ὀνομάζουσι.

Φαλλικά. τὰ ἐπὶ τοῦ Φαλλοῦ ᾀδόμενα μέλη.

Φαλίσκοι. ἐν τῷ Ἁρμοσταί.

Φαλκίδιος. [8] νόμος ἐστὶ παρὰ Καίσαρος τεθεὶς Γαΐου Ὀκταβίου, πλείστην καὶ νῦν ἰσχὺν ἔχων εἰς τὰς τῶν κλήρων διαδοχὰς, παρὰ Φαλκιδίου τοῦ δημάρχου εὑρημένος.

Φαλαγγίτης. Phalangites. Legionarius.

Φαλακρός. Calvus. Et, Calvior cœlo ſereno.

Φαλακρὸν τίλλεις. Calvum vellis. Dicitur de iis, qui fruſtra laborant.

Φαλακρώματα. Calvities. Calvitium.

Φάλανθοι. Calvi. Ἄνθος enim, albus capillus.

Φάλαρα. Phaleræ. Frontalia equorum. Scutula. Ornamenta, quibus equorum frontes ornantur. Apud Herodotum vero ſic vocantur tegumenta genarum.

Φάλαρις. Phalaris, Agrigentinus, qui totius Siciliæ tyrannus fuit Olympiade LII. Scripſit epiſtolas prorſus admirabiles. Ælianus de eo dicit: *Apollinem & Jovem patrem Phalaridi vitam per biennium prorogaſſe, quod Charitonem & Melanippum clementer tractaſſet.*

Φαλλαίκιον. Phallæcium. Poema extemporaneum, quod in Phallum canitur.

Φάλεκ. Phalec. Secundum propheticam vocem ſignificat dimidium temporis uſque ad adventum Chriſti. Nam ab Adamo uſque ad diluvium Noe, ſunt anni 2242. A diluvio uſque ad Phalec, anni 758. Ex quibus colligitur ſumma annorum ter mille. Nam a condito mundo uſque ad aſſumptionem Domini noſtri JESU CHRISTI, ſunt anni ſexies mille.

Φαληρεύς. Phalereus. Civis Phalerorum, ſive Phaleri. Phalerum vero, portus eſt Atticæ.

Φαληριόωσα. [Albicans. Spumoſa.] In altum elata.

Φαληρίς. Phaleris. Avis paluſtris. Dicta eſt autem a nomine φάλον, quod ſignificat galeæ conum. Et Phaleritæ, nomen gentis.

Φάληροι. Phaleri. Populus tribus Antiochidis: cujus popularis dicitur Phalereus.

Φαλῆς. Phales, Phaletis. [Dicitur in nominativo] ut Ἑρμῆς. Quemadmodum Homerus metum cum fuga conjunxit, ejuſque ſocium eſſe dixit, quum ait: [*Græcos vero*] *divinitus immiſſa tenebat fuga, timoris frigidi ſocia:* ſic etiam Comicus occaſione inde ſumpta Phalem Bacchi ſocium eſſe dixit. Potum enim Bacchicum venus ſequi ſolet. Phalliones vero in honorem Bacchi ſic vocabantur, a Phallis Bacchi. Poſtea autem voce corrupta eos Pollionas vocabant.

Φαλλικά. Carmina phallica. Sive, carmina, quæ in phallum canebantur.

Φαλίσκοι. Phaliſci. In voce Ἁρμοσταί.

Φαλκίδιος νόμος. Falcidia lex. Ea a Cæſare Cajo Octavio lata eſt, maximam etiam nunc auctoritatem habens in hæreditatum ſucceſſionibus: a Falcidio Tribuno plebis inventa.

1 Κατὰ τὴν νβ'. ὀλυμπ.] De Phalaridis ætate fuſe & docte diſputat vir magni nominis, mihique amiciſſimus Rich. Bentlejus, in Diſſertat. de Phalaridis Epiſt. pag. 27. & ſeqq. ad quem Lector remittendus eſt.

2 Ἔγραψεν ἐπιστολὰς θαυμασίας πάνυ] Hæ Epiſtolæ hodie adhuc exſtant. Sed eas eſſe ſpurias, & Phalaridis nomen mentiri, tam claris argumentis probavit modo laudatus Richardus Bentlejus in eruditiſſima Diſſertatione de Phalaridis Epiſtolis, ut æquum & cordatum Lectorem ſententiæ ejus facile ſubſcripturum eſſe putem.

3 Ὅτι Λοξίας δὲ καὶ Ζεὺς ὁ π.] Fragmentum hoc Æliani legitur etiam ſupra v. Ἀναβολή.

4 Φαλλαίκιον] Alias, φαλλικόν. Vide paulo poſt v. Φαλλικά.

5 Φαληριόωσα] Homerus Il. N. v. 799. κύματα φαληριόωντα dixit.

6 Φαλῆς. ὡς Ἑρμῆς.———τὰ ἀφροδίσια] Hæc totidem verbis leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Acharnenſ.* pag. 384.

7 Φαλλίονες] Scribendum eſt, φαλλίωνες, per ω in ſyllaba penultima.

8 Φαλκίδιος. νόμος ἐστὶ π.] Vide Lexica Juridica, quæ hac de re accuratius & fuſius agunt.

Φάλκων, Φάλκων⊙. ὄνομα. καὶ εἶδος ἱέρακος.

Φαλκωνίλλα. ὄνομα κύριον.

Φάλον. τὸ περιμετωπίδιον.

Φάλος. [1]Βῶλος. ἢ λόφος. ἢ ὑπερέχουσα πέτρα ἐν θαλάσσῃ.

Φαλλοφόροι, [2]Ἰθύφαλλοι, Αὐτοκάβδαλοι. ἰδέαι μουσικῶν. καὶ οἱ μὲν κιττοῦ στέφανον ἐφόρουν. οἱ δὲ Ἰθύφαλλοι προσωπεῖα μεθυόντων εἶχον, καὶ χειρίδας ἀνθινάς, καὶ χιτῶνα μέχρι τῶν σφυρῶν. οἱ δὲ Φαλλοφόροι ἐκ βύβλου δερματίῳ ἔσκεπον τὰς ὄψεις, κιττῷ καὶ ἴοις στεφανούμενοι.

Φαλλοί. μόρια δερμάτινα. ἢ ξύλον ἐπίμηκες, ἔχον ἐν τῷ ἄκρῳ σκύτινον αἰδοῖον.

Φαλλοί. [Φαλλὸς,] αἰδοῖον σύκινον. [3]ὕστερον δὲ ἐκ δερμάτων ἐρυθρῶν, σχῆμα αἰδοίου ἔχων ἀνδρῴου. καὶ τοῦτο ἑαυτοῖς περιτέμενοι ἔν τε τοῖς τραχήλοις, καὶ μέσοις τοῖς μηροῖς, ἐξωρχοῦντο, τιμὴν τῷ Διονύσῳ ἐν τοῖς Διονυσίοις ἄγοντες.

Φαλλοί.[4] τὰ ἐπὶ τῶν περικεφαλαιῶν λαμπρὰ ἀσπιδίσκια. Λόφοι δὲ, αἱ τριχώσεις.

Φαμέας.[5] ὄνομα κύριον. Τὰς [6]προφυλακὰς δὲ βλέπων ὁ Φαμέας, ὢν οὐκ ἄψυχος, ἐξέκλινε τὰς πρὸς τὸν Σκιπίωνα συμπλοκάς.

Φαμέν. λέγομεν.

Φάμωσα. [7]Ἀπέσκωπτον δὲ εἰς Ἰοβιανὸν ᾠδαῖς καὶ παρῳδίαις καὶ τοῖς λεγομένοις Φαμώσοις.

Φανάς. τὰς ἐκλάμψεις. ἢ λαμπράς.

Φάναι ἐν αὑτῷ. ὑπολαμβάνειν. τὸ δὲ λέγειν, ἑτέρῳ δηλοῦν.

Φάναι. εἰπεῖν. Φᾶναι δὲ, ἀντὶ τοῦ λάμψαι.

Φανερῶ. αἰτιατικῇ. καὶ Φανερῶς. ἐναργῶς. ἑτοίμως. [8]Ἀριστοφάνης Νεφέλαις· Φανερῶς ἠκούσατέ μου.

Φανή. λαμπρά. καθαρά. [9]Ἀριστοφάνης·

Ἵνα μὴ γ' ἐγχέσαιμ' εἰς τὴν σισύραν· Φανὴ γὰρ ἦν.

Φάνης.[10] ἐν τοῖς Ὀρφικοῖς εἰσηνέχθη ὁ Φάνης, αἰδοῖον ἔχων περὶ τὴν πυγήν. ὃν ἔλεγον ἔφορον τῆς ζωογόνου δυνάμεως. [11]καὶ ὁ Ἠρικαπαῖος ἑτέρου, καταπίνοντα πάντας τοὺς Θεοὺς, ὡς τὸν Κρόνον.

Φάλκων. Falco. Nomen [proprium.] Item, accipitris genus.

Φαλκωνίλλα. Falconilla. Nomen proprium.

Φάλον. Frontale. Sive, ornamentum frontis.

Φάλος. Gleba. Vel, criſta. Vel, ſcopulus in mari eminens.

Φαλλοφόροι, Ἰθύφ. Phallophori, Ithyphalli, & Autocabdali. Genera Muſicorum. Et Autocabdali quidem coronam hederaceam geſtabant. Ithyphalli autem larvas ebriorum habebant, & manicas variis coloribus diſtinctas, tunicamque talarem. Phallophori vero cortice bybli faciem velabant, hedera violiſque coronati.

Φαλλοί. Phalli. Penes coriacei. Vel, lignum oblongum, habens in ſummo penem coriaceum.

Φαλλοί. Phalli. [Phallus erat] penis ficulneus. Poſtea vero phallus ex pellibus rubris conficiebatur, penis figuram habens: quem collis & mediis femoribus circumligantes, in Bacchanalibus in honorem Bacchi ſaltabant.

Φαλλοί. Splendentes clavi in galeis. [Vel, coni galearum.] Λόφοι vero, ſunt criſtæ galearum.

Φαμέας. Fameas. *Fameas vero excubias cernens, quamvis non eſſet homo timidus, prælium tamen cum Scipione declinavit.*

Φαμέν. Dicimus.

Φάμωσα. Libelli famoſi. *Jovianum autem inſectabantur carminibus, & parodiis, & libellis, qui famoſi dicuntur.*

Φανάς. Coruſcationes. Splendores. Vel, ſplendidas.

Φάναι ἐν αὑτῷ. Dicere intra ſe ipſum. Id eſt, Exiſtimare. Putare. Cogitare. At λέγειν, alteri dicere.

Φάναι. Dicere. At Φᾶναι, [cum circumflexo in penultima,] lucere, ſplendere.

Φανερῶ. Accuſativo jungitur. Manifeſto. Declaro. Et Φανερῶς, manifeſte, evidenter. Ariſtophanes *Nubibus:* [*O valde venerandæ Nubes,*] *manifeſte audiviſtis me.*

Φανή. Lucida. Splendida. Pura. Ariſtophanes: *Ne cacarem in ſiſyram. Nitebat enim.*

Φάνης. Phanes. Hic in Orphicis introducitur, penem habens juxta nates: quem dicebant præſidem eſſe generatricis facultatis. Et Ericapæus alterius facultatis præſes eſſe dicebatur. Saturnum vero omnes Deos devoraſſe ajunt.

1 Βῶλος] Heſychius, βόλος, per ο in ſyllaba prima.

2 Φαλλοφόροι, Ἰθύφαλλ.] Hæc ſumpta ſunt ex Athenæi *Dipnoſoph.* lib. XIV. cap. IV. pag. 622. ut monuimus etiam ſupra v. Σιμός, ubi eadem leguntur.

3 Ὕστερον δὲ ἐκ δερμ.] Hæc totidem pene verbis leguntur etiam apud Nonnum in Gregor. Nazianz. pag. 139.

4 Φαλλοί] Lege, Φαλοί, per unum λ.

5 Φαμέας] An, Φαβίας, ut ſupra? Τὸ β enim & μ ſæpe a librariis confundi ſolent.

6 Τὰς προφυλακὰς δὲ βλ.] Fragmentum hoc legitur etiam ſupra v. Ἄψυχος.

7 Ἀπέσκωπτον δὲ εἰς Ἰοβ.] Hæc ſunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valeſio editis, pag. 845. ubi locum integrum habes. Vide etiam ſupra v. Ἰοβιανός.

8 Ἀριστοφάνης Νεφέλαις] Pag. 76. Ed. Baſ. ubi ſic legitur:

Ὦ μέγα σεμναὶ Νεφέλαι, φανερῶς ἠκούσατέ μου καλέσαντος.

9 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 734. (493. Ed. Baſ. P.) ubi rectius ſic legitur:

Ἵνα μὴ 'γχέσαιμ' εἰς τὴν σισύρ.

10 Φάνης. ἐν τοῖς Ὀρφικοῖς εἰσην.] Hæc leguntur etiam apud Nonnum in Gregor. Nazianz. *Stelit.* pag. 154, 155. unde ea Compilator noſter ſumpſit. Pertinet enim hæc nota ad verba illa Gregorii Nazianz. Orat. III. adverſus Julianum, pag. 104. Ἐπὶ πᾶσι ὁ Φάνης τε, καὶ ὁ Ἠρικαπαῖος, καὶ ὁ πάντας καταπίνων τοὺς ἄλλους, &c. Cæterum, de Phanete & Ericapæo plura legere licet apud viros doctiſſimos, Theodor. Canter. *Var. Lect.* lib. I. cap. XXVI. Iſmaelem Bulliald. ad Theonem Smyrnæum, pag. 286. & Rich. Bentlejum in accuratiſſima Diſſertatione ad Joann. Antioch. Malel. p. 3.

11 Καὶ ὁ Ἠρικαπαῖος ἑτ.] Locus hic eſt prorſus mutilus & corruptus, qui apud Nonnum loco laudato rectius ſic legitur: Ὁμοίως δὲ καὶ τὸν Ἠρικαπαῖον λέγουσιν ἑτέρας ἔφορον εἶναι δυνάμεως. τὸ δὲ, Ὁ πάντας καταπίνων Θεοὺς, οὐ λέγει περὶ τοῦ Ἠρικαπαίου, ἀλλὰ περὶ τοῦ Κρόνου. Hinc Suidas ſupplendus & emendandus eſt.

Φανίας, ἢ Φαινίας, Ἐρέσιος, φιλόσοφος Περιπατητικὸς, Ἀριστοτέλους μαθητής. ἦν δὲ ἐπὶ τῆς ρια΄ ὀλυμπιάδος, καὶ μετέπειτα, ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος. καὶ Φανίας, ὄνομα κύριον, ἕτερος, τῶν ἐστρατηγηκότων τις οὕτως ἐκαλεῖτο.

Φάνιον.[1] τόπος, εἰς ὃν τὰ καθάρματα ἐξέβαλλον.

Φανόδημος. ὄνομα κύριον.

Φανός. Φαεινός. κατὰ συγκοπήν. καταγγέλλων, καὶ φανερῶν τὰ πράγματα, καὶ μηνύων. ἢ ἀπὸ τοῦ φαίνειν, ὅ ἐστι συκοφαντεῖν.

Ὅπως[2] ἔσομαί σοι Φανὸς ὑπογραφεὺς δικῶν.

Φανὸν δὲ, πᾶν τὸ φαῖνον ἐκάλουν. [3] Ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπάδας κατεσκεύαζον. διὸ λέγεται, φανὸς ἀμπέλου.

Φανοστράτη. θηλυκόν. [4] Ἀπολλόδωρος ἐν τῷ περὶ τῶν Ἀθήνησιν ἑταιρῶν, ταύτην φησὶν ἐπονομάζεσθαι Φθειροπύλην· ἐπειδὴ ἐπὶ τῆς πύλης ἑστῶσα ἐφθειρίζετο.

Φανότερον. λαμπρότερον.

Φανοτεῦσιν. [5] Ὡμολόγησε τὴν ἄκραν αὐτοῖς παραδώσειν τὴν ἐν τοῖς Φανοτεῦσι.

Φανῶν. κατηγορήσων. [6] Ἀριστοφάνης·

Μικρός γε μῆκος οὗτος, ἀλλ᾽ ἅπαν κακόν.

τὸν Νίκαρχόν φησι.

Φαντάζομαι. συκοφαντοῦμαι. Ἀριστοφάνης. οἱ παλαιοὶ τὸ φαντάζεσθαι ἐπὶ τοῦ φαίνειν ἔλεγον.

Φαντασία. ὑπόληψις. [7] Εἰδὼς γὰρ, ὅτι φαντασία περὶ αὐτόν ἐστιν, ὡς ἔχοντα χρήματα μεθ᾽ ἑαυτοῦ, πλείω ἡρμόσατο πρὸς τὴν ὑπόθεσιν ἐνδεχομένως. Καὶ αὖθις· Οἱ δὲ Ῥωμαῖοι μετὰ μεγάλης φαντασίας καὶ συμπαθείας τοῦ δήμου προῆγον ἐπὶ τὰς πράξεις.

Φαντασία.[8] γνωστικὴ, καὶ ὀρεκτικὴ, καὶ ζωτικὴ δύναμις τῆς ψυχῆς. Φαντασία, καὶ ἡ αἴσθησις. διαφέρουσι δὲ ἀλλήλων· ὅτι ἡ μὲν αἴσθησις πρὸς τὸ ἐκτὸς ἀποτείνεται· ἡ δὲ φαντασία ἔνδον ἔχει τὴν γνῶσιν. καὶ ἡ μὲν αἴσθησις τὸ παρὸν μόνον, καὶ ὃ ἀντιλαμβάνεται ἔξωθεν, τοῦτο οἶδεν. ἡ δὲ φαντασία διὰ τῆς αἰσθήσεως λαμβάνουσα τῶν αἰσθητῶν τοὺς τύπους, ἐν ἑαυτῇ τούτους ἀναπλάττει. ὅθεν καὶ παθητικὸν νοῦν ὁ Ἀριστοτέλης αὐτὴν καλεῖ. νοῦν μὲν, ὡς ἔνδον ἔχουσαν τὸ γνωστὸν, καὶ ἁπλῇ προσβολῇ, ὥσπερ ἐκεῖνος, ἐπιβάλλουσαν. παθητικὸν δὲ, διότι μετὰ τύπων, καὶ οὐκ ἀσχηματίστως γινώσκει. ἐκλήθη δὲ φαντασία, οἱονεὶ ſine figuris res cognoſcat. Dicta eſt autem

Φανίας. Phanias, aut Phænias, Ereſius, Phi loſophus Peripateticus, Ariſtotelis diſcipu lus. Vixit Olympiade CXI. & poſtea, ſu Alexandro Macedone. Fuit & alter Phaſia qui imperator exercitus fuit.

Φάνιον. Phanium. Locus, in quem ſordes & purgamenta conjiciebantur.

Φανόδημος. Phanodemus. Nomen propriun

Φανός. Per ſyncopen, pro Φαεινός. [Lucidu Splendidus. Item,] qui aliquid denuntia & manifeſtat, & indicat. [A Φαίνειν, in lu cem edere, oſtendere.] Vel, a Φαίνειν, defe re, accuſare. [Item, nomen proprium viri. *Ut ſim tibi Phanus, ſcriba litium.* Φανὸν autei vocant omne, quod lucet. Ex viteis ver ſarmentis lampades conficiebant. Quare Co micus dicit, *Lampas vitea.*

Φανοστράτη. Phanoſtrate. Nomen fœmin Apollodorus in libro de meretricibus Ath nienſibus ait, hanc vocatam fuiſſe Phtheiro pylen, quod ad portam ſtans pediculos ca peret.

Φανότερον. Lucidius. Splendidius.

Φανοτεῦσιν. Phanotenſibus. *Promiſit ſe a cem Phanotenſium illis traditurum eſſe.*

Φανῶν. Accuſaturus. Delaturus. Ariſtopha nes: [*Venit nos accuſaturus,*] *ſtatura quide parvus, ſed totus ex malo conflatus.* De N carcho hæc Comicus dicit.

Φαντάζομαι. Accuſor. A calumniatoribus a magiſtratum deferor. Ariſtophanes. Veter enim Φαντάζεσθαι ponebant pro Φαίνεσθαι.

Φαντασία. Opinio. *Cum ſciret opinionem eſ de ſe, quaſi pecuniam ſecum haberet, ea, qu e re fore videbantur, paravit, prout tempu & occaſio ſinebant.* [Item, Φαντασία, pomp ſplendidus apparatus, vel comitatus.] *R mani vero cum magno comitatu magnaque con miſeratione populi ad res gerendas prodibant.*

Φαντασία. Phantaſia. Facultatum anim aliæ cognitionis cauſa ſunt; aliæ, appetit onis; aliæ, vitæ. Et cognitionis quidem cau ſæ ſunt, Phantaſia, & Senſus. Differunt ta men inter ſe. Nam Senſus ad externa ten dit: Phantaſia vero intra ſe res cognoſcit Et Senſus præſentia tantum, & ea, quæ ex trinſecus percipit, novit: Phantaſia vero ac ceptas a Senſu rerum ſenſibilium formas in tra ſe refingit. Quare etiam *mentem paſſiva* Ariſtoteles eam vocat. *Mentem* quidem, quo ea, quæ cognoſcit, intra ſe habeat, & ſim plici apprehenſione res apprehendat, ut illa *Paſſivam* vero, quod per formas, & no Φαντασία, quaſi Φανςασία. Phantaſia enim eſ

1 Φάνιον. τόπος, εἰς ὃν τ.] Eadem legas apud Etymologum.

2 Ὅπως ἔσομαί σ.] Eſt verſus Ariſtophanis *Equit.* pag. 357. (253. Ed. Baſ. *P.*)

3 Ἐκ δὲ τῶν ἀμπελίνων τὰς λαμπ.] Hæc nota pertinet ad locum illum Ariſtoph. in *Lyſiſtrata*, pag. 855. (548. Ed. Baſ. *P.*)

Τῆς ἀμπέλου δ᾽ ἐς τὴν χύτραν τὸν φανὸν ἐγκαθεῖσα.

4 Ἀπολλόδωρος ἐν τῷ περὶ τ.] Eadem de Phanoſtrate refert Athenæus lib. XIII. cap. VI. pag. 586. a quo Suidas hæc mutuatus eſt. Vide etiam Harpocrationem, & Etymologum, qui eadem ex Athenæo in Collectanea ſua transtulerunt.

5 Ὡμολόγησε τὴν ἄκρ.] Hæc ſunt verba Polybii l. V. c. XCVI. eademque leguntur ſupra v. Πρᾶξις: ut Pearſonius etiam obſervaverat.

6 Ἀριστοφάνης] *Acharnenſ.* pag. 414. (297. Ed. Baſ. *P.*)

Καὶ μὴν ὁδὶ Νίκαρχος ἔρχεται φανῶν.

Μικρός γε μῆκος οὗτος. Ἀλλ᾽ ἅπαν κακόν.

7 Εἰδὼς γὰρ, ὅτι φαντ.] Fulv. Urſinus fragmentum hoc Polybi tribuit.

8 Φαντασία, γνωστικὴ, & ὀρ.] Articulus hic ſumptus eſt ex Phil pono in lib. I. Ariſtotelis de An. A. 2. a. ut Pearſonius obſerva rat. Cæterum, initium hujus loci corruptum eſt & mutilum, quo apud Philoponum rectius ſic legitur: Τῶν ἀλόγων τῆς ψυχῆς δυνάμεων, αἱ μέν εἰσι γνωστικαί. αἱ δὲ ζωτικαὶ καὶ ὀρεκτικαί. καὶ γνωστικαὶ ἡ φαντασία καὶ αἴσθησις.

Φανςα

φαντασία τις ἐστι. φαντασία γάρ ἐστιν, ἡ τῶν φανέντων στάσις. ἵστησι γὰρ ἐν αὐτῇ τὰ ἔξω φανθέντα. ἑκάτερα δὲ αὐτῶν περὶ μερικὰ ἀποτείνεται. ¹ τὸ γὰρ λευκὸν οἶδεν· οὐ μὴν πᾶν λευκόν. ² διαφέρει δὲ, ὅτι ἡ μὲν τὸ ἔξω· ἡ δὲ, τὸ ἐντὸς οἶδε. καὶ ἡ μὲν φαντασία τῶν πέντε αἰσθήσεων δέχεται τοὺς τύπους. ἑκάστη δὲ τῶν αἰσθήσεων μόνον τὸ ἴδιον αἰσθητὸν γινώσκει.

Φαντασία ³ καὶ Φάντασμα διαφέρει. φάντασμα μὲν γάρ ἐστι, δόκησις διανοίας, οἷα γίνεται κατὰ τοὺς ὕπνους. φαντασία δὲ, τύπωσις ἐν ψυχῇ· τουτέστιν, ἀλλοίωσις. οὐ γὰρ δεκτέον τὴν τύπωσιν, οἱονεὶ τύπον σφραγιστῆρος· ἐπεὶ ἀνένδεκτόν ἐστι πολλοὺς τύπους κατὰ τὸ αὐτὸ ⁴ περιγίνεσθαι. νοεῖται δὲ φαντασία, ἡ ἀπὸ ὑπάρχοντος κατὰ τὸ ὑπάρχον ἐναπομεμαγμένη, καὶ ἐναποτετυπωμένη, καὶ ἐναπεσφραγισμένη, οἷα οὐκ ἂν γένοιτο ἀπὸ μὴ ὑπάρχοντος. τῶν δὲ φαντασιῶν αἱ μέν εἰσιν αἰσθητικαί· αἱ δὲ οὔ. αἰσθητικαὶ μὲν, αἱ δι' αἰσθητηρίου, ἢ αἰσθητηρίων λαμβανόμεναι. οὐκ αἰσθητικαὶ δὲ, αἱ διὰ τῆς διανοίας, καθάπερ καὶ τῶν ἀσωμάτων, καὶ τῶν ἄλλων τῶν λόγῳ λαμβανομένων.

Φαντασίωνος.

Φάος. Φῶς.

῏Ω ⁵ φάος ἁγνὸν, καὶ γῆς
Ἰσόμοιρος ἀὴρ· ὥς μοι
Πολλὰς μὲν θρήνων ᾠδὰς,
Πολλὰς δ' ἀντήρεις ᾔσθου
Στέρνων πλαγὰς αἱμασσομένων,
Ὁπόταν δνοφερὰ νὺξ ὑπολειφθῇ.

Ἡ Ἠλέκτρα φησί. λέγει δὲ, ὅτι οὐ διαλείπω νυκτὸς καὶ ἡμέρας κλαίουσα. Καὶ αὖθις·

Ἥδιστον ⁶ φάος ἡμέρας
Ἔσται τοῖσι παροῦσι.

Καὶ ζήτει ἐν τῷ Φόως.

Φάων. Φασὶν ἐπὶ τῶν ἐρασμίων καὶ ὑπερηφάνων. ⁷ τοῦ γὰρ Φάωνος ἐρασθῆναί φασι σὺν πολλοῖς καὶ Σαπφὼ, οὐ τὴν ποιήτριαν, ἀλλὰ Λεσβίαν· καὶ ἀποτυχοῦσαν, ῥίψαι ἑαυτὴν ἀπὸ τῆς Λευκάδος πέτρας.

Φάραγξ. τὸ τῆς γῆς βάραθρον, ὅπερ, ὅταν ὕδωρ δέξηται, ἀφανίζει αὐτό.

Φάραγξ. ἡ κοιλότης τῆς γῆς. ἀρσενικῶς. ⁸ Τοῦ Περσικοῦ τὴν ἐπιφορὰν ἀποκλίνοντος, διὰ τὸν παραβραβεύοντα φάραγγα. τουτέστι, διορίζοντα. Φάρυγξ δὲ, φάρυγγος, γράφουσιν οἱ πολλοί.

Φαραώ. οὕτως ἐκαλοῦντο πάντες οἱ βασιλεῖς Αἰγύπτου, ἀπὸ τοῦ πρώτου Φαραώ.

Φαρές. ὄνομα κύριον.

Φαρισαῖοι. ⁹ οἱ ἑρμηνευόμενοι Ἀφωρισμένοι· παρὰ

rerum viſarum ſtatus. Intra ſe enim ea ſiſtit, quæ extrinſecus apparuerunt. Utrumque vero horum circa res particulares verſatur. Nam hoc vel illud album novit: non vero omne album. Differunt autem, quod ille quidem (i.e. Senſus) externa; hæc vero (i.e. Phantaſia) interna novit. Et Phantaſia quidem quinque Senſuum formas recipit. Singuli vero ſenſus ſuum tantum ſenſibile norunt.

Φαντασία καὶ Φάντ. Phantaſia & phantaſma differunt. Phantaſma enim viſum eſt mentis, quale in ſomniis nobis offertur. Phantaſia vero eſt formæ in animo impreſſio: hoc eſt, animi quædam commutatio. Neque enim impreſſio hæc ſimilis eſſe putanda eſt figuræ, quæ a ſigillo imprimitur. Fieri enim non poteſt, ut plures formæ eodem tempore in eadem re exiſtant. Phantaſia autem ea eſſe intelligitur, quæ ex eo, quod eſt, ſicut eſt, expreſſa, & effićta, & ſignata eſt: qualis ex eo, quod non eſt, effingi nequeat. Phantaſiarum vero aliæ ſunt ſenſibiles; aliæ non. Senſibiles ſunt illæ, quæ per ſenſus inſtrumentum, vel inſtrumenta ſenſuum accipiuntur. Non ſenſibiles vero ſunt illæ, quæ animo percipiuntur; veluti rerum incorporearum, & eorum, quæ ratione tantum percipiuntur.

Φαντασίωνος. Phantaſionis. [Genitivus, a recto Φαντασίων.]

Φάος. Idem, quod Φῶς. Lumen. [Sophocles:] *O lumen purum, & terræ æqualis aer! Quoties me vidiſtis lamentantem, plagiſque crebris adverſum pectus cruentantem, cum obſcura nox deſiiſſet.* Electra hæc dicit. Ait autem, ſe neque noctu, neque interdiu plorandi finem facere. Et iterum: *Jucundiſſima lux erit iis, qui aderunt.* Quære in v. Φόως.

Φάων. Phaon. Dicitur hoc de [juvenibus] formoſis & ſuperbis. Ajunt enim Phaonem adamatum fuiſſe cum ab aliis multis, tum etiam a Sappho; non illa poetria, ſed Leſbia quadam: eamque ſpe ſua fruſtratam de Leucade rupe ſe præcipitem dediſſe.

Φάραγξ. Terræ barathrum, quod, quum aquam recepit, eam ita abſorbet, ut non amplius appareat.

Φάραγξ. Terræ cavitas. [Terræ hiatus. Profunda vallis.] Eſt generis maſculini. *Perſis vero impreſſionem [Romanorum] declinantibus, propter profundam vallem, quæ utrumque exercitum dirimebat.* Vulgo autem ſcribitur Φάρυγξ, Φάρυγγος.

Φαραώ. Pharao. Sic omnes Ægypti Reges vocabantur, a primo Pharaone.

Φαρές. Phares. Nomen proprium.

Φαρισαῖοι. Phariſæi. Id eſt, ſi vocem inter-

1 Τὸ γὰρ λευκὸν οἶδεν] Philoponus rectius, τόδε γὰρ τὸ λευκὸν οἶδεν.

2 Διαφέρει] Scribe, Διαφέρουσι: ut habet Philoponus.

3 Φαντασία καὶ Φάντασμα διαφ.] Hæc omnia leguntur apud Laertium in *Zenone Citt.* num. 50, 51. unde ea Suidas mutuatus eſt: ut Pearſonius quoque obſervaverat.

4 Περιγίνεσθαι] Scribendum eſt, περὶ τὸ αὐτὸ γίνεσθαι. ut habet Laertius.

5 ῏Ω φάος ἁγν.] Hæc ſunt verba Sophoclis in *Electra*, pag. 84. ut Portus monuit.

6 Ἥδιστον φάος ἡμ.] Ariſtoph. *Equit.* pag. 346. (243. Ed. Baſ. P.)

7 Τοῦ γὰρ Φάωνος ἐρασθ.] Confer Noſtrum ſupra, v. Σαπφὼ Λεσβία.

8 Τοῦ Περσικοῦ τὴν ἐπιφ.] Hæc ſunt verba Theophyl. Simocattæ, lib. II. cap. VIII. eademque leguntur ſupra v. Παραβραβεύοντα.

9 Φαρισαῖοι. οἱ ἑρμην. ———— κατὰ νόμον Φαρισαῖος] Hæc omnia αὐτολεξεὶ etiam leguntur apud Cedrenum, pag. 261.

Τῷ

τὸ μερίζειν καὶ ἀφορίζειν ἑαυτοὺς τῶν ἄλλων ἁπάντων, εἴς τε τὸ καθαρώτατον τοῦ βίου, καὶ ἀκριβέστατον, καὶ εἰς τὰ τοῦ νόμου ἐντάλματα. Φαρὲς γὰρ κατὰ τὴν Ἑβραΐδα γλῶτταν ἀφορισμὸς ἑρμηνεύεται, ἢ διακοπή. τὸν δὲ αὐτὸν βίον μετήρχοντο καὶ οἱ Γραμματεῖς· παρ' οἷς καὶ πολιτεία ἡ αὐτή, ἐγκράτειά τε, καὶ παρθενία, νηστεία δὶς τοῦ σαββάτου, ξεστῶν καὶ πινάκων καὶ ποτηρίων καθαρισμοί, ἀποδεκατώσεις τε, καὶ ἀπαρχαί, καὶ ἐνδελεχεῖς εὐχαί. ὑπεξαιρουμένων δηλονότι τῶν θαυμασίων Ἐσσαίων, ὡς κρειττόνων σφόδρα, καὶ λίαν ὑπερκειμένων. ἣν δὴ καὶ Φαρισαϊκὴν ὡς ἀρίστην πολιτείαν ὁ Παῦλος ζηλώσας, [1] εὖ μάλα σεμνύνεται, φάσκων· Ἰσραηλίτης εἰμί, φυλῆς Βενιαμίν, Ἑβραῖος ἐξ Ἑβραίων, κατὰ νόμον Φαρισαῖος. Ἐκάθευδον δὲ οἱ Φαρισαῖοι ἐπὶ στενῶν σανίδων, ἢ ἐπ' ἀκανθῶν, ἢ ἐπὶ χαλίκων· διὰ τὸ δῆθεν μὴ παθεῖν τι σωματικόν, ἢ κλαπῆναι δι' ὀνειράτων, καὶ εἰς ῥύσιν πεσεῖν [2] σώματος. ἀλλὰ εἱμαρμένη καὶ ἀστρονομία σφόδρα παρ' αὐτοῖς ἐχρημάτιζεν.

Φαρισεύς, καὶ Φαρισαῖος.

Φαρέτρα. βελοθήκη. οἱονεὶ [3] βάρος τῶν τιτρωσκόντων. τουτέστι, περιβόλαιον. ἀπὸ τοῦ φέρεσθαι.

Φαρμακός. μυρεψός. καὶ ὁ σκευάζων δηλητήρια φάρμακα.

Φαρμακεῖς. [4] τοὺς οἰνοχόους. Τούσδε ἡγησάμενοι φαρμακεῖς καὶ πιστεύσαντες τεθνάναι τοὺς καθεύδοντας, τοὺς Αἰτωλοὺς ἀπέκτειναν. † Φαρμακεῦσι τε πατρῴοις πολλὰ ὡμιληκυῖα.

Φαρμακεία λέγεται, ὅταν διά τινος σκευασίας θανατηφόρου, πρὸς φίλτρον, ἢ ἄλλως, δοθῇ ποσὶ διὰ στόματος· Γοητεία δέ, καὶ μαγεία, καὶ φαρμακεία, διαφέρει. καὶ ζήτει ἐν τῷ Γοητεία.

Φαρμακείας. γοητείας. [5] Πάντα δ' ἦν πλήρη κεχρημένης φαρμακείας, ῥιπτούντων ἑαυτοὺς εἰς τὰ φρέατα καὶ κατὰ κρημνῶν.

Φαρμακίας. ὄνομα κύριον.

Φάρμακον. παραμυθία. ὁμιλία. θεραπεία. εἴρηται ἀπὸ τοῦ φέρειν ἅμα ἄκος. ἢ εἴρηται ἀπὸ τῶν ἀνθέων. λέγεται φάρμακον, καὶ ὅπερ Μῆδοι νάφθαν καλοῦσι· Ἕλληνες δέ, Μηδείας ἔλαιον. [6] Ἀγγεῖον δὲ θείου τε καὶ ἀσφάλτου ἐμπλησάμενοι, καὶ φαρμάκου, ὅπερ Μῆδοι νάφθαν καλοῦσι. Καὶ αὖθις· Πίσσα τε ἦν, καὶ θεῖον, καὶ ὅσα φάρμακα δυνατὰ ἦν κινῆσαι φλόγα πολλήν. [7] Ἀριστοφάνης· Οὐδ' ἂν εἰ τὸ φάρμακον ἔτυχες, ᾧ Λυσικράτης μελαίνεται. ὡς τοῦ Λυσικράτους φαρμάκῳ τινὶ μελαίνοντος τὰς πολιὰς αὐτοῦ.

preteris, Separati: quod ſe ab omnibus aliis diſtinguerent & ſepararent, ut vitam puriſſimam & accuratiſſimam ſecundum Legis præcepta agerent. Phares enim in lingua Hebraica Separationem, vel Abſciſſionem ſignificat. Eandem vitæ rationem & Scribæ tenuerunt: quippe quibus eadem erant inſtituta; continentia nimirum, vita conjugii expers, jejunatio bis in ſeptimana, ſextariorum & patellarum & poculorum elutio, decimæ, primitiæ, & aſſiduæ preces. Excipiendi tamen ſunt admirabiles illi Eſſæi, quippe qui [Phariſæos exactæ vitæ ratione] longe ſuperabant. Cæterum, Paulus Phariſaicam vivendi rationem, ut optimam, ſe ſectatum eſſe gloriatur, dicens: *Iſraelita ſum, de Tribu Benjamin, Hebræus ex Hebræis, ſecundum Legem Phariſæus.* Dormiebant autem Phariſæi in exiguis tabulis, vel in ſpinis, vel in ſcrupulis; ne ſcilicet corporis voluptates ſentirent, neve per ſomnia deciperentur, ſeminisve fluxu polluerentur. Apud eoſdem Fatum & Aſtronomia magni fiebant.

Φαρισεύς, & Φαρισαῖος. Idem. Phariſæus.

Φαρέτρα. Pharetra. Sagittarum theca. Sic dicta, quod ſit quaſi φάρος, i. e. veſtimentum & tegmen vulnerantium. [Φάρος autem dictum eſt] a φέρεσθαι, i. e. ferri.

Φαρμακός. Unguentarius. Item, veneficus.

Φαρμακεῖς. [Veneficos. Item,] eos, qui vinum infundunt. Pocillatores. *Cum exiſtimaſſent hos eſſe veneficos, & crederent eos, qui dormiebant, eſſe mortuos, Ætolos interfecerunt. † Cum paternis veneficis diu verſata.*

Φαρμακεία. Hæc dicitur, cum letale aliquod pharmacum, ad amorem conciliandum, vel alia de cauſa, edendum bibendumve alicui datur. Veneficium. Γοητεία vero & μαγεία & φαρμακεία differunt. Quære in v. Γοητεία.

Φαρμακείας. Veneficii. Incantationis. *Hominibus quaſi malo carmine incantatis, omnia plena erant eorum, qui ſe in puteos ac per ſcopulos præcipitabant.*

Φαρμακίας. Pharmacias. Nomen proprium.

Φάρμακον. [Pharmacum. Medicamentum.] Solatium. Colloquium. Curatio. Dictum eſt a φέρειν ἅμα ἄκος: quod ſimul medelam afferat. Vel dictum eſt a floribus. Pharmacum etiam dicitur, quod Medi naphtham vocant; Græci vero, Medeæ oleum. *Cum autem vas implevissent ſulphure, & bitumine, & materia illa, quam Medi naphtham vocant.* Et iterum: *Pix erat, & ſulphur, & pharmaca, quæ ingentem flammam excitare poterant.* Ariſtophanes: *Neque ſi pharmacum illud coqueres, quo Lyſicrates ſe denigrat.* Lyſicrates enim fuco quodam canos ſuos denigrabat.

1 Εὖ μάλα σεμνύνεται] Sic etiam Cedrenus. At ſenſus ſupplendi gratia ſcribendum potius eſt, ὡς αὐτὸς εὖ μάλα σεμνύνεται.

2 Σώματος] Malim, σπέρματος.

3 Βάρος] Scribe, φάρος. Vide infra h. v.

4 Τοὺς οἰνοχόους] Interpretatio mira, & prorſus inſolens: ad quam confirmandam nihil faciunt exempla ſubjuncta.

5 Πάντα δ' ἦν πλ.] Hæc ſunt verba Polybii, quæ leguntur in Excerptis a Valeſio editis, pag. 185. Ibi locum integrum vide. Confer etiam Noſtrum ſupra v. Περιπέτεια.

6 Ἀγγεῖον δὲ θείου τε καὶ ἀσφ.] Fragmentum hoc depromptum eſt ex Procop. *de Bello Goth.* lib. vi. cap. xi.

7 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 746. (501. Ed. Baſ. P.)
——— Οὐδ' ἂν εἰ τὸ φάρμακον
Ἕψουσ' ἔτυχες, ᾧ Λυσικράτης μελαίνεται.
Vide etiam ſupra v. Λυσικράτης.

Φαρ-

Φαρμακός.[1] ὁ ἐπὶ καθαρμῷ τινι πόλεως ἀναιρούμενος· ὃν λέγουσι κάθαρμα. καὶ Φαρμακοῖσιν. [2] Ἀριστοφάνης· Καὶ πονηροῖς κἀκ πονηρῶν εἰς πάντα χρώμενος, οἷσιν ἡ πόλις πρὸ τοῦ οὐδὲ Φαρμακοῖσιν εἰκῇ ῥᾳδίως χρήσαιτ' ἄν. Τουτέστι, τοῖς λεγομένοις καθάρμασι.

Φαρμακός. Sic dicebatur ille, qui urbis alicujus luſtrandæ & expiandæ cauſa occidebatur: quem etiam κάθαρμα vocant. Piaculum publicum. Et Φαρμακοῖσι, piaculis. Ariſtophanes: *Improbis hominibus & malo genere natis ad omnia utimur: quibus civitas ante vix piaculorum loco uſa fuiſſet.*

Φάρμακος.[3] ὄνομα κύριον. [4] Λυσίας φησί. [5] Δύο ἄνδρας Ἀθήνησιν ἐξῆγον, καθάρσια ἐσομένους τῆς πόλεως ἐν τοῖς Θαργηλίοις· ἕνα μὲν ὑπὲρ τῶν ἀνδρῶν, ἕνα δὲ, ὑπὲρ τῶν γυναικῶν. ὅτι δὲ ὄνομα κύριόν ἐστι ὁ Φάρμακος, δῆλον. ἱερὰς γὰρ φιάλας τοῦ Ἀπόλλωνος κλέψας, καὶ ἁλοὺς ὑπὸ τῶν περὶ τὸν Ἀχιλλέα, κατελεύσθη· καὶ τὰ τοῖς Θαργηλίοις ἀγόμενα τούτων [6] ἀποτμήματά ἐστιν. Ἴστρος ἱστορεῖ. [7] Δημοσθένους δὲ ἐν τῷ κατ' Ἀριστογείτονος λέγοντος· Οὗτος οὖν αὐτὸν ἐξαιρήσεται ὁ Φαρμακός· Δίδυμος προπερισπᾷν ἀξιοῖ τοὔνομα. ἀλλ' ἡμεῖς οὐχ εὕρομεν οὕτω ταύτην χρῆσιν. [8] Φαρμάκοντα δὲ Δημοσθένης ἐν τῷ περὶ στεφάνου ἔφη. ἔτι δὲ Φαρμάκων, ὁ ὑπὸ φαρμάκων βεβλαμμένος· ὡς καὶ Θεόφραστος ἐν ιε΄. Νόμων ὑποσημαίνει.

Φάρμακος. Pharmacus. Nomen proprium. [Sic item dicitur ille, cujus cæde civitas expiatur.] Vox exſtat apud Lyſiam. Duo viri Athenis in feſto Thargeliorum educebantur, qui morte ſua civitatem expiarent: unus pro viris; & alter pro mulieribus. Φάρμακος autem eſſe nomen proprium viri, manifeſtum eſt. Is enim phialas Apollini ſacras furatus, cum ab Achille ſacrilegii convictus fuiſſet, lapidibus obrutus eſt. Et quæ in feſto Thargeliorum fiunt, horum ſunt imitatio. Auctor eſt Iſter. Demoſthene autem in oratione contra Ariſtogitonem dicente: *Hic igitur veneficus eum [pœnæ] eximet:* Didymus cenſet, nomen Φαρμακὸς illic in penultima circumflectendum eſſe. At nos uſum hunc nuſquam invenimus. Demoſthenes autem in oratione de Corona, Φαρμάκοντα dixit. Φαρμάκων autem eſt ille, qui veneno læſus eſt: ut & Theophraſtus lib. xv. *Legum* indicat.

Φαρμακούς. τοὺς δημοσίᾳ τρεφομένους· οἳ ἐκάθαιρον τὰς πόλεις τῷ ἑαυτῶν φόνῳ. [9] Ἀριστοφάνης·

[Εἰ τούσδ' ἐπίτηδες] ὥς-
Περ δημοσίους τρέφεις
Ἐν τῇ πνυκί·
Κᾆθ', ὅταν μή σοι τύχοι ὄψον ὂν,
Τούτων ὃς ἂν ᾖ παχὺς,
Θύσας, ἐπιδειπνεῖς.

Φαρμακούς. Piacula publica. Sive, homines, qui publice alebantur, ut cæde ſua urbes luſtrarent. Ariſtophanes: [*Si hos conſulto*] *tanquam piacula publica alis in Pnyce: deinde vero, cum deeſt tibi opſonium, ex hiſce aliquem, qui pinguis fuerit, mactatum cœnas.*

Φαρμάκοισι. παρ' Ἡροδότῳ, ἀντὶ τοῦ βαφαῖς.

Φαρμάκοισι. Apud Herodotum ponitur pro coloribus, vel tincturis.

Φαρμάξας. ποτίσας. γοητεύσας. καὶ Φαρμαχθεὶς, ἡ μετοχή.

Φαρμάξας. [Qui veneno infecit. Qui aliquo colore tinxit.] Qui potum præbuit. Qui incantavit. Et Φαρμαχθεὶς, participium. Veneno infectus.

Φαρμάττων. γοητεύων. Ὁ ἄνθρωπος οὗτος ἐκδειματῶν καὶ Φαρμάττων σφίσι τὸ στρατόπεδον.

Φαρμάττων. Incantans. *Hic homo copias ipſorum terrens & incantans.*

Φαρμουθί.[10] παρ' Αἰγυπτίοις μὴν, ὁ κατὰ Ῥωμαίους Ἀπρίλλιος.

Φαρμουθί. Pharmuthi. Menſis apud Ægyptios, qui, ſecundum Romanos, eſt Aprilis.

Φάρμουτις. ποταμὸς, ὁ τῇ Νικαίᾳ παραῤῥέων.

Φάρμουτις. Pharmutis. Fluvius Nicæam præterfluens.

Φᾶρος. ἱμάτιον. περιβόλαιον. ἀπὸ τοῦ Φέρεσθαι. ἢ τῇ ὑφῇ ἀρηρέναι. λέγεται δὲ ἐπὶ γυναικός.

Φᾶρος. Veſtis. Pallium. Amiculum. A verbo Φέρεσθαι, i.e. ferri. Vel, quod textura ſit aptatum corpori. Dicitur autem de veſte muliebri

1 Φαρμακός. ὁ ἐπὶ καθαρμ.] Vide omnino Meurſium in *Græc. Fer.* v. Θαργήλια.

2 Ἀριστοφάνης] *Ranis*, pag. 246. (159. Ed. Baſ. P.)

Καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα,
Ὑστάτοις ἀφιγμένοισιν· οἷσιν ἡ πόλις πρὸ τοῦ
Οὐδὲ Φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν.

Hinc Suidam emendabis & ſupplebis.

3 Φάρμακος. ὄνομα κ.] Ex Harpocratione: ſed apud quem legitur Φαρμακὸς, cum accentu in ultima.

4 Λυσίας] In oratione κατ' Ἀνδοκίδου ἀσεβείας, teſte Harpocratione: cujus orationis fragmentum hodie adhuc exſtat inter orationes veterum Oratorum ab Henr. Steph. editas, pag. 103. & ſqq. Notandum autem eſt, cum in cod. MS. fragmentum iſtud eſſet ἀκέφαλον, & proxime præcederet alterius orationis fragmentum, fine carens, Stephanum exiſtimaſſe, utrumque fragmentum ad eandem orationem pertinere: quod ſecus eſt. Nam prius quidem fragmentum pertinet ad orationem Lyſiæ, Ὑπὲρ Καλλίου ἱεροσυλίας, ut titulus præfixus docet. Poſterius autem, ad orationem κατ' Ἀνδοκίδου ἀσεβείας: ut vel ex Harpocratione patet, qui in nota propoſita orationem iſtam Lyſiæ expreſſe laudat. Locus enim oratoris, ad quem Grammaticus iſte reſpexit, exſtat in fine fragmenti modo dicti, pag. 108. & ſic habet: Νῦν οὖν χρὴ νομίζειν τιμωρουμένους, καὶ ἀπαλλαττομένους Ἀνδοκίδου, τὴν πόλιν καθαίρειν, ἀρὰς ἀποπέμπειν καὶ ἀποδιοπομπεῖσθαι, καὶ ΦΑΡΜΑΚΟ'Ν ἀποπέμπειν, καὶ ἀλιτηρίου ἀπαλλάττεσθαι. Id eſt: *Nunc igitur exiſtimandum eſt, ſi pœnas ab Andocide exigamus, eumque e medio tollamus, nos urbem luſtrare, diraſque depellere & procurare, & piaculum a nobis amandare, patriamque a peſte liberare.*

5 Δύο ἄνδρας Ἀθ.] Confer Helladium ad Photium, pag. 1589. 1591.

6 Ἀποτμήματα] Etymologus recte, ἀπομιμήματα: quam lectionem in verſione expreſſi.

7 Δημοσθένους δὲ ἐν τῷ κατὰ Ἀριστογ.] Pag. 501. ſed ubi pro ἐξαιρήσεται, rectius legitur, ἐξαιτήσεται.

8 Φαρμάκοντα] Sic etiam Etymologus. At Harpocratio, φαρμακῶντα.

9 Ἀριστοφάνης] *Equit.* pag. 353. (249. Ed. Baſ. P.)

10 Φαρμουθί. παρ' Αἰγ.] Vide Joſeph. *Antiq. Jud.* lib. 11. cap. v. ſub. fin.

Φάρος. ποταμὸς Κιλικίας· οὗ τὸ εὖρος πλέθρων τριῶν. καὶ Πύραμος, ποταμὸς, οὗ τὸ εὖρος σταδίου. καὶ Χάλος, ποταμὸς, οὗ τὸ εὖρος, πλέθρου· πλήρης ἰχθύων μεγάλων καὶ πρᾳέων.

Φάρος. ἀρσενικῶς λεγόμενος, τὸν ἐν Ἀλεξανδρείᾳ Φάρον σημαίνει· ὃν ἀνέστησεν ἐπὶ Πτολεμαίου βασιλέως Αἰγύπτου Σώστρατος, Δεξιφάνους, Κνίδιος, ἐν Φάρῳ, τῇ νήσῳ Πρωτέως· ὅτε καὶ Πύῤῥος ὁ Ἀχιλλέως τὴν δυναστείαν τῆς Ἠπείρου παρείληφε.

Φαρσαλίσι.

Καὶ[1] τὸν Ἀχιλλείοις Φαρσαλίσιν Ἕκτορα πώλοις
Ὀστέα Δαρδανικῷ δρυπτόμενον πεδίῳ.

Φάρσος. κλάσμα. τρύφος. ῥάκος. πτερύγιον. ἀκρωτήριον.

——— Καὶ[2] φιλοδούπου
Φάρσος ἅμα στελεοῦ χῆρον ἐλαΐνεο.

Φάρυγξ,[3] Φάρυγγος. ὅτε μὲν θηλυκῶς λέγεται, σημαίνει τὴν κυρίως φάρυγγα. ἡ δὲ ἐστὶν ἀχανία, ἡ μετὰ τὴν τῆς γλώττης ῥίζαν. ὅτε δὲ ἀρσενικῶς, σημαίνει πολλάκις τὸν [4]λάρυγγα. ἔστι δὲ ὁ λάρυγξ, τὸ ἔσχατον τῆς τραχείας ἀρτηρίας, ὅπερ ὑπὸ τῶν τριῶν χόνδρων περιέχεται· τοῦ τε ἀρυταινοειδοῦς καλουμένου, καὶ τοῦ [5]θηλοειδοῦς, καὶ τοῦ ἀνωνύμου· οἵ τινες συστελλόμενοι καὶ διαστελλόμενοι ὑπὸ τῶν ἐκεῖ μυῶν, τὴν φωνὴν ῥυθμίζουσιν. ὑπὸ γὰρ τῆς τοιᾶσδε τύπων ἀναστολῆς καὶ διαστολῆς, ἢ μᾶλλον, ἢ ἧττον, εἰδοποιεῖται ἡ φωνὴ κατά τε τὸ ὀξὺ, καὶ τὸ βαρὺ, καὶ εἴ τι ἄλλο εἶδος περὶ αὐτὴν θεωρεῖται.

Φαλαγγίνδην. ὡς ἀριστίνδην. σκώπτοντες γὰρ τὴν γαστριμαργίαν τῶν χορευτῶν Ἀττικοὶ οὕτω λέγουσι.

Φάς. εἰπών.

Φασάηλος. ὄνομα κύριον.

Φάσγανον. ξίφος.

Καὶ[6] ψήκτρας ἄκλιεν ἀπέπλυσε, καὶ [7]λιποκόπρους
Φασγανίδας, καὶ τοὺς [8]συλόνυχας.

Φάσηλις. ὄνομα νήσου. καὶ Φασηλίτης, ὁ ἀπὸ τῆς αὐτῆς νήσου. Καὶ παροιμία· [9]Φασηλιτῶν θῦμα. ἐπὶ τῶν εὐτελῶν καὶ ἀναίμων τίθεται. Φασηλίτας γὰρ τάριχον [10]τῷ Καλαβρῷ θύειν, φησὶ Καλλίμαχος ἐν Βαρβαρικοῖς Νομίμοις.

Ἄφελε τῶν Φασηλῶν, ὦ γύναι, τρεῖς χοίνικας.

Φασί. λέγουσι.

Φᾶσις. ὄνομα ποταμοῦ Σκυθίας. καὶ, λέξις, μήνυσις.

Φάρος. Pharus, Ciliciæ fluvius, cujus latitudo eſt plethrorum trium. Et Pyramus, fluvius, cujus latitudo eſt unius ſtadii. Et Chalus, fluvius, cujus latitudo eſt unius plethri; magnorum & manſuetorum piſcium plenus.

Φάρος. Pharus. Cum eſt generis maſculini, ſignificat turrim Alexandriæ vicinam; quam ſub Ptolemæo Ægypti Rege Soſtratus, Dexiphanis filius, Cnidius, in Pharo, inſula Protei, exſtruxit: quo tempore & Pyrrhus, Achillis filius, regnum Epiri ſuſcepit.

Φαρσαλίσι. Pharſalicis. [In Epigrammate:] *Et Hectorem, cujus oſſa a Pharſalicis Achillis equabus in campo Dardanico raptata & lacerata fuerunt.*

Φάρσος. Fragmentum. Fruſtum. Pannus. Pinna. Promontorium. In Epigrammate: *Et ſtrepitum amantem pannum, ſimul & manubrio carentem oleagino* [*arthropedam.*]

Φάρυγξ, φάρυγγος. Quum genere fœminino dicitur, proprie dictam pharyngem ſignificat, i. e. fauces, quæ ſunt poſt linguæ radicem. Quum vero eſt generis maſculini, ſæpe ſignificat idem, quod λάρυγξ. Λάρυγξ autem eſt extrema pars aſperæ arteriæ, quæ tribus cartilaginibus continetur; ea ſcilicet, quæ ἀρυταινοειδὴς dicitur; & ea, quæ θυρεοειδής; & tertia, quæ nomine caret. Hæ cartilagines, cum a muſculis, qui illic ſunt, contrahuntur & diducuntur, vocem temperant. Prout enim vel magis vel minus contrahuntur & diducuntur: ita vel acuta efficitur vox, vel gravis; & ſi qua alia ſoni ſpecies in voce ſpectatur.

Φαλαγγίνδην. Formatum eſt, ut ἀριστίνδην. Sic enim Attici dicunt, choreutarum helluationem cavillis inſectantes.

Φάς. Fatus. Loquutus.

Φασάηλος. Phaſaelus. Nomen proprium.

Φάσγανον. Gladius. Enſis. [Et Φασγανίς, culter. In Epigrammate:] *Et ſtrigilem abjecit, & pinguedinem ſecantes cultros, & ſcalpella, quibus ungues reſecantur.*

Φάσηλις. Phaſelis. Inſulæ nomen. Et Phaſelites, inſulæ ejus incola. Et proverbium: *Phaſelitarum ſacrificium.* De vilibus & incruentis ſacrificiis dicitur. Phaſelitas enim ſalſamenta Calabro [Deo] immolare dicit Callimachus in *Barbaricis Inſtitutis.* † *Aufer phaſelorum, mulier, tres chœnices.*

Φασί. Dicunt. Ajunt.

Φᾶσις. Phaſis. Nomen fluvii in Scythia. I-

1 Καὶ τὸν Ἀχιλλ.] Eſt pars Epigrammatis in Homerum, quod integrum legitur Anthol. lib. III. cap. XXV. pag. 386.

2 Καὶ φιλοδούπου φάρσ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Phaniæ, quod integrum exſtat in Anthologia inedita. Illic autem ſic legitur:

Ἀλκιμος ἀρχεῖφιον κεισοδοπίδιι, τὴν φιλόδουπον
Φάρσος, ἅμα στελεοῦ χῆρον ἐλαΐνεο
Ἀρθρεμπίδαν, &c.

Confer Nos ſupra ad v. Ἀρχεῖφια.

3 Φάρυγξ, φάρυγγος. ὅτε μὲν θηλυκῶς λέγ.] Totus hic articulus ſumptus eſt ex Joan. Philopono in lib. II. Ariſtot. *de Anima*, M. I. a. ut Pearſonius etiam obſervaverat.

4 Λάρυγγα] Philoponus, φάρυγγα. Et mox, φάρυγξ, pro λάρυγξ.

5 Θηλοειδοῦς] Corrupte, pro θυρεοειδοῦς. Philoponus habet, θυρεοειδοῦς.

6 Καὶ ψήκτρας ἄκ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Phaniæ, quod ex cod. MS. integrum publici juris fecimus ſupra v. Ἄκιν.

7 Λιποκόπρους] In Anthologia inedita legitur, λιποκόπτας.

8 Συλόνυχας] In cod. MS. Epigrammatum legitur, συλόνυχας ὄνυχας. Sed ſcribendum eſt, συλόνυχας σόνυχας, ut monuimus etiam ſupra ad v. Συλόνυχας: ubi locum hunc illuſtramus.

9 Φασηλιτῶν θῦμα. ἐπὶ τ.] Eadem habet Zenobius.

10 Τῷ Καλαβρῷ] Quis ſit ille Deus Calaber, haud ſane mihi conſtat. Mich. Apoſtolius habet, Καλάβρῳ. At Zenobius ſimpliciter, τοῖς Θεοῖς.

ἡ δη-

ἢ δημόσιον ἔγκλημα. Φήμη. λόγος. Μηδαμῆ μηδὲ Φάσιν ὑπάρχειν νοπδος. καὶ Φασιανοὶ, οἱ οἰκήτορες τοῦ τόπου. καὶ Φασιανοὶ κατάλογοι, οἱ ἀπὸ τοῦ Φάσιδος, παρὰ Μενάνδρῳ.

Φασιάδης.

Φασιανικός. [1] Ἀριστοφάνης Ὄρνισιν·

Ἐπικεχοδὼς ἔγωγε Φασιανικός.

συκοφάντης. παρὰ τὸ Φαίνειν. μετὰ Φασιανῶν εὑρισκόμενος. ἔστι δὲ καὶ τοῦτο ὄνομα. ἔπαιξε δὲ, παρὰ τὸ Φαίνεσθαι αὐτοῦ τὸ σκῶρ. Φασιανὸς οὖν, ὁ συκοφάντης, παρὰ τὴν Φάσιν. ἢ παρὰ τὸ Φαίνειν. ἔστι δὲ καὶ πόλις Σκυθίας Φᾶσις, ὁμώνυμος τῷ ποταμῷ.

Φασιανοί. ἀλεκτρυόνες. καὶ ὄρνιθές τινες. [2] Ἀριστοφάνης·

——————— Εἰ δοίης γέ μοι

Τοὺς Φασιανοὺς, οὓς τρέφει Λεωγόρας.

Ἐπὶ τῶν εἴς τι πρᾶγμα ἀπαγορευόντων. Οὐκ εἰσὶ δὲ ἵπποι Φασιανοί· ἀλεκτρυόνες μέν τοι. [3] ἵπποι δέ τινες εἰσὶν, ἀλεκτρυόνας κεχαραγμένοι. τούτους οὖν λέγει. Λεωγόρας δὲ, ὄνομα κύριον, εἷς τῶν Ἀθήνησι πολιτευομένων τότε. πατὴρ δὲ οὗτος ἦν Ἀνδοκίδου τοῦ ῥήτορος. ἄδηλον δὲ, εἰ καὶ ὄρνεα ἔτρεφεν ὁ Λεωγόρας. ἔνιοι δὲ ἀξιοῦσιν ἵππους εἶναι τοὺς Φασιανούς. καὶ εἴπερ ἐστὶ τοῦτο μὴ κατεψευσμένον, οἰκεῖον ἂν εἴη τοῦτο τῆς τοῦ νεανίσκου σπουδῆς. οἱ δὲ περὶ Ἀρχίλοχον, ὀρνίθων τι γένος. ὁ δὲ Λεωγόρας τρυφερός τις. [4] Πλάτων λέγει·

Ὦ θεῖε Μόρυχε· νέως γὰρ εὐδαίμων ἔφυς,
Καὶ Γλαυκέτης, ἢ [5] ψῆττα, καὶ Λεωγόρας·
Οἳ [6] ζῆτε τερπνῶς, οὐδὲν ἐνθυμούμενοι.

Εὔπολις ἐν Αὐτολύκῳ, ὡς καὶ διὰ Μυῤῥίναν ἑταίραν τὰ χρήματα ἀποβεβληκότα. Φασιανοὶ δὲ, οἱ ἔχοντες ἐν τοῖς μηροῖς Φασιανὸν ἵπποι. Φᾶσις δέ ἐστι ποταμὸς Σκυθίας, ὅπου καλοὶ ἵπποι γίνονται. Φάσις δὲ, καὶ μήνυσις, ἀγγελία. καὶ κλίνεται Φάσιος. Φάσις ἐστὶν, ἣν ποιεῖταί τις πρὸς τὸν δοκοῦντα ὑπορύττειν δημόσιον μέταλλον, ἢ χωρίον, ἢ οἰκίαν, ἢ ἄλλο τι τῶν δημοσίων. ἔτι δὲ καὶ οἱ τοὺς ἐπιτρόπους τῶν ὀρφανῶν αἰτιώμενοι παρὰ τοῖς ἄρχουσιν, ὡς οὐ δεόντως μεμισθωκότας τὸν ὀρφανικὸν οἶκον, προφαίνειν λέγονται.

tem, declaratio, indicatio, delatio. Vel, publica accuſatio, fama, rumor. Et Phaſiani vocantur accolæ fluvii Phaſidis. Et, Φασιανοὶ κατάλογοι, [milites] a Phaſide fluvio profecti: apud Menandrum.

Φασιάδης. Phaſiades. [Patronymicum.]

Φασιανικός. Phaſianicus. Ariſtophanes *Avibus: Phaſianicus ego ſum, qui cacavi.* Quaſi diceret, ſycophanta. A Φαίνειν, accuſare, deferre. Vel, qui cum phaſianis reperitur. Per jocum autem hoc dixit [Comicus,] quod ſtercus ejus appareret. Phaſianus igitur [jam dicitur] ſycophanta. A nomine Φάσις, accuſatio, delatio. Vel, a Φαίνειν, accuſare, deferre. Eſt autem Phaſis & urbs Scythiæ, idem nomen habens, quod fluvius.

6 Πατὴρ δὲ τοῦ δευτέρου Φιλ.] Imo potius, avus maternus, ut Meurſius cenſet. Eum vide, pag. 15.

7 Νέρωνα. Θεατήν] Meurſius abſque interpunctione legendum cenſet, Νέρωνα θεατήν: ut ſit unum opus, non duo. Exiſtimat enim Philoſtratum illud opus ſcripſiſſe in Neronem, urbis incendium habitu ſcenico ſpectantem.

8 Ἀδελφόπαιδος] Meurſius recte emendat, ἀδελφόπαις.

Λήμνῳ, ἀκουστής τε, καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. ἔγραψεν [1] Εἰκόνας. Παναθηναϊκόν. Τρωϊκόν. Παράφρασιν τῆς Ὁμήρου Ἀσπίδος. Μελέτας ε΄. τινὲς δὲ καὶ τοὺς τῶν σοφιστῶν βίους ἐπ᾽ αὐτὸν ἀναφέρουσιν.

autem & ſepultus eſt in inſula Lemno. Fuit auditor & gener ſecundi Philoſtrati. Scripſit Imagines. Orationem Panathenaicam. Orationem de Troja. Paraphraſin Clypei Homerici. Declamationes V. Quidam etiam Sophiſtarum vitas illi attribuunt.

Φιλοτέχνημα. κατασκευή. καύχησις.

Φιλοτέχνημα. Artificium. Opus magno ſtudio elaboratum. Gloriatio.

Φιλοτησία. φιλία. δεξίωσις. Αἰλιανός· Δοκεῖ τῷ δήμῳ διαμερίζειν φιλοτησίαν τήνδε.

Φιλοτησία. Amica & comis exceptio, vel propinatio. Munus, quod teſtandæ amicitiæ gratia datur. *Videtur populo hoc munus dimetiri.*

Φιλοτησία. [2] ἡ φιάλη ἡ διδομένη ἐν τοῖς πότοις. ἐν γὰρ τοῖς συμποσίοις φιλοφρονούμενοι ἀλλήλους, ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν· ὡς Ὑπερείδης φησί, καὶ Ἄλεξις. καὶ Ὅμηρος· Δειδέχατ᾽ ἀλλήλους. Καὶ αὖθις· Ἐγχείτω τις τούτῳ φιλοτησίαν. καὶ φιλοτησίας, τὰς δεξιώσεις διὰ τῆς φιλίας. καὶ [3] φιλοτησίαν προπίνειν ἐστίν, ἡνίκα τις ἐν κρείττω ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος.

Φιλοτησία. [Amica invitatio ad bibendum. Item, ipſa] phiala, quæ in compotationibus alicui [ut ſignum amicitiæ] dabatur. In conviviis enim [veteres] amicis propinationibus ſe invicem provocantes, vini calicem, quem φιλοτησίαν vocabant, alteri tradebant: ut Hyperides ait, & Alexis. Et Homerus: *Datis dextris ſibi invicem propinabant.* Et iterum: *Infundat huic aliquis poculum amicitiæ.* Et φιλοτησίας propinationes, quæ amicitiæ gratia fiunt. Et philoteſiam propinare, eſt, cum quis ex poculo ſibi dato partem vini hauriens, reliquum amico tradit, ipſum ſimul poculum pro munere ei offerens.

Φιλοτησίας. τῆς φιλικῆς δεξιώσεως. Οἱ Αἰτωλοὶ ἐς Ἀθήνας τὸν οἶνον ἐκόμιζον, φιλοτησίας τῆς ἐκ τοῦ Θεοῦ κοινωνῆσαι καὶ τοῖς τῆς Ἀθηνᾶς τροφίμοις βουλόμενοι.

Φιλοτησίας. Propinationis, quæ amicitiæ ergo fit. [Item, muneris, quod amicitiæ & amoris teſtandi gratia datur.] *Ætoli vinum Athenas detulerunt, quod munus Minervæ cum ejus alumnis communicare vellent.*

Φιλότητα. φιλίαν.

Φιλότητα. Amicitiam. Amorem.

Φιλοτιμεῖται. ἐπιδαψιλεύεται. μεγαλοφρονεῖ. σπουδάζει. ἀγαπᾷ.

Φιλοτιμεῖται. Liberaliter præbet. Se oſtentare cupit. Ambitioſus eſt. Magno ſtudio conatur. Diligit.

Φιλοτιμία. καλλιλεξία. [4] Ἀριστοφάνης·

Φιλοτιμίᾳ μὲν οὐδεμιᾷ, μὰ τὼ Θεώ,
Λέξουσ᾽ ἀνέστην, ὦ γυναῖκες.

Φιλοτιμία. [Ambitio. Studium.] Dictio ornata & compoſita. Ariſtophanes: *Ambitione nulla, per Deas, verba apud vos factura ſurrexi, mulieres.*

Φιλοτιμίας. δωρεᾶς. ἢ πλεονεξίας. ἢ κενοδοξίας. καὶ φιλοτιμούμενος, τουτέστι, κενοδοξῶν.

Φιλοτιμίας. Largitionis, quæ fit ex ambitione. Vel, ſtudii honorum. Ambitionis. Et φιλοτιμούμενος, per ambitionem aliquid faciens. Ambitioſus.

Φιλοτιμότεραι [5] Κλεοφῶντος, ἐφ᾽ οὗ δὴ χείλεσιν ἐπιβρέμεται Θρηϊκία χελιδών. ἀντὶ τοῦ, ἀπαιδευσία. σκώπτει δὲ αὐτόν, ὡς Θρᾷκα, οὐ ἐν Θρᾴσσῃ· ὃς ἐκαλεῖτο τυροποιός. ἐκωμῳδεῖτο δὲ εἰς δυσγένειαν. ἀντεποιεῖτο δὲ τῶν πρωτείων τῆς πόλεως, στρατηγὸς Ἀθηναίων. εἰς ὃν δημαγωγὸν δρᾶμα φέρεται Πλάτωνος, καὶ ἐπιγράφεται ὁμωνύμως Κλεοφῶν. διαβάλλεται δὲ ὡς ξένος, καὶ ἀμαθής, καὶ φλύαρος.

Φιλοτιμότεραι Κλ. *Ambitioſiores Cleophonte, in cujus labris ſtrepit Threicia hirundo.* Id eſt, inſcitia. Deridet autem illum ut Thracem, quod ex Thraſſa natus eſſet. Idem etiam vocabatur Tyropœus, q. d. Caſeorum confector: quem Comici ob generis ignobilitatem perſtringebant. Principem autem locum in civitate ſibi vendicabat; eratque imperator Athenienſiũ. In hunc, qui erat demagogus, etiam exſtat fabula Platonis, quæ ipſius nomine inſcribitur Cleophon. Traducebatur autem ut peregrinus, & indoctus, & nugator.

Φιλοτίμως. μεγαλοδώρως. ὑπερμέτρως. ἐπιμελῶς. ὁ δὲ Θεολόγος ὅτε λέγει, Τὸ φιλότιμον καταλύσασι· τινές φασι τὴν [6] φιλοσοφίαν καὶ τὴν ῥητορικήν· μὴ ὅτι γε ἡμῖν τοῖς ἀφεῖσι ταῦτα, καὶ ἑξῆς.

Φιλοτίμως. Magnifice. Ambitioſe. Magno ſtudio & conatu. Cum vero Theologus dicit, τὸ φιλότιμον καταλύσασι, quidam τὸ φιλότιμον ibi interpretantur, philoſophiam, & artem oratoriam.

Φιλουργός. οὗτος ἄσωτος ὤν, ἐφωράθη ἐν Ἀθή-

Φιλουργός. Philurgus. Hic erat prodigus, &

1 Εἰκόνας] Hoc opus Philoſtrato ſecundo potius tribuendum eſſe cenſet Meurſius loco laudato.

2 Φιλοτησία. ἡ φ.] Ariſtoph. *Acharnenſ.* pag. 418.

Πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν.

Scholiaſtes: Φιλοτησίαν ἔλεγον τὴν φιάλην, τὴν διδομένην ἐν τοῖς συμποσίοις.

3 Καὶ φιλοτησίαν προπ.] Confer omnino Noſtrum ſupra v. Προπίνειν.

4 Ἀριστοφάνης] *Theſmophoriaz.* pag. 786. (520. Ed. Baſ. *P.*)

5 Φιλοτιμότεραι Κλεοφ.] Ariſtoph. *Ranis*, p. 244. (157. Ed. Baſ. *P.*)

Φιλοτιμότεραι Κλεοφῶντος, ἐφ᾽ οὗ
Δὴ χείλεσιν ἀμφιλάλοις
Δεινὸν ἐπιβρέμεται
Θρηκία χελιδών.

Vide ibi veterem interpretem, qui eadem habet, quæ hoc loco Suidas.

6 Φιλοσοφίαν] Sic MS. A. At priores Editt. minus recte, φιλοπονίαν.

ναῦς τὰ ἱερὰ συλήσας, [1] καὶ τὸ Γοργόνειον ὑφελόμενος· ὡς [2] Ἰσοκράτης λέγει. μέμνηται τούτου Αἰσχίνης ἐν τῷ κατὰ Κτησιφῶντος.

Φιλοφρονέστατα. Φιλικώτατα.

Φιλοφρονούμενα. παραμυθούμενα.

Φιλοφρόνως. σπουδαίως. προθύμως.

Φιλοφροσύνη. δεξίωσις. ἡ προσήνεια.

Φιλόχορος, [3] Κύκνου, Ἀθηναῖος, μάντις, καὶ ἱεροσκόπος. γυνὴ δὲ ἦν αὐτῷ Ἀρχεστράτη. κατὰ δὲ τοὺς χρόνους γέγονεν ὁ Φιλόχορος Ἐρατοσθένους· ὡς ἐπιβαλεῖν πρεσβύτῃ νέον ὄντα Ἐρατοσθένει. ἐτελεύτησε δὲ ἐνεδρευθεὶς ὑπὸ Ἀντιγόνου, ὅτι διεβλήθη προσκεκλικέναι τῇ Πτολεμαίου βασιλείᾳ. [4] ἔγραψεν Ἀτθίδος βιβλία ιζ. περιέχει δὲ τὰς Ἀθηναίων πράξεις, καὶ Βασιλεῖς, καὶ Ἄρχοντας, ἕως Ἀντιόχου τοῦ τελευταίου, τοῦ προσαγορευθέντος Θεοῦ. ἔστι δὲ πρὸς Δήμωνα. Περὶ μαντικῆς, δ΄. Περὶ θυσιῶν, ά. Περὶ τῆς Τετραπόλεως. Σαλαμῖνος κτίσις. [5] Ἐπιγράμματα Ἀττικά. Περὶ τῶν Ἀθήνησιν ἀγώνων, βιβλία ιζ. Περὶ τῶν Ἀθήνησιν ἀρξάντων, ἀπὸ Σωκρατίδου καὶ μέχρι Ἀπολλοδώρου. Ὀλυμπιάδας, ἐν βιβλίοις β΄. Πρὸς τὴν Δήμωνος Ἀτθίδα. Ἐπιτομὴν τῆς ἰδίας Ἀτθίδος. Ἐπιτομὴν τῆς Διονυσίου [6] πραγματείας περὶ ἱερῶν. Περὶ τῶν Σοφοκλέους μύθων, βιβλία έ. Περὶ Εὐριπίδου. Περὶ Ἀλκμᾶνος. Περὶ μυστηρίων τῶν Ἀθήνησι. Συναγωγὴν ἡρωΐδων, ἤτοι Πυθαγορείων γυναικῶν. Δηλιακὰ βιβλία β΄. Περὶ εὑρημάτων. Περὶ καθαρμῶν. Περὶ συμβόλων.

Φιλοχρηματία.

Φιλοψυχήσαντα. [7] Ἀντίγονον ἀγόμενον δέσμιον Ἀντωνίῳ, φιλοψυχήσαντα μέχρις ἐσχάτου διὰ ψυχρᾶς ἐλπίδος ἄξιος τῆς ἡγεμονίας πέλεκυς διαδέχεται.

Φιλῳδὸν [8] γένος. οἱ βάτραχοι. παρὰ τὸ φιλεῖν ᾄδειν.

Φιλωθέντες. [9] οἱ δὲ νεώτεροι, φιλιωθέντες. Φίλοι γενόμενοι. ὥσπερ πολεμωθέντες, ἤγουν πολέμιοι γενόμενοι. Αἰλιανὸς Ποικίλῃ Ἱστορίᾳ· Ἐπ' ἐλευθερίᾳ τινὲς Ῥωμαίοις φιλωθέντες· εἶτα μέντοι τὴν πίστιν, ἥπερ ἦν δεσμὸς ἐπὶ φιλίας, οὐκ ἐτήρησαν. καὶ Φιλωθῆναι, φίλος γενέσθαι. Ἔλεγε τὸν νεανίαν ἐλθεῖν πρὸς αὐτὸν, καὶ φιλωθῆναί οἱ. Καὶ αὖθις· Φιλωθεὶς ἐν τῷ τέως τῷ ἐπισκόπῳ, τῇ ἐκκλησίᾳ ἐξέπεμψε.

Φίλων [10] Βύβλιος, γραμματικός. οὗτος γέγονεν ἐπὶ τῶν χρόνων ἐγγὺς Νέρωνος, καὶ παρέτεινεν εἰς μακρόν. Ὕπατον γοῦν τὸν [11] Σεβῆρον, τὸν Ἐρέννιον χρηματίσαντα, αὐτὸς εἶναί φησιν, ὅταν ἦγεν ὄγδοον καὶ ἑβ-

Athenis in ſacrilegio deprehenſus eſt, cum Gorgoneum ſurriperet: ut ait Iſocrates. Meminit hujus Æſchines in oratione contra Cteſiphontem.

Φιλοφρονέστατα. Amiciſſime. Humaniſſime.

Φιλοφρονούμενα. Amice, vel humaniter excipientia. Conſolantia.

Φιλοφρόνως. Humaniter. Amice. Prompte.

Φιλοφροσύνη. Comitas. Humanitas. Benevolentia. Vel, lenitas, manſuetudo.

Φιλόχορος. Philochorus, Cygni F. Athenienſis, vates, & aruſpex: qui uxorem habuit Archeſtratam. Vixit temporibus Eratoſthenis; quem ſenem adoleſcens attigit. Obiit autem ex inſidiis, quas Antigonus ei ſtruxit, quod apud eum delatus eſſet, quaſi Ptolemæo ſtuderet. Scripſit de Attica lib. XVII. Continent autem Athenienſium res geſtas, & Reges, & Archontes, uſque ad Antiochum poſtremum, cognomento Deum. Scripti vero ſunt contra Demonem. De divinatione, IV. De ſacrificiis, I. De Tetrapoli. Salaminis origines. Epigrammata Attica. De Athenienſium certaminibus, lib. XVII. De Prætoribus Athenienſium, a Socratide uſque ad Apollodorum. Olympiades, libris duobus. Adverſus Demonis Atticam hiſtoriam. Epitomen hiſtoriæ ſuæ Atticæ. Epitomen operis Dionyſii de Sacris & Templis. De Sophoclis fabulis, lib. V. De Euripide. De Alcmane. De Athenienſium myſteriis. Collectionem Heroidum, ſive Pythagorearum fœminarum. De inſula Delo, lib. II. De Inventis. De luſtrationibus. De ſymbolis, ſive ſignis.

Φιλοχρηματία. Pecuniæ cupiditas. Avaritia.

Φιλοψυχήσαντα. Vitæ amantem. Vitæ cupidum. *Cum Antigonus ad Antonium vinctus duceretur, & ad ultimum uſque frigidam vitæ retinendæ ſpem aleret, digna eum imperio ſecuris excepit.*

Φιλῳδὸν γένος. Gens cantus amans. Id eſt, ranæ. [Ariſtophanes.]

Φιλωθέντες. Recentiores autem dicunt, Φιλιωθέντες. Amici facti. Conciliati. Dicitur ut πολεμωθέντες, i. e. hoſtes facti. Ælianus in *Varia Hiſtoria: Quidam ſpe conſequendæ libertatis amicitia cum Romanis inita, poſtea fidem, quæ amicitiæ vinculum eſt, non ſervarunt.* Et Φιλωθῆναι, amicum fieri. *Dicebat adoleſcentem ad eum veniſſe, ut amicitiam cum eo iniret.* Et iterum: *Tunc Epiſcopo conciliatus, ad Eccleſiam [eum] emiſit.*

Φίλων. Philo Byblius, Grammaticus. Hic natus eſt circiter tempora Neronis, & diu vixit. Ipſe enim teſtatur, Severum, qui Erennius cognominabatur, Conſulem fuiſſe,

1 Καὶ τὸ Γοργόνειον ὑφ.] Confer Noſtrum ſupra, v. Φιλέας.
2 Ὡς Ἰσοκράτης] In Except. adverſus Callimachum: ſed ubi Φιλεργὰς ſcribitur.
3 Φιλόχορος] Vide Voſſium in opere de *Hiſt. Gr.*
4 Ἔγραψεν Ἀτθ.] De ſcriptis Philochori vide omnino Meurſium in *Bibliotheca Attica*, qui ea diligenter recenſet.
5 Ἐπιγράμματα Ἀττικά] In MS. A. cum interpunctione legitur, Ἐπιγράμματα. Ἀττικά.
6 Πραγματείας περὶ ἱερῶν] Sic ſcribendum cenſeo abſque diſtinctione. In prioribus vero Editt. cum interpunctione legitur, τῆς Διονυσίου πραγματείας. Περὶ ἱερῶν.
7 Ἀντίγονον] MS. A. Ἀντίοχον.
8 Φιλῳδὸν γένος] Ariſtoph. *Ranis*, pag. 223. (140. Ed. Baſ. *P.*)
9 Φιλωθέντες] Sic recte MSS. Pariſ. At priores Editt. Φιλιωθέντες, cui lectioni non ſolum literarum ſeries, ſed etiam ea, quæ apud Suidam hic ſequuntur, manifeſte adverſantur.
10 Φίλων Βύβλ.] De eo vide Voſſium in libro *de Hiſt. Gr.* & Meurſium ad Heſych. Illuſtr. pag. 217.
11 Σεβῆρον τὸν Ἐρ.] Hujus Erennii Severi mentio etiam fit ſupra, v. Ἕρμιππος Βηρύτιος.

ἑβδομηκοστὸν ἔτος, ὀλυμπιάδι δὲ κ' καὶ διακοσιοστῇ. γέγραπται δὲ αὐτῷ περὶ κτήσεως καὶ ἐκλογῆς βιβλίων, βιβλία ιβ'. [1] Περὶ πόλεων, καὶ οὓς ἑκάστη αὐτῶν ἐνδόξους ἤνεγκε, βιβλία λ'. Περὶ τῆς βασιλείας Ἀδριανοῦ, ἐφ' οὗ καὶ ἦν ὁ Φίλων· καὶ ἄλλα. Ὕπατος γέγονεν [2] ὁ Φίλων, Ἑρέννιος χρηματίσας, ὡς αὐτός φησι.

Φίλων Ἰουδαῖος, τεχθεὶς ἐν Ἀλεξανδρείᾳ, γένους ἱερέων· φιλοσοφήσας δὲ τὰ Ἑλλήνων, εἰς μέγα προὔβη παιδείας, ὡς μετελθεῖν πᾶσαν Ἑλληνικὴν παίδευσιν, τήν τε τῶν Ἐγκυκλίων καλουμένων, καὶ τὰς λοιπὰς ἐπιστήμας, σὺν ἀκριβεῖ καταλήψει. ἐπλούτησέ τε λόγον, παρόμοιον Πλάτωνι· ὡς καὶ εἰς παροιμίαν παρ' Ἕλλησι τοῦτο χωρῆσαι· Ἢ Πλάτων φιλωνίζει, ἢ Φίλων πλατωνίζει. τοσαύτη ἐστὶν ὁμοιότης τῆς γε διανοίας καὶ φράσεως τοῦ ἀνδρὸς πρὸς τὴν Πλάτωνος. καὶ τοίνυν [3] γέγραπται αὐτῷ βιβλία ἄπειρα, ἐξ ὧν καὶ ταῦτα· Περὶ [4] συγχύσεως γλωσσῶν, βιβλίον α'. [5] Περὶ φύσεως καὶ εὑρήματος, α'. Περὶ ὧν κατὰ νοῦν τις εὔχεται, α'. Περὶ παιδεύσεως, ἕν. Περὶ κληρονόμου τῶν θείων πραγμάτων, α'. Περὶ μερισμοῦ ἴσων καὶ ἐναντίων, α'. Περὶ τῶν τριῶν δυνάμεων. Περὶ ἐναλλαγείσων γραφῶν παρά τινων. Περὶ συνθηκῶν, λόγους β'. Περὶ βίου φιλοσόφου. Περὶ Γιγάντων, α'. Περὶ ὀνείρων, ε'. Περὶ ζητημάτων καὶ ἑρμηνευμάτων τῆς Ἐξόδου, ε'. Περὶ τῆς Σκηνῆς, καὶ Δεκαλόγου, δ'. Περὶ θυσιῶν. Περὶ ὑποσχέσεων, ἤτοι κατάρων. [6] Περὶ προνοίας. [7] Περὶ Ἰουδαίων, α'. Περὶ ἀγωγῆς βίου. Περὶ Ἀλεξάνδρου, καὶ περὶ τοῦ ἴδιον λογισμὸν ἔχειν τὰ ἄλογα. Περὶ τοῦ, Πᾶς ἄφρων δοῦλός ἐστι. [8] Περὶ τῆς διαγωγῆς τῶν Χριστιανῶν. Περὶ βίου θεωρητικοῦ. Περὶ ἱκετῶν. Περὶ γεωργίας, λόγους β'. Περὶ μέθης, β'. Περὶ τοῦ Μωσέως βίου. Εἰς τὰ Χερουβίμ· τουτέστι, τὴν φλογίνην ῥομφαίαν. Εἰς τὴν πεντάτευχον Μωϋσέως, καὶ εἰς αὐτὸν Μωϋσῆν, λόγους ε'. Λέγουσι τοῦτον ἐπὶ Γαΐου Καλλιγόλα ἐν τῇ Ῥώμῃ κινδυνεῦσαι, ὁπηνίκα πρεσβευτὴς τοῦ οἰκείου ἔθνους ἀπεστάλη· καὶ ὅτε τὸ δεύτερον ἦλθε πρὸς Κλαύδιον, ἐν τῇ αὐτῇ πόλει διαλεχθῆναι τῷ ἁγίῳ Ἀποστόλῳ Πέτρῳ, καὶ [9] τούτους ἐσχηκέναι φιλίαν, καὶ διὰ τοῦτο τοὺς σπουδαστὰς Μάρκου, τοῦ μαθητοῦ Πέτρου, ἐν Ἀλεξανδρείᾳ ἔπεσι κεκοσμηκέναι. εἰσὶν οὖν, ὡς προείπομεν, περιφανῆ ἀναρίθμητα αὐτοῦ συντάγματα, καὶ πᾶσαν ὠφέλειαν ἔχοντα.

Φίλων Καρπάθιος. ἔγραψεν ὑπόμνημα εἰς τὸ ᾆσμα τῶν ᾀσμάτων.

cum annum ageret LXXVII. Olymp. CCXX. Scripſit de comparandis & deligendis libris, lib. XII. De Urbibus, & claris viris, quos unaquæque tulit, lib. XXX. De imperio Adriani; ſub quo etiam vixit Philo: & alia. Conſul fuit Philo, & Erennius cognominatus eſt, ut ipſe ait.

Φίλων. Philo Judæus, natus Alexandriæ, ex genere ſacerdotum: qui Græcorum philoſophiam ſectatus, ad ſummam eruditionem pervenit, omneſque diſciplinas Græcas, tam eas, quæ Encycliæ vocantur, quam alias accurate perdidicit. Ubertate & copia dicendi Platonem adeo expreſſit, ut in proverbium apud Græcos abierit: *Aut Plato Philonem imitatur; aut Philo Platonem.* Tanta eſt inter utrumque & ſenſuum & eloquii ſimilitudo. Scripſit libros infinitos; ex quibus ſunt & hi: De confuſione linguarum, liber unus. De natura & inventione, lib. I. De votis mente ſuſceptis, lib. I. De inſtitutione, lib. I. De hærede divinarum rerum, lib. I. De diviſione æqualium & inæqualium, lib. I. De tribus facultatibus. Quare quorundam in ſcripturis mutata ſint nomina. De pactis, lib. II. De vita ſapientis. De Gigantibus, lib. I. De ſomniis, lib. V. Quæſtionum & Solutionum in Exodum, libri V. De Tabernaculo & Decalogo, lib. IV. De Sacrificiis. De promiſſionibus, itemque execrationibus. De providentia. De Judæis, lib. I. De converſatione vitæ. De Alexandro, dicente, bruta quoque animalia propria ratione prædita eſſe. Quod omnis ſtultus ſervus ſit. De vita Chriſtianorum. De vita contemplativa, ſeu de Supplicibus. De agricultura, lib. 2. De ebrietate, lib. 2. De vita Moſis. De Cherubim, ſive, de flammeo gladio. In quinque libros Moſis, & in ipſum Moſen, lib. V. Ajunt hunc ſub Cajo Caligula Romæ periclitatum eſſe, quo legatus gentis ſuæ miſſus fuerat: &, cum ſecunda vice ad Claudium veniſſet, in eadem urbe locutum eſſe cum Apoſtolo Petro, amicitiamque cum eo contraxiſſe, & hanc ob cauſam ſectatores Marci, diſcipuli Petri, Alexandriæ laudibus ornaſſe. Exſtant igitur, ut diximus, innumera & præclara valdeque utilia hujus viri opera.

Φίλων. Philon Carpathius. Scripſit commentarium in Canticum Canticorum.

1 *Περὶ πόλεων*] Hoc opus in epitomen redegerat Ælius Serenus, teſte Suida, v. *Σερῆνος*; & Etymologo, v. Βουκέρως.

2 Ὁ Φίλων, Ἑρένν.] Philonem hunc cognominatum fuiſſe Erennium, teſtatur etiam Suidas ſupra v. Ἑρέννιος: idemque confirmatur auctoritate Etymologi, qui v. Γέραιος, ſcriptorem hunc Erennium Philonem vocat. At eundem fuiſſe Conſulem, vix mihi perſuadeo: exiſtimoque potius, duas iſtas voces, ὕπατος γέγονεν, delendas eſſe, utpote a librario quodam, vel etiam ipſo Suida per incogitantiam hic repetitas ex ſuperioribus, ubi Erennii Severi Conſulis fit mentio. Conjectura hæc non parum confirmatur ex eo, quod ipſe Suidas ſupra, v. Ἑρέννιος, duas iſtas voces non agnoſcat.

3 Γέγραπται αὐτῷ βιβλ.] De ſcriptis Philonis præter Suidam conſulendus etiam eſt Euſebius lib. II. *Hiſt. Eccleſ.* cap. XVIII.

4 Περὶ συγχύσεως γλωσσ.] Catalogum hunc operum Philonis Suidas ex Sophronio Hieronymi interprete hauſit.

5 Περὶ φύσεως καὶ εὑρ.] Euſebius loco laudato, Περὶ φυγῆς καὶ εὑρέσεως: ubi vide Valeſium.

6 Περὶ Προνοίας] Inſigne hujus operis fragmentum exſtat apud Euſebium lib. VIII. *Præp. Euang.* cap. XIV.

7 Περὶ Ἰουδαίων] An potius, Ὑπὲρ Ἰουδαίων? Vide eundem Euſeb. lib. VIII. *Præp. Euang.* cap. X. ubi Philonem citat ἐν τῇ ὑπὲρ Ἰουδαίων Ἀπολογίᾳ.

8 Περὶ τῆς διαγωγῆς τῶν Χριστιανῶν. Περὶ βίου θεωρ.] Aliter Sophronius: cujus nec verba, nec mentem ſatis fideliter hic expreſſit Suidas. Sic enim ille: Περὶ διαγωγῆς τῶν ἡμετέρων, τουτέστι, τῶν Ἀποστόλων, (potius, τῶν Ἀποστολικῶν ἀνδρῶν) λόγος εἷς, ὃν ἐπέγραψε, Περὶ βίου θεωρητικοῦ ἱκετῶν· τουτέστιν, ὅτι τὰ ἐπουράνια ἀτενίζουσι, καὶ ἀεὶ εὔχονται τῷ Θεῷ. Latina Hieronymi ſic habent: *De vita noſtrorum liber, id eſt, de Apoſtolicis viris, quem & inſcripſit,* Περὶ βίου θεωρητικοῦ ἱκετῶν; *quod videlicet cœleſtia contemplentur, & ſemper Deum orent.* Hinc apparet, Suidam per inſignem ἀβλεψίαν ex uno opere Philonis tria feciſſe.

9 Καὶ τούτους ἐσχηκ.] Sophronius, καὶ τούτῳ ἐσχηκέναι φιλ. quod magis convenit verbis Hieronymi, qui ſic habet: *Et hujus habuiſſe amicitias.*

Φιλωνίδης, Ἀθηναῖος, κωμικὸς ἀρχαῖος. πρότερον ἦν γναφεύς. τῶν δραμάτων αὐτοῦ ἦν, [1] Κόθορνοι, Ἀπήνη, Φιλέταιρος. καὶ ζήτει ἐν [2] τῷ Ἀπαιδεύτοι.

Φιλῶ σε καὶ κήδομαι. ἐὰν εὑρεθῶσι δύο ῥήματα καθ' ἑνὸς μέρους λόγου συντασσόμενα, ὥσπερ ὧδε μετὰ ἀντωνυμίας· τῷ ἑνὶ τῷ πρώτῳ ὀφείλομεν συντάξαι τὴν ἀντωνυμίαν. τὸ δὲ ἄλλο ῥῆμα, οὐδὲν βλάπτει κἂν ἀπολύτως ἐκφέρηται. οἷον, Φιλῶ σε καὶ κήδομαι. τὸ Φιλῶ σύνταξον αἰτιατικῇ. τὸ δὲ κήδομαι, οὐδενί· ἀλλ' ἔστιν ἀπόλυτον. καὶ ὅσα ἄλλα· οἷον, ἀγαπῶ καὶ φροντίζω σου.

Φιλώτας.

Φιλτάτιον.

Ὦ [3] Εὐριπίδιον γλυκύτατον. ὦ Φιλτάτιον.

Φιλοίκτιστον. ὀδυρτικόν. θρηνητικόν. [4] Σοφοκλῆς· Κάρτα τοι φιλοίκτιστον γυνή.

Φιλοίτης. ὄνομα κύριον. καὶ Φιλοίτιος.

Φίλυδρα. φιλοῦντα τὸ ὕδωρ.

Φιλλύλιος, [5] Ἀθηναῖος, κωμικὸς τῆς παλαιᾶς κωμῳδίας. τῶν δραμάτων αὐτοῦ ἐστιν, Αἰγεύς, Αὔγη, Ἄντεια, (ἑταίρας ὄνομα) Δωδεκάτη, Ἡρακλῆς, Πλύντρια, ἢ Ναυσικάα, [6] Πόλις, Φρεωρύχος, Ἀταλάντη, Ἑλένη.

Φίλυρα. εἶδος δένδρου, ἔχον φλοιὸν [7] βύβλῳ παπύρῳ ὅμοιον.

Φιλύρινος [8] Κινησίας. οὗτος Διθυραμβοποιὸς γέγονε. [9] Φιλύρινος δέ, ἀντὶ τοῦ χλωρός. ἡ γὰρ φιλύρα, χλωρά. ἢ κοῦφος· ὡς ἂν διθυραμβοποιὸς εὐτελῆ καὶ κοῦφα ποιῶν. καὶ γὰρ τὸ ξύλον τοῦτο κοῦφον καὶ ἐλαφρόν. ἦν δὲ καὶ χωλός, καὶ κυλλός.

Φιμινάλια. ἀναξυρίδας. βρακία.

Φίμωτρον.

Φιμοῖ. ἄγχει. ἐπιστομίζει. Τὸ στόμα τῇ χειρὶ φιμώσασα τοῦ ἐσφαγμένου, μήπως τῇ ψυχῇ συνεκπέμψειε φωνήν. ὁ ἐνεστώς, Φιμῶ.

Φιμός. ὁ χαλινός.

Φιμοί. [10] Αἰσχίνης κατὰ Τιμάρχου. Καὶ φιμούς, καὶ κυβευτικὰ ἕτερα ὄργανα. Φιμὸς δέ ἐστιν, ὁ καλούμενος κημός, [11] εἰς ὃν ἐνέβαλλοντο. Δίφιλος δέ φησιν·

Ἕλκ' εἰς μέσον τὸν φιμόν, ὡς ἂν ἐμβάλῃ.

Φιλωνίδης. Philonides, Athenienſis, Comicus antiquus: qui ante fullo fuit. Ex comœdiis ejus ſunt, Cothurni, Apene, Philetærus. Quære etiam in v. Ἀπαίδευτοι.

Φιλῶ σε, καὶ κήδομαι. Amo te & curo. Si duo verba reperiantur conſtructa cum una orationis parte, ut hic cum pronomine; cum altero, id eſt priore, pronomen conſtruere oportet. Alterum enim verbum, etiamſi abſolute efferatur, nihil obeſt ſententiæ. Ut, Amo te & curo. Hic verbum φιλῶ cum accuſativo conſtruendum eſt: at τὸ κήδομαι, cum nullo. Eſt enim abſolutum. Et quæ ſunt alia hujus generis: ut, ἀγαπῶ καὶ φροντίζω σου.

Φιλώτας. Philotas. [Nomen proprium.]

Φιλτάτιον. Amiciſſimus. [Ariſtophanes:] *O Euripidule dulciſſime & amiciſſime.*

Φιλοίκτιστον. Ad commiſerationem vel miſericordiam propenſum. Ad lamentationem proclive. Sophocles: *Mulier ad commiſerationem valde propenſum eſt.*

Φιλοίτης. Philœtes, & Philœtius. Nomina propria.

Φίλυδρα. Aquam amantia.

Φιλλύλιος. Philyllius, Athenienſis, Comicus antiquæ Comœdiæ: ex cujus fabulis ſunt, Ægeus, Antia, (eſt autem nomen meretricis) Duodecima, Hercules, Plyntria, vel Nauſicaa, Urbes, Phreorychus, Atalanta, Helena.

Φίλυρα. Tilia. Arboris genus, quod corticem byblo, vel papyro ſimilem habet.

Φιλύρινος Κιν. Tilialis Cineſias. Hic [Cineſias] poeta Dithyrambicus fuit. Tilialis vero [hic dictum eſt] pro, viridis, vel pallidus. Talis enim eſt tilia. Vel, levis, &, ut poeta Dithyrambicus, vilia & levia carmina componens. Lignum enim tiliæ leve admodum eſt. Erat vero etiam claudus & mancus.

Φιμινάλια. Feminalia. Femoralia. Braccæ.

Φίμωτρον. Camus. Vel, Inſtrumentum, quo os obligatur, vel obturatur.

Φιμοῖ. Camo conſtringit. Os obturat, vel occludit. *Occiſi os manu obturans, ne quam vocem cum anima emitteret.* Præſens eſt, Φιμῶ.

Φιμός. Camus. Capiſtrum.

Φιμοί. Phimi. [Inſtrumentum aleatorium.] Æſchines contra Timarchum: *Phimos & alia inſtrumenta aleatoria.* Phimus vero eſt turricula, in quam tali mittebantur: quæ etiam κημὸς dicebatur. Diphilus inquit: *Phimum in medium protrahe, ut [talos] injiciat.*

1 Κόθορνοι] Laudatur hæc fabula a Polluce & Athenæo.

2 Ἐν τῷ Ἀπαιδεύτοι] Sed ibi de alio Philonide agitur.

3 Ὦ Εὐριπίδιον γλ.] Eſt verſus Ariſtophanis *Acharnenſ.* pag. 394. (181. Ed. Baſ. P.)

4 Σοφοκλῆς] In *Ajace*, pag. 35. ut Portus monuit.

5 Φιλλύλιος] Scribe, Φιλύλλιος. De hujus autem fabulis vide Meurſium in *Bibliotheca Attica.*

6 Πόλις] Apud Pollucem & Athenæum fabula hæc plurali numero vocatur, Πόλεις.

7 Βύβλῳ παπύρῳ] Scribendum eſt, βύβλῳ, ἢ παπύρῳ.

8 Φιλύρινος Κινησίας. οὗτος Διθυρ.] Ex Scholiaſta Ariſtophanis ad *Aves*, pag. 605. (41 . Ed. Baſ. P.)

9 Φιλύρινος δὲ, ἀντὶ τοῦ χλ.] Interpretatio hæc inepta eſt, quam ex Scholiaſta Comici, ut diximus, Noſter hauſit. Melius Athenæus lib. XII. p. 551. qui Cineſiam ab Ariſtophane & aliis φιλύρινον dictum ait, quod tabellas tiliaceas pectori applicaret, ne corpus ejus ob proceritatem & gracilitatem flecteretur. Verba ejus hæc ſunt: Ἄλλοι δ' αὐτόν, ὡς καὶ Ἀριστοφάνης, πολλάκις εἰρήκασι φιλύρινον Κινησίαν, διὰ τὸ φιλύρας τοῦ ξύλου λαμβάνοντα σανίδα συμπεριζώννυσθαι, ἵνα μὴ κάμπτηται, διά τε τὸ μῆκος, καὶ τὴν ἰσχνότητα. Huc facit, quod Jul. Capitolinus de Antonino Pio refert; eum, cum ſenuiſſet, tiliaceis tabulis in pectore poſitis faſciatum fuiſſe, ut rectus incederet. Vide Reineſ. *Var. Lect.* lib. II. pag. 293, 294.

10 Φιμοί. Αἰσχίνης κατὰ Τιμ.] Ex Harpocratione: ad quem vide Valeſium.

11 Εἰς ὃν ἐνέβαλλοντο] Adde ex Etymologo, ἀστράγαλοι. *Phimus* enim eſt inſtrumentum illud aleatorium, quod Græci alias πύργον, & Latini *turriculam* vocant: per quod nimirum tali in alveolum mittebantur. Hinc apparet, quam procul a ſcopo aberraverit Portus, qui locum hunc ſic interpretatus eſt: Φιμὸς *vero eſt ille, qui vocatur* κημὸς, *unde Latinum camus; in quem injiciebantur vel hominum vel ferarum cervices, ut conſtringerentur & premerentur.* Hæc omnia nauci ſunt.

Φινεές.[1] ἀνὴρ τά τε ἄλλα κρείττων τῶν νεωτέρων, καὶ τῷ τοῦ πατρὸς ἀξιώματι τοὺς ἡλικιώτας ὑπερέχων. Ἐλεαζάρου γὰρ τοῦ ἀρχιερέως υἱός· Μωϋσέως δὲ ἀδελφοῦ παιδὸς υἱός. ὃς περιαλγήσας τοῖς πεπραγμένοις ὑπὸ Ζαμβρῆ, καὶ πρὶν ἰσχυροτέραν γενέσθαι τὴν ὕβριν ὑπὸ τῆς ἀδείας, ἔργῳ τὴν δίκην αὐτῶν εἰσπράξασθαι διεγνωκὼς, καὶ κωλῦσαι διαβῆναι τὴν παρανομίαν εἰς πλείονας, τῶν ἀρξαμένων οὐ κολαζομένων, τόλμῃ δὲ καὶ ψυχῆς καὶ σώματος ἀνδρείᾳ τοσοῦτον προέχων, ὡς μὴ πρότερον, εἴ τι συσταίη τῶν δεινῶν, ἀπαλλάττεσθαι, πρὶν ἢ καταγωνίσασθαι, καὶ νίκην τὴν ἐπ' αὐτῷ λαβεῖν· ἐπὶ τὴν τοῦ Ζαμβρῆ σκηνὴν παραγενόμενος, αὐτόν τε παίων τῇ ῥομφαίᾳ, καὶ τὴν Χοσβίαν ἀπέκτεινεν. οἱ δὲ νέοι πάντες, οἷς ἀρετῆς ἀντιποίησις ἦν, καὶ τοῦ φιλοκαλεῖν, μιμηταὶ γινόμενοι τῆς Φινεὲς τόλμης, ἀνῄρουν τοὺς ἐπὶ τοῖς ὁμοίοις Ζαμβρῆ τὴν αἰτίαν εἰληφότας. ἀπόλλυνται μὲν οὖν καὶ ὑπὸ τῆς τούτων ἀνδραγαθίας πολλοὶ τῶν παρανομησάντων. ἐφθάρησαν δὲ πάντες καὶ λοιμῷ, ταύτην ἐνσκήψαντος αὐτοῖς τοῦ Θεοῦ τὴν νόσον. ὅσοι τε ξυγγενεῖς ὄντες κωλύειν δέον ἐξώτρυνον αὐτοὺς ἐπὶ ταῦτα, ἀδικεῖν τῷ Θεῷ δοκοῦντες, ἀπέθνησκον. ἀπόλλυνται μὲν οὖν ἐκ τῶν τάξεων ἄνδρες οὐκ ἐλάττους τετρακισμυρίων καὶ ἑξακοσίων. ὑπὸ δὲ ταύτης παροξυνθεὶς τῆς αἰτίας Μωϋσῆς ἐπὶ τὸν Μαδιανιτῶν ὄλεθρον τὴν στρατιὰν ἐξέπεμπε.

Φινεύς. ὄνομα κύριον. καὶ Φινείδης, ὁ ἀπὸ τοῦ Φινέως.

Φίνειον. ὄνομα τόπου ἐν Πόντῳ. ἢ, ὄρος.

Φινίδας. ὄνομα κύριον.

Φιρμιλιανός.[2] ζήτει. Ἐν τῷ Περιπάτῳ ἔφιπποι στῆλαι ἵσταντο Γρατιανοῦ, καὶ Οὐαλεντινιανοῦ, καὶ Θεοδοσίου, καὶ κυρτοῦ Φιρμιλιανοῦ πρὸς γέλωτα.

Φίσκος. δημόσιον ταμιεῖον.

Φιτρῶν. κορμῶν. ξύλων.

Φίτυ. [3] Ἀριστοφάνης· Τὸ γὰρ φίτυ πρῶτον φύσει.

Φιτῦσαι. γεννῆσαι. ἐπὶ τοῦ πατρὸς τίθησιν. ἐπὶ δὲ μητρὸς οὐκέτι, ἀλλὰ γεννῆσαι. καὶ Φιτύοντος, ὁμοίως, τοῦ γεννῶντος. λέγεται δὲ καὶ τὸ [4] γέννημα, φίτυμα. Εὔπολις Αὐτολύκῳ· Αὐτὰρ ἤγαγες [5] κενὸν φίτυμα τῶν βοῶν.

Φθάνει. αἰτιατικῇ. προλαμβάνει.

Φθάς.[6] ὁ Ἥφαιστος παρὰ Μεμφίταις. καὶ παροιμία· Ὁ Φθάς σοι λελάληκεν. οἱ δὲ Ἀφθάς φασιν· ὡς σαφὶς, ἀσαφίς· στάχυς, ἄσταχυς.

Φθάσειε. προλάβοι. [7] Οἶδά τινας ἐν λογιστηρίοις ἀποδύντας, ἢ πάντως ἀπὸ μιᾶς γέ του συμφορᾶς ἀναπεισθέντας ἐν μεσημβρίᾳ τοῦ βίου φιλοσοφεῖν, ἀπὸ

Φινεές. Phinees, vir, cum aliis rebus, tum etiam paterna dignitate juventutis facile princeps: Eleazari Pontificis filius, Moſis vero ex fratre ponepos. Hic cum ea, quæ a Zambre facta erant, indigne ferret, & conſtituiſſet, priuſquam impunitate licentia injuriæ creſceret, pœnas ab illis exigere, & ſic impedire, ne contagio ſceleris ad plures ſerperet, ſi auctoribus ejus impune ceſſiſſet; cumque eo eſſet animi & corporis robore, ut, ſi periculum aliquod exſtitiſſet, [& ipſe arduum quid aggreſſus eſſet,] non prius ab incepto recederet, quam ſuperata difficultate victor exſtitiſſet; Zambræ tentorium petit, ipſumque & Chosbiam ictu gladii occidit. Quo exemplo juventus ad pulcherrimam virtutis æmulationem accenſa, certatim in ejuſdem criminis reos impetum facit, magnamque illorum partem ferro conficit: reliquos vero peſtilentia a Deo immiſſa conſumpſit. Omnes quoque illi, qui, cum jure cognationis ſuorum petulantiam cohibere debebant, accendere etiam maluerunt, perierunt. Quare ex illis, qui ætate militari erant, non pauciores quadraginta millibus & ſexcentis perierunt. Moſes igitur hanc ob cauſam in Midianitas concitatus, ad gentem illam internecione delendam exercitum eduxit.

Φινεύς. Phineus. Nomen proprium. Et Phinides, Phinei filius.

Φίνειον. Phineum. Nomen loci in Ponto. Vel, mons.

Φινίδας. Phinidas. Nomen proprium.

Φιρμιλιανός. Firmilianus. Quære in v. Γρατιανός. In Peripato poſitæ erant ſtatuæ equeſtres Gratiani, & Valentiniani, & Theodoſii, & gibboſi Firmiliani, ridiculi gratia.

Φίσκος. Fiſcus. Publicum ærarium.

Φιτρῶν. Truncorum arboris. Stipitum. Caudicum.

Φίτυ. Planta. Germen. Ariſtophanes: *Germen enim primum producit.*

Φιτῦσαι. Generare. Producere. De patre dicitur, non etiam de matre; ſed γεννῆσαι. Et Φιτύοντος, generantis. Fœtus etiam Φίτυμα dicitur. Eupolis *Autolyco: Sed adduxiſti novum fœtum boum.*

Φθάνει. Accuſativo jungitur. Antevertit. Prævertit.

Φθάς. Phthas. Vulcanus apud Memphitas ita vocatur. Et proverbium: *Phthas tibi loquutus eſt.* Alii vero dicunt Aphthas: quemadmodum σαφὶς, & ἀσαφίς; στάχυς & ἄσταχυς.

Φθάσειε. Antevertat. Præoccupet. *Noſti aliquos, qui in aulis rationariis ſpoliati, aut ex alia omnino calamitate compulſi ſunt, ut*

1 Φινεές. ἀνὴρ τ.] Totum hunc articulum excerpſit Suidas ex Joſeph. *Antiq. Jud.* lib. IV. cap. VI.

2 Ζήτει] Adde, ἐν τῷ Γρατιανός. Ibi enim eadem leguntur, quæ hic Suidas habet.

3 Ἀριστοφάνης] In *Pace*, pag. 710. (478. Ed. Baſ. *P.*)

4 Τὸ γέννημα, φίτ.] Hæc leguntur etiam apud Scholiaſtam ad modo indicatum locum Ariſtophanis.

5 Κενὸν] Scholiaſtes Comici, καινόν.

6 Φθάς. ὁ Ἥφ.] Vide Menag. ad Laert. lib. VII. num. 147. & Thom. Galeum in notis ad Jamblichum *de Myſter. Ægypt.* pag. 302.

7 Οἶδά τινας ἐν λογισ.] Fragmentum hoc excerptum eſt ex Synesii Epiſt. CLIII.

μά-

μένυ τοῦ τὸν Θεὸν ἀπομόσαι καὶ κατομόσαι Πλατωνικῶς. ὡς φθάσειν ἂν ἡ σκιὰ φθέγξασθαί τι τῶν δεόντων. † Οἱ[1] δὲ παλαιοὶ πρὸ τοῦ εὑρεθῆναι τοὺς Δημητριακοὺς καρποὺς, ἐβαλανοφάγουν. ἔνθεν καὶ τὸ Φαγεῖν εἴρηται.

Φθασάμενον. ἐπιφθασάμενον. [2] λέγουσι τὴν αἶγα, τὴν τοῦ Διὸς τροφὸν κατηστερίσθαι· καὶ φασὶ τὸν ἐπιφθασάμενον ἐπιτείλασαν αὐτὴν, ἐπιτυγχάνειν, ὅσα εὔξηται.

Φθαίη σε. προλάβοι σε τις εἰς ἐκκλησίαν. καὶ Φθαίησι.

Φθέγμα. ῥῆμα.

Φθείρ. ὁ τῆς πίτυος καρπός.

Φθείρω. αἰτιατικῇ. Πᾶν τὸ φθειρόμενον, κατὰ δύο τρόπους φθείρεται· ἢ τὸν τῶν σωμάτων, τῇ εἰς τὰ στοιχεῖα ἀναλύσει· ἢ τὸν τῶν ἀσωμάτων, ἀποσβεννυμένου τοῦ εἴδους τῇ ἀναρμοστίᾳ τοῦ ὑποκειμένου.

Φθεῖσθαι. διαφθείρεσθαι.

Φθήμενος. προλαβών. καταλαβών.

Φθῆναι. προλαβεῖν. Ἰώσηπος· Δυσφοροῦντος δὲ τοῦ βασιλέως ἐπὶ τῷ φθῆναι τὸν μισθὸν δεδωκέναι τοῖς Ἰσραηλίταις, παρῄνει ποιεῖν ὁ Προφήτης ὅ, τι τῷ Θεῷ δοκεῖ.

Φθήσεται. καταλήψεται.

Φθία. πόλις, πατρὶς Ἀχιλλέως. καὶ Φθιάδος, Θετταλικῆς.

Φθιμένης νυκτός. ἤγουν παρελθούσης.

Ὡς[3] καὶ τῆς νῦν φθιμένης νυκτός.

καὶ Φθίμενος, φθαρείς.

Φθινάς. ἡ νόσος.

Φθῖναι. φθαρῆναι.

Φθίνει. φθείρεται. λήγει. καὶ Φθινόμενοι.

Φθινόπωρον.[4] παλινδρομία τοῦ ἡλίου ἀφ' ἡμῶν γενομένου τῶν καρπῶν πρὸς τοὺς τόπους, ἀφ' ὧν ἐγένοντο. τῆς δὲ γενέσεως αὐτῶν αἴτιον γενέσθαι τὸν ἥλιον, ἐξατμίζοντα τὰ νέφη. Καὶ, [5] Φθινοπωρίδα εἰν ἁλὶ νήχεσθαι. Φθινοπωρίδα, τὴν κολυμβάδα λέγει.

Φθινύθων. φθειρόμενος.

Φθῖος. ὄνομα κύριον. καὶ Φθιώτης, ὁ ἀπὸ τῆς Φθίας πόλεως. θηλυκῶς δὲ, Φθιῶτις γυνή, διὰ τοῦ ι.

Φθιρῶ.[6] ὄρος Μαιάνδρου.

Φθισίμβροτος.[7] διαφθείρουσα τοὺς ἄνδρας. καὶ Φθισήνορος, ὁμοίως, τοῦ φθείροντος τοὺς ἄνδρας.

in vitæ quaſi meridie philoſopharentur, hoc ipſo tantum, quod Platonico more Deos jurando, negarent aliquid, aut affirmarent, ut umbra prius utile atque opportunum aliquid dictura videatur. † Priſci, antequam fruges Cereales inventæ eſſent, glandibus veſcebantur. Unde etiam dictum eſt Φαγεῖν.

Φθασάμενον. Illum, qui præoccupavit, vel antevertit. Dicunt capram Jovis nutricem in aſtra relatam eſſe, & eum, qui ipſam orientem conſpexerit, omnium votorum ſuorum compotem fieri.

Φθαίη σε. Antevertat te. Et Φθαίησι, [Ionice pro Φθαίη.]

Φθέγμα. Dictum. Vox. Oratio.

Φθείρ. [Pediculus. Item,] fructus pinus.

Φθειρῶ. Corrumpo. Quidquid corrumpitur, duobus modis corrumpitur: vel, cum corpora in elementa ſua reſolvuntur: vel, cum res incorporeæ pereunt, exſtincta forma, propter inhabilitatem ſubjecti.

Φθεῖσθαι. Corrumpi. Perdi.

Φθήμενος. [Pro Φθάμενος.] Qui antevertit. Qui occupavit.

Φθῆναι. A φθῆμι. Præoccupare. Anticipare. Antevertere. Joſephus: *Cum autem Rex ægre ferret, quod in dando Iſraelitis ſtipendio tempus anticipaſſet, Propheta ei ſuaſit, ut faceret, quod Deo placeret.*

Φθήσεται. Antevertet. Occupabit.

Φθία. Phthia, urbs [Theſſaliæ,] patria Achillis. Et Phthiadis, i. e. Theſſalicæ.

Φθιμένης νυκτός. Noctis deficientis. Vel, pene jam præteritæ. Et Φθίμενος, qui perit, corrumpitur, tabeſcit.

Φθινάς. Tabes. Morbus lenta tabe corpus conſumens.

Φθῖναι. Corrumpi. Tabeſcere.

Φθίνει. Corrumpitur. Tabe conſumitur. Perit. Deſinit.

Φθινόπωρον. Autumnus. Hic fit, cum Sol a nobis recedit. [Venti autem ſunt fluxus aeris; qui nomina mutant,] pro rationibus locorum a quibus ſpirant. Hos gigni [dicunt Stoici] vi Solis, vapores ex nubibus elicientis. Et, *Oleam autumnalem, in muria natantem.* Φθινοπωρίδα enim hic vocat oleam conditivam, quam Græci alias κολυμβάδα appellant.

Φθινύθων. Qui corrumpitur, tabeſcit, perit.

Φθῖος. Phthius. Nomen proprium. Et Phthiotes, civis urbis Phthiæ: [per η ſcribitur.] At Φθιῶτις, fœminino genere, per ι.

Φθιρῶ. Phthiro. Mons Mæandri.

Φθισίμβροτος. Perdens viros. [Epithetum prælii.] Et Φθισήνορος, perdentis viros. Itidem epithetum pugnæ.]

1 Οἱ δὲ παλαιοὶ πρὸ τ.] Hæc nihil ad rem faciunt.

2 Λέγουσι τὴν αἶγα, τὴν τοῦ Διὸς τρ.] Hæc leguntur etiam ſupra v. Αἲξ οὐρανία. & v. Ἐπιφθασάμενον. Cæterum Portus pro ἐπιφθασάμενον legendum ſuſpicatur ἐπιθεασάμενον: quod non diſplicet.

3 Ὡς καὶ τῆς νῦν φθ.] Hæc ſunt verba Sophoclis in *Ajace*, pag. 9.

4 Φθινόπωρον. παλινδρομ.] Locus hic corruptus eſt, qui apud Laertium in *Zenone Citt.* Num. 152. unde eum depromſit Suidas, ſic legitur: Μετόπωρον δὲ τῇ παλινδρομίᾳ τοῦ ἡλίου ἀφ' ἡμῶν γίνεσθαι. Πνεύματα δ' εἶναι ἀέρος ῥύσεις. τὰς δὲ ἐπωνυμίας ἀλλάττειν παρὰ τοὺς τόπους, ἀφ' ὧν ῥέουσι. τῆς δὲ γενέσεως αὐτῶν, &c. Sed Caſaubonus recte vidit, locum iſtum eſſe mutilum, cumque hoc vel ſimili modo ſupplendum: Μετόπ. δὲ τῇ παλ. τοῦ ἡλ. ἀφ' ἡμῶν γίνεσθαι. Πνεύματα δὲ ἀέρος εἶναι ῥύσεις. τὰς δὲ ἐπωνυμίας ἀλλάττειν παρὰ τοὺς τόπους, ἀφ' ὧν ῥέουσι. &c. Ipſum conſule in notis ad locum hunc Laertii. Obiter autem nota, pro φθινόπωρον, cujus vocis gratia locum hunc Suidas adduxit, apud Laertium hodie legi μετόπωρον: quæ vox idem plane ſignificat.

5 Φθινοπωρίδα εἰν ἁλὶ ν.] Eſt fragmentum Callimachi, quod auctius legitur ſupra v. Γεργέριμος: ubi vide quæ notavimus.

6 Φθιρῶ] Confer Steph. Byz. v. Φθίρ.

7 Φθισίμβροτος] Homerus Il. N. v. 339.

Φθίσθαι. Φθαρῆναι.

Φθίσος. νῆσος.

Φθίσονται. διαφθαρήσονται.

Φθιτὸν γένος.

Φθογγαῖς. βοαῖς. ἢ φωναῖς.

Φθόη.[1] Φθίσις. ἢ ὄνομα πάθους ἐξ αἵματος ἀναγωγῆς. Πισίδης· [2] Τὴν ἱππικὴν φθόην. Καὶ Αἰλιανός· [3] Φθόη γοῦν Θεόπομπον τὸν Ἀθηναῖον ῥινώμενον καὶ λειβόμενον ἰάσατο ὁ Ἀσκληπιός.

Φθοῖς,[4] φθοΐδος. τὸ πληθυντικὸν, φθοῖς. ἔστι δὲ ὄνομα πλακοῦντος. [5] πέμματα ἃ τοῖς θεοῖς μετὰ τῶν σπλάγχνων ἔθυον. ἐν Ἐπιγράμμασι· Καὶ προχοὰν ἐν κανέῳ φθοΐδας σοι ταύτας ἐφ' ἅλωος, ὦ Δάματερ, φέρω. Τοὺς φθοῖς, μονοσυλλάβως, ἔθος λέγειν τοῖς Ἀττικοῖς. [6] Ἀριστοφάνης·

Τοὺς φθοῖς ἁρπάζοντα, καὶ τὰς ἰσχάδας.

Φθόνος. ἡ ἐπὶ τοῖς καλοῖς τοῦ πλησίον βασκανία παρὰ τῷ Ἀποστόλῳ.

Φθόνος.[7] πάθος λύπης ἐπὶ τῇ τοῦ πέλας εὐπραγίᾳ τοῦ ἐπιεικῶν τινός. ἐκ τούτου δῆλον, ὡς καὶ φθονερὸς ἂν εἴη, ὁ λυπούμενος ἐπὶ ταῖς τοῦ ἐπιεικοῦς εὐπραγίαις. οὗ κειμένου, ἐπεὶ προδήλως ἀλλότριον τοῦ σπουδαίου τὸ λυπεῖσθαι ἐπὶ ταῖς τῶν ἀγαθῶν εὐπραγίαις, (οἱ γὰρ ἐπιεικεῖς ἀγαθοί) οὐκ ἂν εἴη ὁ ἐπιεικὴς φθονερός.

Φθόνος. νόσημα ψυχῆς ἀνθρωπικὸν, καὶ ἐσθίον ψυχὴν, ἣν ἂν καταλάβοι, ὥσπερ ἰὸς τὸν σίδηρον. [8] καὶ ὁ ἔρως ταυτόν ἐστιν. οἷς ἐκεῖνος ἔχθιστον καλεῖ τὸ θεῖον, περιέρπων τὸ συμφυὲς ἀρρώστημα εἰς αὐτοὺς τοὺς ἐκφύσαντας αὐτά. εἰσὶ δὲ καὶ Ἴαμβοι·

Τὸ δεύτερον τοῦ φθόνου [9] ξέσας γράμμα,
Εὕροις ἐν αὐτῷ τὸν φόνον γεγραμμένον.

καὶ [10] Σοφοκλῆς·

Πρὸς γὰρ τὸν ἔχοντ' ὁ φθόνος ἕρπει.

Καὶ αὖθις· [11] Πιστὰ τοῖς ἀκούουσι κατὰ τῶν μεγάλων διὰ τὸν φθόνον. Καὶ [12] Πίνδαρος· Ὄψον δὲ λόγοι φθονεροῖς. Καὶ αὖθις· Σφόδρα δὲ λαμπρὸς ὢν παρὰ τοῖς Ἀθηναίοις, ὅμως ἐσκοτίσθη καὶ αὐτὸς ὑπὸ τοῦ τὰ πάντα διεσθίοντος φθόνου. δίκην γὰρ θανάτου ὦφλε.

Φθονῶ σοι. δοτικῇ. Φθονῶ σοι τοῦδε.

Ζωὸν [13] ἀτιμάσαντες, ἀποφθίμενον ποθέουσι.

Καί ποθ' ὑπὲρ τύμβοιο καὶ ἀπνόου εἰδώλοιο

Ἄστεα νεῖκος ἔπηξεν, ἔριν δ' ἐστήσατο λαός.

Φθίσθαι. Periiſſe. Perditum eſſe.

Φθίσος. Phthiſus. Inſula [ſic dicta.]

Φθίσονται. Corrumpentur. Perdentur. Peribunt.

Φθιτὸν γένος. Genus corruptioni obnoxium. Vel, mortale.

Φθογγαῖς. Clamoribus. Vocibus.

Φθόη. Phthiſis. Tabes, Vel, nomen morbi, cum [ob ulcus pulmonis] ſanguis ejicitur. Piſides: *Equeſtrem tabem.* Et Ælianus: *Theopompum Athenienſem tabe tanquam lima attenuatum diffluentemque Æſculapius ſanavit.*

Φθοΐς. Phthois. Et in plurali [contracte] Φθοῖς. Eſt nomen placentæ, quam cum inteſtinis Diis offerebant. Et in Epigrammate: *Et in caniſtro phthoidas haſce tibi, Ceres, in aream fero.* Attici per unicam ſyllabam dicere ſolent, Φθοῖς. Ariſtophanes: *Placentas auferentem & caricas.*

Φθόνος. Invidia. Sive, livor ob bona alterius, apud Apoſtolum.

Φθόνος. Invidia. Ea eſt dolor ob proſperitatem viri boni, proximi noſtri. Hinc autem patet, invidum eſſe illum, qui bonorum virorum felicitate dolet. Quo poſito; quoniam a viro bono manifeſte alienum eſt, bonorum felicitate dolere: (ἐπιεικεῖς enim ſunt boni) vir bonus non erit invidus.

Φθόνος. Invidia. Morbus animi humani, exedens animum, quem invaſerit, ut ærugo ferrum. * * * * * * Sunt & Jambi [in Invidiam ſcripti:] *Secundam vocis* Φθόνος *literam ſi deleveris, invenies in ea* Φόνος *ſcriptum.* Et Sophocles: *Ad opulentum enim invidia ſerpit.* Et iterum: *Quæ contra magnos viros dicuntur, ob invidiam facile ab audientibus creduntur.* Et Pindarus: *Sermones vero invidis ſunt opſonium.* Et iterum: *Quamvis autem apud Athenienſes valde illuſtris eſſet, obſcuratus tamen eſt ab invidia omnia arrodente. Capitis enim condemnatus eſt.*

Φθονῶ σοι. Invideo tibi. Dativo jungitur. Et, Φθονῶ σοι τοῦδε, Invideo tibi hujus rei cauſa.

Quem vivum contempſerunt, mortuum deſiderant.

Et interdum de tumulo & exanimi ſimulacro

Civitates inter ſe contenderunt, & populus litem movit.

1 Φθόη. φθίσις] Vide Harpocrationem.
2 Τὴν ἱππικὴν φθόην] MS. A plenius:
Τὴν ἱππικὴν ὑπεῖχεν ὁ στρατὸς φθόην.
Sic Jambus numeris ſuis abſolutus eſt.
3 Φθόη γοῦν Θεόπομπ.] Vide ſupra v. Θεόπομπος. ubi locum hunc Æliani multo auctiorem habes.
4 Φθοῖς, φθοΐδος. τὸ πλ.] Sic rectius MSS. Pariſ. quam priores Editt. quæ habent, Φθοῖς. τὸ πληθυντικὸν, &c.
5 Πέμματα, ἃ τοῖς Θ.] Vide ſupra v. Ἀνάστατοι.
6 Ἀριστοφάνης] *Pluto*, pag. 72. (36. Ed. Baſ. P.)
7 Φθόνος. πάθος λύπης ἐπὶ τ.] Hæc ſumpta ſunt ex Alex. Aphrod. in lib. II. *Topic.* pag. 76. ſed ubi prima ſic leguntur, Φθόνος ἐστὶ λύπη ἐπὶ φαινομένῃ εὐπραγίᾳ τῶν ἐπιεικῶν τινος. &c.

8 Καὶ ὁ ἔρως ταυτ.——ἐκφύσαντας αὐτά] Hæc & obſcura ſunt & a loco hoc aliena: quorum proinde verſionem conſulto prætermiſimus.
9 Ξέσας γράμμα] Metri gratia ſcribendum eſt, γράμμα ξέσας inverſo ſcilicet ordine.
10 Σοφοκλῆς] In *Ajace*, pag. 10. ut Portus monuit.
11 Πιστὰ τοῖς ἀκούουσι κατὰ τ.] Hæc ſunt verba Scholiaſtæ Sophocl. ad locum illum in *Ajace*, pag. 10.
Τῶν γὰρ μεγάλων ψυχῶν ἱεὶς
Οὐκ ἂν ἁμάρτοι.
12 Πίνδαρος] *Nem.* Od. VIII. v. 36.
13 Ζωὸν ἀτιμάσ.] In MS. A. ante hos verſus additur: Στίχοι Δημητρίου εἰς φθονερούς.

Φθόρος. χρηστικῶς. [1]Οὕτως ἦν αὐτῷ κατεσπουδασμένος ὁ τῶν ἀνθρώπων ἀεὶ φθόρος. Καὶ αὖθις· Πολὺς δὲ φθόρος ἐγένετο τῶν σωμάτων. εἰ γάρ τοι δεῖ νοεῖν τὸν φθόρον, τότ' ἂν ἰδών τις τὸ συμβαῖνον ἔγνω σαφῶς.

Φλάβιος. ὄνομα [2]χρηματιστοῦ.

Φλάκκος. ὄνομα κύριον. Ἀλλ' ἐπεχείρησαν καὶ οἱ Καμπανοὶ τοῦ Φλάκκου, καὶ οἱ Συρακούσιοι τοῦ Μαρκέλλου κατηγορῆσαι.

Φλαμίνιος. ὄνομα κύριον. [3]Ὁ Φλαμίνιος ὀχλοκόπος καὶ δημαγωγὸς τέλειος· περὶ ἀληθινῶν δὲ καὶ πολεμικῶν πραγμάτων χειρισμὸν οὐκ εὐφυής. καὶ Φλαμινίους.

Φλᾷν. θλᾷν. τύπτειν.

Φλᾷν τὸ ἑαυτοῦ δυσμενεστάτου κάραν.

[4]Ἀριστοφάνης·

Νύττουσι γὰρ καὶ φλῶσι τἀντικνήμια,

Ἐνδεικνύμενος ἕκαστος εὔνοιάν τινα.

Καὶ, Οὐκ ἐς κόρακας ἐρρήσετε;

Φλαῦρον. Ἀττικῶς. φαῦλον δὲ, κοινῶς. [5]κοῦφον. κακόν. διαφέρει δὲ ὅμως φλαῦρον καὶ φαῦλον. φλαῦρον μὲν γάρ ἐστι, τὸ μικρὸν κακόν. φαῦλον δὲ, τὸ μέγα.

Φλαῦρον. [6]φλύαρον. ἀηδές. δύσφημον. λυπηρόν. παρὰ Ἀριστοφάνει.

Γέροντα [7]δ' ὀρθοῦν φλαῦρον, ὃς νέος πέσοι.

Τουτέστι, τὸν ἅπαξ ἐν νεότητι πεσόντα ἐν γήρᾳ ὀρθοῦσθαι ἀδύνατον.

——————— [8]Εὐστομεῖ,

Καὶ μηδὲν εἴπῃς φλαῦρον ἄνδρας δεξιοὺς,

Καὶ νοῦν ἔχοντας, ὧν ὑπὸ τῆς φειδωλίας

Ἀπεκείρατ' οὐδεὶς πώποτ', οὐδ' ἠλείψατο,

Οὐδ' εἰς βαλανεῖον ἦλθε λουσόμενος.

Φλαυρότατον. Ποιήσαντες δὲ ταῦτα, ὑπολείπεσθαι τῆς στρατιᾶς τὸ φλαυρότατον. παρὰ Ἡροδότῳ. τουτέστι, τὸ κακόν. Καὶ αὖθις·

——————— Τὴν [9]ἀλώπεχ', ὡς

Φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε.

καὶ Φλαυρουργὸς, ὁ μικρὰ κακὰ ἐργασάμενος. [10]Σοφοκλῆς· Φλαυρουργοῦ τινος περὶ τεχνήματ' ἀνδρός.

Φλεβάζοντες. βρύοντες.

Φλεβοτομεῖν. ζήτει ἐν τῷ Γενεά.

Φλέγμα. οὐ λέγεται πρῶτον ἀπὸ τροφῆς, (πρῶτον γὰρ ἀπὸ τροφῆς τὸ αἷμα) τὸ δὲ φλέγμα πρῶτον τῶν ἀπέπτων. ἔστι δὲ καὶ ἄλλα ἄπεπτα. ἀπὸ γὰρ φλέγματος μεταβάλλεται ὀξὺς χυμὸς περὶ τὸν στόμαχον. ἔστιν οὖν οὐχ ἁπλῶς πρῶτον, ἀλλὰ τῶν ἀπέπτων.

Φλεγμαίνουσαν [11]πόλιν. ἡ μεταφορὰ ἀπὸ τῶν

Φθόρος. Eſt maſculini generis. Pernicies. Cædes. Exitium. *Adeo homines perdere ſemper ſtudebat*. Et iterum: *Magna vero fuit corporum ſtrages. Si enim ſcire oporteat, quid ſit ſtrages & internecio, ſi quis tunc vidiſſet, quod acciderat, manifeſte rem cognoviſſet.*

Φλάβιος. Flavius. Nomen hominis quæſtui dediti.

Φλάκκος. Flaccus. Nomen proprium. *Sed & Campani Flaccum, & Syracuſani Marcellum accuſare cœperunt.*

Φλαμίνιος. Flaminius. Nomen proprium. *Flaminius orator quidem erat turbæ rudi vendibilis, & qui ad populum dicendo ſupra modum valeret; cæterum ad rem bellicam adminiſtrandam ineptus.*

Φλᾷν. Tundere. Verberare. Frangere. *Tundere inimiciſſimum ſuum ipſius caput.* Ariſtophanes: *Fodicant enim & tundunt crura, benevolentiam ſuam quiſque declarantes.* Et, *Non ad corvos abibitis?*

Φλαῦρον. Atticum eſt. At φαῦλον, commune. [Significat autem,] leve malum. Differt tamen φλαῦρον & φαῦλον. Nam φλαῦρον eſt parvum malum: φαῦλον vero, magnum [malum.]

Φλαῦρον. Malum. Frivolum. Injucundum. Maledicum. Moleſtum. Apud Ariſtophanem. [Et Sophocles:] *Difficile autem eſt erigere ſenem, qui juvenis ceciderit.* Vel, Fieri non poteſt, ut ille, qui ſemel in juventute cecidit, in ſenectute erigatur. † *Bona verba: ne maledicas viris tam doctis & ſapientibus, qui tam parce vivunt, ut nemo illorum attonſus ſit unquam, nec unguento delibutus, nec in balneo lotus.*

Φλαυρότατον. Peſſimum. Viliſſimum. *Cum autem hæc feciſſent, peſſimam partem exercitus relictam fuiſſe.* Apud Herodotum. Et iterum: *Vulpem cum aquila quondam male ſocietatem iniiſſe [ferunt.]* Et φλαυρουργὸς, qui parva mala fecit. [Malus vel vilis artifex.] Sophocles: *Opus mali cujuſdam viliſque artificis.*

Φλεβάζοντες. Tanquam ex vena ſcaturientes.

Φλεβοτομεῖν. Venam ſecare. Vide in v. Γενεά.

Φλέγμα. Phlegma. Non dicitur a cibo primum, (ſanguis enim eſt a cibo primus) ſed phlegma eſt primum crudorum. Sunt autem & alia cruda. Nam phlegma degenerat in acidum humorem circa ſtomachum. Eſt igitur non ſimpliciter primum, ſed crudorum.

Φλεγμαίνουσαν πόλιν. Civitatem turbulentam,

1 Οὕτως ἦν αὐτῷ κατεσπ.] Fragmentum hoc legitur apud Procop. *Hiſt. Arc.* cap. XIII.

2 Χρηματιστοῦ] Portus legit, χρηματιστοῦ: quod probo.

3 Ὁ Φλαμίνιος ὀχλ.] Hæc ſunt verba Polybii, lib. III. cap. LXXX. eademque leguntur ſupra, v. Δημαγωγός, & v. Ὄχλος.

4 Ἀριστοφάνης] *Pluto*, pag. 80. (40. Ed. Baſ. *P.*)

5 Κοῦφον. κακόν] In MS. A. abſque interpunctione legitur, κοῦφον κακόν: quod magis placet. Nam & paulo poſt dicitur, τὸ φλαῦρον ſignificare, μικρὸν κακόν: quod idem plane eſt, ac κοῦφον κακόν. Huc accedit auctoritas Etymologi, qui v. φαῦλον ait, τὸ φλαῦρον notare μικρὸν καὶ κοῦφον κακόν.

6 Φλαῦρον. φλύαρον, ἀηδ.] Ex Scholiaſta Ariſtoph. ad *Pacem*, pag. 630. (437. Ed. Baſ. P.) ſed ubi pro ἀηδὴς legitur ἀναιδής.

7 Γέροντα δ' ὀρθ.] Eſt verſus Sophoclis *Oedip. Colon.* pag. 285. ut Portus monuit.

8 Εὐστομεῖ καὶ μηδ.] Hæc ſunt verba Ariſtophanis *Nubibus*, pag. 173. (103. Ed. Baſ. P.)

9 Τὴν ἀλώπεχ', ὡς φλ.] Ex Babrio.

10 Σοφοκλῆς] In *Philoctete*, pag. 379. ut Portus monuit. Ibi autem locus hic ita legitur & diſtinguitur,

——————Φλαυρουργοῦ τινος

Τεχνήματ' ἀνδρὸς, &c.

11 Φλεγμαίνουσαν πόλιν] Locus eſt apud Platonem lib. II. *de Republ*.

ἑλκῶν,

ἑλκῶν, τὴν διὰ φλεγμονὴν κινδυνευόντων ἐκῥήγνυσθαι.

Φλέγει. ἀντὶ τοῦ ζωπυρεῖ. [1]Σοφοκλῆς·

Πάνθ' ὁ μέγας χρόνος μαραίνει

Τε, καὶ φλέγει. ———

Φλέγων. ζωπυρῶν. ἀνεγείρων. [2]Ἄταν οὐρανίαν φλέγων.

Φλέγων, Τραλλιανὸς, [3]ἀπελεύθερος τοῦ Σεβαστοῦ Καίσαρος, (οἱ δὲ Ἀδριανοῦ φασιν) ἱστορικός. ἔγραψεν [4]Ὀλυμπιάδας ἐν βιβλίοις ιϛ'. ἔστι δὲ μέχρι τῆς σκθ'. ὀλυμπιάδος τὰ πραχθέντα πανταχοῦ. τὰ δὲ αὐτὰ ἐν βιβλίοις η'. Ἔκφρασιν Σικελίας. [5]Περὶ μακροβίων, καὶ [6]θαυμασίων. Περὶ τῶν παρὰ Ῥωμαίοις ἑορτῶν βιβλία γ'. Περὶ τῶν ἐν Ῥώμῃ τόπων, καὶ ὧν ἐπικέκληνται ὀνομάτων. Ἐπιτομὴν Ὀλυμπιονικῶν, ἐν βιβλίοις β'. καὶ ἄλλα. [7]Τούτου τοῦ Φλέγωνος, ὥς φησι Φιλοστόργιος, ὅσον τὰ κατὰ τοὺς Ἰουδαίους συμπεσόντα διὰ πλείονος ἐπεξελθεῖν τοῦ πλάτους, Φλέγωνος καὶ Δίωνος βραχέως ἐπιμνησθέντων, καὶ παρενθήκην αὐτὰ τοῦ ἰδίου λόγου ποιησαμένων. ἐπεὶ τήν γε εἰς εὐσέβειαν καὶ τὴν ἄλλην ἀρετὴν ἑλκόντων οὐδ' ὁπωσοῦν οὐδ' οὗτος δείκνυται πεφροντικὼς, ὥσπερ οὐδ' ἐκεῖνοι τρόπον. τοὐναντίον μὲν οὖν ὁ Ἰώσηπος καὶ δεδιότι ἔοικε, καὶ εὐλαβουμένῳ, ὡς μὴ προσκρούσειεν Ἕλλησι.

Φλεγραίας[8] πεδίον. Θρακικόν. Ἀριστοφάνης· Ἵνα παρὰ τοὺς Γηγενεῖς ἀλαζονευομένους καθυπερηκόντισαν.

Φλεγύας. ὁ ἀετός.

Φλεγύα. πόλις Βοιωτίας. ὁ ἀπὸ ταύτης, Φλεγύας, Φλεγύου.

Φλεγυρά. λαμπρά. φλέγουσα. λάμπουσα. ἢ θερμὴ, διὰ τοὺς ἄνθρακας. [9]Ἀριστοφάνης· Δεῦρο Μοῦσ' ἐλθὲ, φλεγυρὰ προσέχουσα μένος.

Φλεδονεία. πόλις. Φλεδονεία, καὶ ἡ φλυαρία. ἀπὸ τοῦ φλεδονεύω, φλεδονεία. τοῦτο δὲ, ἀπὸ τοῦ φλύω, ὃ καὶ φλέω λέγεται. καὶ φλεδὼν, ἡ φλυαρία.

Φλέδων. [10]Τὸν Ἀντισθένη τὸν φιλόσοφον ἐπισκώπτων ὁ Τίμων διὰ τὸ πλῆθος, παντοφυῆ φλέδονα καλεῖ.

Φλέων, [11]Φλέω. λοχμῶδες φυτόν· οὗ μνημονεύει καὶ [12]Θεόφραστος, παραδηλῶν, ὅτι ποτάμιός ἐστι βοτάνη,

& ad ſeditionem ſpectantem. Tranſlatio ducta eſt ab ulceribus, quæ propter inflammationem & tumorem minantur rupturam.

Φλέγει. Accendit. Excitat. Urit. Sophocles: *Omnia longum tempus paulatim conſumit, & rurſus excitat.*

Φλέγων. Accendens. Excitans. Incendens. *Malum cœlitus immiſſum velut accendens.*

Φλέγων. Phlego, Trallianus, libertus Auguſti Cæſaris; vel, ut alii, Adriani: hiſtoricus. Scripſit Olympiadas libris XVI. Continent autem res ubique terrarum geſtas uſque ad Olympiadem CCXXIX. Eaſdem etiam octo libris expoſuit. Deſcriptionem Siciliæ. De longævis, & rebus mirabilibus. De Romanorum feſtis, libros tres. De Romæ locis, & eorum nominibus. Epitomen Olympionicarum: & alia. De hoc Phlegone Philoſtorgius ait, Juſtum res Judæorum fuſius executum eſſe, quam Phlegonem & Dionem; quippe qui breviter eas attigerint, earumque obiter tantum in ſcriptis ſuis mentionem fecerint. Nam illorum quidem, quæ ad pietatem aliaſque virtutes ſpectent, nec iſtum nec hos ullam habuiſſe rationem. Contra vero Joſephum videri timere & cavere, ne Græcos offendat.

Φλεγραίας πεδ. Campus Phlegræus: qui eſt in Thracia. Ariſtophanes: *Campus Phlegræus; ubi Dii Gigantes virium fiducia elatos ſuperarunt.*

Φλεγύας. Phlegyas, Species aquilæ.

Φλεγύα. Phlegya, Urbs Bœotiæ. Hujus civis dicitur Phlegyas, Phlegyæ.

Φλεγυρά. Splendida. Ardens. Splendens. Vel, calida, propter carbones. Ariſtophanes: *Huc ades Muſa, ardentibus inſtructa facibus.*

Φλεδονεία. Phledonia. Urbs. Φλεδονεία item, nugæ, ineptiæ. A φλεδονεύω, nugor. Hoc vero a φλύω, quod & φλέω dicitur. Et φλεδὼν, nugæ, ineptiæ.

Φλέδων. Nugator. Timon Antiſthenem Philoſophum carpens ob [librorum, quos ſcripſerat,] multitudinem, eum vocat nugatorem omnivarium.

Φλέων. Phleon. Planta fruticoſa, cujus & Theophraſtus meminit, dicens, eam eſſe her-

1 Σοφοκλῆς] In *Ajace*, pag. 43. ut Portus monuit.

2 Ἄταν οὐραν.] Et hæc ſunt verba Sophoclis in *Ajace*, pag. 13. ut itidem Portus obſervaverat.

3 Ἀπελεύθερος τοῦ Σεβαστοῦ Κ.] Hoc falſum eſſe oſtendit Voſſius in opere *de Hiſt. Gr.* lib. II. cap. XI.

4 Ὀλυμπιάδας] De hoc opere vide Photium in *Biblioth.* Cod. XCVII. & (præter Voſſium modo laudatum) Scaligerum ad Euſeb. Num. MMXLIV.

5 Περὶ μακροβίων] Libellus Phlegontis *de Longævis* hodie adhuc exſtat, editus primum a Xylandro, & deinde a Meurſio.

6 Καὶ θαυμασίων] Et hujus operis fragmentum ad ætatem noſtram pervenit, editum a Meurſio Lugd. Batav. A. 1620.

7 Τούτου τοῦ Φλέγωνος, ὥς φησι Φιλοσ.] Locus hic Suidæ mutilus eſt & corruptus; in quo deeſt nomen ſcriptoris tertii, qui Phlegonti & Dioni opponatur. Is autem forte eſt Juſtus Tiberienſis, quem res Judaicas literis mandaſſe Suidas ſupra teſtatur. Hanc conjecturam ſi admiſerimus, locus hic Suidæ ſic reſtitui poterit: Περὶ τούτου τοῦ Φλέγωνος Φιλοστόργιος φησὶν, Ἰοῦστον τὰ κατὰ τοὺς Ἰουδαίους συμπεσόντα, &c. Confer Jacobum Gothofredum in Diſſertationibus ad Philoſtorg. pag. 8. & 9.

8 Φλεγραίας πεδίον] Scribe, Φλέγρας πεδίον. Et deinde, Ἀριστοφάνης·

Τὸ Φλέγρας πεδίον, ἵν' οἱ Θεοὶ τοὺς Γηγενεῖς

Ἀλαζονευομένους καθυπερηκόντισαν.

Locus autem Ariſtophanis exſtat in *Avibus*, pag. 579. (400. Ed. Baſ. P.)

9 Ἀριστοφάνης] *Acharnenſ.* pag. 403. (288. Ed. Baſ. P.) ubi ſic legitur:

Δεῦρο Μοῦσ' ἐλθὲ φλεγυρὰ πυρὸς ἔ-

χουσα μένος.

Sic etiam apud Suidam ſcribendum eſt.

10 Τὸν Ἀντισθένη τὸν φιλ.] Hæc leguntur apud Laertium in *Antiſthene*, ſub finem.

11 Φλέων, Φλέω. λοχμ.] Ex Scholiaſte Ariſtophanis ad *Ranas*; p. 223. (140. Ed. Baſ. P.) ſed ubi pro φλέων rectius legitur, φλεώς.

12 Θεόφραστος] Lib. IV. *Hiſtor. Plant.* cap. XI. ubi herba hæc vocatur φλεώς, cum acuto in ultima.

ὡς τὸ βύτομον. καὶ ἐν Ἀμφιαράῳ·

Πόθεν ἂν λάβοιμι τοῦ πρωκτοῦ βύσμα φλέων;

Ἀριστοφάνης Βατράχοις·

Ἡλάμεσθα διὰ κυπείρου
Καὶ φλέω, χαίροντες ᾠδῆς
Πολυκολύμβοισι μέλεσι.

Φλέσιον. τόπος.

Φληναφεῖ.[1] φλυαρεῖ.

Φλήναφος. μωρολόγος. καὶ φληναφία, θηλυκόν.

Φλιά. ὁ παραστάτης τῆς θύρας.

Φλίει. μιμητικῶς φωνεῖ.

Φλόγεα. λαμπρά.

Φλογιστόν.

Φλογιστὸν[2] ἤδη, καὶ κατηνθρακωμένον.

περὶ τοῦ Ὀρέστου σώματος. καὶ φλόγεος.

Φλογμός. καῦμα. ἐκπυράκτωσις.

Φλόμος.[3] βοτάνη.

Φλόρος. τὸ ὄρνεον. διὰ τοῦ ο μικροῦ. Φλῶρος δὲ, ὄνομα κύριον, διὰ τοῦ ω μεγάλου.

Φλωβός.[4] βοτάνη.

Φλῶμος. βοτάνη, ἣ[5] καὶ ἀντὶ ἐλλυχνίου χρῶνται. Αἰλιανός· Ἐμβαλὼν δὲ εἰς τὴν λίμνην φλώμου φύλλα, ἢ κάρυα, ἀπώλεσε τοὺς γυρίνους.

Φλωρέντεια. πόλις. Φλωρέντιος δὲ, ὄνομα κύριον.

Φλοιδούμενος.[6] ζεόμενος. βρασσόμενος.

Φλοιός. τὸ λέπος τοῦ δένδρου. [7] Εἶχε δὲ ὁ Κράντωρ ἀπελέκητον φωνὴν, καὶ φλοιοῦ μεστὴν τραγῳδιῶν.

Φλοίσβου. ταράχου. Φλοῖσβος. ἀπὸ τοῦ φλείω, τὸ ἀναβράζω, γίνεται φλόβος, καὶ φλοῖσβος.

Φλύακες. [8] Σωτάδης ἔγραψε [9] φλύακας, ἤτοι κιναίδους, διαλέκτῳ Ἰωνικῇ. καὶ γὰρ Ἰωνικοὶ λόγοι ἐκαλοῦντο οὗτοι. ἐχρήσατο δὲ τῷ εἴδει τούτῳ Ἀλέξανδρος ὁ Αἰτωλὸς, καὶ ἕτεροι.

Φλύαρος. φλήναφος, καὶ λῆρος. μάταιος λόγος. καὶ Ἀριστοφάνης Νεφέλαις· Τὰ δ' ἄλλα πάντ' ἐπὶ φλύαρος. Καὶ αὖθις· Μὴ γὰρ οὔσης ἀνάγκης, τί δεῖ φλυαρεῖν ὁτιοῦν πρὸς ὁντιναοῦν.

Φλυδούμενος. ἀντὶ τοῦ ταρασσόμενος. καταπονούμενος. καὶ Λυκόφρων.

Φλυΐα.[10] δῆμος τῆς Κεκροπίδος. ὁ δημότης Φλυεύς. ἐκ τούτου δὲ τοῦ δήμου ἦν Εὐριπίδης, ὁ τῆς τραγῳδίας ποιητής.

Φλύειν. τὸ ἀναζεῖν. ἤγουν βράζειν.

Φλύκταιναι.[11] τὰ τῶν χειρῶν ἐπαναστήματα, τὰ γι-

bam fluvialem, ut butomum. Et in Amphiarao: *Unde ſumam phleon, quo podicem obturem?* Et Ariſtophanes in *Ranis*: *Saltavimus per cyperum & phleon, gaudentes carminibus, quæ inter natandum cantantur.*

Φλέσιον. Phleſion. Locus [ita dictus.]

Φληναφεῖ. Nugatur. Stulte loquitur.

Φλήναφος. Nugator. Nugax. Qui ſtulta loquitur. Et φληναφία, nugæ.

Φλιά. Poſtis januæ. Antæ.

Φλίει. Sonum quendam ore imitatur.

Φλόγεα. Flammea. Splendida.

Φλογιστόν. Flamma conſumptum. Combuſtum. Crematum. *Crematum jam & in carbones redactum.* De Oreſtis corpore hæc dicuntur.

Φλογμός. Incendium. Inflammatio.

Φλόμος. Phlomus. Herba.

Φλόρος. Florus. Avis. Per ο parvum ſcribitur. Φλῶρος vero, nomen proprium viri, per ω magnum. Florus.

Φλωβός. Phlobus. Herba.

Φλῶμος. Phlomus. Herba, quæ & ellychnii uſum præbet. Ælianus: *Conjectis autem in paludem phlomi foliis, vel nucibus, ranas necavit.*

2 Φωσώνιον] Alii ſcribunt φωσσώνιον, per duplex σσ. Vide Reineſ. *Var. Lect.* pag. 432. & Dufreſnium in Gloſſario Græco.

3 Προσώπου τὸ ἐκμαγεῖον] Portus interpretatur, *Vultus effigies*: quæ interpretatio quam longe a vero ſenſu abſit, ex noſtra verſione Lector diſcere poterit.

4 Ὀράριον] Sic MS. A. At priores Editt. male ὡράριος; quod Portus verterat *Horarium*: certo indicio, eum & loci & vocis hujus verum ſenſum minime perſpexiſſe. De voce Ὀράριον autem vide Gloſſographos, & Noſtrum ſupra ſuo loco.

5 Οὐ γὰρ μόνον ὁ μέγ.] Elegans hic locus legitur etiam ſupra v. Ἄναλκις: ubi oſtendimus, eum ex Vita Iſidori a Damaſcio conſcripta a Suida excerptum eſſe.

6 Συνεῖλεν] Scribe, ἀνεῖλεν.

7 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XV. Epigr. XX.

Φραγ-

Φράγμαθ' ὑπὲρ κραναὸν ἄλλος ἔπαξε πίτυν.
Τὰ κέρατα λέγει ἐλάφου.

frontis munimenta, altæ pinui alius affixit. De cornibus cervi hæc dicuntur.

Φραγνύντες. καθοπλίζοντες. Τῶν νέων τοὺς ἀπορωτάτους τοῖς ὅπλοις φραγνύντες.

Φραγνύντες. Munientes. Armantes. *Juvenes pauperrimos armis inſtruxerunt.*

Φραδέως.[1] Φρονίμου.

Φραδέως. Prudentis.

Φράδμων. συνετός. Φρόνιμος. ἢ ἔμπειρος.

Φράδμων. Intelligens. Prudens. Vel, peritus.

Φραζόμενος. σκεπτόμενος. διανοούμενος.

Φραζόμενος. Conſiderans. Diſpiciens.

Φράζουσι. σημαίνουσι. δηλοῦσι.

Φράζουσι. Dicunt. Significant. Declarant.

Φραώτης.[2] ὄνομα κύριον.

Φραώτης. Phraotes. Nomen proprium.

Φράσας. Φρασάμενος. ἐπινοήσας. [3] Δόλος ἦν, ὁ Φράσας. τουτέστι, τὴν ἑστίασιν, ἐν ᾗ ἀνῃρέθη ὁ Ἀγαμέμνων. ἔρως ὁ κτείνας. ὁ Αἴγισθος δι' ἔρωτος.

Φράσας. Qui animo agitavit. Qui animadvertit. Qui excogitavit. *Dolus fuit, qui rem excogitavit:* (Id eſt, convivium, in quo Agamemnon occiſus eſt) *at amor, qui occidit.*

Ægiſthus enim propter amorem [erga Clytæmneſtram Agamemnonem occidit.]

Φραστῆρας. εἰδήμονας. ἐπιστήμονας. [4] Ξενοφῶν· Εἶχε δὲ τούτους ὁ Κῦρος ὁδῶν Φραστῆρας, καὶ ὑδάτων, καὶ χιλοῦ.

Φραστῆρας. Indices. Scientes. Peritos. Xenophon: *Cyrus autem hos viarum & aquarum & pabuli indices habebat.*

Φραστῆρες. οἱ γνώμονες τῶν ἡλικιῶν ὀδόντες. Ἀριστοφάνης·

Ἑπτέτης[5] ὢν Ἀρχέδημος οὐκ ἔφυσε Φράτορας.

ἀντὶ τοῦ εἰπεῖν, ὀδόντας Φραστῆρας, Φράτορας εἶπε. τουτέστι, συγγενεῖς. ἡ μεταφορὰ ἀπὸ τῶν παίδων, οἵτινες ὄντες περὶ τὰ ἑπτὰ ἔτη, ἔχουσι πάντας τοὺς ὀδόντας. λέγει οὖν, ὅτι χρονίσας ἐν ταῖς Ἀθήναις, οὐκ ἠδυνήθη ἀναγραφῆναι εἰς τοὺς πολίτας.

Καὶ[6] νῦν δημαγωγεῖ
Ἐν τοῖς ἄνω νεκροῖς,
Κἄστι τὰ πρῶτα τῆς ἐκεῖ μοχθηρίας.

Ἀντὶ τοῦ εἰπεῖν, πολιτείας, ἢ δημαγωγίας, μοχθηρίας εἶπε· χαριέντως πρὸς τὰ κακὰ αὐτῶν. οὐ λέγει δὲ διὰ τὴν κακοπραγίαν νεκροὺς τοὺς Ἀθηναίους· ἀλλὰ πιθανῶς οἱ κάτω ζῶντας ἄνω νεκρούς φασι.

Φραστῆρες. Dentes ætatis indices. Ariſtophanes: *Archedemus, cum ſit ſeptennis, non produxit phratoras.* Cum eſſet dicendum, ὀδόντας Φραστῆρας, i.e. dentes ætatis indices; dixit Φράτορας. Tranſlatio ducta eſt a pueris, qui circiter ſeptimum annum ætatis omnes dentes habent. Ait igitur illum, quamvis Athenis diu commoratus eſſet, non potuiſſe jus civitatis conſequi. *Et nunc Demagogus eſt apud ſuperos mortuos, & princeps vigentis illic improbitatis.* Cum eſſet dicendum πολιτείας, vel δημαγωγίας; dixit μοχθηρίας: feſtive ad illorum mala alludens. Athenienſes autem *mortuos* vocat, non quod rem infeliciter gererent: ſed probabile eſt Inferos vocare mortuos eos, qui vivunt apud ſuperos.

Φράτορες.[7] Φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς Φυλῆς. Φράτορες δὲ, οἱ τῆς αὐτῆς Φρατρίας μετέχοντες. καὶ Φρατρίζειν, τὸ τῆς αὐτῆς Φρατρίας μετέχειν.

Φράτορες. Phratores. Phratria eſt tertia pars Tribus. Phratores vero dicuntur, qui ſunt ejuſdem Phratriæ participes. Et Φρατρίζειν, ejuſdem Phratriæ participem eſſe.

Φράτορες, καὶ Φρατρίαι, καὶ Φρατρίαρχος. Φρατρία ἐστὶ τὸ τρίτον μέρος τῆς Φυλῆς. ὁ οὖν τούτου τοῦ μέρους ἡγούμενος, Φρατρίαρχος ἐκαλεῖτο. [8] ἐγράφετο δὲ πατρόθεν εἰς τοὺς Φράτορας τῇ τῶν Ἀπατουρίων ἑορτῇ. Φασὶ δὲ τὸ αὐτὸ ἔθνος εἶναι Τριττὺν, ἤτοι τὴν Φρατρίαν, ἢ Φρατορίαν. [9] Φράτορας δὲ, τοὺς συγγενεῖς καλοῦσιν. εἰσὶ δὲ οἱ τῆς αὐτῆς Φρατρίας μετέχοντες, ἤγουν πατριᾶς τινος. ὁ γοῦν Ὅμηρος τὴν αὐτὴν καὶ πάτρην λέγει.

Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἴα πάτρη.

μεταφορᾷ, Φράτρη, καὶ [10] Φάτρη. μεταπέπτωκε δὲ τὰ στοιχεῖα· καθάπερ ἐπὶ τοῦ Πάτριος Ζεὺς, καὶ [11] Φάτριος. τὸ δὲ γράφεσθαι εἰς τοὺς Φράτορας σύμβολον εἶχε τῆς συγγενείας.

Φράτορες, & Φρατρίαι, & Φρατρίαρχος. Phratria eſt tertia pars Tribus: cujus præfectus vocabatur Phratriarchus. Inſcribebatur autem in albo Phratorum, de nomine patris, feſto Apaturiorum. Dicunt autem Trittyn, & Phratriam, ſive Phratoriam, idem eſſe. Phratores autem vocant Curiales, ſive eos, qui ejuſdem Phratriæ participes ſunt. Φρατρία autem dicta eſt, quaſi πατριά, i.e. familia. Homerus certe eam & πάτρην vocat, [in hoc verſu:] *Ambobus certe idem erat genus, & eadem patria.* Dicitur autem Φάτρη & πάτρη, per commutationem literarum; ut & Jupiter Πάτριος & Φάτριος. In album vero Phratorum referri, cognationis cujuſdam ſignum ducebatur.

1 Φραδέως] Scribendum eſt, Φραδέος, per ſimplex ο: a Φραδής.
2 Φραώτης] Rex Indorum: de quo multa apud Philoſtratum lib. 11. *de Vit. Ap.*
3 Δόλος ἦν, ὁ Φρ.] Sophocles in *Electra*, pag. 90.
Δόλος ἦν ὁ Φράσας, ἔρος ὁ κτείνας.
Scholiaſtes ad illum locum: Δόλος ἦν ὁ Φράσας. ἀντὶ τοῦ, ὁ Φρασάμενος, ἐπινοησάμενος. ὁ δὲ ἀνελὼν, ἔρως. δι' ἔρωτα γὰρ ἑαυτοῦ ἀνεῖλον Ἀγαμέμνονα. Δόλος, ὁ Φρασάμενος τὴν ἑστίασιν, ἐν ᾗ ἀνῃρέθη.
4 Ξενοφῶν] Lib. v. *de Inſtitut. Cyri*, pag. 139. ſed ubi numero ſingulari legitur, Φραστῆρα. De ſolo enim Gadata ibi verba fiunt.
5 Ἑπτέτης ὢν Ἀρχ.] Ariſtoph. *Ranis*, pag. 231. (147. Ed. Baſ. P.)
Σκάψομεν Ἀρχέδημον,
Ὃς ἑπτέτης ὢν οὐκ ἔφυσε Φράτερας.
Vide ibi Scholiaſtam.
6 Καὶ νῦν δημαγωγεῖ ἐν τ.] Hæc leguntur apud Ariſtophanem eodem loco.
7 Φράτορες] Confer Noſtrum ſupra, v. Φατρία.
8 Ἐγράφετο δὲ πατρ.] Vide Meurſium in *Græc. Fer.* v. Ἀπατούρια.
9 Φράτορας δὲ τοὺς συγ. καλ.] Hæc, & quæ ſequuntur, leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 301.
10 Φάτρη] Scribe, πάτρη.
11 Φάτριος] Sic recte MS. A. At priores Editt. male, πάτριος.

Φραχθέντες. ἀσφαλισάμενοι.

Φρεάντλης. οὕτως ἐκαλεῖτο Κλεάνθης ὁ φιλόσοφος. μὴ ἔχων γὰρ ὅθεν τραφείη, τὰς μὲν νύκτας ἤντλει ὕδωρ μισθῷ· μεθ' ἡμέραν δὲ τοῖς βιβλίοις ἐσχόλαζε.

Φρέαρ διαφθορᾶς. ἡ διηνεκὴς τιμωρία παρὰ τῷ Δαβίδ.

Φρεάριος.[1] δῆμος τῆς Λεοντίδος. Δημοσθένης ὑπὲρ Κτησιφῶντος.

Φρεάτια. τὰ βαθέα ὀρύγματα. Πᾶσαν ἐδῄωσε τὴν γῆν, μήτε τῶν [2] φρεατίων ναμάτων φεισάμενος. Καὶ αὖθις· [3] Φρεατίας δὲ εἶχεν ὁ τόπος ἀγνοουμένας. καὶ Φρεατία, ὄρυξις.

Φρενήρης. φρόνιμος. ἢ [4] παράφρων. [5] Ἀγαθίας· Ἦν δέ τις Ἀρμένιος φρενήρης, καὶ ἐν δέοντι φιλοκίνδυνος. Καὶ αὖθις· Ὁ μὲν Κόμμοδος ἦν φύσει τε [6] οὐ φρενήρης, καὶ οὐ μάλα τι ἀγαθὸς τὰ πολεμικά.

Φρενῖτις. νόσος.

Φρενοβλαβής. μωρός. βεβλαμμένος κατὰ τὰς φρένας. καὶ Φρενοβλάβεια. καὶ Φρενοβλαβὴς, ὁ τὰς φρένας βεβλαμμένος. ὁ παράφρων. Ἐπὶ Λέοντος τοῦ βασιλέως Ῥωμαίων Αἰθίοπες ἐκόμισαν καμηλοπαρδάλεις, καὶ δύο ἐν βραχυτάτοις σώμασιν ἄνδρας φρενοβλαβεῖς, οὓς δὴ πυγμαίους Ὅμηρος ὠνόμασε.

Φρενόθεν. [7] Σοφοκλῆς·

Οὔ ποτε γὰρ φρενόθεν γ' ἐπ' ἀριστερὰ,
Παῖ Τελαμῶνος, ἔβας,
Τόσσον ἐν ποίμναισι πίτνων.

Ἀντὶ τοῦ, οὐ γὰρ ἐπὶ τοσοῦτον ἄφρων εἶ, ὡς ἄνευ αἰτίας θεῶν ἐμπεσεῖν τοῖς ποιμνίοις. Ἀριστερὰ δὲ, τὰ μωρὰ ἐκάλουν οἱ παλαιοί. δεξιὰ δὲ, τὰ συνετά.

Φρενήληπτος.[8] ὁ ἀναίσθητος.

Φρενωθῆναι. ἀντὶ τοῦ σωφρονισθῆναι. ἀπὸ τοῦ φρενῶ, γ' συζυγίας τῶν περισπωμένων.

Φρεορύκτης. φρεωρύχος δέ. καὶ Φρεατορύκτης. καὶ Φρεωρυκτῶ, ῥῆμα. φρεορυχῶ δέ.

Φρείατα. φρέατα.

Φρὴν, φρενός. ἡ διάνοια. καὶ Φρένα.

Φρῆμας.[9] Πίνδαρος· Φρῆμας δι' αἰθέρος. διότι πυρώδης ὢν ὁ αἰθὴρ, οὐ τρέφει. καὶ ζήτει ἐν τῷ Αἰθήρ.

Φρήτρα. ἡ συγγένεια. Οἱ σφᾶς ἐκόσμουν, καὶ διεῖλον ἐς φρήτρας, λόχους τε, καὶ φάλαγγας, ὥσπερ ἀνθρώπους.

Φρίκα. τὴν ἐπιφάνειαν τοῦ κύματος.

Φραχθέντες. Septi. Muniti.

Φρεάντλης. Phreantles. Ita vocabatur Cleanthes Philoſophus. Cum enim non haberet unde viveret, noctu mercede aquam ex puteis hauriebat: interdiu vero libris operam dabat.

Φρέαρ διαφθ. Puteus exitii. Sic perpetuum ſupplicium apud Davidem vocatur.

Φρεάριος. Phrearius. Populus Tribus Leontiæ. Demoſthenes in oratione pro Cteſiphonte.

Φρεάτια. Putei. Foſſæ profundæ. *Totam regionem vaſtavit, ne puteorum quidem aquis parcens.* Et Φρεατία, puteus, foſſa. *Locus vero ille puteos habebat ignotos.*

Φρενήρης. Cordatus. Mentis compos. Vel, demens. Mente captus. Agathias: *Erat autem Armenius quidam cordatus, & qui, cum tempus exigeret, periculis ſe prompte offerebat.* Et iterum: *Commodus autem mente non ſatis conſtabat, nec bellica fortitudine præditus erat.*

Φρενῖτις. Phrenitis. Morbus.

Φρενοβλαβής. Stultus. Mente captus. Demens. [Proprie,] cui mens læſa eſt. Et Φρενοβλάβεια, dementia, inſania. *Sub Leone Romanorum Imperatore Æthiopes attulerunt camelopardales & duos viros breviſſimæ ſtaturæ, eoſque ſtultos; quos Homerus pygmæos appellavit.*

Φρενόθεν. Ex mente. A mente. Sophocles: *Nunquam enim a mente ad læva, fili Telamonis, adeo deflexiſti, ut in greges etiam irrueres.* Id eſt: Non enim adeo demens es, ut, niſi Dii furorem iſtum tibi immiſiſſent, in greges irrueres. Ἀριστερὰ enim, i. e. ſiniſtra, antiqui vocabant ſtulta: δεξιὰ vero, i. e. dextra, cordata.

Φρενήληπτος. Mente captus. Stupidus. Vecors.

Φρενωθῆναι. Prudentiorem reddi. Ad mentis ſanitatem reduci. Caſtigari. A Φρενόω, quod eſt tertiæ conjugationis circumflexorum.

Φρεορύκτης. Puteorum foſſor. [Per ο ſcribitur.] At Φρεωρύχος, [per ω.] Et Φρεατορύκτης, [idem.] Et verbum Φρεωρυκτῶ, puteos fodio, [per ω ſcribitur in ſyllaba ſecunda.] At Φρεορυχῶ, [per ο.]

Φρείατα. [Metri cauſa pro] Φρέατα. Putei.

Φρὴν, φρενός. Mens.

Φρῆμας. Pindarus: *Deſertum per ætherem.* Æther enim, cum ſit igneus, nulla animalia alit. Quære in v. Αἰθήρ.

Φρήτρα. [Idem quod Φρατρία.] Phratria. *Qui eos diſpoſuerunt & diviſerunt in phratrias, & cohortes, & phalanges, ut homines.*

Φρίκα. [Horrorem maris. Criſpam] ſuperficiem fluctus.

1 Φρεάριος] Imo, Φρέαρροι, ut patet ex Stephano Byzantio. Φρεάριος autem, vel potius, Φρεάρριος, eſt ἐθνικὸν a Φρέαρροι deductũ.

2 Φρεατίων] Videtur hic φρεατίων eſſe adjectivum: quod tamen vix crediderim. Quare ut exemplum hoc voci a Suida propoſitæ reſpondeat, ſcripſerim potius, φρεατίων καὶ ναμάτων.

3 Φρεατίας δὲ εἶχ.] Hæc ſunt verba Polybii lib. x. cap. xxv.

4 Ἢ παράφρων] Hanc interpretationem merito ſuſpectam habet Henr. Stephanus in *Theſauro* Gr. Ling. Certe, exempla ſubjuncta eam nihil adjuvant.

5 Ἀγαθίας] Lib. ii. pag 41.

6 Οὐ] Negatio hæc, quam Editt. Mediol. & Ald. agnoſcunt, male deeſt in Editt. Baſil. & Genev.

7 Σοφοκλῆς] In *Ajace*, pag. 12. ut Portus monuit.

8 Φρενήληπτος] Scribendum eſſe, φρενόληπτος, vel ex ſerie literarum patet.

9 Φρῆμας] Corrupte, pro ἐρῆμας. Vide ſupra v. Αἰθήρ. Locus autem Pindari exſtat *Olymp.* i. v. 10.

Φρίκη.

Φρίκη. τρόμος. ἀλμός. Καὶ τολμηθὲν οἱ τὸ μέγα τόλμημα, Φρίκη τις αὐτὸν περιέρχεται, καὶ νοσεῖ νόσῳ μακροτάτῃ.

Φριμάξασθαι. παρὰ Ἡροδότῳ, τὸ Φρυάξασθαι, ἢ πεφυσῆσθαι.

Φριμασσομένη. χρεμετίζουσα. ἀγειρομένη. ἢ, ἀτάκτως πηδῶσα. Ἡ δὲ ἵππος ὑποδόρμητα Φριμασσομένη ἐχώρει, καὶ ἀδύνατα εἶχεν ἐς τὰ ἄδενδρα ἐπιβῆναι. Καὶ αὖθις· Κτύπου τῶν ὅπλων, καὶ Φριμαγμοῦ τῶν ἵππων κατακούοντες, ἐξεπλήσσοντο.

Φρίξ. ἡ ἄνωθεν καὶ ἐξεπιπολῆς τῶν κυμάτων κίνησις. ἢ ὁ ἐπιπολάζων τοῖς κύμασι ἀφρὸς, ὅτε ἄνεμος ἄρχεται πνεῖν.

Φρίξ. τῶν ὑδάτων μελανία.

Φριξότριχα. ὀρθοῦντα τὰς τρίχας. [1]Βάβριος·

Κοιμωμένου λέοντος ἀγρίης χαίτης
Διέδραμεν μῦς. ὁ δὲ λέων ἐθυμώθη·
Φρίξας δὲ χαίτην ἔκθορε φωλάδος κοίλης.

Καὶ Φρίσσω, τὸ πυκνῶ.

Φρόνημα. ἡ ἔπαρσις. [2]Ὁ δὲ ὑπὸ Φρονήματος καθίησι τὰς χεῖρας, ὡς διαῤῥήξων τὸ ξύλον, καὶ πιεσθεὶς θνήσκει. Φρόνημα, καὶ ἡ ἀλαζονεία. Οἱ δὲ Ῥόδιοι, Φρόνημα πολὺ πρότερον ἔχοντες, ὡς καὶ αὐτόν τε τὸν Φίλιππον καὶ τὸν Ἀντίοχον νενικηκότες, τῶν τε Ῥωμαίων κρείττους ὄντες, ἐς τοσοῦτον δέους ἀφίκοντο, ὥστε τοὺς τἀναντία τοῖς Ῥωμαίοις Φρονήσαντας ἐπὶ τιμωρίαν πέμψαι.

Φρόνημα. ἑνικῶς, διὰ τοῦ η. πληθυντικῶς δὲ, τὰ Φρόνιμα, διὰ τοῦ ι.

Φρονηματίας.

Φρονηματίζομαι. ὅτι δοκῶ Φρονεῖν.

Φρονηματισθῆναι. οὕτως Ὑπερίδης. ἀντὶ τοῦ, Φρονήματος καὶ οἰήσεως πληρωθῆναι. Οἱ δὲ Φρονηματισθέντες ὑπὸ τῶν δεδηλωμένων ἕτοιμοι ἦσαν.

Φρονηματισμόν. ἔπαρσιν. τῦφον. [3]Θεασάμενοι δὲ τὸν Φρονηματισμὸν τῶν ἀνθρώπων ἔν τε ταῖς κατ' ἰδίαν ὁμιλίαις, καὶ ταῖς κατὰ κοινὸν ἐντεύξεσιν, ἐξ αὐτῆς ἐπανῆλθον ἐς τὸν στρατηγόν. καὶ ῥῆμα, Φρονηματίζω.

Φρόνησις. Φρόνησις ἐστὶν ἐπιστήμη κακῶν, καὶ ἀγαθῶν, καὶ οὐδετέρων.

Φρόνιν. τὴν Φρόνησιν.

Κατὰ δὲ Φρόνιν ἤγαγε πολλήν. [4]Ὅμηρος.

Φρονεόντων. ἀντὶ τοῦ Φρονείτωσαν. καὶ ζήτει ἐν τῷ Δρώντων.

Φρονῶ. τὸ καυχῶμαι.

Φρονῶ.

1 Βάβριος· Κοιμωμένου λ.] Locum hunc Babrii reſpexit Tzetzes Chil. XIII. cap. XC.

Τοῖς μύθοις τοῖς Αἰσώπου τε, καὶ στίχοις τοῦ Βαβρίου
Λέων καθεύδων πλάττεται, οὗ μῦς διαδραμὼν αὐχένι,
Ἐξ ὕπνου τοῦτον ἤγειρεν ἐντεῦθεν ὀργισθέντα. &c.

Φρίκη. Horror. Tremor. *Cum autem ingens illud facinus patraſſet, horrore quodam ipſum invadente, in diuturnum morbum incidit.*

Φριμάξασθαι. Apud Herodotum, fremere. Vel, inflatum eſſe.

Φριμασσομένη. Fremens. Hinniens. Efferata. Vel, incompoſite ſaltans. *Equa vero hinniens retrocedebat, & loca arboribus vacua ingredi non poterat.* Et iterum: *Strepitum armorum & hinnitum equorum audientes, metu percellebantur.*

Φρίξ. Horror. Sive, incipiens fluctuum motus, quo mare in ſuperficie inhorreſcit. Vel, ſpuma in fluctus ſuperficie innatans, cum ventus incipit ſpirare.

Φρίξ. Nigredo aquarum, [quæ ſpectantibus horrorem affert.]

Φριξότριχα. Erigentem ſetas, vel pilos. Horrentem pilis. Babrius:

Dormientis leonis per ſævam comam
Cucurrit mus. Leo vero iratus eſt,
Horrentibuſque jubis ex cavo luſtro proſiluit.

Et Φρίσσω, horreo.

Φρόνημα. Elatio animi. Spiritus. Fiducia. *Ille vero roboris fiducia fretus manus in arboris hiatum immittit, tanquam lignum ejus diruptarus: ſed* [*cuneis excidentibus*] *retentus moritur.* Et Φρόνημα, faſtus, arrogantia. *Rhodii vero, qui ante magnos gerebant ſpiritus, quaſi & ipſum Philippum & Antiochum viciſſent, & Romanis ſuperiores eſſent, adeo perterriti ſunt, ut eos, qui Romanis adverſati fuerant, ad ſupplicium dederent.*

Φρόνημα. Eſt ſingularis numeri, & ſcribitur per η. At Φρόνιμα, eſt pluralis numeri, & ſcribitur per ι. [A Φρόνιμον, prudens.]

Φρονηματίας. Elatus. Superbus. Ferox.

Φρονηματίζομαι. Spiritus elatos gero. Superbus ſum.

Φρονηματισθῆναι. Faſtu & vana fiducia plenum eſſe. Elato eſſe animo. Sic Hyperides.

Φρονηματισμόν. Elationem animi. Faſtum. Arrogantiam. *Cum autem ſuperbiam & faſtum hominum tam in privatis colloquiis, quam publicis congreſſibus vidiſſent; confeſtim ad Imperatorem redierunt.*

Φρόνησις. Prudentia. Ea eſt bonorum & malorum & neutrorum ſcientia.

Φρόνιν. Idem quod Φρόνησιν. Prudentiam. *Prudentiam vero induxit multam.* Homerus.

Φρονεόντων. [Attice,] pro Φρονείτωσαν. Sapiant. Quære in v. Δρώντων.

Φρονῶ. Magnifice me jacto. Elato ſum animo.

Φρονῶ. Sentio. Intelligo. Cognoſco. *Quare*

2 Ὁ δὲ ὑπὸ Φρονήμ.] Hæc ſunt verba Pauſaniæ de Milone Crotoniata, lib. VI. pag. 370. Vide ſupra v. Μίλων, ubi locum integrum habes.

3 Θεασάμενοι δὲ τὸν Φρ.] Fragmentum hoc Valeſius ad Polybium refert.

4 Ὅμηρος.] Odyſſ. Δ. v. 283.

Πῶς ἂν οὗτος ὁ σοφὸς οὐκ ᾔδει ταῦτ';
Οὐκ οἶδ'. ἐφ' οἷς γὰρ μὴ φρονῶ, σιγᾶν φιλῶ.

igitur ſapiens iſte hæc non declaravit? Neſcio. De rebus enim, quas non intelligo, tacere ſoleo.

Φροντιζόντων. [2]συνετῶν. καὶ Φροντιζόντων, ἀντὶ τοῦ συγγραζόντων. ἡ [3]σύνοδός τις καὶ θίασος σοφῶν. Φροντισταὶ δὲ ἐκαλοῦντο οἱ περὶ τὸν Σωκράτην· διὰ τὸ φροντίζειν περὶ ἀλλήλων, καὶ διὰ τὸ μηδέποτε παύεσθαι φροντίδος. Μεριμνοφροντισταὶ δὲ καλοῦνται οἱ σοφοὶ, οἱ Σωκρατικοί. καὶ φρόντισμα, τὸ σόφισμα.

Φροντιζόντων. Intente meditantium. Cogitabundorum. Triſtitiam vultu præferentium. Et Φροντιστήριον, locus, ubi ſapientes conveniunt, & meditationibus vacant. Φροντισταὶ vero vocabantur diſcipuli & ſectatores Socratis, quod mutuam ſui curam gererent, nec curæ iſtius finem unquam facerent. Μεριμνοφροντισταὶ vero appellantur ſapientes Socratici: q.d. qui ſapientiam meditantur. Et Φρόντισμα, Sophiſma, [meditatio, commentatio.]

Φροντίς. ἀγωνία, καὶ μέριμνα, καὶ φόβος.
[4]Ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα;

Φροντίς. Solicitudo, cura, metus. *Quantam abſens præbuiſti nobis ſolicitudinem?*

Φροντιστήριον. διατριβή. ἢ μοναστήριον. ὅπερ οἱ Ἀττικοὶ σεμνεῖον καλοῦσι.

Φροντιστήριον. Schola philoſophica. Vel monaſterium: quod Attici σεμνεῖον vocant.

Φρόντων Ἐμισηνὸς, ῥήτωρ, γεγονὼς ἐπὶ Σευήρου τοῦ βασιλέως ἐν Ῥώμῃ. ἐν δὲ Ἀθήναις ἀντεπαίδευσε Φιλοστράτῳ τῷ πρώτῳ, καὶ Ἀψίνῃ τῷ Γαδαρεῖ. ἐτελεύτησε δὲ ἐν Ἀθήναις, περὶ ξ΄. ἔτη γεγονώς· καὶ ἀδελφῆς Φροντωνίδος παῖδα ὄντα Λογγῖνον τὸν Κριτικὸν κληρονόμον κατέλιπεν. ἔγραψε δὲ συχνοὺς λόγους.

Φρόντων. Fronto Emiſenus, orator, qui Romæ ſub Severo Imperatore vixit. Hic Athenis in docendo æmulus fuit Philoſtrati primi, & Apſinis Gadareni: ibidemque obiit, annos circiter LX. natus; & Longinum Criticum, ſororis Frontonidis filium, hæredem reliquit. Scripſit orationes multas.

Φροῦδα. ἀφανῆ. ἄφαντα. Φροῦδα γὰρ αὐτοῖς καὶ ἐς τοὐναντίον περιέστη τὰ τῶν ἐλπίδων. [5]Σοφοκλῆς·
Ἀλλ' εἰ πέπαυται, κάρτ' ἂν εὐτυχεῖν δοκῶ.
Φρούδου γὰρ ἤδη τοῦ κακοῦ μείων λόγος.
Καὶ Φροῦδος, ἀντὶ τοῦ ἐκποδών. παρὰ πολλοῖς δὲ τοὔνομα ἐστί.

Φροῦδα. Quæ evanuerunt. Quæ non amplius apparent. [Evanida. Irrita.] *Spes illorum ad irritum recidit, & res eventum prorſus contrarium habuit.* Sophocles: *Sed ſi ſedatus eſt [Ajacis furor,] præclare mecum actum putabo. Mali enim jam præteriti minor habetur ratio.* Et Φροῦδος, qui e medio ſublatus eſt, nec amplius apparet. Vox autem hæc apud multos eſt nomen.

Φροῦδος. πρὸ ὁδοῦ· οἱονεὶ ἀπεληλυθώς. ἔκδημος. Ἀπολλόδωρος, [6]Φροῦδος μὲν, ὁ πρὸ ὁδοῦ, φησίν. ἢ φρουρὸς, ὁ προορῶν. ἢ ἤδη ἔξω ὤν. ἔστι δὲ καὶ παροιμία· [7]Φρουρὰς ᾄδων. καὶ ἑτέρα, Φρουρὰς ἰδών. καὶ τὸ μὲν, Φρουρὰς ᾄδων· ἀντὶ τοῦ συνεχῶς ᾄδων φρουρᾶς. τὸ δὲ, Φρουρὰς ἰδὼν, ἀντὶ τοῦ Φυλάττων· ἐπειδὴ φύλακες ἦσαν τῶν τοῦ φροντιστηρίου θυρῶν. Φρουρὰς δὲ ᾄδων, ἀντὶ τοῦ ἀγρυπνῶν. οἱ γὰρ φρουροῦντες, πρὸς τὸ ἀποσοβεῖν τὸν ὕπνον καὶ τὴν ἀγρυπνίαν αὐτῶν [8]παραμυθεῖσθαι ᾖδον.

Φροῦδος. Quaſi dicas, πρὸ ὁδοῦ. Qui procul a nobis eſt. Qui abiit, Qui peregre profectus eſt. Apollodorus. † Φρουρὸς, cuſtos, excubitor. Quaſi dicas, ὁ προορῶν, i.e. proſpiciens. Et proverbium: *Excubiarum cauſa canens.* Et aliud [proverbium:] *Excubias cernens.* Prius dicitur de excubitoribus, qui continenter canunt, ne ſomnus ipſis obrepat. Illud vero, Φρουρὰς ἰδὼν, idem eſt ac Φυλάττων, i.e. cuſtodiens. Cuſtodes enim collocati erant ante fores Phrontiſterii. At, *Excubiarum cauſa canens,* [dictum eſt] pro, vigilans. Qui enim excubias agebant, ad ſomnum abigendum & fallendum vigiliæ tædium canere ſolebant.

Φρουρά. Φυλακή. Περὶ τῆς Σπάρτης εἰς φόβον κατέστησε τοὺς Λακεδαιμονίους, ὡς καὶ φρουρὰν αὐτοὺς ἐν τῇ πόλει καταστῆσαι.

Φρουρά. Cuſtodia. Præſidium. *Spartæ cauſa Lacedæmonios in tantum metum adduxit, ut etiam in urbe præſidium collocarent.*

Φρουρεῖ. Φυλάσσει.

Φρουρεῖ. Cuſtodit. Eſt in præſidio.

Φρουρεῖν, ἢ πλουτεῖν. ἐπὶ τῶν κερδαίνειν ἐφιεμένων. Ἀθηναῖοι γὰρ φρουρὰς διαλαβόντες τοὺς νησιώτας, μ-

Φρουρεῖν, ἢ πλ. Aut militem præſidiarium eſſe, aut diteſcere. Dicitur in lucri avidos. A-

1 Πῶς ἂν οὗτος ὁ σοφ.] Sophocles *Oedip. Tyran.* pag. 175.
Πῶς ἂν τόθ' οὗτος ὁ σοφὸς οὐκ ηὔδα τάδε;
Sic etiam metri gratia apud Suidam ſcribendum eſt.

2 Συνετῶν] Interpretatio mira, ne dicam, inepta.

3 Ἡ σύνοδός τις κ.] Ariſtophanes *Nubibus*, pag. 128. (64. Ed. Baſ. P.)
Ψυχῶν σοφῶν τοῦτ' ἐστὶ φροντιστήριον.
Scholiaſtes: Φροντιστήριον. οἱονεὶ βουλευτήριον. ἢ σύνοδος, &c. Hinc Suidas ſupplendus eſt.

4 Ὅσην ἀπὼν π.] Eſt verſus Ariſtoph. *Equit.* pag. 325. (224. Ed. Baſ. P.)

5 Σοφοκλῆς] In *Ajace*, pag. 17. ut Portus monuit.

6 Φροῦδος μὲν, ὁ πρὸ ὁδοῦ, φησίν. ἢ φρουρὸς, ὁ προορῶν. ἢ ἤδη ἔξω ὤν] Locus hic mire turbatus eſt & confuſus, qui ſic ſcribendus & diſtinguendus eſt: Φροῦδος μὲν, ὁ πρὸ ὁδοῦ, φησίν. ἢ ἤδη ἔξω ὤν. † Φρουρὸς. ὁ προορῶν. ἔστι δὲ καὶ παροιμία, &c. Duo nimirum articuli hic in unum confuſi ſunt: quod & multis aliis in locis apud Suidam per ἀβλεψίαν librariorum factum eſt.

7 Φρουρὰς ᾄδων] Ariſtoph. *Nubibus*, pag. 168. (99. Ed. Baſ. P.)

8 Παραμυθεῖσθαι] Hæc vox in prioribus Edit. deeſt, quam ſenſus ſupplendi gratia ex Scholiaſta Ariſtophanis revocavi.

θοὺς ἔταξαν μεγάλους τοῖς φυλάττουσιν ὑπ' αὐτῶν χορηγεῖσθαι τῶν νησιωτῶν. δι' ἀτέλειαν οὖν, καὶ τὸ [1] ταλαιπώρως ἐκ τῶν ἀλλοτρίων ζῆν, εἰρῆσθαι, ὡς δέον ἢ πλουτεῖν τινα, ἢ φρουρεῖν.

Φρουρήσεις ἐν Ναυπάκτῳ. τοῖς Ναύπακτον φρουροῦσιν ὀλίγου μισθοῦ διδομένου, τῶν δ' ἐπιτηδείων πολλοῦ πιπρασκομένων, τὴν παροιμίαν γενέσθαι. ἔνιοι δέ, ὅτι Φίλιππος ἑλὼν Ναύπακτον, Ἀχαιῶν γνώμῃ τοὺς φρουροὺς αὐτῆς ἀπέκτεινε πάντας. ἱστορεῖ δὲ τοῦτο καὶ Θεόπομπος ἐν δευτέρῳ.

Φρούριον. κάστρον. καὶ φρούριον Χλομάρων.

Φρουροί.[2] τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσταμένη πρὸ τοῦ στρατοπέδου μετὰ τῶν ὅπλων· καὶ δεινὸς ἐπ' αὐτὴν Ῥωμαίων νόμος, τὸν ὑποχωρήσαντα καθ' ἡνδηποτοῦν αἰτίαν θνήσκειν. οἱ δὲ οὖν μετὰ κολάσεως τὸν μετ' ἀρετῆς θάνατον προκρίναντες ἵσταντο.

Φρωγεῖν. φράττειν. Ἀττικῶς.

Φροίμιον. προοίμιον.

Φρύαγμα. ἡ τῶν ἵππων καὶ ἡμιόνων διὰ μυκτήρων ἠχή, σὺν ἀγρίῳ φυσήματι ἐκπίπτουσα. λέγεται δὲ καὶ ἐπὶ τοῦ γελάσεως.

Φρυαγμοσεμνάκους. [3] Ἀριστοφάνης·

Ἔχων τρόπους φρυαγμοσεμνάκους τινάς.

Φρυάττεσθαι. τὸ καταπλήττειν. οὕτω Μένανδρος. καὶ φρυαττόμενος, ἐπαιρόμενος.

Φρύγανον[4] τίθεσθαι. τοῦτό φησιν, ἐπεὶ ὑπέβαλε φρύγανα πρὸς τὸ ἀνάψαι, ὡς οἱ μάντεις. καὶ γὰρ ἑαυτοῖς τὰ φρύγανα τιθέασι πρὸς τὴν ἐπιστήμην ἑαυτῶν. διὰ τοῦτό φησιν, Εὖ σοι δοκῶ φρύγανα τίθεσθαι.

Φρύγα. τὸν τῆς Μητρὸς τῶν Θεῶν. ζήτει ἐν τῷ Βάραθρον.

Φρυγίλος.

Φρυγίλος[5] ὄρνις, τοῦ Φιλήμονος γένους.

Φρυγίλος, ὄνομα ὀρνέου. ὁ δὲ Φιλήμων κωμῳδεῖται ὡς Φρύξ, καὶ ξένος, καὶ Κάρ. Ἀριστοφάνης φησί.

Φρύγιον. δαλὸς ξηρός.

Φρύγιος αὔλησις. ὥσπερ καὶ Δώριος, καὶ Λύδιος. ζήτει ἐν τῷ Δώριος.

Φρυγίων ἐρίων. ἐκεῖσε γὰρ ἁπαλὰ καὶ καλὰ ἔρια γίνεται. [6] Ἀριστοφάνης·

Χλαῖναν γὰρ ἀπώλεσ' ὁ μοχθηρὸς Φρυγίων ἐρίων
διὰ τοῦτον.

Φρυκτός. ἡ διὰ τῶν δᾳδῶν γινομένη ἐν πολέμοις λαμπάς.

Φρυκτός. ὁ κύαμος ἐλέγετο. [7] ἀντὶ δὲ ψήφων

thenienſes enim, cum Inſulas præſidiis tenerent, ſtipendia magna cuſtodibus conſtituerunt, quæ eis ab ipſis Inſulanis præberentur. Propter immunitatem igitur, & quod abſque ulla moleſtia ex alienis viverent, proverbium hoc dictum eſſe ajunt.

Φρουρήσεις ἐν Ναυπ. Naupacti excubabis. Cum militibus præſidiariis, qui Naupacti erant, exiguum ſtipendium daretur, annona autem cara eſſet; proverbium hoc inde ortum ferunt. Quidam vero dicunt, Philippum, capto Naupacto, ex Achæorum ſententia præſidiarios omnes occidiſſe. Hiſtoriam hanc narrat & Theopompus libro ſecundo.

Φρούριον. Caſtrum. Caſtellum. Et, caſtrum Chlomarorum.

Φρουροί. Cuſtodes. Statio eſt pro caſtris militum armatorum, per vices ſibi ſuccedentium; in quos acerbiſſima eſt ſanctio Romanorum, ut, qui quacunque de cauſa loco ceſſerit, capite plectatur. Hi igitur mortem glorioſam ſupplicio capitali præferentes, ſteterunt.

Φρωγεῖν. Attice, pro φράττειν. Sepire. Munire.

Φροίμιον. [Attice, pro] προοίμιον. Proœmium.

Φρύαγμα. Fremitus, ſive, ſonus, quem equi & muli vehementi cum flatu naribus edunt. Dicitur vero etiam de riſu.

Φρυαγμοσεμνάκους. Ariſtophanes: *Animum habens ſuperbum & faſtus plenum.*

Φρυάττεσθαι. Percellere metu. Perterrefacere. Sic Menander. Et φρυαττόμενος, faſtu elatus, ſuperbus, arrogans.

Φρύγανον τίθεσθαι. Cremia, vel virgulta ponere. Hoc dicit, quia ſarmenta ſubjecit, ut haruſpices, ad ignem accendendum. Sarmenta enim ipſi ſibi ponunt, ſecundum artis ſuæ rationem. Ideo dicit, *Rectene tibi videor ſarmenta ponere?*

Φρύγα. Phrygem. Id eſt, Magnæ Deum Matris amaſium & ſacerdotem. Quære in v. Βάραθρον.

Φρυγίλος. Phrygilus. [Ariſtophanes:] *Phrygilus avis, ex genere Philemonis.* Phrygilus eſt nomen avis. Philemon autem a Comicis perſtringitur, ut Phryx, & peregrinus, & Car.

Φρύγιον. Cremium. Lignum aridum.

Φρύγιος αὔλησις. Phrygius modus. Ut & Dorius, & Lydius. Quære in v. Δώριος.

Φρυγίων ἐρίων. Phrygiarum lanarum. [Id eſt, bonarum.] Illic enim tenera & bona lana naſcitur. Ariſtophanes: *Lænam enim perdidit hic improbus, ex lana Phrygia confectam, propter iſtum.*

Φρυκτός. Fax, qua in bellis e ſpecula ſignum datur. Ignis e ſpecula ſublatus.

Φρυκτός. Sic dicebatur faba. Calculorum

1 Ταλαιπώρως] Senſus gratia omnino ſcribendum eſt, ἀταλαιπώρως; quod mirum non vidiſſe priores interpretes, qui pro ἀτέλειαν legendum cenſebant εὐτέλειαν: ſed fruſtra.

2 Τάξις ἐστὶν ἐκ διαδοχῆς ἱσ.] Locum hunc ex Polybio excerptum eſſe quidam viri docti exiſtimarunt: ſed falluntur. Sumptus enim eſt ex Joſephi lib. VI. *de Bello Jud.* cap. XXX. pag. 935.

3 Ἀριστοφάνης] In *Veſpis*, pag. 439. (315. Ed. Baſ. *P.*) ſed ubi minus recte hodie legitur, ἐφρυαγμοσεμνακευσίνους.

4 Φρύγανον τίθεσθ. τοῦτο φ.] Nota hæc referenda eſt ad locum illum Ariſtophanis in *Pace*, pag. 699.

Οὐκοῦν δοκῶ σοι μαντικῶς τὸ φρύγανον τίθεσθαι.

Vide ibi Scholiaſtam, qui eadem habet, quæ hic Suidas.

5 Φρυγίλος ὄρνις, τοῦ Φιλ.] Hæc ſunt verba Ariſtoph. *Avibus*, pag. 577. (398. Ed. Baſ. *P.*)

6 Ἀριστοφάνης] *Avibus*, pag. 564.

7 Ἀντὶ δὲ ψήφων κυάμ.] Confer Noſtrum ſupra v. Διαφρυκτοῦν, & v. Κυαμοτρώξ.

κυάμοις ἐψήφιζον οἱ τῶν Ἀθηναίων δικασταί. ὅθεν καὶ τὸ διαφρυκτοῦν, διαψηφίζειν, διακληροῦν.

Φρυκτός. καὶ προφρυκτωρευόμενος. οἱ [1] κακουργοῦντες περὶ τὰς φυλακὰς, καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν, ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων, τοῦτο προφρυκτωρεύεσθαι λέγεται, ὥς φησι [2] Λυσίας. Τούτων εἷς ὁ πρεσβύτης ἐν Σικελίᾳ προφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου ἀπετυμπανίσθη.

Φρυκτωρεῖν. κυρίως τὸ διὰ πυρσῶν ἀνατάσεως σημαίνειν.

Φρυκτωρία. [3] ἡ διὰ τῶν πυρσῶν προφυλακὴ νυκτερινή. ἢ λαμπάς. ἢ καῦσις. παρὰ τὸ [4] πυρσὸν, καὶ τὸ ὠρεῖν, ὅ ἐστι φυλάττειν. Φρυκτωρὸς δὲ, ὁ τῆς φρυκτωρίας ἐπιμελούμενος. καὶ φρυκτωρῶ, δηλοῖ.

Φρυκτοί. [5] λαμπάδες τινὲς ἀπὸ ξύλων γενόμεναι, ἅς τινας βαστάζοντες ἄνωθεν τῶν τειχῶν, ἐσήμαινον τοῖς πλησιοχώροις, ἢ τοῖς συμμάχοις, ὅταν τινὰς ἑώρων πολεμίους ἐπιόντας, ὡς ὅτι δεῖ προφυλάξασθαι. οὐ μόνον δὲ ἐπὶ τῶν πολεμίων τοῦτο ἐποίουν· ἀλλὰ καὶ ἐπὶ φίλων, ὅταν ἑώρων βοήθειαν ἐρχομένην, ἐσήμαινον πάλιν διὰ τῶν φρυκτῶν, ὡς οὐ δεῖ θορυβεῖσθαι. καὶ ὅτι μὲν φίλους ἐδήλουν, ἐβάσταζον τοὺς φρυκτοὺς ἠρεμοῦντας· ὅταν δὲ πολεμίους, ἐκίνουν.

Φρύνη [6] ἔχουσα λήκυθον πρὸς ταῖς γνάθοις. Φρύνη, παλαιὰ ἑταίρα. Λήκυθον δὲ, τουτέστι, διῳδηκυῖα τὸ πρόσωπον.

Φρῦνις, [7] κιθαρῳδὸς, Μιτυληναῖος· ὃς ἐδόκει πρῶτος κιθαρίσαι παρ' Ἀθηναίοις, καὶ νικῆσαι Παναθήναια ἐπὶ Καλλίου Ἄρχοντος. ἦν δὲ [8] Ἀριστοκλείδου μαθητής. ὁ δὲ Ἀριστοκλείδης τὸ γένος ἦν ἀπὸ Τερπάνδρου· ἤκμασε δὲ ἐν τῇ Ἑλλάδι κατὰ τὰ Μηδικά, εὐδόκιμος κιθαριστής. παραλαβὼν δὲ τὸν Φρῦνιν αὐλῳδοῦντα κιθαρίζειν ἐδίδαξεν. Ἴστρος δὲ ἐν τοῖς ἐπιγραφομένοις Μελοποιοῖς, τὸν Φρῦνιν Λέσβιον φησὶ, Κάνωπος υἱόν. τοῦτον δὲ Ἱέρωνος τοῦ τυράννου μάγειρον ὄντα, δοθῆναι σὺν ἄλλοις πολλοῖς Ἀριστοκλείδῃ. ταῦτα δὲ [9] σχεδίοις ἔοικεν. εἰ γὰρ ἦν γεγονὼς δοῦλος καὶ μάγειρος Ἱέρωνος, οὐκ ἂν ἐσιώπων οἱ κωμικοὶ, πολλάκις αὐτοῦ μεμνημένοι ἐφ' οἷς ἐκαινούργησε, [10] κατακλάσας τὴν ᾠδὴν παρὰ τὸ ἀρχαῖον.

Φρύνιχος, [11] Πολυφράδμονος, ἢ Μινύου· οἱ δὲ, Χοροκλέους· Ἀθηναῖος, τραγικὸς, μαθητὴς Θέσπι-

autem loco fabis utebantur Judices Atheni enſium in ſuffragiis ferendis. Unde & διαφρυκτοῦν dicitur, calculum ſive ſuffragium ali qua de re ferre. Sorte dividere.

Φρυκτός. Ignis e ſpecula ſublatus. Et προφρυκτωρευόμενος. Qui mala fide excubias agunt, faceſque e ſpecula tollunt, ut eos, qui ipſis cuſtodiam crediderunt, prodant, hoſtibus vero opportuno tempore ſignum dent, dicuntur προφρυκτωρεύεσθαι: ut Lyſias inquit. *Horum unus, iſque natu major, qui in Sicilia facibus accenſis hoſti ſignum dederat, a Lamacho captus, fuſtium ictibus necatus eſt.*

Φρυκτωρεῖν. Proprie ſignificat, facibus ſublatis ſignum alicui dare.

Φρυκτωρία. Excubiæ nocturnæ, quæ aguntur ad ſignum alicui per faces accenſas dandum. A πυρσὸς, fax, & ὠρεῖν, cuſtodire, obſervare. Et Φρυκτωρὸς, qui facibus e ſpecula ſublatis alicui ſignum dat.

Φρυκτοί. Faces quædam ligneæ, quibus illi, qui hoſtes adventantes videbant, ſupra muros elatis, ſignificabant vicinis, vel ſociis, vim hoſtilem præcavendam eſſe. Non ſolum autem hoc faciebant, cum hoſtes adventarent; ſed etiam, cum auxilium ſociorum venire viderent, ſublatis rurſus facibus ſignificabant, non eſſe metuendum. Cumque amicorum adventum ſignificare vellent, faces quietas & immotas tollebant: cum vero hoſtium, eas agitabant.

Φρύνη ἔχ. *Phryne habens lecythum ad malas.* Phryne, vetus meretrix. Lecythus vero, i. e. faciem habens tumentem.

Φρῦνις. Phrynis, Citharœdus, Mitylenæus; qui primus putatur apud Athenienſes citharа ceciniſſe, & in Panathenæis viciſſe, Archonte Callia. Fuit Ariſtoclidis diſcipulus. Ariſtoclides vero genus a Terpandro ducebat. Floruit in Græcia, bello Medico, celebris cithariſta; & Phrynidem, qui tibicen erat, cithara canere docuit. Iſter vero in opere, quod *Melopæi* inſcribitur, Phrynidem Leſbium fuiſſe dicit, Canopis filium; qui, cum eſſet Hieronis tyranni coquus, cum aliis multis Ariſtoclidi datus ſit. Sed hæc commentis quam vero propiora videntur. Si enim Hieronis ſervus & coquus fuiſſet, non utique id tacuiſſent Comici, qui ſæpe ejus mentionem fecerunt, quod Muſicam veterem immutaſſet, invectis modulationibus fractis & mollibus, & ab antiquo more abhorrentibus.

Φρύνιχος. Phrynichus, Polyphradmonis, aut Minyæ F. aut, ut alii, Choroclis, Athenien-

1 Οἱ κακουργοῦντες περὶ τὰς φυλ.] Hæc leguntur etiam ſupra v. Παραφρυκτωρία.

2 Λυσίας] In oratione contra Agoratum, pag. 136.

3 Φρυκτωρία. ἡ διὰ τῶν πυρσ.] Confer Noſtrum ſupra v. Πυρσοί.

4 Πυρσὸν] Imo, φρυκτόν.

5 Φρυκτοί. λαμπάδες τ.] Totus hic articulus ſumptus eſt ex Scholiaſta Thucydidis ad lib. II. cap. XCIV. ut Pearſonius etiam obſervaverat.

6 Φρύνη ἔχουσα λήκ.] Et verſus Ariſtophanis *Eccleſiaz.* ſub finem.

7 Φρῦνις, κιθαρῳδὸς, Μιτυλ.] Quæ hic Suidas de Phrynide refert, αὐτολεξεὶ etiam leguntur apud Scholiaſtam Ariſtoph. ad *Nubes*, pag. 179. (108. Ed. Baſ. *P.*)

8 Ἀριστοκλείδου] Scholiaſtes Ariſtoph. Ἀριστοκλείτου. Et mox, Ἀριστόκλειτος, & Ἀριστοκλείτῳ.

9 Σχεδίοις] Enarrator Comici, σχεδίασιν, quod magis placet. Σχεδιάζειν autem apud Grammaticos interdum ſignificat, comminiſci, *fingere*, *mentiri*. Sic idem Scholiaſtes ad *Aves*, pag. 582. ubi vocem καλαϊς explicat: Τοῦτο δὲ μάτην ἐσχεδίασεν. Item Suidas ſupra, v. Διακωδωνίσω: Τὰ δ' ἄλλα ἐσχεδίασεν. Id eſt, *falſa ſunt*.

10 Κατακλάσας τὴν ᾠδὴν] Confer omnino Noſtrum ſupra, v. [illegible].

11 Φρύνιχος, Πολυφρ.] De hoc Phrynicho vide omnino eruditiſſ. Jacobum Perizonium, literatæ Bataviæ ornamentum, in notis ad Ælian. *Var. Hiſt.* lib. III. cap. VIII.

ὃς

δος, οὗ πρώτου τὴν τραγικὴν εἰσενέγκαντος. ἐνίκα τοίνυν ἐπὶ [1] τῆς ξζ' ὀλυμπιάδος. οὗτος δὲ πρῶτος ὁ Φρύνιχος γυναικεῖον πρόσωπον εἰσήγαγεν ἐν τῇ σκηνῇ, καὶ εὑρετὴς τοῦ τετραμέτρου ἐγένετο. καὶ παῖδα ἔσχε τραγικὸν Πολυφράδμονα. [2] τραγῳδίαι δὲ αὐτοῦ εἰσιν ἐννέα αὗται· Πλευρωνία, Αἰγύπτιοι, Ἀκταίων, Ἄλκηστις, Ἀνταῖος, ἢ Λίβυες, Δίκαιοι, Πέρσαι, [3] Σύνθωκοι, Δαναΐδες.

Φρύνιχος, [4] Ἀθηναῖος, κωμικὸς τῶν ἐπιδευτέρων τῆς ἀρχαίας κωμῳδίας. ἐδίδαξε γοῦν τὸ πρῶτον ἐπὶ πϛ'. ὀλυμπιάδος. δράματα δὲ αὐτοῦ ἐστι ταῦτα· Ἐφιάλτης, Κόννος, Κρόνος, Κωμασταί, Σάτυροι, Τραγῳδοί, ἢ Ἀπελεύθεροι, Μονότροπος, Μοῦσαι, Μύστης, Ποάστριαι, [5] Σάτυροι.

Φρύνιχος, Βιθυνός, σοφιστής. Ἀττικιστήν. [6] Περὶ Ἀττικῶν ὀνομάτων, βιβλία β'. [7] Τιθεμένων συναγωγήν. [8] Σοφιστικῆς παρασκευῆς, βιβλία μζ'. οἱ δέ, οδ'.

Φρύνιχος [9], Μελάνθα, Ἀθηναῖος, τραγικός. ἔστι δὲ καὶ τῶν δραμάτων αὐτοῦ ταῦτα· Ἀνδρομέδα, Ἠριγόνη. ἐποίησε καὶ Πυρρίχας. [10] Φρύνιχον οἱ [11] Ἀθηναῖοι χιλίαις ἐζημίωσαν, ἅλωσιν τραγῳδήσαντα Μιλησίων.

Φρυνίχου πάλαισμα. αὕτη τέτακται κατὰ τῶν πανούργως καὶ συνετῶς σοφιζομένων. ἱστορεῖ δὲ [12] Θουκυδίδης, ὅτι Φρύνιχος, στρατηγὸς Ἀθηναίων ἐν Σάμῳ, μελλόντων τῶν στρατιωτῶν κατάγειν τὸν Ἀλκιβιάδην, ἐδήλωσε τῷ Ναυάρχῳ Λακεδαιμονίων Φρύνιχος, ὅτι βούλοιτο αὐτῷ προδοῦναι τὸ στράτευμα. λαβόντος δὲ τὴν ἐπιστολὴν Ἀλκιβιάδου, καὶ πέμψαντος τοῖς Ἀθηναίοις, παρὰ μικρὸν ἐλθὼν ἀπολέσθαι ὁ Φρύνιχος, γράφει πάλιν τῷ Ναυάρχῳ τὸ γεγονός, αἰτιώμενος, καὶ φάσκων πάλιν αὐτῷ προδώσειν τὸ στράτευμα, εἰ ἐπέλθοι. σημήνας δέ, οὕτω προηγόρευσε τοῖς στρατιώταις, δευτέραν ἥξειν ἐπιστολὴν κατ' αὐτοῦ παρ' Ἀλκιβιάδου καὶ πολεμίων ἔφοδον ἐπομένων φυλάξασθαι. συμβάντων δὲ οὕτω τούτων, καὶ κομισθέντων μὲν τῶν γραμμάτων, γενομένης δὲ τῆς ἐφόδου, ἐπίστευσαν οἱ στρατιῶται πάντα, καὶ τὰ νῦν, καὶ τὰ πρότερον κατὰ τοῦ Φρυνίχου δι' ἔχθραν ὑπ' Ἀλκιβιάδου γεγενῆσθαι. Καὶ αὖθις [13] Ἀριστοφάνης· Φρυνίχου παλαίσμασιν. ἀντὶ τοῦ, στρατηγήμασι. στρατηγοῦντος γὰρ αὐτοῦ ἡττήθησαν οἱ Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντι τὸν πόλεμον. [14] Κωμικὸς ποιητής, ὃς κινουμένους τοὺς χοροὺς εἰσῆγε, καὶ πα-

ſis; Tragicus, diſcipulus Theſpidis, qui primus Tragœdiæ inventor fuit. Vicit Olympiade LXVII. primuſque muliebrem perſonam introduxit in ſcenam; & tetrametri fuit inventor; & filium habuit Polyphradmonem, Tragicum. Ejus tragœdiæ ſunt novem hæ: Pleuronia, Ægyptii, Actæon, Alceſtis, Antæus, ſive Libyes, Juſti, Perſæ, Synthaci, Danaides.

Φρύνιχος. Phrynichus, Athenienſis, unus ex poſterioribus veteris Comœdiæ Comicis: qui fabulas docere cœpit Olymp. LXXXVI. Fabulæ ejus ſunt iſtæ: Ephialtes, Connus, Cronus, Comaſtæ, Satyri, Tragœdi, ſive Apeleutheri, Monotropus, Muſæ, Myſtes, Poaſtriæ, Satyri.

Φρύνιχος. Phrynichus, Bithynus, Sophiſta. Scripſit Atticiſtam. De nominibus Atticis. Collectionem Thematum. Apparatus oratorii lib. XLVII: ſecundum alios vero, LXXIV.

Φρύνιχος. Phrynichus, Melanthæ F. Athenienſis, tragicus. Ex hujus fabulis ſunt & hæ: Andromeda, Erigone. Fecit etiam Pyrrichas. Athenienſes Phrynichum mille drachmis mulctarunt, quod de Mileti expugnatione tragœdiam docuiſſet.

Φρυνίχου πάλαισμα. Phrynichi luctatio. Dicitur in eos, qui callide & aſtute aliquid machinantur. Thucydides enim ſcribit, Phrynichum, ducem Athenienſium in Samo, cum milites Alcibiadem ab exilio reducturi eſſent, Nauarcho Lacedæmoniorum ſignificaſſe, ſe ipſi exercitum prodere velle. Cum autem Alcibiades epiſtolam illam accepiſſet, & Athenienſibus miſiſſet, Phrynichus, qui propemodum in capitis diſcrimen venerat, rurſus Nauarcho ſcribit, quid accidiſſet; expoſtulans, & iterum pollicens, ſe exercitum ipſi proditurum eſſe, ſi cum copiis accedere vellet. His autem ita factis, prædixit militibus, & alteram contra ſe epiſtolam ab Alcibiade venturam eſſe; hortaturque, ut ab imminente vi hoſtili ſibi caverent. Cum igitur hæc ita eveniſſent, & alteræ literæ allatæ fuiſſent, hoſteſque Athenienſes aggreſſuri veniſſent; milites omnia & tunc & ante contra Phrynichum ex odio ab Alcibiade facta eſſe crediderunt. Et iterum Ariſtophanes: *Phrynichi luctationibus*. Id eſt, ſtrategematibus. Eo enim duce Athenienſes victi fuerunt: eamque ob cauſam multorum odium incurrit, ut proditor. Quidam autem hunc Co-

1 Ἐπὶ τ ξζ' ὀλυμπ.] Meurſius in opere de *Archont. Athen.* lib. II. cap. IX. emendat, ἐπὶ τ οϛ' ὀλυμπιάδος: ſed cui non aſſentior. Fuit enim Phrynichus Theſpidis diſcipulus, teſte Suida hoc loco. Atqui Theſpis floruit circa Olymp. LX. ut ex Marmore Arundelliano, & Suida ſupra v. Θέσπις, diſcimus. Vix igitur credibile videtur, Phrynichum LX. annis, vel circiter, poſt magiſtrum ſuum in Scena demum viciſſe.

2 Τραγῳδίαι δὲ αὐτ.] Vide Meurſium in *Bibliotheca Attica*, v. *Phrynichus*.

3 Σύνθωκοι] Lego, Σύνθωκοι, i. e. *Conſeſſores*: a σὺν, & θῶκος, ſedes.

4 Φρύνιχος] De hoc Phrynicho, ejuſque fabulis, vide itidem Meurſium in *Bibliotheca Attica*.

5 Σάτυροι] Cum fabulæ hujus Suidas jam ante mentionem fecerit, repetitio iſta ſupervacanea eſſe videtur.

6 Περὶ Ἀττικῶν ὀνομάτων] Exſtat hodie adhuc Phrynichi Ἐκλογὴ Ἀττικῶν ῥημάτων καὶ ὀνομάτων: quod neſcio an idem opus ſit.

7 Τιθεμένων] Intelligit ea, quæ Rhetores alias θέματα, & Cicero *Propoſita* vocat: de quibus vide Quintil. lib. IV. cap. 2. & lib. VII. cap. 2.

8 Σοφιστικῆς παρασκευῆς] Hujus operis epitomen exhibet Photius in *Bibliotheca*, Cod. CLVIII. ſed qui tantum lib. XXXVI. ei tribuit.

9 Φρύνιχος Μελάνθα, Ἀθην.] Eadem leguntur apud Scholiaſtam Ariſtophanis ad *Veſpas*, pag. 536.

10 Φρύνιχον οἱ Ἀθην.] Hiſtoriæ hujus meminerunt, Herodotus, Strabo, Plutarchus, Ælianus, Tzetzes, & alii. Vide Schefferum ad Ælian. *Var. Hiſt.* lib. XIII. cap. XVII.

11 Ἀθηναῖοι] Sic recte MS. A. At priores Editt. male, Πέρσαι. Non enim Perſæ, ſed Athenienſes Phrynichum mille drachmis mulctarunt: ut ex ſcriptoribus modo laudatis conſtat.

12 Θουκυδίδης] Lib. VIII. cap. L. & LI.

13 Ἀριστοφάνης] *Ranis*, pag. 245. (157. Ed. Baſ. *P.*) Vide ibi Scholiaſtam, qui eadem habet, quæ hic Suidas. Confer etiam Noſtrum ſupra v. Παλαίσμασι.

14 Κωμικὸς ποιητής] Hæc abrupte dicta ſunt. Melius Scholiaſtes Comici, τινὲς δὲ τοῦτον Κωμικὸν ποιητὴν λέγουσι, ὃς κινουμένας, &c.

λαίοντας. ἦν δὲ στρατηγὸς Ἀθηναίων, ἐφ' οὗ πολλοὶ τῶν [1] στρατηγῶν ἄτιμοι ἐγένοντο. γεγόνασι δὲ Φρύνιχοι τέσσαρες.

Φρύνιχος,[2] καὶ Λύκις, καὶ Ἀμειψίας, κωμικοὶ ὑπόψυχροι. καὶ [3] Ἀριστοφάνης·

Ἔνθεν ὥσπερ ἡ μέλιττα,
Φρύνιχος ἀμβροσίων
Μελέων ἀπεγεύετο καρπὸν ἀεὶ,
Φέρων γλυκεῖαν ᾠδάν.

Φρῦνος. ὁ [4] ἀδιάπλαστος βάτραχος. καὶ [5] Ἐπίγραμμα·

Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ [6] Λαδικέας πρόφευγε,
Καὶ κύνα λυσσητῆρα, καὶ πάλι Λαδικέας.

Φρύνων, καὶ Φιλοκράτης. ἀμφότεροι προδόται. καὶ ὁ μὲν διὰ τὴν προδοσίαν ἔφυγε, καὶ ἐπὶ πορνοβοσκίᾳ διεβάλλετο. ὁ δὲ Φρύνων ἐπὶ τῇ τοῦ παιδὸς προαγωγίᾳ, ὃν ἀπήγαγε Φιλίππῳ.

Φωκίων,[7] ὁ Φώκου, πολλοῖς χρήματα ἔδωκε, καὶ θυγατέρας συνεξέδωκε, καὶ πᾶσιν ἀνίει τὰ αὐτοῦ. Χρηστὸς οὖν ἐκλήθη κοινῇ ψήφῳ ἐν ἐκκλησίᾳ. δικάζων δὲ, ἀεὶ τὴν σῴζουσαν ἔφερεν. [8] ὃ δὲ περὶ Σατύρου φησὶν ὁ Δημοσθένης ἕνεκα τῶν Ἀπολλοφάνους θυγατέρων, τοῦτο εἰς Φωκίωνα τινὲς ἀναφέρουσι. καί φασιν, ὅτι λαβὼν αὐτὰς εἰς Ἀθήνας ἤγαγε, καὶ ἐξέδωκε.

Φρυνώνδας.[9] τῶν ἐπὶ πονηρίᾳ διαβεβοημένων. ὃς ξένος ὢν κατὰ τὰ Πελοποννησιακὰ διέτριβεν Ἀθήνησι. Ἀριστοφάνης Ἀμφιάρεῳ·

Ὦ μιαρὲ, καὶ Φρυνώνδα, καὶ πονηρὲ σύ.

ἐκ τούτου τοὺς πονηροὺς Φρυνώνδας καλοῦσι. Κακοήθης ὁ Φρυνώνδας οὗτος, καὶ πανοῦργος, μισθοῦ τινας μηχανὰς πραγμάτων ἐπὶ κακοῖς ῥᾳδίως συντιθεὶς, ὥς φησιν Εὔδημος. καὶ αὖθις· Ἀλλ' [10] οἶμαι οὔτε Φρυνώνδας, οὔτ' Εὐρύβατος, οὐδ' ἄλλος πώποτε τῶν πάλαι πονηρῶν, τοιοῦτος μάγος καὶ γόης.

Φρύνωνος.[11] ὄνομα κύριον. οὗτος τῶν δώδεκα πρέσβεων εἷς ἦν, τῶν μετ' Αἰσχίνου καὶ Δημοσθένους.

Φρὺξ ἀνὴρ πληγεὶς ἀμείνων καὶ διακονέστερος. ἐπειδὴ δοκοῦσι νωθρότεροι καὶ νωχελέστεροι εἶναι οἱ Φρύγες οἰκέται.

Φρὺξ [12] μηδὲν ἧττον Σπινθάρου. οὗτος ὁ Σπίνθαρος κωμῳδεῖται ὡς βάρβαρος καὶ Φρύξ.

micum fuiſſe dicunt: qui Choros induxit ſaltantes & luctantes. Fuit autem dux Athenienſium, ſub quo multi Tragici ignominia notati ſunt. Fuerunt autē Phrynichi quatuor.

Φρύνιχος. Phrynichus, & Lycis, & Amipſias: Comici ſubfrigidi. Et Ariſtophanes:

Hinc tanquam apis,
Phrynichus ſuavium
Carminum depaſcebatur fructum ſemper,
Ferens dulcem cantionem.

Φρῦνος. Phrynus. Rubeta. Species ranæ. Et in Epigrammate: *Aſpidem, rubetam, ſerpentem, & Ladicenſes fuge; itemque canem rabidum: & iterum Ladicenſes.*

Φρύνων. Phrynon, & Philocrates: ambo proditores. Et alter quidem ob proditionis crimen in exilium ejectus eſt, & ob lenocinium male audiit. Phrynon vero [infamiam incurrit,] quod filium ſuum Philippo proſtituiſſet.

Φωκίων. Phocion, Phoci F. multis pecuniam dedit, aliorumque filias elocandas dote inſtruxit, & omnibus ſua largitus eſt. Bonus igitur communi ſuffragio in concione vocatus eſt. Idem, cum judicaret, calculum abſolventem ſemper ferebat. Quod autem de Satyro & Apollophanis filiabus Demoſthenes dicit, id quidam ad Phocionem referunt. Eum enim Apollophanis filias Athenas deductas elocaſſe ajunt.

Φρυνώνδας. Phrynondas. Hic improbitatis nomine infamis fuit, &, peregrinus cum eſſet, belli Peloponneſiaci tempore Athenis vixit. Ariſtoph. *Amphiarao: O ſceleſte, & Phrynonda, & improbe tu.* Hinc malos omnes Phrynondas vocant. [Aliter.] Hic Phrynondas malitioſus fuit & improbus, qui pretio accepto fraudes & technas in aliorum perniciem prompte excogitabat, ut ait Eudemus. Et iterum: *Sed, ut arbitror, nec Phrynondas, nec Eurybatus, nec ullus alius eorum, qui olim improbi fuerunt, talis magus & præſtigiator fuit.*

Φρύνωνος. Phrynonis. [Genitivus, a recto Φρύνων, Phrynon.] Nomen proprium. Hic fuit unus duodecim legatorum, qui cum Æſchine & Demoſthene miſſi fuerunt.

Φρὺξ ἀνὴρ πλ. *Homo Phryx verberibus cæſus melior fit, & ad miniſtrandum paratior.* [Hoc ideo dictum,] quod ſervi Phryges ignavi & tardi eſſe putentur.

Φρὺξ μηδὲν ἧττ. *Phryx non minus, quam Spintharus.* Hic Spintharus a Comicis perſtringitur, ut Barbarus, & Phryx.

1 Στρατηγῶν] Scholiaſtes Ariſtophanis rectius, τραγῳδῶν. Et ſic ipſe Suidas ſupra v. Παλαίοντας.

2 Φρύνιχος, καὶ Λύκις, ἢ Ἀμ.] Ariſtophanes *Ranis*, ſub initium:
Εἰ δεῖ ποιεῖν μηδὲν ὧνπερ Φρύνιχος
Εἴωθε ποιεῖν, καὶ Λύκις, κ' Ἀμειψίας.
Ad hunc locum Suidas reſpexit.

3 Ἀριστοφάνης] *Avibus*, pag. 576. (397. Ed. Baſ. P.) ubi pro ἀπεγεύετο rectius legitur ἀπεβόσκετο.

4 Ἀδιάπλαστος] Eſt vox ſuſpecta. Quid enim ea hic ſignificare poteſt?

5 Ἐπίγραμμα] Epigramma hoc legitur apud Syneſium. Epiſt. cxxvii. unde id Suidas procul dubio deprompſit. Cæterum, Portus vocem ἀσπίδα ſupino errore verterat *clypeum*; cum hic ſignificet *aſpidem*: quod eſt notiſſimum ſerpentis genus.

6 Λαδικέας] Sic etiam habet Syneſius. At Suidas ſupra ſuo loco, Λακιδέας: ubi Nos vide. Confer etiam v. [illegible] ubi idem locus legitur.

7 Φωκίων] Phocionis hujus vitam pluribus deſcribit Plutarchus: quem vide. Meminit præterea ejus Dio Pruſæus Orat. LXXIII. & Diog. Laertius in Vita Diogenis Cynici, Num. 76.

8 Ὃ δὲ περὶ Σατ.] Vide Noſtrum ſupra v. Ὅτι ξένος.

9 Φρυνώνδας] Confer Harpocrationem h. v. itemque Tom. 1. Theſ. Crit. a Grutero ed. pag. 472.

10 Ἀλλ' οἶμαι, οὔτε Φρυν.] Hæc ſunt verba Æſchinis in orat. contra Cteſiphontem, pag. 193.

11 Φρύνωνος. ὄνομα κ. οὗτ.] Ex Harpocratione.

12 Φρὺξ μηδὲν ἧττον Σπ.] Sunt verba Ariſtoph. *Avibus*, pag. 577. (398. Ed. Baſ. P.)

Φοιβάδαιον.

Φοιβάμμων.

Φοιβάς. ἡ Θεά. καὶ ἡ μαντική.

Φοιβᾶσθαι. τὸ καθαίρεσθαι. καὶ Φοῖβον, τὸ καθαρόν. καὶ Φοῖβαι, αἱ καθαραί. ὅθεν καὶ Φοῖβος, ὁ Ἀπόλλων.

Φοίβη.[1] ὁ ἄμπελος. ἐν [2] Ἐπιγράμμασι·

Τριχθὸν ὑπ' εὐπετάλοις δῶρον ἔθηκε φοίβαις.

Φοῖβος. ἐπίθετον τοῦ Ἀπόλλωνος.

Φοῖβος. καθαρός. ἁγνός. ἢ μαντικός. καὶ ἀμίαντος.

Φοιδεράτοι. οὕτω καλοῦσι Ῥωμαῖοι τοὺς ὑποσπόνδους τῶν Σκυθῶν.

Φοινικᾶ. τὸ ἁπλᾶ, διπλᾶ, πολλαπλᾶ, καὶ πάντα τὰ τοιαῦτα περισπῶσιν οἱ Ἀττικοί· ἀργυρᾶ, χρυσᾶ, καὶ κεραμεᾶ, ἀπὸ τοῦ κεραμέου· καὶ Φοινικᾶ, ἀπὸ τοῦ φοινικοῦ.

Φοινικελίτης.[3] ὁ ἀπατηλός.

Φοινίκειον[4] αἷμα. καὶ Φοινίκειος οἶνος.

Φοινίκη.[5] πόλις.

Φοινικήια γράμματα. Λυδοὶ καὶ Ἴωνες τὰ γράμματα ἀπὸ Φοίνικος τοῦ Ἀγήνορος εὑρόντος ἔλαβον. τούτοις δὲ ἀντιλέγουσι Κρῆτες, ὡς εὑρέθησαν ἀπὸ τοῦ γράφειν ἐν Φοινίκων πετάλοις. Σκάμμων δ' ἐν τῇ δευτέρᾳ τῶν εὑρημάτων ἀπὸ Φοινίκης τῆς Ἀκταίωνος ὀνομασθῆναι. μυθεύεται δ' οὗτος ἀρσένων μὲν παίδων ἄπαις γενέσθαι, δὲ αὐτῷ θυγατέρας, Ἄγλαυρον, Ἕρσην, Πάνδροσον, Φοινίκην. τὴν δὲ Φοινίκην ἔτι παρθένον οὖσαν, τελευτῆσαι. διὸ καὶ Φοινικήια τὸν Ἀκταίωνα καλέσαι τὰ γράμματα, βουλόμενόν τινος τιμῆς ἀπονεῖμαι τῇ θυγατρί.

Φοινικίδα.

Τί [6] φειδόμεσθα τῶν λίθων, ὦ δημόται;
Μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα
Οἷος αὖ μέλας τις ὑμῖν [7] θαυμάλωψ ἐπέζεσεν.

Ἀντὶ τοῦ, [8] μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὡς φοινικοῦν αὐτοῦ ποιῆσαι τὸ σῶμα; τῷ δὲ καταξαίνειν ὡς ἐπὶ ἐρίων ἐχρήσατο. διὸ καὶ φοινικίδα εἶπεν, ὡς ἐπὶ ἱματίου. Ἀριστοτέλης δέ φησι, χρῆσθαι τοὺς Λακεδαιμονίους φοινικίδι πρὸς τοὺς πολέμους· τοῦτο μὲν, ὅτι τὸ τῆς χρόας ἀνδρικόν· τοῦτο δὲ, ὅτι τὸ τοῦ χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥύσεως ἐθίζει καταφρονεῖν· τὸ οὖν ἐν φοινικίδι, ἀντὶ τοῦ, ἐν τάξει πολεμίων, ἀπὸ [9] τοῦ φρονήματος δηλώσειεν ἂν εἰκότως. ἐ-

Φοιβάδαιον. Phœbadæum.

Φοιβάμμων. Phœbammonis. [Genitivus, a recto Φοιβάμμων.]

Φοιβάς. Phœbas. Dea. Item, fatidica. Vates.

Φοιβᾶσθαι. Purgari. Mundari. Et Φοῖβον, purum. Et Φοῖβαι, puræ. Unde & Apollo dicitur Phœbus.

Φοίβη. [Proprie, coma. At metaphorice,] vitis. [Vel potius, vitis, aliarumque arborum frondes.] In Epigrammate: *Triplex ſub patulis arborum frondibus donum poſuit.*

Φοῖβος. Phœbus. Apollinis epithetum.

Φοῖβος. Purus. Caſtus. Vel, fatidicus. Item, impollutus.

Φοιδεράτοι. Fœderati. *Sic Romani vocant* Scythas *fœdere & amicitia ſibi conjunctos.*

Φοινικᾶ. Punicea. Voces has ἁπλᾶ, διπλᾶ, πολλαπλᾶ, & cætera hujuſmodi omnia Attici circumflectunt. Sic & ἀργυρᾶ, χρυσᾶ, & κεραμεᾶ, a κεραμέου; & Φοινικᾶ, a Φοινικοῦ.

Φοινικελίτης. Fallax. Fraudulentus.

Φοινίκειον αἷμα. Sanguis purpureus, vel puniceus. Et Φοινίκειος οἶνος. Vinum Phœnicium. [Scribitur per dipth. ει in ſyllaba penultima.]

Φοινίκη. Phœnice. Urbs.

Φοινικήια γράμματα. Phœniciæ literæ. Lydi & Iones literas ab earum inventore Agenore Phœnice acceperunt, [eaſque Phœnicias ideo vocarunt.] Sed his refragantur Cretenſes, dicentes, eas ſic vocatas eſſe, quod in foliis palmarum, quas Φοίνικας Græci vocant, homines olim ſcriberent. Scammon vero lib. II. *Inventorum* dicit, eas a Phœnice filia Actæonis ſic appellatas eſſe: Hic enim fertur nullos quidem mares filios habuiſſe, ſed filias, Aglaurum, Erſen, Pandroſum, Phœnicen. Ex his Phœnicen virginem adhuc obiiſſe ajunt. Quare patrem in honorem filiæ literas appellaſſe Phœnicias.

Φοινικίδα. Veſtem puniceam, ſive purpuream. [Ariſtophanes:] *Quid parcimus lapidibus, populares? Quin depectimus virum iſtum & purpuræ ſimilem reddimus?* Id eſt, Cur non lapidibus in eum conjectis, corpus ejus cruentamus & purpureum reddimus? Verbo καταξαίνειν autem uſus eſt, tanquam de lana verba faciens. Quare etiam Φοινικίδα dixit, quod veſtem puniceam ſignificat. Ariſtoteles vero dicit, Lacedæmonios punicea veſte in bellis uti ſolitos fuiſſe: partim, quia color iſte virilis eſt; partim, quia color ſanguineus milites aſſuefacit ad cruorem, qui e vulneribus manat, contemnendum. Quare ἐς Φοινικίδα recte

1 Φοίβη] Male, pro φόβη. Vide notam ſequentem.

2 Ἐν Ἐπιγράμμασι] Anthol. lib. VI. cap. VII. Epigr. XI. ſed ubi pro φοίβαις, quam vocem metrum reſpuit, rectius legitur, φόβαις.

3 Φοινικελίτης] Vel ſcribe, φοινικελίκτης: vel, φοινικέλικτος. Id eſt, qui Phœnicis inſtar in conſiliis & dictis tortuoſus eſt & obliquus. A Φοῖνιξ, & ἑλίσσω. Vide Heſychium v. Φοινικελίκτην, & v. Φοινικέλικτον.

4 Φοινίκειον] Paulo inferius ſcribitur Φοινίκιον, per ι in ſyllaba penultima. Sed quis neſcit, ὀρθογραφίᾳ illa nihil eſſe frequentius?

5 Φοινίκη] Vide Etymologum.

6 Τί φειδόμεσθα τ.] Hæc ſunt verba Ariſtoph. in *Acharnenſibus*, pag. 387. (275. Ed. Baſ. P.)

7 Θαυμάλωψ] Scribe, θυμάλωψ: ut recte legitur apud Ariſtophanem.

8 Ἀντὶ τοῦ, μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὡς φ.] Hæc, & quæ ſequuntur, leguntur etiam apud Scholiaſtam ad modo indicatum locum Ariſtophanis; itemque ſupra v. Καταξαίνειν.

9 Ἀπὸ τοῦ φρονήματος] Scholiaſtes Ariſtophanis recte, χωρὶ τοῦ φρονήματος.

πεὶ

πεὶ ¹ τὸ φοινιχθῆναι, αἱμαχθῆναι. καὶ, Ξαίνειν κατὰ νώτου πολλάς. Δημοσθένης. Θυμάλωψ δὲ, ὁ διακεκαυμένος. ἀνθρακεῖς δὲ οἱ Ἀχαρνεῖς. Καὶ ² Ἰώσηπος· Κτῆσίν τε τὴν σὴν, καὶ τοὺς οἰκείους ἅπαντας εἰς τὸ καταγώγιον ἀποθεμένη ἐγκαθεῖρξαι, πρὸ τῶν θυρῶν ἀναπετάσαι φοινικίδας.

ſignificaverit, *hoſtis loco:* quoniam veſtis rubra erat geſtamen bellicum; & φοινιχθῆναι, ſignificat, cruentari. Et, *Tergo multas plagas infligit.* Demoſthenes. Θυμάλωψ vero eſt titio. Acharnenſes autem erant carbonarii. Et Joſephus: *Facultatibus & propinquis intra diverſorium concluſis, veſtem puniceam pro foribus expandere eam* [*juſſit.*]

Φοινικίδης, κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι Φύλαρχος, Μισούμενος· ὡς Ἀθήναιός φησιν ἐν τῷ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

Φοινικίδης. Phœnicides, Comicus. Ex ejus fabulis ſunt, Phylarchus, & Exoſus: ut ait Athenæus in libris *Dipnoſophiſtarum.*

Φοινικικόν. τὸ ψεῦδος. ἀπὸ τῶν κατὰ τὸν δράκοντα καὶ τοὺς ³ Σπαρτοὺς καὶ Κάδμον ψευδῶς λεγομένων.

Φοινικικόν. Phœnicium mendacium. Propter ea, quæ de dracone & Spartis & Cadmo falſo dicuntur.

Φοινικικῶν.

Τάξεων ⁴ ἀπαλλαγέντες, καὶ κακῶν φοινικικῶν.

ἢ ὅτι φοινικὶς χλαμὺς ἦν πολεμική. ἢ ἀντὶ τοῦ ναυτικῶν κακῶν. Φοίνικες γὰρ λέγονται κρατεῖν ἐν ταῖς ναυμαχίαις. ἢ αἱματωδῶν· ἀπὸ τῆς τοῦ αἵματος χροιᾶς. καὶ Ὅμηρος·

——— φοινίσσετο δ' αἵματι γαῖα.

Φοινικικῶν. Phœnicicorum. *Liberati a bellis & malis Phœniciis.* [Hoc ideo dictum,] vel quia φοινικὶς erat chlamys bellica: vel, pro malis nauticis. Phœnices enim in prœliis navalibus ſuperiores fuiſſe dicuntur. Vel, cruentis: a colore ſanguinis. Et Homerus: *Rubebat vero ſanguine terra.*

Φοινίκιον ⁵ ἔρνος, καὶ χρῶμα. καὶ φοινίκιος ἄνθρωπος.

Φοινίκιον ἔρνος. Ramus palmæ. Et φοινίκιον χρῶμα, color puniceus. Et φοινίκιος ἄνθρ. Homo Phœnicius, vel, Phœnix.

Φοινικοῦς. ⁶ ἀντὶ τοῦ, πυῤῥός. περισπᾶται δὲ τῶν εἰς οὓς ἁπλῶν τῷ λόγῳ. καὶ ἔτι παρὰ τὴν φοίνικος γενικὴν, φοινικόεις, ⁷ φοινικόεις ἐν ὑπερθέσει· φοινικοῦς, ἐν συναιρέσει.

Φοινικοῦς. Puniceus. Purpureus. Rutilus. Circumflectitur, ut & reliqua, quæ ex εος in οῦς contrahuntur. A genitivo autem φοίνικος fit φοινικόεις, & per tranſpoſitionem literarum, φοινικέεος, & per contractionem, φοινικοῦς.

Φοινικολόφον. ⁸ ξανθολόφον.

Φοινικολόφον. Rubram criſtam habentem.

Φοινικοῦν. ἐρυθρόν. πυῤῥόν.

Φοινικοῦν. Puniceum. Purpureum. Rubrum. Rutilum.

Φοινίκων ἐγκέφαλοι. Πῶρος φησὶν, Ἰνδῶν βασιλεύς· ⁹ Τὰ δὲ ἐμὰ σιτία λάχανα, καὶ φοινίκων ἐγκέφαλοι, καὶ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ποταμὸς κηπεύει.

Φοινίκων ἐγκέφαλοι. Palmarum cerebrum. Porus Indorum Rex dicit: *Cibi vero mei ſunt olera, & palmarum cerebrum, & palmarum fructus, & quæcunque hortus fluvio rigatus mihi producit.*

Φοινίκων ¹⁰ συνθῆκαι. οἱ τὴν Καρχηδόνα κτίσαντες Φοίνικες, ὅτε προσέπλευσαν τῇ Λιβύῃ, ἐδεήθησαν τῶν ἐγχωρίων, δέξασθαι αὐτοὺς νύκτα καὶ ἡμέραν. ἐπιτυχόντες δὲ τούτου, οὐκ ἐβούλοντο ἀπαλλάσσεσθαι, ὡς συνθέμενοι νύκτας καὶ ἡμέρας μένειν. διὸ λέγεσθαι τοῦτον ἐπὶ τῶν ἐνεδρευτικῶς συντιθεμένων. τὰ δ' ὅμοια Δήμων περὶ Μεταποντίνων ἱστορεῖ.

Φοινίκων συνθῆκαι. Phœnicum pacta. Phœnices, ſive Pœni, qui Carthaginem condiderunt, cum ad Libyam navibus appuliſſent, rogarunt illius regionis incolas, ut ſe reciperent noctem & diem. Hoc autem impetrato, diſcedere noluerunt, quaſi pacti fuiſſent, ſe noctes & dies ibi manſuros eſſe. Quamobrem hoc dici tradunt de iis, qui inſidioſe paciſcuntur. Demon autem de Metapontinis ſimilia narrat.

Φοινικῶνος.

Φοινικῶνος. Palmeti. Sive, loci palmis conſiti.

Φοῖνιξ. τὸ δένδρον. καὶ τὸ ὄρνεον. ἐπὶ Κλαυδίου Καίσαρος ἐλθεῖν φασι τοῦτο τοῖς Αἰγυπτίοις, διὰ τετταρῶν καὶ ν΄ καὶ χ΄ ἐτῶν. καὶ Φοῖνιξ, ἀντὶ τοῦ φοινικοῦς. ¹¹ Ὅμηρος· Ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν. ἐπὶ

Φοῖνιξ. Palma, arbor. Item, phœnix, avis. Sub Claudio Imperatore avem phœnicem ad Ægyptios veniſſe ajunt, poſt annorum DCLIV. intervallum. Et Φοῖνιξ, pro φοινικοῦς, puniceus,

1 Ἐπεὶ τὸ φοινιχθῆναι, αἱμ. καὶ ξαίνειν κατὰ ν.] Locus hic apud interpretem Comici plenius & melius ſic legitur. ἐπεὶ τὸ φοινιχθῆναι, τὸ αἱμαχθῆναι δίκην φοινικοβαφοῦς ἐνδύματος. καὶ τὸ ξαίνειν, ῥήσσειν, καὶ παρὰ Δημοσθένει κεῖται ἐν τῷ κατ' Αἰσχίνου περὶ τῆς παραπρεσβείας· Εὐθύνης τι τὴν δακρυρροοῦσαν ἀπελθεῖν. περιῤῥήξας τὸν χιτῶνα ὁ οἰκέτης. ξαίνοι κατὰ τοῦ νώτου πολλάς. Hinc Suidas ſuppleri poteſt.

2 Ἰώσηπος] Lib. v. *Antiq. Jud.* cap. 1. ubi de Rachabe & exploratoribus a Joſua Hierichuntem miſſis verba fiunt.

3 Σπαρτούς] Proprie, *Satos.* Sic autem dicebantur Thebani, quod ex ſatis a Cadmo Draconis dentibus nati crederentur. Res nota eſt ex poetis & Mythographis.

4 Τάξεων ἀπαλλ.] Eſt verſus Ariſtophanis in *Pace*, pag. 643.

5 Φοινίκιον] Vide paulo ante v. Φοινίκεον.

6 Φοινικοῦς] Ariſtoph. *Avibus*, pag. 553.

——— βαβαί. καλός γε καὶ φοινικοῦς.

Vide ibi Scholiaſtam, qui eadem habet, quæ hoc loco Suidas.

7 Φοινικόεις] Vetus interpres Ariſtophanis, φοινίκεος. Sed ſcribendum eſt φοινικέεος. Inde enim per contractionem fit φοινικοῦς: ut a φοινίκεος, φοινικοῦς.

8 Φοινικολόφον] Theocritus *Idyll.* XXII. v. 72.

Ὀρνίχων φοινικολόφων τοιοῦδε κυδοιμοῦ.

Huc ſi Suidas reſpexit, ut reſpexiſſe videtur, ſcribendum potius erit, φοινικολόφων, ξανθολόφων: ut Portus etiam monuerat.

9 Τὰ δὲ ἐμὰ σιτία λάχ.] Hæc ſunt verba Philoſtrati lib. II. de *Vit. Apoll.* cap. XI. eademque leguntur ſupra v. Πῶρος.

10 Φοινίκων συνθῆκαι. οἱ τ.] Eadem ad verbum etiam leguntur in Vaticana Proverbiorum Appendice.

11 Ὅμηρος] Il. ψ. v. 454.

τῶν.

ἴππου. περὶ οὖν τοῦ ὀρνέου ἱστόρηται, ὅτι,[1] ὅταν αὐτὸ τὸ μοιρίδιον ἄγῃ, ἔρχεται εἰς Αἴγυπτον, ὅθεν οὐκ ἴσασιν ἄνθρωποι· καὶ αὐτὸς ἑαυτῷ ποιησάμενος ἐκ κασίας καὶ σμύρνης πῦρ, ἀποθνήσκει. καυθείσης δὲ τῆς πυρᾶς, μετὰ χρόνον ἐκ τῆς σποδοῦ σκώληκα λέγουσι γίνεσθαι· ὅν τινα μεταβάλλειν καὶ γίνεσθαι πάλιν Φοίνικα, καὶ ἀφίπτασθαι εἰς Αἴγυπτον,[2] ἐκεῖθεν, ὅθεν ἦλθεν ὁ πρὸ αὐτοῦ Φοίνιξ.

Φοινίξω. αἱμάξω. βάψω.[3] πυρώσω. ἀπὸ τοῦ φόνου, ἢ τοῦ Φοίνικος· ὅτι πυῤῥός.

Φοίνιος. Φόνου καὶ Φθορᾶς παραίτιος.

——————'Αμφὶ[4] δ' Ἐριννὺς

Φοίνιος ἐκ στομάτων μόρσιμον ἧκεν ὄπα.

Καὶ Φοίνιος Ἄρης. καὶ Φοίνιον, ὁμοίως.

Φοίνισσα ναῦς. καὶ Φοινίσσω, τὸ κοκκίνῳ βάπτω. καὶ Φοινίττων, βάπτων αἵματι.

Φοινός. πυῤῥός. Φόνιος.

Φοιτᾷ. παραγίνεται. καὶ Φοιτᾶν, τὸ σχολάζειν.[5] Φιλόστρατος· Φοιτᾶν τοῖς μάγοις μεσημβρίας τε καὶ ἀμφὶ μέσας νύκτας φασὶ τὸν Ἀπολλώνιον.

Φοιτάδας. τετριμμένας. Τήν τε θέσιν τῆς χώρας ἀνεζήτει, καὶ Φρούρια, καὶ Φοιτάδας ὁδούς τε καὶ διαστήματα.

Φοιτάλμιος.[6] ἐπίθετον τοῦ Ποσειδῶνος.

Φοιτητάς. μαθητάς. παραγενομένους. ἐξ οὗ καὶ φοιτᾶν, τὸ σχολάζειν.

Φοιτία.[7] ἡ πορεία.

Φοῖτος.[8] ἡ μανία.

Φοιτῶντα.[9] μεθ' ὁρμῆς μεμηνότα. μαινόμενον. Φοῖτος γὰρ, ἡ μανία. ἢ περιερχόμενον ἐν ταῖς ποίμναις, διὰ τὴν μανίαν. ἢ ἀναστρεφόμενον ἐν τῇ μανίᾳ.

Φυγαδεία. Φυγή. ἐξορία. Δυοῖν προδήλων ὀλέθρων ὑπαρχόντων, ἠλλάξαντο Φυγαδείαν ἀντὶ τούτων ἀίδιον. οὕτως ἀληθές ἐστι τὸ περιφερόμενον, ὅτι παῦσις τοῦ κακοῦ μεῖζον κακόν. Καὶ, Φυγὰς τοῦ ἰδίου ἔθνους. † Οὗ φυγὰς ὀλίγα πόῤῥωθεν ἐγεγόνει, ἀπέδειξεν βασίλισσα. ἀντὶ τοῦ ἐξόριστος.

Φυγγάνει.[10] Σοφοκλῆς· Ξυνίημι ταῦθ', οὔτι με Φυγγάνει. ἀντὶ τοῦ λανθάνει. Καὶ αὖθις· Ἐπί τινα πύργον ὑψηλὸν καταφυγγάνει.

Φυγή. Ὀστρακισμὸς Φυγῆς διαφέρει. ζήτει ἐν τῷ Ὀστρακισμός.

ſpadiceus. Homerus: *Qui reliquo corpore ſpadiceus erat.* De equo hæc dicuntur. De ave autem phœnice traditur, eam, cum fatum ſibi inſtare ſentiat, in Ægyptum venire, ex loco hominibus ignoto; ibique rogo ex caſia & myrrha ſibi exſtructo, mori. Cremato autem rogo, paulo poſt ex cinere vermem naſci, qui in phœnicem rurſus mutetur, & [moriturus] in Ægyptum avolet, unde prior phœnix venerat.

Φοινίξω. Cruentabo. Colore rubro inficiam. Ignitum reddam. A Φόνος, cædes. Vel, a palma, quæ eſt rutila.

Φοίνιος. [Sanguinarius. Crudelis. Funeſtus.] Cædis & exitii auctor. [In Epigrammate:] *Circa vero Erinnys funeſta ore feralem emiſit vocem.* Et Φοίνιος Ἄρης, Mars ſanguinarius. Et Φοίνιον, pariter.

Φοίνισσα ναῦς. Phœniſſa navis. Et Φοινίσσω, colore coccino, vel puniceo tingo. Et Φοινίττων, ſanguine tingens, cruentans.

Φοινός. Idem quod Φόνιος. Rufus. Sanguineus. Cruentus.

Φοιτᾷ. Frequentat. Adit. Venit. Et Φοιτᾶν, ludum literarium frequentare. Scholam adire. Philoſtratus: *Dicunt Apollonium & meridie & ſub medias noctes ad Magos diſcendi cauſa accedere conſueviſſe.*

Φοιτάδας. Tritas. *Et regionis ſitum inquirebat, & caſtella, & vias tritas & intervalla.*

Φοιτάλμιος. Phœtalmius. Epithetum Neptuni.

Φοιτητάς. Diſcipulos. Sive, eos, qui diſcendi cauſa ad aliquos accedunt. Unde etiam Φοιτᾶν, Scholam frequentare: ſive, diſcendi cauſa aliquem adire.

Φοιτία. Iter. Profectio.

Φοῖτος. Furor. Inſania.

Φοιτῶντα. Eum, qui furore incitatus fertur. Inſanientem. Vel, greges obeuntem propter inſaniam. Vel, eum, qui inſanus oberrat.

Φυγαδεία. Fuga. Exilium. *Cum duplex interitus ob oculos ipſis verſaretur, perpetuum exilium pro utroque elegerunt. Adeo verum eſt, quod vulgo circumfertur, Ceſſationem mali majus eſſe malum.* Et, *Ex ſua gente profugus.* Et, *Ubi exul paulo ante fuerat, Regina eum creavit,* &c.

Φυγγάνει. Fugit. Latet. Sophocles: *Intelligo, nec iſta me latent.* Et iterum: *In turrim quandam excelſam confugit.*

Φυγή. Fuga. Exilium. Oſtraciſmus ab Exilio differt. Quære in v. Ὀστρακισμός.

1 Ὅταν αὐτὸ τὸ μοιρίδιον ἄγῃ, ἔρχ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſumpta ſunt ex Artemidori lib. IV. cap. XLIX. ut Pearſonius recte obſervaverat.

2 Ἐκεῖθεν] Artemidorus recte, οἴκοθεν.

3 Πυρώσω] Etymologus habet, πυῤῥώσω: quod dictum videtur pro πυῤῥὸν ποιήσω, i. e. rufum vel rutilum reddam. Nam φοῖνιξ a Grammaticis etiam exponitur, πυῤῥός. At πυρώσω aliud ſignificat, nec interpretatio iſta voci φοινίξω convenire poteſt.

4 Ἀμφὶ δ' Ἐριν.] Fragmentum hoc legitur etiam ſupra v. Ἐριννύς, & v. Μόρσιμον.

5 Φιλόστρατος] Lib. I. *de Vit. Apoll.* cap. XVIII. in fin.

6 Φοιτάλμιος] Heſychius & Etymologus, Φυτάλμιος, per υ in ſyllaba prima.

7 Φοιτία] Rectius, Φοιτεία, per ει in ſyllaba penultima.

8 Φοῖτος. ἡ μανία] Vide Schol. Apoll. Rhod. ad lib. IV. v. 55.

9 Φοιτῶντα. μεθ' ὁρμῆς μεμ.] Ex Scholiaſta Sophoclis ad *Ajacem*, pag. 4. ut Portus monuit,

10 Σοφοκλῆς] *Electra*, pag. 86. ut itidem Portus obſervaverat.

Φυγοδέμνιος. παρθένος. ἐν Ἐπιγράμματι· [1] Σώτειρα φυγοδέμνιε κούρα.

Φύζα. δειλία. φυγή. καὶ φυζαλέος, ὁ δειλός. [2] Ὠμηστὴν δ' ἔτρεπε φυζαλέον.

Φυζακινός. ὁ δειλός.

Φυή. βλάστησιν. αὔξησιν ἡλικίας.

Κυρτὴ δέ σοι πέφυκε καὶ τῶν ὀρνίθων
Εἶναι δοκούντων ἡ φυὴ τῶν δακτύλων.

Φυκία. [3] θαλάσσια ζῶα. ἢ ὁ ἀφρίς. ἢ βρύα.

Φυκίδα. ἐν [4] Ἐπιγράμματι·

Τρίγλαν ἀπ' ἀνθρακιῆς, καὶ φυκίδα σοὶ λιμενῖτιν,
Ἄρτεμι, δωρεῦμαι, Θῆρις ὁ δικτυβόλος.

Φῦκος. ᾧ τινι τὰς οἰκείας ὄψεις αἱ γυναῖκες χρίουσι. λέγεται δὲ καὶ φυκία, τὰ βρύα. καὶ φυκίς. [5] ἐν Ἐπιγράμματι·

——————— Πολλὰ δ' ἐν αὐτῷ
Φυκί' ἀπ' εὐόρμων εἵλκυσεν αἰγιαλῶν.

Φῦκος. τὸ χορτῶδες τῆς θαλάσσης.

Φῦλα. ἔθνη. διὰ δὲ δύο λλ, σημαίνει τὰ τῶν δένδρων φύλλα, καὶ παροξύνεται.

Φυλακή. τὸ τέταρτον μέρος τῆς νυκτός. τετραχῆ γὰρ διῄρητο. καὶ φυλακαί, τῆς νυκτὸς αἱ διαιρέσεις, καθ' ἃς οἱ φύλακες τὰς φυλακὰς ἀλλήλοις ἐγχειρίζουσι.

Φυλάκια. [6] παρὰ Ἀλεξανδρεῦσι τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. καὶ Πολύβιός φησιν· Ὁ δὲ κατέσχεν ἀμφότερα τὰ κατεσκευασμένα φυλάκια, πεντήκοντα πόδας διεστῶτα ἀλλήλων.

Φύλακος. [7] παρὰ Ἡροδότῳ· Κατὰ τοῦτο τῆς ἀκροπόλιος, τῇ οὐδεὶς ἐτέτακτο φύλακος.

Φυλακτήριον. τόπος, ἔνθα οἱ φύλακες.

Φυλάξαντες. ἐπιτηρήσαντες. Ἡρόδοτος. καὶ φυλάξασα, καιροφυλακήσασα, εὐκαίρως ἐπιτηρήσασα.

Φυγοδέμνιος. Lectum fugiens. [A conjugio abhorrens.] Epithetum virginis. In Epigrammate: *Salutis datrix, lectifuga virgo.*

Φύζα. Fuga. Timiditas. Ignavia. Et φυζαλέος, fugax, timidus. [In Epigrammate:] *Crudivorumque [leonem] pavoris plenum in fugam vertit.*

Φυζακινός. Fugax. Timidus. Ignavus.

Φυήν. Germinationem. Incrementum ſtaturæ. [Naturam. Indolem. Habitum vel ſpeciem naturalem.] *Curva tibi eſt digitorum ſpecies, ut unguibus avium ſimiles videantur.*

Φυκία. Marina quædam animalia. Vel, ſpuma. Vel, alga.

Φυκίδα. Phucam piſcem. In Epigrammate: *Mullum piſcem ſuper prunas toſtum, & phucam in portu captam, tibi, Diana, Theris ego piſcator dono.*

Φῦκος. Fucus, quo mulieres facies ſuas illinunt. Dicitur autem & φυκία, muſcus marinus, ſive alga. In Epigrammate: *Multam autem algam a littoribus commodam ſtationem habentibus reti traxit.*

Φῦκος. Muſcus marinus. Alga.

Φῦλα. Gentes. Nationes. [Scribitur per ſimplex λ,& circumflectitur.] At φύλλα,per duplex λλ, ſignificat arborum folia, & penacuitur.

Φυλακή. Vigilia. Quarta noctis pars. Nox enim in quatuor partes, [ſive vigilias] erat diviſa. Et φυλακαί, vigiliæ, ſive partes noctis, ſecundum quas vigiles vices vigilandi aliis tradunt.

Φυλάκια. Phylacia. Sic vocantur apud Alexandrinos panni, vel lintea, ſordibus muliebribus inquinata. [Et, φυλάκια, turres, vel loca, in quibus milites excubant. Speculæ.] Polybius: *Ille autem ambas turres, in quibus milites excubabant, quinquaginta pedibus a ſe diſtantes, occupavit.*

Φύλακος. [Pro φύλαξ.] Cuſtos. Apud Herodotum: *In illa Arcis parte, ubi nullus cuſtos collocatus erat.*

Φυλακτήριον. Locus, ubi ſunt cuſtodes. Statio excubitorum.

Φυλάξαντες. Qui aliquam opportunitatem obſervarunt. Herodotus. Et φυλάξασα, quæ

1 Σώτειρα φυγοδέμνιε κούρα] Fragmentum hoc decerptum eſt ex Epigrammate, nondum a quoquam, quod ſciam, edito: quod proinde ex Cod. MS. integrum hic cum Lectore communicabo. Εἰς βωμὸν ἀνατεθέντα τῇ Ἀθηνᾷ παρὰ Σελεύκου. Ἀντιπάτρου.

Τριτογενὲς Σώτειρα Διὸς φυγοδέμνιε κούρα,
Παλλάς, ἀπειρολεχὲς δεσποτὶ παρθενίας·
Βωμόν τοι κεραοῦχον ἐδείματο τόνδε Σέλευκος,
Φοιβείων ἰαχὰν φθεγγομένων ἱερεύς.

Epigramma eſt planum & facile.

2 Ὠμηστὴν δ' ἔτρ.] Verba hæc ſunt pars Epigrammatis in Gallum, ſive ſemivirum Deæ Cybeles ſacerdotem; qui cum in ſylva ambulans in leonem incidiſſet, & de vita periclitaretur; tympano pulſato, ſtrepitu ejus leonem in fugam vertit, & ſic imminens vitæ periculum evaſit. Ipſum Epigramma, hactenus ineditum, ex Cod. MS. Lectori hic exhibeo. Ἀντιπάτρου.

Ἐνδυτὰ καὶ πλοκάμους τούτους θῆκε Γάλλος Ὀρείῃ
Ματρὶ θεῶν, τοίης εἵνεκα συντυχίης.
Μούνῳ οἱ στείχοντι λέων ἀντῆσε καθ' ὕλην
Ἄγριος, ἀργαλέος· ζωῆς δ' ἆθλος ἀπηωρεῖτο.
Ἀλλὰ θεὰ Γάλλῳ μὲν ἐπὶ φρένας ἧκεν ἀράξαι
Τύμπανον· ὠμηστὴν δ' ἔτραπε φύζα λέων,
Φθόγγον ὑποδδείσαντα πελώριον. εἵνεκα τοῦδε
Πλοχμοὶ συριγκτῶν κεῖνται ἐπ' ἀκρεμόνων.

Indumenta & capillos hos plexos poſuit Gallus Montanæ Matri Deorum, talem propter caſum.

Soli ipſi ambulanti occurrit in ſylva leo
Infeſtus: & de vita imminebat certamen.
Sed Dea Gallo in mentem immiſit, ut pulſaret
Tympanum. Quod cum feciſſet, crudivorum leonem pavoris plenum in fugam vertit,
Sonum extimeſcentem immanem. Propterea igitur
Cincinni hi ex ramis ſuſurrum edentibus ſuſpenſi ſunt.

Diſtichum primum Epigrammatis hujus & ante nos edidit Illuſtriſſ. Spanhemius in notis eruditiſſimis ad Callimachum, pag. 518. In Pentametro ſecundo pro ἀπηωρεῖτο ſcribendum eſſe ἀπῃωρεῖτο manifeſtum eſt. In Pentametro tertio pro φύζα λέων, legendum eſt una voce, φυζαλέον; auctore Suida hoc loco. Reliqua plana ſunt.

3 Θαλάσσια ζῶα] Sic etiam Etymologus. At legendum forte eſt, θαλάσσια φυτά.

4 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. III. Epigr. XIII. Vide etiam ſupra v. Λιμενῖτιν.

5 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. III. Epigr. IV. Id Portus etiam obſervaverat.

6 Φυλάκια. παρὰ Ἀλεξανδρ. τὰ ἐκμαγεῖα τῶν γυν.] Ex Damaſcio: ut patet ex Photio, apud quem in Excerptis ex illo ſcriptore, pag. 1037. ſic legitur: Ὅτι φυλάκια οἱ Ἀλεξανδρεῖς ἐκάλουν τὰ ἐκμαγεῖα τῶν γυναικείων μολυσμῶν. Confer Noſtrum ſupra v. Κεφάλαια. & Reineſ. *Var. Lect.* pag. 432.

7 Παρὰ Ἡροδότῳ] Lib. I. pag. 22. ut Portus monuit.

Ἀφύα-

Ἀῤῥιανός· Ἡ [1] δὲ τὸν πατέρα φυλάξασα ἀποδημοῦντα, ὑπισχνεῖται Τατίῳ προδώσειν τὸ φρούριον.

Φυλάρχης. ὁ δυνάστης. Ξυμβάλλει τῷ Τραϊανῷ [2] περὶ Ἀκβάρου, ὃς ἦν Ὀσροήνης χώρας δυνάστης· οὕστινας [3] Φυλάρχας ὀνομάζουσιν ἐκεῖνοι, ὅτι καὶ τὰ χωρία αὐτῶν φυλαὶ ὀνομάζονται. Καὶ [4] Ἀριστοφάνης·

Μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.

ἦν δὲ ἡ Φυλὴ χωρίον τῆς Ἀττικῆς, καὶ ὄνομα τόπου. καὶ Φυλάσιοι, οἱ ἐνοικοῦντες.

Φύλαρχος, [5] Ἀθηναῖος, ἢ Ναυκρατίτης, (οἱ δὲ, Σικυώνιον· ἄλλοι δὲ, Αἰγύπτιον ἔγραψαν) ἱστορικός. Τὴν ἐπὶ Πελοπόννησον Πύῤῥου τοῦ Ἠπειρώτου στρατείαν ἐν βιβλίοις κή. κατάγει δὲ καὶ μέχρι Πτολεμαίου τοῦ Εὐεργέτου κληθέντος, καὶ τῆς Βερενίκης τελευτῆς· καὶ ἕως τοῦ θανάτου Κλεωνύμου τοῦ Λακεδαιμονίου, ἐπιστρατεύσαντος αὐτῷ Ἀντιγόνου. Τὰ κατὰ τὸν Ἀντίοχον, καὶ τὸν Περγαμηνὸν Εὐμένη. Ἐπιτομὴν Μυθικήν. Περὶ τῆς τοῦ Διὸς ἐπιφανείας. Περὶ εὑρημάτων. Παρεμβάσεων, βιβλία θ'.

Φύλαρχος. [6] ὁ κατὰ φυλὴν ἑκάστην τοῦ ἱππικοῦ ἄρχων· ὑποτεταγμένος δὲ τῷ Ἱππάρχῳ. Δημοσθένης Φιλιππικοῖς.

Φυλάσιμος. [7] ὁ ἐκ τοῦ δήμου. καὶ φυλασσόμενος, προορώμενος. περισκοπούμενος. Οὐ μέν τοι οὐδ' ἀπέκλινε, φυλασσόμενος μὴ δοκοίη φεύγειν. οὕτω Ξενοφῶν. καὶ Θουκυδίδης· Φυλάξαντες τὸ συχνὸν τῆς νυκτὸς, ἔφυγον. καὶ φυλάσσω, αἰτιατικῇ.

Φυλαῖος. ὁ ἐκ τῆς Φυλῆς.

Φυλέτης. συγγενής. ὁμόφυλος. [8] Ἰώσηπος· Ὁ δὲ Σαμψὼν καταβὰς ἐκ τῆς πέτρας, ἐν τῇ τῶν φυλετῶν αὐτὸν τίθεικεν ἐξουσίᾳ.

Φυλλεῖα. τὰ ἀπολεπίσματα τῶν λαχάνων. [9] Ἀριστοφάνης·

Εἰς τὸ σπυρίδιον ἰσχνά μοι φυλλεῖα δός.

οἷον, μεμαραμμένα καὶ εὐτελῆ. τοιαῦτα γὰρ οἱ πτωχοὶ ἐσθίουσι. Φυλλία δὲ, τὰ τῆς θριδακίνης φύλλα.

Φυλείδης. ὁ τοῦ Φυλέως.

Φυλή. ὄνομα δήμου παρ' Ἀθηναίοις.

Φυλή. ἡ Φυλὴ καθ' αὐτὴν ἔστι μύριοι στρατιῶται. ζήτει ἐν τῷ Γεννῆται.

Φυλή. [10] Ἰσοκράτης ἐν τῷ περὶ τῆς εἰρήνης. δῆμός ἐστι Φυλὴ τῆς Οἰνηΐδος. ὁ δὲ Μένανδρος [11] τόπον νομίζει εἶναι Φυλήν. ὁ δὲ Φιλόχορος, φρούριον αὐτό φησιν εἶναι.

tempus opportunum obſervavit. Quæ opportunitatem aliquā captavit. Arrianus: *Illa vero captato tempore, quo pater peregre profectus erat, Tatio arcem ſe proditurameſſe pollicetur.*

Φυλάρχης. Phylarcha. Princeps Tribus. *Agbarus Trajanum convenit, qui erat Oſroenæ regionis princeps: quos illi Phylarchas vocant; quod & regiones illorum Phylæ vocentur.* Et Ariſtophanes: *Ne injuriarum memor ſis, qui Phylen occupaſti.* Phyle autem erat caſtellum Atticæ, & nomen loci: cujus incolæ dicebantur Phylaſii.

Φύλαρχος. Phylarchus, Athenienſis, aut Naucratites, (alii vero Sicyonium; alii Ægyptium eum fuiſſe ſcripſerunt) Hiſtoricus. [Scripſit] expeditionem Pyrrhi Epirotæ in Peloponneſum, lib. XXVIII. Deducit autem hiſtoriam ſuam uſque ad Ptolemæum, cognomento Euergeten, & Berenices obitum: itemque ad mortem uſque Cleonymi Lacedæmonii, cui Antigonus bellum intulit. Res ab Antiocho & Eumene Pergameno geſtas. Compendium Mythicum. De Apparitione Jovis. De Inventis. De Parembaſibus, lib. IX.

Φύλαρχος. Phylarchus. Sive, ille, qui in qualibet Tribu Equitibus præeſt: ſubjectus tamen Equitum Magiſtro. Demoſthenes in *Philippicis.*

Φυλάσιμος. Phylaſius. Sive, qui eſt ex populo Phyle. Et φυλασσόμενος, proſpiciens, cavens. *Ne declinavit quidem, cavens, ne fugere videretur.* Sic Xenophon. Et Thucydides: *Captata nocte valde obſcura, aufugerunt.*

Φυλαῖος. Phylæus. Sive, qui eſt ex Phyle.

Φυλέτης. Tribulis. Qui eſt ejuſdem tribus, vel gentis. Joſephus: *Sampſon autem, cum de rupe deſcendiſſet, ſe ſuorum tribulium poteſtati commiſit.*

Φυλλεῖα. Cortices, aliaſque rejiculas olerum partes. [Flaccida olerum folia.] Ariſtophanes: *In ſportulam minuta & inutilia mihi da olerum folia.* Vel, flaccida & vilia. Talia enim mendici comedunt. Φυλλία vero, lactucæ folia.

Φυλείδης. Phylides. Sive, Phylei filius.

Φυλή. Phyle. Nomen populi, vel pagi Attici.

Φυλή. Tribus. Tribus quælibet continet decem millia militum. Quære in voce Γεννῆται.

Φυλή. Phyle. Iſocrates in oratione de Pace. Phyle eſt populus Tribus Oeneidis. Menander vero Phylen putat eſſe locum [Atticæ.] Philochorus vero caſtellum eſſe dicit.

1 Ἡ δὲ τὸν πατέρα φυλ.] Fragmentum hoc pertinet ad hiſtoriam de virgine Tarpeja, quæ tempore Romuli Capitolium, cui pater ejus tunc præfectus erat, Tatio Sabinorum Regi prodere decreverat. Hiſtoriam hanc narrant, Livius, Dionyſ. Halicarnaſſ. & alii hiſtoriæ Romanæ ſcriptores. Inde autem colligo, pro Ἀῤῥιανὸς hic apud Suidam ſcribendum eſſe Ἀππιανός. Appianus enim eſt hiſtoriæ Romanæ ſcriptor; non vero Arrianus. Et obſervavi præterea, duo iſta nomina propter affinitatem a librariis nonnunquam inter ſe commutari ſolere.

2 Περὶ Ἀκβάρου] Forte legendum eſt, ὁ Ἄβγαρος.

3 Οὕστινας Φυλάρχας ὀνομ.] Locum hunc egregie illuſtrat Henr. Valeſius ad Amm. Marcell. lib. XXIV. pag. 283.

4 Ἀριστοφάνης] In *Pluto*, pag. 109. (53. Ed. Baſ. *P.*)

5 Φύλαρχος] De hoc, ejuſque ſcriptis vide Voſſium in opere *de Hiſt. Gr.* & Meurſium in *Biblioth. Attica.*

6 Φύλαρχος. ὁ κατὰ φυλ.] Ex Harpocratione.

7 Φυλάσιμος] Scribe, Φυλάσιος: quod eſt nomen gentile, a Φυλὴ deductum. Vide paulo ante v. Φυλάρχης.

8 Ἰώσηπος] *Antiq. Jud.* lib. V. cap. X.

9 Ἀριστοφάνης] *Acharnenſ.* pag. 394. (281. Ed. Baſ. *P.*)

10 Φυλή. Ἰσοκρ.] Ex Harpocratione.

11 Τόπον] Adde ex Harpocratione, τῆς Ἀττικῆς.

Φυλλίς.[1] ἡ τοῦ δένδρου. καὶ Φύλλης, ὁ μουσικός.

Φυλιστιεὶμ. οἱ λεγόμενοι Παλαιστῖνοι.

Φυλοκρινεῖ.[2] διακρίνει. καταδοκιμάζει περιέργως.

Φυλόμαχος. ἀγαλματοποιός.

Φύλοπις. μάχη.

Φύματα. ψυδράκια.

Φύντα. γεννηθέντα. καὶ Φῦναι.

Φύξηλις. ὁ φυγάς.

Φύξιν. φυγήν.

Φύξιος. Ἀπόλλων. Εὐχώμεθα οὖν Ἀπόλλωνι Λυκίῳ τε καὶ Φυξίῳ.

Φυόμενος. γεννώμενος.

Φύω. βλαστάνω.

Φύραμα.[3] Ἁμαρτάνουσιν οἱ λέγοντες τὸν πηλὸν γῆν ὑγρῷ φυραθεῖσαν. τὸ γὰρ φύραμα, οὐ διαφορὰ τοῦ πηλοῦ, ἀλλὰ γένος.

Φύραμα. στέαρ. ἢ τὰ [4] ζυμούμενα ἄλφιτα.

Φύρδην. συγκεχυμένως.

——— Φᾶ[5] δὲ σίδαρον
Παιδὸς ἐοῦ φύρδην μεστὸν ἔχουσα [6] φόνου.

Φύρεται. μολύνει. ἢ ἐκβρέχει. ἢ πλύνει.

Φύσασα. ἡ γεννήσασα. καὶ Φύσαντι. γεννήσαντι.

Φῦσα. χαλκευτικὸν ἐργαλεῖον. [7] Ὅμηρος·
Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων.
καὶ ἡ αἰτιατική, τὴν φῦσαν.

Φυσαλίδες.[8] οἱ αὐλοί.

Φύσαμος.[9] εἶδος κήτους θαλασσίου.

Φύσει. βλαστήσει. [10] Ἀριστοφάνης·
Οὐδέν ἐστ' ἄμεινον, οὐδ' ἥδιον ἢ φῦσαι πτερά.

Φύσει. οἱ παλαιοὶ ἔλεγον, μηδὲν τὴν φύσιν μάτην εἶναι. τὰ σχήματα δὲ τὰ τῶν συλλογισμῶν μὴ εἶναι φύσει. οὐκ ἀναγκαῖον δὲ ταῦτα λέγειν χρήσιμα. τὸ δὲ χρησίμου πρὸς χρείαν ἔξωθεν ἐπισυμβαίνει αὐτὰ γινόμενα. οἱ δὲ συλλογισμοί, οὐχ ὡς σιτία καὶ ποτά, κατὰ φύσιν ἡμῖν. ἕτεροι γὰρ οἱ τούτων κανόνες, ἔθη, νόμοι, καὶ ἐπιτηδεύματα [11] δημόσια, καὶ καθέκαστον, καὶ κατ' ἄνδρα ἴδια. μετατίθεσθαι οὖν ἔξεστιν αὐτά, καὶ πρὸς τὴν ἐναντιωτάτην μεταβάλλειν, ὡς ἄν τις ἐθέλοι, δίαιταν. ὅθεν ἐνίοις οὐδὲ τὰ φύσει δοκοῦντα φαυλικὰ

Φυλλίς. Exiguum folium arboris. At Φύλλης, [per η in ſyllaba ultima,] muſicus.

Φυλιστιεὶμ. Phyliſtæi. Sunt illi, qui & Palæſtini vocantur.

Φυλοκρινεῖ. Dijudicat. Diſcernit. Accurate explorat & examinat.

Φυλόμαχος. Phylomachus, ſtatuarius.

Φύλοπις. Pugna. Prælium.

Φύματα. Tubercula. Parvæ puſtulæ ſupra cutem eminentes.

Φύντα. Natum. Et Φῦναι, naſci, vel natum eſſe.

Φύξηλις. Profugus. Exul. Fugitivus.

Φύξιν. Fugam.

Φύξιος. Phyxius. Epithetũ. Apollinis. *Precemur igitur Apollinem Lycium & Phyxium.*

Φυόμενος. Naſcens.

Φύω. Germino. Gigno. Planto. Produco.

Φύραμα. Quidquid liquore mixtum ac ſubactum eſt. Peccant, qui dicunt, lutum eſſe terram humore maceratam. Nam Φύραμα non eſt luti differentia, ſed genus.

Φύραμα. Farina ſubacta & fermentata. Maſſa farinæ aqua ſubactæ.

Φύρδην. [Mixtim. Pollutis manibus.] Confuſe. [In Epigrammate:] *Dixit autem, ferrum filii ſui ſanguine cruentum pollutis manibus tenens.*

Φύρεται. Polluit. Vel, aqua rigat & macerat. Vel, lavat.

Φύσασα. Quæ genuit. Genitrix. Mater. Et Φύσαντι. Illi, qui genuit. Genitori. Patri.

Φῦσα. Follis. Inſtrumentum fabrile. Homerus: *Folles autem in fornacibus viginti ſimul omnes ignem ſufflabant.* Et accuſativus, τὴν φῦσαν: [a recto, Φύση.]

Φυσαλίδες. Tibiæ.

Φύσαμος. Phyſamus. Ceti marini genus.

Φύσει. Gignet. Producet. Ariſtophanes: *Nihil eſt melius, nec jucundius, quam gignere pennas.*

Φύσει. Priſci dicebant, Naturam nihil fruſtra produxiſſe. Figuras vero ſyllogiſmorum non eſſe natura. Non neceſſarium igitur eſſe eas utiles dicere. Nam utilitatis alicujus gratia eas extrinſecus tantum accedere. Syllogiſmi vero non ſunt nobis ita naturales, ut cibus & potus. Horum enim diverſæ ſunt regulæ, mores, & leges; eorumque variæ tam publice quam privatim excogitantur rationes. Hæc igitur mutare licet, &, prout quiſque voluerit, in contrariam plane victus rationem convertere. Hinc quibuſdam ne

1 Φυλλίς. ἡ τοῦ δ.] Bodæus ad Theophr. lib. III. *de Plant.* pag. 202. locum hunc Suidæ de amygdala arbore (quam etiam phyllida dictam fuiſſe vult) intelligit, eumque ſic legendum eſſe cenſet: Φύλλις, ἡ, τὸ δένδρον. Sed amygdalam dictam etiam fuiſſe phyllida non probat: quamvis verum ſit, Phyllidem, ſecundum poetas, in amygdalam mutatam eſſe.

2 Φυλοκρινεῖ] Male, pro φιλοκρινεῖ.

3 Ἁμαρτάνουσιν οἱ λέγοντες τὸν πηλ.] Ex Alexandro Aphrodiſ. in lib. IV. *Topic.* pag. 163.

4 Ζυμούμενα] Scribendum eſt, ἐζυμωμένα. Vel, ζυμούμενα: a ζυμόω.

5 Φᾶ δὲ σίδαρον κ.] Epigramma integrum, ex quo fragmentum hoc decerptum eſt, ex cod. MS. publici juris fecimus ſupra. v. Ἄρης: ubi Nos vide. Cæterum, pro φᾶ δὲ σίδαρον, ut recte legitur in Anthologia Epigrammatum inedita, priores Editt. Suidæ inepte habent, φαγεσίδαρον: quod Portus verterat, *Ferro vorantem & abſumentem.* Vide etiam ſupra v. Φαγεσίδαρον: ubi idem locus legitur.

6 Φόνον] Scribe, φόνω: ut legitur in Anthologia MS.

7 Ὅμηρος] Il. Σ. v. 470.

8 Φυσαλίδες] Ariſtoph. *Lyſiſtrata* ſub finem:
Λαβὲ δῆτα τὰς φυσαλλίδας πρὸς τῶν θεῶν.
Heſychius ſcribit φυσαλλίδες, per duplex λ.

9 Φύσαμος] Imo, φύσαλος. Vide Euſtathium.

10 Ἀριστοφάνης] *Avibus.* pag. 578. (399. Ed. Baſ. P.)

11 Δημόσια] Potius, δημοσίᾳ: ut ſit adverbium.

σιτία,

σιτία, καὶ δηλητήρια φάρμακα προσενηνεγμένοις ἐφάνη λυπηρά. Φασὶ γοῦν τὴν Ἀττικὴν γυναῖκα τοῦ κωνείου, καθάπερ λαχάνων, ἐσθίειν. καὶ τὸ Ποντικὸν θηρίον, ὅς τις ποτὲ ἦν ὁ Μιθριδάτης ἐκεῖνος, ἐκπιόντα γενναίαν κύλικα δηλητηρίου φαρμάκου, μὴ διαφθαρῆναι, τῷ κατισχύσθαι τὸ σῶμα, καθάπερ σίδηρον τῇ βαφῇ, παρὰ τῶν ἀντιπαθῶν, ἃ προσεφέρετο πολλάκις ὑποπτεύων ὁ βδελυρὸς, ἀπὸ τῶν υἱῶν ἀρξάμενος, ἅπαντας ἀνθρώπους, ὡς ἐπιβουλεύοντας αὐτῷ μόνῳ διὰ τὴν καλὴν τυραννίδα.

illi quidem cibi, qui natura noxii eſſe ſolent, & venenata medicamenta edentibus vel bibentibus nocuerunt. Mulierem enim quandam Atticam ajunt cicutam, tanquam olera, comedere conſueviſſe. Et Pontica illa bellua, (quiſquis fuerit Mithridates ille) venenata potione fortiter exhauſta, non eſt mortuus, quod corpus ejus, velut ferrum tinctura, corroboratum eſſet ab iis, quæ naturæ humanæ contraria eſſe ſolent. Ea enim frequenter adhibere conſueverat, quod omnes homines, ne filiis quidem exceptis, ſuſpectos haberet, quaſi ipſi ſoli propter regni poſſeſſionem inſidiarentur.

Φύσαν. τὴν φῦσαν.

Φύσαν. Idem, ac τὴν φῦσαν. Follem.

Φύσιγγες.[1] τὰ ἐν ταῖς κνήμαις ἐκκαύματα. ἢ τὸ ἐκτὸς λέπισμα τῶν σκορόδων. ἡ φυσίγγη. ἡ εὐθεῖα, φύσιγξ.

Φύσιγγες. Veſicæ, vel puſtulæ, quæ a nimio calore ignis in tibiis oriuntur. Vel, exterior alliorum cortex. Caſus rectus eſt, φύσιγξ.

Φυσίζωος. ἡ τὰ πρὸς τὸ ζῆν φύουσα.

Φυσίζωος. Res ad vitam neceſſarias producens. [Epithetum terræ.]

Φυσικὸς[2] λόγος παρὰ φιλοσόφοις. Μετὰ τὸν ἠθικὸν διεξέρχονται περὶ τοῦ φυσικοῦ. τουτέστι, περὶ σωμάτων, περὶ ἀρχῶν, καὶ στοιχείων, καὶ περὶ τοῦ Κόσμου, καὶ τόπου, καὶ κενοῦ· περὶ ἀστέρων, περὶ ἡλίου, περὶ τοῦ ἡγεμονικοῦ. πῶς ὁρῶμεν. τίς ἡ αἰτία τῆς κατοπτρικῆς φαντασίας; περὶ νεφῶν, βροντῶν, ἴριδος. † [3] Τρία εἰσὶν ἐν τοῖς φυσικοῖς πράγμασιν· εἶδος, ὕλη, καὶ αἰτία, καθ' ἣν ἐστι τὸ εἶδος ἐν τῇ ὕλῃ. καὶ καταγίνονται, φησὶ, περὶ ταῦτα μέθοδοι ε΄. ἡ φυσικὴ, ἡ κατὰ μέρος τέχνη, ἡ διαλεκτικὴ, ἡ μαθηματικὴ, ἡ πρώτη φιλοσοφία. ἔστι δὲ φυσικοῦ μὲν, περὶ πάντων τῶν εἰρημένων τῆς ψυχῆς μερῶν διαλεχθῆναι, καὶ τῆς ὕλης, καὶ τῶν φυσικῶν πραγμάτων, καὶ τοῦ εἴδους τῆς αἰτίας. οἷον, ὅτι τῶν οὐρανίων ὕλη, οὐχὶ τὰ δ΄. στοιχεῖα, ἀλλὰ ἕτερον σῶμα. πάλιν, τί τὸ εἶδος; ὅτι σφαιρικά. [4] καὶ διὰ τί σφαιρικά; ὅτι πολυχωρότατα, ἐν ἐπιπέδοις μὲν τῶν ἄλλων σχημάτων ὁ κύκλος· ἐν στερεοῖς δὲ, ἡ σφαῖρα. ὡς καὶ ὁ Πλάτων ἐν Τιμαίῳ διὰ τοῦτο σφαιρικὸν γενέσθαι τὸν οὐρανὸν ἀπέδωκε. καὶ ὁ Ἀριστοτέλης ἀποδίδωσιν αἰτίαν περὶ τοῦ σχήματος τοῦ οὐρανοῦ. [5] Τῷ γὰρ ἀϊδίῳ φησὶν ἐσομένῳ. ἀποδίδωσι δὲ καὶ ὁ [6] Πλάτων ἐκ τῆς σχέσεως, ἣν ἔχει πρὸς τὰ πρὸ αὐτοῦ. προσεχῶς δέ εἰσιν ὑπὲρ τὰ οὐράνια αἱ νοηταὶ οὐσίαι. δεῖ δὲ τὸ αἰτιατὸν ὅτι μάλιστα ὁμοιοῦσθαι τῷ προσεχεῖ αἰτίῳ, καὶ τούτου εἰκόνα καὶ μίμημα φέρειν. διὰ τοῦτο οὖν, φησὶ, κύκλῳ κινεῖται ὁ οὐρανὸς, ὅτι νοῦν μιμεῖται. ἴδιον γὰρ τοῦ νοῦ, τὸ πρὸς ἑαυτὸν νεύειν. αὐτὸς γὰρ ὁ ὁρῶν· αὐτὸς ὁ ὁρώμενος. ὁρῶν γὰρ τὰ εἴδη, ἑαυτὸν ὁρᾷ. καὶ ἑαυτὸν ὁρῶν, τὰ εἴδη τεθέαται. πλήρωμα γάρ ἐστι τῶν εἰδῶν, καὶ εἶδος εἰδῶν. ἔχει οὖν ὁ οὐρανὸς τὸ σφαιρικὸν σχῆμα διὰ τὴν κύκλῳ κίνησιν. ταύτην δὲ, διὰ τὴν πρὸς τὸν νοῦν ἐξομοίωσιν. καὶ ἄλλως μιμεῖται τὸν νοῦν πανταχῆ ὄντα. καὶ γὰρ καὶ τὸ σῶμα πανταχῆ γίνεται.

Φυσικὸς λόγος. Diſputatio de rebus naturalibus apud Philoſophos. Poſt Moralia [Stoici] tractant de rebus Naturalibus: veluti, de Corporibus, de Principiis, de Mundo, de Loco, de Vacuo, de Stellis, de Sole, de principali animæ parte. Item, quomodo videamus. Quænam ſit cauſa, quare in ſpeculis rerum imagines videamus. De nubibus, tonitru, iride, &c. † Tria autem in rebus naturalibus ſpectantur, forma, materia, & cauſa, ob quam forma eſt in materia. Circa hæc verſantur methodi quinque: Phyſica, Ars particularis, Dialectica, Mathematica, Prima Philoſophia. Eſt autem Phyſici, de omnibus animæ partibus ante dictis diſſerere; & de materia, & naturalibus rebus, & formæ cauſa. Ut, Cœleſtium corporum materiam non eſſe quatuor elementa, ſed aliud quoddam corpus. Item, quænam ſit eorum forma? Nempe, globoſa. Et cur globoſa ſint? Quia nempe [ea oportebat eſſe] capaciſſima. In planis enim reliquarum figurarum capaciſſimus eſt circulus: in ſolidis vero, globus. Plato etiam in *Timæo* cœlum ideo globoſum factum fuiſſe tradit. Et Ariſtoteles cauſam reddens, quare cœlum globoſum ſit, *Ei enim*, inquit, *quod æternum futurum erat, figura globoſa conveniebat*. Plotinus quoque figuræ hujus cauſam reddit, petitam ex relatione, quam cœlum habet ad ea, quæ ſupra ipſum ſunt. Proxime autem ſupra cœleſtia ſunt Eſſentiæ intellectu præditæ. Oportet autem id, quod a cauſa ortum habet, proximæ cauſæ ſuæ quam ſimillimum eſſe, ejuſque imaginem ferre. Propterea, inquit, cœlum in orbem movetur, quia mentem imitatur. Proprium enim mentis eſt, in ſe ipſam converti. Ipſa enim eſt, quæ videt, & ipſa, quæ videtur. Videns enim formam ſe ipſam videt: & ſeſe videns, formas contemplatur. Eſt enim complementum for-

1 Φύσιγγες. τὰ ἐν τ.] Vide Bodæum ad Theophraſtum *de Hiſt. Plant.* pag. 790. & Noſtrum ſupra v. Πεφυσιγγωμένοι.

2 Φυσικὸς λόγος παρὰ φιλ.———ἴριδος] Hæc ſumpta ſunt ex Laertio in *Zenone Citt.* num. 132, 133.

3 Τρία εἰσὶν ἐν τοῖς φυσικοῖς πρ.———διαφέρει δὲ ὁ κατ' ἄλλους τρόπους] Hæc omnia ſunt verba Philoponi in lib. 1. Ariſtot. *de An.* B. 5. a.

4 Καὶ διὰ τί σφαιρικά; ὅτι πολυχ.] Plura hic habet Philoponus, quem vide.

5 Τῷ γὰρ ἀϊδίῳ φησὶν ἐσομένῳ] Sententia eſt mutila, quæ ex Philopono ſic ſupplenda eſt: Τῷ γὰρ ἀϊδίῳ φησὶν ἐσομένῳ τὸ σφαιρικὸν πρεπωδές εἶναι σχῆμα.

6 Ὁ Πλάτων] Philoponus, ὁ Πλωτῖνος.

τῷ ὢν πανταχῆ γίνεσθαι τὸ πανταχῆ ὂν μιμεῖται. τελείωσις γὰρ τῶν χειρόνων ἡ πρὸς τὰ ὑπέρτερα ἐπιστροφή τε καὶ ἐξομοίωσις. οὕτω μὲν ὁ Φυσικὸς τῶν Φυσικῶν ἀποδώσει καὶ τὸ εἶδος καὶ τὴν ὕλην καὶ τὸ αἴτιον. ὁ δὲ κατὰ μέρος τεχνίτης καὶ αὐτὸς μὲν περὶ αὐτῶν διαλαμβάνει. διαφέρει δὲ τοῦ Φυσικοῦ, ὅτι περὶ μερικά τινα καταγίνεται πράγματα. οἷον, ὁ ἰατρὸς περὶ τὰ ἀνθρώπεια σώματα· ὁ τέκτων, περὶ λίθους καὶ ξύλα. ἀποδώσει δὲ καὶ οὗτος τὸν ὁρισμὸν, περιλαμβάνων καὶ τὸ εἶδος, καὶ τὴν ὕλην, καὶ τὴν αἰτίαν. διαφέρει δὲ καὶ κατ' ἄλλους τρόπους. † Φύσις ἐστὶν ἡ ἁπλῶς τῶν ὄντων κίνησις. πεντάτροπος δὲ αὕτη. Νοερὰ, ὡς ἐπὶ Ἀγγέλων, ἐξ αὐτῶν τῶν νοημάτων ἀλλήλοις συγγινομένων. Λογικὴ, ὡς ἐπὶ ἀνθρώπων, δι' ὀνομάτων καὶ ῥημάτων τὰ ἀφανῆ τῆς ψυχῆς κινήματα πρὸς τοὺς ἐκτὸς δημοσιεύουσα. Αἰσθητικὴ δὲ, ἡ ἐν τοῖς ἀλόγοις θεωρουμένη. πρὸς γὰρ τῇ θρεπτικῇ, καὶ αὐξητικῇ, καὶ γεννητικῇ δυνάμει, καὶ τὴν αἰσθητικὴν κέκτηται. Φυσικὴ δὲ, ἡ ἐν τοῖς Φυτοῖς. κινοῦνται γὰρ καὶ αὐτὰ κατὰ τὴν θρεπτικὴν, καὶ αὐξητικὴν, καὶ γεννητικὴν δύναμιν. Ἄψυχος δὲ, ὡς ἐπὶ τῶν λίθων. καθότι καὶ αὐτοὶ κινοῦνται κατὰ τὸ ποιὸν, καὶ κατὰ τὸ ποῦ. καὶ κατὰ τὸ ποιὸν μὲν, κατὰ τὸ θερμαίνεσθαι καὶ ψύχεσθαι. κατὰ τὸ ποῦ δὲ, κατὰ τὴν ἐκ τόπου εἰς τόπον ἑτεροκίνητον μετάβασιν.

Φύσις[1] ἐστὶν, ἥ τε συνέχουσα τὸν Κόσμον, καὶ ἡ φύουσα τὰ ἐπὶ τῆς γῆς. ἢ οὕτως. Ἕξις ἐξ αὐτῆς κινουμένη κατὰ τοὺς σπερματικοὺς λόγους, ἀποτελοῦσά τε καὶ συνέχουσα τὰ ἐξ αὐτῆς ἐν ὡρισμένοις χρόνοις, καὶ τοιαῦτα δρῶσα, ἀφ' οἵων ἀπεκρίθη. ταύτην δὲ τοῦ συμφέροντος στοχάζεσθαι· ὡς δῆλον ἐκ τῆς [2]οὐρανοῦ δημιουργίας. Ἢ,[3] Φύσις ἐστὶν ἀρχὴ τῶν ὅλων, [4]τῆς ἑκάστου τῶν ὄντων κινήσεώς τε καὶ ἠρεμίας. οἷον, ἡ γῆ κινεῖται μὲν κατὰ τὸ βλαστάνειν, καὶ ζωογονεῖν, καὶ τὸ ὅλως ἀλλοιοῦσθαι· ἠρεμεῖ δὲ κατὰ τὴν ἐκ τόπου εἰς τόπον μετάστασιν, ἀκίνητος οὖσα παντελῶς, καὶ ἀπέραντος. τὴν οὖν ἀρχὴν τῆς τοιαύτης κινήσεώς τε καὶ ἠρεμίας, οὐσιωδῶς, ἤγουν Φυσικῶς, καὶ οὐ κατὰ συμβεβηκὸς τῇ γῇ ἐνυπάρχουσαν, Φύσιν καλοῦσιν. οὐ τὴν κίνησιν δὲ αὐτὴν, καὶ τὴν ἠρεμίαν τῶν πραγμάτων, Φύσιν εἰρήκασιν· ἀλλὰ τὴν ἀρχὴν, τουτέστι, τὴν αἰτίαν, καθ' ἣν οὐ κατὰ συμβεβηκὸς, ἀλλ' οὐσιωδῶς αἱ οὐσίαι κινοῦνται καὶ ἠρεμοῦσιν. ὅταν δὲ λέγῃ [5]ὁ Ἀπόστολος· Καὶ ἦμεν τέκνα Φύσει ὀργῆς, ὡς καὶ οἱ λοιποί· οὐ κατὰ τοῦτο τὸ σημαινόμενον τῆς Φύσεως λέγει· ἐπεὶ τοῦ ποιήσαντος ἂν ἦν τὸ ἔγκλημα· ἀλλὰ τὴν ἔμμονον καὶ κακίστην διάθεσιν, καὶ χρονίαν καὶ πονηρὰν συνήθειαν.

Φύσκη. τὸ παχὺ ἔντερον, εἰς ὃ ἐμβάλλεται ἄλευρα, καὶ κρέα, καὶ μάττουσιν· ἐξ οὗ γίνεται ὁ ἀλλᾶς.

marum, & forma formarum. Cœlum igitur globoſam figuram habet, propter motum circularem. Hunc vero, ob ſimilitudinem cum mente. Et præterea imitatur mentem, quæ ubique eſt. Nam & corpus ubique eſt. Eo igitur, quod ubique ſit, imitatur id, quod ubique eſt. Perfectio enim deteriorum eſt, ſi ſe ad ſuperiora convertant, illiſque ſe aſſimilent. Sic igitur Phyſicus rerum naturalium & formam & materiam & cauſam reddet. Artifex vero particularis & ipſe quidem de iiſdem rebus ratiocinatur: ſed differt a Phyſico, quod circa res particulares verſetur: ut medicus circa corpora humana; faber circa lapides & ligna. Tradet tamen & iſte definitionem, comprehendens & formam & materiam & cauſam. Differt vero etiam aliis modis. † Natura eſt ſimplex Entium motio. Ea autem eſt quintuplex: Intelligens, qualis eſt Angelorũ, qui per ipſas mentes inter ſe colloquuntur. Rationalis, ut hominum, per nomina & verba occultos animi motus palam faciens. Sentiens, quæ in brutis ſpectatur. Bruta enim præter altricem, auctricem, & generatricem facultatem, etiam ſenſitivam habent. Naturalis, quæ eſt in plantis. Nam & ipſæ moventur ſecundum altricem, auctricem, & generatricem facultatem. Inanima, ut in lapidibus: qui & ipſi moventur ſecundum Qualitatem & Ubi. Secundum Qualitatem; quia caleſcunt & frigeſcunt. Secundum Ubi; quia ex uno loco in alium motu alieno transferri poſſunt.

Φύσις. Natura. Natura eſt, quæ Mundum continet, & res in Terra producit. Vel ſic: [Natura eſt] habitus, qui ſecundum ſeminum rationem ex ſe ipſo movetur, perficiens & continens ea, quæ ex ipſo producuntur, ſtatutis temporibus; & talia faciens, qualia ſunt ea, a quibus ſecretus eſt. Hæc autem Natura utilitatis rationem habuit, ut ex cœli opificio apparet. Vel, Natura eſt principium univerſorum, a qua ſingulorum Entium motio & quies proficiſcitur. Ut, terra movetur, dum plantas & animalia producit, & quocunque modo mutatur. Quieſcit vero ratione motus localis; quoniam prorſus eſt immobilis & ſtabilis. Principium igitur talis motionis & quietis, eſſentialiter, ſive naturaliter, & non per accidens Terræ inſitum, Naturam vocant. Non enim ipſam motionem & quietem rerum Naturam dixerunt; ſed principium, hoc eſt, ipſam cauſam, per quam non per accidens, ſed eſſentialiter ſubſtantiæ moventur & quieſcunt. Cum autem Apoſtolus dicit: *Et eramus natura filii iræ, ſicut & reliqui:* non hac ſignificatione *naturam* accipit, (alias enim Creatoris hæc culpa foret) ſed inveteratã morum pravitatem & diuturnam malamque conſuetudinem ita vocat.

Φύσκη. Craſſum inteſtinum, quod farcitur farina & carnibus inter ſe commixtis: unde fit farcimen.

1 Φύσις ἐστὶν, ἥ τε συνέχ——οὐρανοῦ δημιουργίας] Hæc ſunt verba Laertii in *Zenone Citt.* Num. 148.

2 Οὐρανοῦ] Laertius, ἀνθρώπου.

3 Φύσις ἐστὶν ἀρχὴ τῶν ὅλ.] Ariſtoteles *Phyſic.* lib. II. cap. I. Φύσις ἐστὶν ἀρχὴ καὶ αἰτία κινήσεως καὶ ἠρεμίας, ἐν ᾧ ὑπάρχει πρώτως, καὶ μὴ κατὰ συμβεβηκός. Huc Suidas, vel potius auctor anonymus, ex quo Suidas hæc ſumpſit, reſpexit.

4 Τῆς ἑκάστου] Supple, καὶ αἰτία τῆς ἑκάστου, &c. Vide notam præcedentem.

5 Ὁ Ἀπόστολος] Ad Epheſ. 2. verſ. 3.

Φυσόβα-

Φυσόβαθρον. τὸ τοῦ χαλκέως.

Φυσημάζα[1].

Καί[2] τὸ γύναιόν μ' ἐπιθωπεύσαν, φύσην μάζαν προσενέγκοι.

Φύση[3] ἐνὶ γρώνῃ μασσομένη παλάμαις.

Φυσῶ. τὸ πνέω. τὸ ἐκ προχείρου πλάττω. [4] Ἀριστοφάνης·

Φυσάτω[5] πάππους παρ' ἡμῖν· καὶ φανοῦνται φράτορες.

Φυτά. τὰ δένδρα.

Φυταλιῆς. ἀμπελοφύτου γῆς.

Φυταλίζει. φυτεύει. [6] πλησιάζει.

Φυτάλιμος. ὄνομα κύριον.

Φυτάλμιος.[7] ἀπὸ φύτλης. ἀπὸ γενέσεως, καὶ ἐξ ἀρχῆς. Ἀλαῶν ὀμμάτων. ἆρα καὶ ἦσθα φυτάλμιος. οὕτω [8] Σοφοκλῆς.

Φυτεία τῶν δένδρων.

Φύτειον. ὄνομα πόλεως.

Φυτηκόμος. ὁ φυτουργός. καὶ ὁ σύνδενδρος τόπος. παρὰ τὸ τοῖς φυτοῖς κομᾷν.

Φυτικαί. [9] Φυτικαὶ δυνάμεις τρεῖς τῆς ψυχῆς, θρεπτικὴ, αὐξητικὴ, γεννητική. Φυτικαὶ δὲ καλοῦνται, διότι αὗται μόναι ἐν τοῖς φυτοῖς ὁρῶνται. ἐσμὲν οὖν καὶ ἄνθρωποι, καὶ ζῶα, καὶ ἔμψυχα. καὶ ὡς μὲν ἄνθρωποι, τὰς λογικὰς ἔχομεν δυνάμεις. ὡς δὲ ζῶα, τὰς ἀλόγους. ὡς δὲ ἔμψυχα, τὰς φυτικάς. ἔμψυχα γὰρ λέγομεν καὶ τὰ φυτά. ἐμψύχων γὰρ τὸ τρέφεσθαι, καὶ αὔξεσθαι, καὶ γεννᾷν ὅμοια ἑαυτοῖς. λέγονται δὲ αὐτὰ καὶ ζῆν καὶ τεθνάναι. ἡ δὲ ζωὴ καὶ ὁ θάνατος παρουσία καὶ ἀπουσία γίνεται τῆς ψυχῆς. ὅσα μὲν ἔχουσι τὰς κρείττους ζωὰς, ἐξ ἀνάγκης καὶ τὰς καταδεεστέρας ἔχουσιν. οὐκέτι δὲ καὶ ἀνάπαλιν. οὐ γὰρ δυνατὸν τὰς λογικὰς ἔχειν δυνάμεις, μὴ πρότερον ἐσχηκότας τὰς καταδεεστέρας. ἀμέλει καὶ τῶν αἰσθήσεων οὐκ ἔστι μεταχεῖν τῆς κρείττονος, τὸν μὴ μεταχόντα τῆς χείρονος. ὅσα γοῦν μετέχει ὄψεως, ταῦτα καὶ ἀκοῆς, καὶ τῶν λοιπῶν. καὶ ὅσα ἀκοῆς, ταῦτα καὶ ὀσφρήσεως, καὶ γεύσεως, καὶ ἀφῆς. οὐχ ὅσα δὲ ὀσφρήσεως, καὶ γεύσεως, καὶ ἀφῆς, πάντα καὶ ὄψεως· ὥσπερ ὁ ἀσπάλαξ. οὐδ' ὅσα ἀφῆς, ταῦτα καὶ τῶν ἄλλων· οἷον οἱ σπόγγοι ἀφῆς μετέχουσιν· οὐδεμιᾶς δὲ τῶν αἰσθήσεων ἄλλης. ὥστε οὐκ ἔστι μεταχεῖν τῆς κρείττονος, τὸν μὴ τῆς ἐλάττονος μεταχόντα. τοῦτο δὲ οὐχ ὅτι δέονται τῶν χειρόνων αἱ κρείττους, ἵνα ὑποστῶσιν· ἀλλὰ τοὐναντίον, τὸ σῶμα οὐ δύναται μεταχεῖν κρειττόνων, μὴ πρότερον μεταλαβὸν τῶν καταδεεστέρων.

Φύτλη. γενεά. φυλή.

Φυσόβαθρον. Sedes, cui fabri ferrarii inſidentes follium flatu ignem accendunt.

Φυσημάζα. Maza, vel placenta, ex farina & vino confecta. *Et muliercula mihi aſſentans mazam ex farina & vino conflatam offerat.* † *Maza in alveo manibus ſubacta.*

Φυσῶ. Flo. Spiro. Ex tempore fingo. Ariſtophanes: *Generet apud nos pappos, & apparebunt phratores.*

Φυτά. Plantæ. Arbores.

Φυταλιῆς. Loci vitibus conſiti. Vineæ.

Φυταλίζει. Plantat. Appropinquat.

Φυτάλιμος. Phytalimus. Nomen proprium.

Φυτάλμιος. Qui talis vel talis eſt ab ipſo ortu, vel a nativitate, & principio. *O te, qui viſu orbatus es. Nimirum ab ipſa nativitate jam talis eras.* Sic Sophocles.

Φυτεία τῶν δένδρων. Plantatio arborum.

Φύτειον. Phytteum. Nomen urbis.

Φυτηκόμος. Qui plantas & ſtirpes curat. Sator. Item, locus arboribus conſitus. A φυτὸν, & κομᾷν. Quaſi dicas, qui plantis comat.

Φυτικαὶ δυν. Animæ vegetatricis tres ſunt facultates; nimirum, altrix, auctrix, & generatrix. Dicuntur autem φυτικαὶ, q. d. plantales, quod iſtæ ſolæ in plantis conſpiciantur. Sumus igitur & homines, & animalia, & animata. Nam ut homines, facultates habemus rationales. Ut animalia, rationis expertes. Ut animata, vegetatrices. Nam animatis etiam accenſemus plantas. Animatorum enim eſt, ali, creſcere, & ſibi ſimilia gignere. Dicuntur vero plantæ & vivere & mori. Vitæ vero & mortis cauſa eſt animæ præſentia & abſentia. Quæcunque vero meliores habent vitas, neceſſario etiam deteriores habent: non contra. Nam facultates rationales habere non poſſumus, niſi prius habeamus deteriores. Nec fieri poteſt, ut quis ſenſu nobiliori præditus ſit, quin etiam præditus ſit deteriori. Hinc quæ viſu prædita ſunt, eadem & auditu & reliquis ſenſibus. Et quæ auditu, hæc & olfactu, & guſtatu, & tactu. Non autem omnia, quæ prædita ſunt olfactu, & guſtatu, & tactu; etiam prædita ſunt viſu, ut talpa. Nec, quæcunque tactu, ea & aliis ſenſibus. Ut, ſpongiæ tactu præditæ ſunt, at nullo alio ſenſu. Quare nemo præſtantioris ſenſus particeps eſſe poteſt, qui careat deteriori. Hoc autem non ideo fit, quod ſenſus nobiliores indigeant deterioribus, ut ſubſiſtant: ſed contra potius. Nam corpus non poteſt præditum eſſe [facultatibus] nobilioribus, niſi prius præditum ſit deterioribus.

Φύτλη. Genus. Gens. Tribus.

1 Φυσημάζα] Diſtincte ſcribendum eſt, *φύση μάζα*: ut in ſubjuncto loco Ariſtophanis. Quid autem *φύση* fuerit, Grammatici varie exponunt: quorum teſtimonia cum obvia ſint, & vel ex Lexicis vulgatis peti poſſint, hic adducere ſuperſedeo.

2 Καὶ τὸ γύν.] Eſt verſus Ariſtophanis in *Veſpis*, pag. 473. (332. Ed. Baſ. P.) ubi pro ἐπιθωπεῦσαν rectius legitur, ὑποθωπεῦσαν.

3 Φύση ἐνὶ γρ.] Locum hunc ex MS. A. emendavi, qui in prioribus Editt. ſic legitur: *Φύση ἐν ἰχθύνῃ μασσομένη παλάμαις.* Cæterum verſum hunc ex ingenio jam ante etiam recte emendaverant Henr. Stephanus, & Æmil. Portus.

4 Ἀριστοφάνης] *Avibus*, pag. 577. (398. Ed. Baſ. P.)

5 Φυσάτω πάππους π.] Exemplum hoc male ſubjicitur voci φυσῶ. Τὸ φυσάτω enim hic non eſt a φυσάω, ῶ: ſed a φύω, unde Aoriſt. Imper. Act. φῦσον, φυσάτω.

6 Πλησιάζει] Eſt interpretatio ſuſpecta: quamvis ſic etiam habeat Etymologus.

7 Φυτάλμιος. ἀπὸ φ.] Ex Scholiaſta Sophoclis ad *Oedip. Colon.* pag. 276. ut Portus etiam monuit.

8 Σοφοκλῆς] Loco laudato.

9 Φυτικαὶ δυνάμεις τρεῖς τῆς ψυχ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Joannis Philoponi in lib. 1. Ariſtot. *de Anima*, ut Pearſonius obſervaverat.

Χαβεί-

X A.

Χαβρίας. ὄνομα κύριον. ὃς ἦν στρατηγὸς τῶν Ἀθηναίων.

Χαγάνος. ὁ ἀρχηγὸς τῶν Σκυθῶν. [1] Ὁ δὲ Χαγάνος τοὺς ὅρκους ταῖς αὔραις φέρειν ἐδίδου, ἀθρόον τε τῷ πολέμῳ φίλην ἀράμενος σάλπιγγα, τὰς δυνάμεις ἤθροιζε.

Χαία. ἀντὶ τοῦ ἀγαθή. [2] παρὰ τὸ κεχηνέναι. [3] Ἀριστοφάνης· Χαία μέν ἐστι· Κορινθία δέ. τουτέστι, πόρνη. ἐπεὶ ἡ Κόρινθος ἐπληθύνετο πόρναις. καὶ χαὰ, παρὰ Λακεδαιμονίοις, τὰ ἀγαθά.

Χάλαζα. [4] νέφος πεπηγὸς, καὶ ὑπὸ πνεύματος διαῤῥιφθὲν, καὶ κατενεχθέν. Χιὼν δὲ, ἐκ νέφους πεπηγὸς ὑγρόν. Χάλαζαι δὲ εἰσὶ τῆς ἐν τῷ ἀέρι ὑδατώδους ὑγρότητος ὑπὲρ γῆν ἄνω πῆξις. ἐπ' ἔλαττον μὲν οὖν χιών· ἐπὶ πλέον δὲ, χάλαζα. ἐπὶ γῆς δὲ κάτω, ἐπ' ἔλαττον μὲν πάγος· ἐπὶ πλέον δὲ, κρύσταλλος. ὁ δὲ νιφετὸς οὐκ ἔστι πῆξις, ἀλλὰ μᾶλλον περὶ ἀλλοίαν χρόαν ἡ ποιότης αὐτοῦ. [5] Ἀριστοφάνης·

Οὐκ ἀπὸ τῶν χαλαζῶν, ὦ πόνηρ' Εὐριπίδη.

ἀντὶ τοῦ, ἀπὸ τῶν σφοδρῶν λόγων.

Χαλαζᾷ. [6] ἤτοι χαλαρός ἐστι.

Τὸν πρωκτὸν εἰ χαλαζᾷ.

Νόσημα δέ ἐστι τοῦτο τῶν θρεμμάτων, ὅπερ ζώντων μὲν λανθάνει· ἀποθανόντων δὲ, καὶ τεμνομένων, φανερὸν γίνεται. ταῖς σαρξὶ δὲ αὐτῶν ἀναμέμικται καὶ ἐμπέφυκεν ἡ χάλαζα. εἰώθασι δὲ οἱ μάγειροι πασσάλῳ τὰ τῶν χοίρων ἀνοίγειν στόματα μετὰ τὴν σφαγὴν, καὶ καταvoεῖν, εἰ χαλαζῶσι. χάλαζα δέ ἐστι πάθος τῶν χοίρων.

Χαλαρά. χαῦνα. [7] Χαλαρὰ γοῦν χαίροις φορῶν ὑποδήματα. † Καὶ χαλαρὸν ἦν αὐτῷ καὶ θῆλυ τὸ σπλάγχνον πρὸς τοὺς δεομένους, εἴπερ τινὶ τῶν καθ' αὐτὸν ἀνθρώπων.

Χαλάσαι. [8] ἐκλυθῆναι. χαυνωθῆναι. Ὕδωρ ἐξ οὐρανοῦ ἐμπίπτον χαλάσαι μὲν τοῖς βαρβάροις τὰς νευρὰς, μαλάξαι δὲ τῶν τόξων τὰ κέρατα, ἀφελέσθαι δὲ τὸ βίαιον καὶ τὸ ἐπίσκοπον τῆς τοξείας.

Χαλάσω τὴν ἱερὰν ἄγκυραν. Ἄγκυρα, μεταφορικῶς ἀπὸ τῶν νηῶν, ἡ ἀσφάλεια. ὡς Σοφοκλῆς ἐν Φαίδρᾳ, καὶ Εὐριπίδης ἐν Ἑκάβῃ. ἱερὰ δὲ, ἡ μεγάλη, ἢ ἡ ἀγαθή. Διόδωρος· Τοῦ δὲ βασιλέως χαλῶντος καὶ παραλυομένου πρὸς τὰ λεγόμενα, ἐπιτρέπεται αὐτῷ πράττειν, ὃ βούλεται.

X A.

Chabrias. Chabrias. Nomen proprium viri, qui fuit Athenienſium dux.

Χαγάνος. Chaganus. Summus Scytharum dux. *Chaganus autem jusjurandum ventis tradidit; cumque ſubito tubam bello amicam ſumpſiſſet, copias coegit.*

Χαία. [Antiqua.] Bona. A κεχηνέναι, hiare. Ariſtophanes: *Bona quidem eſt; at Corinthia.* Id eſt, meretrix. Corinthus enim ſcortis abundabat. Et χαὰ, apud Lacedæmonios, bona.

Χάλαζα. Grando. Ea eſt nubes concreta, & a vento diſſipata, & in terram decidens. Nix vero eſt humor ex nube concreta. [Aliter.] Grando eſt aquoſi humoris, qui ex terra ſurſum fertur, in aere concretio. Ac nix quidem minus eſt concreta: grando vero, magis. Infra autem in terra, minus concreta eſt pruina; magis vero, glacies. Nix vero non eſt congelatum quid, ſed potius colore tantum ab humore differt. Ariſtophanes: *A grandine, miſer Euripides, recede.* Id eſt, a durioribus verbis [Æſchyli.]

Χαλαζᾷ. Grandine laborat. [Ariſtophanes:] *An podex ejus grandinoſus ſit?* Morbus hic eſt pecorum; qui quidem, dum vivunt, latet: poſtquam vero mortua ſunt, & diſſecantur, manifeſtus fit. Carnibus vero illorum immixta & inſita eſt grando. Solent autem coqui porcorum jugulatorum ora paxillo aperire, & videre an grandinoſi ſint. Grando enim eſt porcorum morbus.

Χαλαρά. Laxa. *Laxos igitur calceos geſtare amas.* † *Et valde erat lenis & miſericors erga ſupplices, ſi quis alius ætatis ſuæ mortalium.*

Χαλάσαι. Diſſolviſſe. Laxaſſe. *Pluvia de cælo cadens Barbarorum nervos laxaſſe fertur, & arcuum cornua emolliviſſe, & ſic impediviſſe, ne ictu violento & certo deſtinata ferirent.*

Χαλάσω τ. ἱ. ἀγκ. Sacram ancoram ſolvam. Ancora, per metaphoram a navibus ductam, dicitur præſidium tutum. Ut Sophocles in *Phædra*. Et Euripides in *Hecuba*. Sacra autem: i. e. magna, vel bona. Diodorus: *Rege autem verbis illis cedente & emollito, permittit ei facere, quæ vellet.*

1 Ὁ δὲ Χαγάνος τοὺς ὅρκους τ.] Verba hæc leguntur apud Theophyl. Simoc. lib. I. cap. III. in fin. & cap. IV. init. itemque apud Menandrum in *Excerptis Legat.* pag. 117. ut Pearſonius etiam obſervaverat. Ab alterutro ergo Suidas hæc mutuatus eſt. Vide etiam ſupra v. Αὔραι, ubi idem fragmentum occurrit.

2 Παρὰ τὸ κεχηνέναι] Hæc ideo addit Suidas, quod Ariſtophanes in loco ſubjuncto vocem χαία, quam meretrici tribuit, Comica petulantia in ſenſum obſcœnum detorqueat, & ad χαίνειν, i. e. hiare alludat: quaſi nempe ſignificet eam, quæ ore morigeretur.

3 Ἀριστοφάνης] *Lyſiſtrata*, pag. 840. (543. Ed. Baſ. P.) ubi ſic legitur:

Τίς δ' ἡτέρα παῖς; Χαία μὰ ναὶ τὼ Σιώ,
Κορινθία δ' ——————

Ab hoc χαία comparativus χαιωτέρα legitur apud Ariſtophanem in eadem fabula, pag. 906.

Οὔπω γυναῖκ' ὄπωπα χαιωτέραν.

Vide etiam Caſaub. *Lect. Theocr.* cap. IX.

4 Χάλαζα. νέφ.———πεπηγὸς ὑγρόν] Hæc ſumpta ſunt ex Laertii *Zenone Citt.* Num. 153. ſed ubi pro διαῤῥιφθὲν, legitur, διαθρυφθέν; &, ὑγρὸν ἐκ νέφους πεπηγότος, pro, ἐκ νέφους πεπηγὸς ὑγρόν.

5 Ἀριστοφάνης] In *Ranis*, pag. 252. (164. Ed. Baſ. P.) Sed delendum eſt οὐκ, quod apud Ariſtophanem non reperitur, & metrum turbat.

6 Χαλαζᾷ. ἤτοι χαλ.] Ex Scholiaſta Ariſtophanis ad *Equit.* pag. 309. (210. Ed. Baſ. P.)

7 Χαλαρὰ γοῦν χ.] Ariſtoph. *Theſmophor.* pag. 781.

Ὑποδημάτων δεῖ· Ταμὰ ταυτὶ λάμβανε
Ἆρ' ἁρμόσει μοι; χαλαρὰ γ' οὖ χαίρεις φορῶν.

Hinc Suidas ſua ſumpſit.

8 Ἐκλυθῆναι. χαυνωθῆναι] Imo, ἐκλῦσαι, χαυνῶσαι. Τὸ χαλάσαι enim activam habet ſignificationem, non paſſivam.

Χαλα-

Χαλαστραῖον.[1] νίτρον. ἀπὸ Χαλάστρας τῆς ἐν Μακεδονίᾳ λίμνης.

Χαλβάνη. ἀλοιφή τις ἐνεργητικὴ πρὸς ἵππους.

Χαλδαϊκοῖς ἐπιτηδεύμασι. [2] Διαπορουμένῳ γοῦν τῷ Πρόκλῳ περὶ τῆς Ἰσιδώρου μιμήσεως τῆς ὀρνέων καὶ τῆς φωνῶν τῶν ἀπηχημάτων ἐνίας ἐν τοῖς Χαλδαϊκοῖς ἐπιτηδεύμασιν, αὐτὸς ὑπεδείκνυε τὴν ὁδὸν τῆς μιμήσεως, ἄλλων τε, καὶ στρουθῶν τῶν μικρῶν τούτων, καὶ κατοικιδίων τῆς πτήσεως· οἷα ψοφοῦσι ταῖς πτέρυξιν ἐγειρόμενα πρὸς τὸ πέτεσθαι.

Χαλδαῖοι. ὄνομα ἔθνους. περὶ τὴν ἀστρονομίαν ἠσεβωμένοι.

Χαλδίνη. ὄνομα πόλεως.

Χαλέστρα. πόλις.

Χαλεπὰ τὰ καλά. [3] Πιττακὸν ἀποτιθέμενον τὴν ἀρχὴν πρὸς τοὺς ἀκμάζοντας εἰπεῖν· Χαλεπὸν ἐσθλὸν ἔμμεναι. Σόλωνα δὲ μαλακίαν αὐτοῦ καταγνόντα, φάναι, Χαλεπὰ τὰ καλά. διὸ καὶ ἑκάτερα παροιμιασθῆναι.

Χαλεπὰ τὰ καλά. Φασι Περίανδρον τὸν Κορίνθιον κατ' ἀρχὰς μὲν εἶναι δημοτικόν· ὕστερον δὲ τὴν προαίρεσιν μεταβαλόντα, τυραννικὸν γενέσθαι. ὅθεν ἡ παροιμία. οἱ δὲ τὸ χαλεπὰ ἀντὶ τοῦ ἀδύνατα τιθέασιν· ὡς μὴ ἐκείνου δυνηθέντος τηρῆσαι τὴν ἑαυτοῦ γνώμην.

Χαλεπαίνει. δοτικῇ. ἀγανακτεῖ. ὀργίζεται. Ἔπεσον πλείονες τῶν Ῥωμαίων, καὶ Τραϊανὸς ἐχαλέπαινε τοῖς πεποιημένοις. Καὶ αὖθις· Διὰ τὸ πολλάκις ἰδεῖν πρότερον, οὐ χαλεπῶς γνωρίσας τὸν ἄνθρωπον. Ἀντὶ τοῦ εὐχερῶς. Καὶ αὖθις· Ἐπὶ τοσόνδε χαλεπήναντος τοῖς φύλαξιν, ὥστε καὶ τὰς κεφαλὰς αὐτῶν ἀποτεμεῖν. Καὶ αὖθις· Ὡς δὲ ἐπεφοίτα ἡ τοῦ ὀνείρου ὄψις ἐς πάντας, χαλεπαίνουσιν ὁ δῆμος. οἱ Τύριοι.

Χαλεπὸν [4] χορίων κύνα γεύειν. τὸ ἔλυτρον τοῦ ἐμβρύου χόριον καλεῖται. οἱ δὲ κύνες γευσάμενοι τούτου, καὶ τοῖς ἐμβρύοις ἐπιβουλεύουσι, διὰ τὸ λίχνον.

Χαλεπώτατον. Φησὶν Ἀριστοτέλης ἐν β'. τῶν Τοπικῶν· Χαλεπώτατον τὸ ἀντιστρέφειν τὴν ἀπὸ τοῦ συμβεβηκότος οἰκείαν ὀνομασίαν. χαλεπώτατον λέγοι ἄν, ὅτι μὴ ἁπλοῦν, μηδὲ πρόχειρον, ὡς ἐπὶ τῶν ἄλλων.

Χαλεπωτάτους λόγους. [5] κλέψαι δυναμένους. Κανδάδης ἐκλεξάμενος τοὺς χαλεπωτέρους, καὶ σφίσι τὰ δημόσια νείμας, ἔπεισεν ἐξ ἐκείνου καὶ τοῖς τῶν ἐπαρχιῶν ἄρχουσιν ὑπείκειν.

Χαλίκρητος [6] τόπος. ὁ χαλῶν τὰς φρένας. ἢ κατὰ στέρησιν τοῦ χ. ἵν' ᾖ, ἄλις ἄκρατον ἔχων· τουτέστιν,

Χαλαστραῖον. Chalaſtræum. [Sic dicitur] nitrum: a Chalaſtra Macedoniæ palude.

Χαλβάνη. Chalbane. Unguentum quoddam efficax, quod equis conducit.

Χαλδαϊκοῖς ἐπιτηδεύμασι. Chaldaicis ſtudiis. *Dubitanti igitur Proclo de ratione, qua Iſidorus imitabatur aves, & quarundam vocum ſonos, ſecundum Chaldaica inſtituta; ipſe ei demonſtrabat viam imitandi, cum alias aves, tum etiam parvos hos paſſeres, & gallinarum volatum; & qualem alis ſtrepitum edant, cum ad volandum excitantur.*

Χαλδαῖοι. Chaldæi. Nomen gentis, in Aſtronomia exercitatiſſimæ.

Χαλδίνη. Chaldine. Nomen urbis.

Χαλέστρα. Chaleſtra. Urbs.

Χαλεπὰ τὰ καλά. Difficilia, quæ pulchra. Pittacum imperio ſe abdicantem ad juvenes dixiſſe ferunt: *Difficile eſt bonum eſſe.* Solon vero mollitiem ejus damnans, dixit: *Difficilia quæ pulchra.* Hinc utrumque dictum in proverbium abiit.

Χαλεπὰ τὰ καλά. *Difficilia, quæ pulchra.* Ferunt Periandrum Corinthium initio civilem fuiſſe: poſtea vero, mutato ingenio, tyrannum evaſiſſe. Unde proverbium. Quidam vero χαλεπὰ hic ponunt pro ἀδύνατα, i. e. impoſſibilia: quod is inſtitutum ſuum ſervare non poſſet.

Χαλεπαίνει. Dativo jungitur. Succenſet. Indignatur. Iraſcitur. *Multi Romanorum ceciderunt; & Trajano ea, quæ facta fuerant, indignationem moverunt.* Et iterum: *Quod hominem ſæpius ante vidiſſet, non difficulter eum agnovit.* Id eſt, facile. Et iterum: *Cuſtodibus adeo iratus fuit, ut & capita ipſis præcideret.* Et iterum: *Cum autem ſomnium illud in vulgus exiiſſet, populus indignatus eſt.* Tyrii ſcilicet.

Χαλεπὸν χορ. *Malum eſt canem guſtare ſecundas.* Χόριον enim dicuntur ſecundæ, ſive, involucrum infantis: quo guſtato canes, cibi ſuavitate allecti, ipſis etiam infantibus inſidiantur.

Χαλεπώτατον. Ariſtoteles lib. II. Topicorum dicit, difficillimum eſſe, invertere propriam accidentis appellationem. Difficillimum dicit, quod neque ſimplex, neque promptum eſt, ut in aliis. *Port.*

Χαλεπωτάτους λόγους. Dicta maxime acerba. Sive, noxia. [Et χαλεπός, homo difficilis, moleſtus, & durus.] *Candades, cum homines reliquis acerbiores delegiſſet, & publicam pecuniam illis diſtribuiſſet, perſuaſit eis, ut ab illo tempore Provinciarum Præfectis parerent.*

Χαλίκρητος πότος. Potus animum laxans. A χαλᾶν, laxare. Vel, abjecto χ, hoc dictum

1 Χαλαστραῖον] Voce hac utitur Plato lib. IV. *de Republ.* pag. 449. ubi ait: Ἥ τε ἡδονὴ παντὸς χαλαστραίου δεινοτέρα οὖσα τοῦτο δρᾶν, καὶ κονίας.

2 Διαπορουμένῳ γοῦν τῷ Πρ.] Ex Damaſcio. Cæterum locus hic ſalebroſus eſt, & procul dubio corruptus: quem illuſtrare & emendare facile foret, ſi ipſa vita Iſidori a Damaſcio conſcripta hodie adhuc exſtaret.

3 Πιττακὸν ἀποτ.] Vide Menag. ad Laert. lib. I. num. 76.

4 Χαλεπὸν χορίων κύνα γεύειν] Eſt hemiſtichium Theocriteum, quod exſtat *Idyll.* X. v. 11. ut Portus etiam monuit.

5 Κλέψαι] Lego, βλάψαι.

6 Τόπος] Portus recte legit, πότος: quod hic dictum fuerit pro ποτόν, i. e. potus. Πότος enim communiter ſignificat *potationem*, vel *compotationem*.

οἶνον. καὶ χαλικρήτῳ, μὴ κεκραμένῳ. ἐν Ἐπιγράμμασι·

Κεῖτο χαλικρήτῳ νάματι βεβρεγμένη.

Χαλίμα. ἡ πόρνη. ἀπὸ τοῦ χαλᾶσθαι τὸ σῶμα ἀπὸ μέθης, ἢ μανίας.

Χαλιμάζειν. τὸ περὶ τὰς συνουσίας ὁρμᾶν. ἀπὸ τοῦ χαλᾶν τὰς φρένας πρὸς τὸ πάθος.

Χαλινός. τὸ ἡνίον.

Χάλιξ.[1] μικρὸν λιθίδιον.

Χάλις.[2] εἶδος ὄνου. καὶ ἡ δοτικὴ, τῷ χάλει.

Χαλίσια.

Χαλίφρονος. τοῦ ἀνοήτου.

Χαλκέντερος.[3] Δίδυμος ὁ γραμματικὸς Χαλκέντερος ἐκλήθη, διὰ τὴν περὶ τὰ βιβλία ἐπιμονήν. φασὶ γὰρ αὐτὸν συγγεγραφέναι ὑπὲρ τὰ τρισχίλια βιβλία.

Χάλκανθος.[4] ὕδωρ ἐστὶ πηγνύμενον ἐν τοῖς κατὰ Κύπρον μετάλλοις, ἰσχυροτάτην ἔχον στύψιν, μετὰ θερμότητος οὐκ ἀγεννοῦς, ἁπάντων μᾶλλον τὰς ὑγρὰς σάρκας ταριχεῦσαί τε καὶ ξηρᾶναι δυνάμενον.

Χάλκεος. ἰσχυρός. στερεός. καὶ,

Χαλκέῳ[5] δ' ἐν κεράμῳ δέδετο τρισκαίδεκα μῆνας.

ἤγουν, δεσμῷ ἰσχυρῷ, καὶ δυσλύτῳ. ἢ πόλις καλεῖται Χαλκοῦς κέραμος.

Χαλκεῶνα. τὸ χαλκεῖον.

Χαλκεύω. αἰτιατικῇ.

Χαλκεύς. πᾶς ὁ χαλκεύων τι. καὶ ὁ χρυσοχόος.

Χαλκευτής.

Πιερικὰν[6] σάλπιγγα, τὸν εὐαγέων βαρὺν ὕμνων

Χαλκευτὰν κατέχει Πίνδαρον ἅδε κόνις.

Χαλκεῖα.[7] ἑορτὴ Ἀθήνησιν, ἃ τινες Ἀθήναια καλοῦσιν. οἱ δὲ, Πάνδημον διὰ τὸ ὑπὸ πάντων ἄγεσθαι.

Χαλκεῖα. ἑορτὴ Ἀθήνησι δημώδης καὶ ἀρχαία[8] πάλαι, ἃ τινες Ἀθήναια καλοῦσιν. οἱ δὲ πάνδημον διὰ τὸ ὑπὸ πάντων ἄγεσθαι. ὕστερον δὲ ὑπὸ μόνων ἤγετο τῶν τεχνιτῶν, ἐπεὶ ὁ Ἥφαιστος ἐν τῇ Ἀττικῇ χαλκὸν εἰργάσατο. ἔστι δὲ ἔνη καὶ νέα τοῦ Πυανεψιῶνος· ἐν ᾗ καὶ ἱέρειαι μετὰ τῶν Ἀρρηφόρων τὸν πέπλον διάζονται.

Χαλκεῖα.[9] ἑορτὴ παρ' Ἀθηναίοις, ἀγομένη Πυα-

est pro ἀλίκρητος, i.e. multum meri habens: ab ἅλις, & ἄκρατος. Et χαλικρήτῳ, non mixto, mero. In Epigrammate: *Jacebat mero liquore gravata.*

Χαλίμα. Meretrix. Sic dicta, quod propter ebrietatem, aut libidinem, corpus ejus laxetur.

Χαλιμάζειν. In venerem præcipitem eſſe. Libidine venerea flagrare. A χαλᾶν, laxare: quod nempe libidinoſi animum quaſi ad venerem laxent.

Χαλινός. Frænum. Habena.

Χάλιξ. Lapillus. Parvus lapis.

Χάλις. Species vini. [Vinum merum.] Et dativus, τῷ χάλει.

Χαλίσια. Chaliſia. [Videtur feſti nomen eſſe.]

Χαλίφρονος. Amentis. Stulti.

Χαλκέντερος. Chalcenterus. I.e. Ænea habens inteſtina. Didymus Grammaticus Chalcenterus vocatus eſt, propter aſſiduum ſtudium, quod libris impendebat. Ajunt enim eum ſupra tria millia librorum conſcripſiſſe.

Χάλκανθος. Chalcanthus. Aqua eſt concreta in metallis, quæ ſunt in Cypro, maximam adſtringendi vim habens, cum caliditate non parva: quæ magis, quam ulla alia res, humidas carnes condit & exſiccat.

Χάλκεος. Æreus. Æneus. Robuſtus. Solidus. Firmus. Et, *Æreo autem in carcere vinctus erat tredecim menſes.* Vel, vinculo firmo, & quod difficulter ſolvi poterat. Vel, urbs quædam vocata fuit χαλκοῦς κερ. i.e. Ænea teſta.

Χαλκεῶνα. Officinam fabri ærarii, vel ferrarii.

Χαλκεύω. Accuſativo jungitur. Fabrico. Cudo.

Χαλκεύς. Faber ærarius, vel ferrarius. Item, aurifaber.

Χαλκευτής. Faber. Fabricator. Artifex.

Pieriam tubam, illum ſanctorum & gravium hymnorum

Fabrum, continet Pindarum iſte pulvis.

Χαλκεῖα. Chalcea, Feſtum Athenis, quod quidam Athenæa vocant: alii vero, Pandemon; quod ab univerſo populo celebraretur.

Χαλκεῖα. Chalcea. Feſtum Athenis publicum, & valde antiquum, quod quidam Athenæa vocant. Alii vero, Pandemum; quod univerſo populo commune eſſet. Poſtea vero a ſolis artificibus celebrari cœpit; quod Vulcanus in Attica æs cudiſſet. Dies autem, [quo feſtum illud celebrabatur,] erat ultimus menſis Pyanepſionis: quo etiam ſacerdotes cum Arrephoris peplum [Minervæ] texebant.

Χαλκεῖα. Chalcea. Feſtum apud Athenien-

1 Χάλιξ] Alii, χάληξ: per η in ſyllaba ultima.

2 Εἶδος ὄνου] Portus, *Genus aſini.* Ridicule. Scribendum enim ἢ, εἶδος οἴνου, i.e. *ſpecies vini.* Χάλις enim, vel χάλιξ, dicebatur vinum merum, nec aqua temperatum. Scholiaſtes Apoll. Rhod. ad lib. I. v. 473. Ἀθηναῖοι δὲ τὸν ἄκρατον χάλιν λέγουσιν. Etymologus: Χαλίφρων. κυρίως ὁ ἐν μέθῃ ἀφραίνων. Χάλις γὰρ, ὁ ἄκρατος οἶνος. Heſychius: Χάλις, ὁ ἄκρατος οἶνος. Idem v. Ἀκροχάλιξ: Χάλιξ, ὁ ἀκρότατος (lege, ἄκρατος) οἶνος. Χαλᾷ γὰρ τὰς φρένας. Vide etiam Euſtathium.

3 Δίδυμος ὁ Γραμμ.] Hæc leguntur etiam ſupra v. Δίδυμος. Cæterum articulus hic poſt vocem ſequentem collocandus eſt.

4 Χάλκανθος. ὕδωρ ἐστὶ πηγν.] Hæc ſunt verba Pauli Æginetæ lib. VII. cap. III. p. 256.

5 Χαλκέῳ δ' ἐν κερ.] Homerus Il. E. v. 387.

6 Πιερικὰν σάλπ.] Diſtichum hoc eſt pars Epigrammatis in Pindarum, quod integrum exſtat Anthol. lib. III. cap. XXV. Epigr. 26.

7 Χαλκεῖα] Vide Meurſ. in *Græc. Fer.* v. Χαλκεῖα.

8 Πάλαι] Malim, πάνυ.

9 Χαλκεῖα. ἑορτὴ παρ' Ἀθην.] Ex Harpocratione.

νεψιῶνος

νεμῶνος ἔνη καὶ νέα, χειρώναξι κοινή, μάλιστα δὲ χαλκεῦσιν. Ἀπολλώνιος. Φανόδημος δέ φησιν, οὐκ Ἀθηνᾷ ἄγεσθαι τὴν ἑορτὴν, ἀλλ' Ἡφαίστῳ.

Χαλκεῖον. ἐν ᾧ χαλκεύουσι. Χαλκεῖον δὲ Δωδωναῖον, διφορεῖται.

Χαλκηδόνιοι. ἀπὸ Χαλκηδόνος πόλεως.

Χαλκίς. ὄνομα πόλεως Εὐβοίας. καὶ εἶδος ὀρνέου.

Χαλκιδεῖς. οἱ ἀπὸ τῆς Χαλκίδος. ἡ εὐθεῖα, ὁ Χαλκιδεύς.

Χαλκιδίζειν, καὶ Χαλκιδεύεσθαι. ἐπὶ τῶν γλισχρευομένων. καὶ Φικιδίζειν, ἐπὶ τοῦ παιδεραστεῖν· ἐπεὶ παρ' αὐτοῖς οἱ ἀῤῥένων ἔρωτες ἤσκηντο. ἄλλοι δὲ ἐπὶ τοῦ ῥωτακίζειν· ἐπεὶ αὐτοί τε καὶ Ἐρετριεῖς δοκοῦσι τῷ ρ καταχόρως χρῆσθαι, καὶ ἀντὶ τοῦ σ τιθέντες. Eretrienſes litera illa crebro admodum uti

Χαλκιδικὸν[2] δίωγμα. τοῖς Θεσμοφορίοις Ἀθήνησί τι νόμιμον, ἐν πολέμῳ γυναικῶν εὐξαμένων, διωχθῆναι τοὺς πολεμίους. καὶ συνέβη φυγεῖν εἰς Χαλκίδα. ὡς καὶ Σημός.

Χαλκιδῖτις.[3] παρὰ Ἰωσήπῳ, ἡ πόρνη. ἀπὸ τῆς εὐτελείας τοῦ διδομένου νομίσματος.

Χαλκίς. εἶδος ὀρνέου. ἢ γλαῦξ.

Χαλκίοικος.[4] ἡ Ἀθηνᾶ ἐν Σπάρτῃ. ἢ ὅτι χαλκοῦν οἶκον εἶχεν· ἢ διὰ τὸ τοὺς Χαλκιδεῖς τοὺς ἐξ Εὐβοίας φυγάδας αὐτὴν κτίσαι.

Χαλκίον.

——Χαλκίοισι[5] τοῖς πονηροῖς χρώμεθα,
Χθές τε καὶ πρώην κοπεῖσι τῷ κακίστῳ κόμματι.

Χαλκία. ὡς χρυσία ἔλεγον τῷ σχήματι. [6]χαλκοσκευῆ. λέγεται δὲ οὕτω καὶ τὸ κακὸν νόμισμα, τὸ χρυσοῦν. λέγεται δὲ καὶ τὸ χαλκοῦν. ἐπὶ γὰρ Καλλίου νόμισμα χαλκοῦν ἐκόπη. λέγει δὲ, ὅτι τὸ αὐτὸ πέπονθεν ἡ πόλις εἰς τοὺς χρηστοὺς τῶν ἀνθρώπων, καὶ εἰς τὸ ἀρχαῖον νόμισμα. ὥσπερ γὰρ τοῖς παλαιοῖς νομίσμασιν οὐ χρώμεθα, καλοῖς οὖσιν· ἀλλὰ τοῖς καινοῖς, κακοῖς οὖσιν· οὕτω καὶ τοῖς ἀρχαίοις ἀνθρώποις οὐ χρώμεθα, καλοῖς οὖσι· τοῖς δὲ νῦν στρατιώταις κακοῖς οὖσι χρώμεθα.

Χαλκοβάρεια.[7] τῷ χαλκῷ βαρυνομένη. ἀντὶ τοῦ στερεά.

Χαλκοβατές.[8] στερεόν.

Χαλκοκορυστής.[9] χαλκῷ καθωπλισμένος.

Χαλκοκρότων.[10] χαλκοπόδων. τυπτέτι, τὰς ὁπλὰς

ſes, quod trigeſimo die Pyanepſionis celebrabatur, a manuariis artificibus univerſis, præcipue vero a fabris: ut Apollonius ait. Phanodemus vero inquit, feſtum illud non in honorem Minervæ, ſed Vulcani celebrari.

Χαλκεῖον. Officina fabri ærarii. At χαλκεῖον Δωδων. Æs Dodonæum; dupliciter ſcribitur: [& per ει, & per ι.]

Χαλκηδόνιοι. Chalcedonii. [Sic dicti,] ab urbe Chalcedone.

Χαλκίς. Chalcis. Nomen loci. Item, genus avis.

Χαλκιδεῖς. Chalcidenſes. Sive, incolæ urbis Chalcidis. Caſus rectus eſt, Χαλκιδεύς.

Χαλκιδίζειν,& Χαλκιδεύεσθαι. Chalcidenſes imitari. Dicitur de iis, qui ſunt parci & tenaces. Et Φικιδίζειν, Phicidenſes imitari. De pædiconibus. Phicidenſes enim marium amoribus dediti erant. Alii vero ajunt hoc dici de iis, qui litera ρ frequenter utuntur. Chalcidenſes enim & ſolebant; quippe quam & pro σ ponebant.

Χαλκιδικὸν δίωγμα. Chalcidica perſecutio. Sacrificium quoddam Athenis in Theſmophoriis; ſic dictum, quod, cum fœminæ aliquando in bello Deos precatæ eſſent, ut hoſtes in fugam verterentur; illi Chalcidem fugerent: ut & Semus ſcribit.

Χαλκιδῖτις. Apud Joſephum meretrix [ita vocatur:] a vili nummo, qui ei dabatur. [Q. d. obolare ſcortum.]

Χαλκίς. Chalcis. Genus avis. Vel, noctua.

Χαλκίοικος. Chalciœcos. [Hoc epitheto colebatur] Minerva Spartæ: vel quod æneam ædem haberet; vel quod Chalcidenſes ex Eubœa profugi eam condidiſſent.

Χαλκίον. Æs. Æreus nummus. [Ariſtophanes:] *Nummis hiſce ſubæratis utimur, nuper admodum peſſimo commate percuſſis.* Χαλκία pari modo formatur, quo χρυσία. Ærea vaſa. Sic vero etiam dicitur aureus nummus ſubæratus, vel adulterinus. Sub Callia enim æreum nomiſma cuſum eſt. Dicit autem [Comicus,] Athenienſes eodem loco habere viros bonos, quo monetam antiquam. Ut enim, [inquit,] antiqua moneta, quamvis bona ſit, non utimur; ſed nova, quæ mala eſt: ſic etiam antiquis hominibus, quamvis boni ſint, non utimur; at ducibus noſtri temporis, qui mali ſunt, utimur.

Χαλκοβάρεια. Ære gravis. Id eſt, dura, firma, ſolida.

Χαλκοβατές. Æreum habens ſolum. Solidum. Firmum.

Χαλκοκορυστής. Ære armatus.

Χαλκοκρότων. [Æriſtreporum.] Æripedum,

1 Ἐρετριεῖς δοκοῦσι τῷ ρ καταχ.] Vide Diogenianum Centur. IV. Adag. LVII, & Heſych. v. Ἐρετριέων.

2 Χαλκιδικὸν δίωγμα.] Vide Heſych. v. Δίωγμα, & Meurſ. in *Græc. Fer.* pag. 163.

3 Χαλκιδῖτις] Eadem habet Euſtathius ad Il. Ψ. pag. 1329. qui ea ex Suida, quamvis nomen ejus taceat, hauſit.

4 Χαλκίοικος. ἡ Ἀθηνᾶ ἐν Σπ.] Ex Scholiaſta Thucydidis ad lib. I. cap. CXXVIII. ut Pearſonius etiam obſervaverat.

5 Χαλκίοισι τοῖς πον.] Hæc ſunt verba Ariſtoph. *Ranis*, pag. 246. (159. Ed. Baſ. *P.*) ſed ubi legitur, κακίστῳ κόμματι: uti etiam hic metri gratia ſcribendum eſt.

6 Χαλκοσκευῆ] Scribe, χαλκῷ σκευῇ, ut habet Scholiaſtes ad modo indicatum locum Ariſtophanis.

7 Χαλκοβάρεια] Eſt epithetum galeæ apud Homerum Il. Λ. v. 96.

8 Χαλκοβατές] Homerus Il. A. v. 426.

9 Χαλκοκορυστής] Eſt itidem vox Homerica, Il. Ε. v. 699. & alibi.

10 Χαλκοκρότων] Nota hæc referenda eſt ad locum illum Ariſtophanis *Equit.* pag. 321.

Χαλκοκρότων ἵππων κτύπος.

Vide ibi Scholiaſtam, qui eadem habet, quæ hoc loco Suidas.

ἰσχυρὰς ἐχόντων. συμβαίνει γὰρ ἠχεῖν τὴν γῆν καὶ κτυπεῖν, ἐπικρουομένην τοῖς ποσὶ τῶν ἵππων.

Χαλκολίβανον. εἶδος ἠλέκτρου, τιμιώτερον χρυσοῦ. [1] ἔστι δὲ τὸ ἤλεκτρον ἀλλότυπον χρυσίον, μεμιγμένον ὑέλῳ καὶ λιθείᾳ· ὁποίας ἐστὶ συνθέσεως καὶ ἡ ἁγία τράπεζα τῆς μεγάλης Ἐκκλησίας.

Χαλκόπους[2] Ἐριννύς. ἤγουν, στερεὰ καὶ ἀκοπίατος ἐν τῷ ἐπιέναι κατὰ τῶν φονέων.

Χαλκοτύπους.[3] τὰς ἐκ σιδήρου πληγὰς γινομένας. Χαλκοτυπίαις ἀδραῖς σου τὸ σῶμα.

Χαλκοῦς. λεπτῶν ζʹ. καὶ ζήτει ἐν τῷ Τάλαντον.

Χαλκῷ. σιδήρῳ.

Χαλκῆ.[4] αὐτὴ ἡ ὕλη. χαλκοῦς δὲ ἀνδριάς, τὸ μετουσιαστικόν· ὡς χρυσοῦς. καὶ τὸ θηλυκόν, ἡ χαλκῆ.

Χάλος.[5] ποταμός, οὗ τὸ εὖρος πλέθρου· πλήρης ἰχθύων πραέων καὶ μεγάλων.

Χάλυβες. ἔθνος Σκυθίας, ἔνθεν ὁ σίδηρος τίκτεται. καὶ [6] Λυκόφρων·

Χαλυβικῷ κώδωνι συντεθραυσμένῳ.

καὶ χάλυψ, ὁ σίδηρος. [7] ἐν Ἐπιγράμματι·

Καὶ χάλυβα σκληρὸν καλαμηφάγον.

Χαλυδώνιος[8] οἶνος.

Χὰμ σκηνώματα. ἡ Αἴγυπτος. ἐπειδὴ τοῦ Χὰμ ὁ Μεσρέμ. Μεσρὲ δέ, ἡ Αἴγυπτος· ἥτις λέγεται σήμερον Μέσρε.

Χαμάδις. χαμαί. εἰς τὴν γῆν. καὶ χαμᾶζε, χαμαί.

Χαμαί. ἐπὶ τῆς γῆς. καὶ παροιμία· Χαμαὶ ἀντλεῖν. ἐν ἴσῳ τῷ, οὐδὲν ἐργάζεσθαι. οἷον καὶ τό, πλίνθον πλύνειν. ἐπὶ τῶν ἀνηνύτων λέγεται.

Χαμαιευνάδες. χαμαὶ κοιμώμεναι. καὶ χαμαιεύνης, ὁμοίως.

Χαμαιεύρετος. Χαμαιεύρετόν με εὗρε καὶ ἀνεθρέψατο.

Χαμαίζηλοι. ταπεινοί. ἢ δίφροι κοιλώδεις. Τροχῶν αὐτοῖς κάτωθεν ὑποστρεφομένων χαμαιζήλων.

Χαμαιζυμήτης ἄρτος.

Χαμαιλέων. ζῶον, εἰς πάντα τὴν χροιὰν μετατρέπον, πλὴν λευκοῦ.

Χαμέλαιον.[9] εἶδος βοτάνης. καὶ χαμαίμηλον, εἶδος βοτάνης.

Χαμαιπέτεια. καὶ χαμαιπετής, χαμαὶ ἐρριμμένος.

Id eſt, ungulas firmas & ſolidas habent ium. Terra enim equorum pedibus pulſata reſonat & ſtrepit.

Χαλκολίβανον. Chalcolibanum. Electri genus, auro pretioſius. Eſt autem electrum, aurum, ab eo, quod proprie ſic dicitur, materia & forma differens, & ex vitro lapilliſque mixtum. Ex hac materia conſtat ſacra menſa magnæ Eccleſiæ.

Χαλκόπους Ἐριννύς. Æripes Erinnys. Id eſt, quæ celeri & indefeſſo pede homicidas perſequitur.

Χαλκοτύπους. Eſt epithetum vulnerum, quæ æreis telis inflicta ſunt. Et χαλκοτυπία, percuſſio, ſive vulneratio, quæ ferro fit.

Χαλκοῦς. Chalcus. Eſt nummus, qui VII. minutis conſtat. Quære in v. Τάλαντον.

Χαλκῷ. Ære. Ferro.

Χαλκῆ. [Ærea. Ferrea. Χαλκός, eſt] ipſum æs. At χαλκοῦς, ut χρυσοῦς, æreum, ſive, quod ex ære factum eſt. Ut, χαλκοῦς ἀνδριάς, ærea ſtatua. Et fœmininum eſt, χαλκῆ, ærea, ferrea.

Χάλος. Chalus. Fluvius, cujus latitudo eſt unius plethri: plenus piſcium manſuetorum & magnorum.

Χάλυβες. Chalybes. Gens Scythiæ, ubi ferrum naſcitur. Et Lycophron: *Chalybea gladii acie vulnerata.* [Vel, *Ferreo enſe vulnerata.*] Et χάλυψ, chalybs, ſive, ferrum. In Epigrammate: *Et ſcalpellum ex duro chalybe factum.*

Χαλυδώνιος οἶνος. Chalydonium vinum.

Χὰμ σκηνώματα. Chami tentoria. Id eſt, Ægyptus. Chami enim filius fuit Meſrem. Meſre autem vocatur Ægyptus; quæ hodie Meſer dicitur.

Χαμάδις, & χαμᾶζε, & χαμαί. Humi. In terram.

Χαμαί. Humi. Et proverbium: *Humi haurire.* Quod idem valet, ac Nihil proficere. Ut & [proverbium] illud: *Laterem lavare.* Dicitur vero de rebus irritis.

Χαμαιευνάδες. [Mulieres] humi dormientes. Et χαμαιεύνης, qui humi dormit.

Χαμαιεύρετος. Qui humi jacens ab aliquo invenitur. *Me humi jacentem invenit, inventumque educavit.*

Χαμαίζηλοι. Humiles. [Viles. Abjecti.] Vel, ſellæ cavæ. *Cum humiles rotæ ſub ipſis inferne verterentur.*

Χαμαιζυμήτης ἄρτος. Humi fermentatus panis.

Χαμαιλέων. Chamæleon. Animal, quod ſe in omnes colores convertit, excepto albo.

Χαμέλαιον. Chamelæū. Herbæ genus. Et χαμαίμηλον, chamæmelum, [itidem] genus herbæ.

Χαμαιπέτεια. Humi projectio. Et χαμαιπετής, humi projectus. Qui in terram decidit.

1 Ἔστι δὲ τὸ ἤλεκτρον ἀλ.] Eadem leguntur ſupra v. Ἤλεκτρον: ubi Nos vide.

2 Χαλκόπους Ἐριν.] Ex Scholiaſta Sophoclis ad *Electram*, pag. 104. ubi pro ἀκοπίατος rectius legitur ἀκόπιαστος: ut Portus etiam monuit.

3 Χαλκοτύπους] Homerus Il. Τ. v. 25. ὠτειλάς, i. e. vulnera, χαλκοτύπους vocat: ad quem locum Suidas reſpexit.

4 Χαλκῆ] Scribendum eſt, χαλκίς.

5 Χάλος, ποτ.] Vide ſupra v. Φάρος: ubi eadem leguntur.

6 Λυκόφρων] In *Alexandra*, v. 1109. ubi legitur, Χαλυβδικῷ κώδωνι συντεθραυσμένη. Sic etiam apud Suidam ſcribendum eſt.

7 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. XXVI. Epigr. IV.

8 Χαλυδώνιος οἶνος] Potius, χαλυβώνιος οἶνος: ut habet Heſychius. Vide Athen. lib. I. cap. XXII. pag. 28.

9 Χαμέλαιον] Series literarum ſuadet, ſcribendum eſſe, χαμαίλαιον.

Χαμαι-

Χαμαιρεπές. χάμαι ῥέπον.

Χαμαιτυπεῖον. πορνεῖον. καὶ χαμαιτύπη, ἡ πόρνη. ἀπὸ τοῦ χαμαὶ κειμένη ὀχεύεσθαι.

Χαμαιτηλεῖς [1].

Χαμεύνης. ὁ χαμαὶ εὐναζόμενος. καὶ θηλυκῶς, χαμεύνη, ταπεινὴ κλίνη. [2] Ἀριστοφάνης·

Οὐδ' ἂν χαμεύνην πάνυ γε κειρίαν γ' ἔχων.

Χαμαῖτις. ὄνομα ἀμπέλου.

Χαμόθεν. ἀπὸ τῆς γῆς.

Χαμώς. Θεὸς ἦν Τυρίων καὶ Ἀμανιτῶν· ὥσπερ ἡ Ἀστάρτη Θεὸς Σιδονίων, ἣν ἐλάτρευσε Σολομῶν.

Χαναάν. ὄνομα κύριον. [3] οἱ δὲ ἐξ αὐτοῦ Χαναναῖοι. Μωϋσῆς τεσσαράκοντα ἔτη συμφιλοσοφήσας τῷ λαῷ, τελευτᾷ, διάδοχον καταλιπὼν Ἰησοῦν τὸν τοῦ Ναυῆ· ὅς τις κατῴκισε τὸν Ἰσραὴλ ἐν τῇ γῇ, ἣ ἐπηγγείλατο Κύριος τῷ Ἀβραάμ· (ἔστι δὲ ἀπὸ τοῦ ποταμοῦ Αἰγύπτου κυκλουμένη διὰ θαλάσσης, καὶ ξηρᾶς) ἐκβαλὼν πάντας τοὺς βασιλεῖς καὶ δυνάστας τῶν ἐθνῶν· οἵ τινες ὑπ' αὐτοῦ διωκόμενοι, διὰ τῆς παραλίου Αἰγύπτου τε καὶ Λιβύης κατέφυγον εἰς τὴν τῶν Ἄφρων χώραν, τῶν Αἰγυπτίων μὴ προσδεξαμένων αὐτούς, διὰ τὴν μνήμην τὴν προτέραν, ἣν ἔπαθον δι' αὐτοὺς ἐν τῇ Ἐρυθρᾷ καταποντισθέντες θαλάσσῃ· καὶ προσφυγόντες τοῖς Ἄφροις, τὴν ἔρημον αὐτῶν ᾤκησαν χώραν, ἀναδεξάμενοι τὸ σχῆμα, καὶ τὰ ἔθη, καὶ ἐν πλαξὶ λιθίναις ἀναγραψάμενοι τὴν αἰτίαν, δι' ἣν ἀπὸ τῆς Χαναναίων γῆς ᾤκισαν τὴν Ἀφρικήν. καὶ [4] εἰσὶ μέχρι νῦν αἱ τοιαῦται πλάκες ἐν τῇ Νουμιδίᾳ, περιέχουσαι οὕτως· Ἡμεῖς ἐσμὲν Χαναναῖοι, οὓς ἐδίωξεν Ἰησοῦς ὁ λῃστής. καὶ θηλυκόν, ἡ Χαναναία. καί, Χαναῖτις γῆ.

Χανδόν. ἀθρόως. [5] ἀπίστως. ἀπλήστως. χορηγικῶς. Πίνειν χανδόν. Ὁ δὲ Εὐτρόπιος καιροῦ καὶ τύχης ἀμέτρως τε καὶ χανδὸν ἀρυόμενος, καὶ κατεμφορούμενος, καὶ πολυπραγμονῶν, ὥστε οὐκ ἔλαθε πατὴρ παῖδα μισῶν, ἢ ἀνὴρ γυναῖκα, ἢ μήτηρ τέκνον· ἀλλ' ἐξηκοντίζετο ἅπαντας πρὸς τὴν ἐκείνου γνώμην.

Χάνοι. διασταίη.

Χάονες. ἔθνος Ἠπειρωτικόν. [6] Ἀριστοφάνης·

Ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χάοσιν.

ἐπειδὴ καὶ εἰς μαλακίαν διεβάλλετο [7] ὁ Γέρης. [8] καὶ αὖθις Ἀριστοφάνης·

Τὸν [9] Παφλαγόνα λαθεῖν οὐχ οἷόν τε.
Ἐφορᾷ γὰρ αὐτὸς πάντ'· ἔχει γὰρ τὸ σκέλος,
Τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇ ἐκκλησίᾳ.

ἐν Χάοσι δέ, παρὰ τὸ κεχηνέναι. Θρακικὸν δὲ ἔθνος οἱ Χάονες.

Χαμαιρεπές. Humi repens Humi ſerpens.

Χαμαιτυπεῖον. Lupanar. Et χαμαιτύπη, meretrix: [ſic dicta,] quod humi jacens permolatur.

Χαμαιτηλεῖς. Scortum, quod humi ſubigitur.

Χαμεύνης. Humi cubans. Et fœminino genere, χαμεύνη, lectus humi ſtratus. Lectus humilis. Ariſtophanes: *Ne faſciam quidem habens, quam lectulo meo humili intendam.*

Χαμαῖτις. Chamætis. Nomen vitis.

Χαμόθεν. Humo. A terra.

Χαμώς. Chamos. Fuit Tyriorum & Amanitarum Deus: ut Aſtarte, Sidoniorum Dea; quam coluit Solomon.

Χαναάν. Chanaan. Nomen proprium viri: cujus poſteri vocantur Chananæi. Moſes annos XL. in religionis legumque ſtudio cum populo verſatus, obiit, relicto ſucceſſore Jeſu, Nave filio, qui Iſraelem collocavit in illa terra, quam Deus Abrahamo promiſerat, (extenditur autem a flumine Ægypti, mari & continente cincta) ejectis omnibus Regibus & Principibus gentium. Qui, cum ab eo profligarentur, per maritimam Ægyptum & Libyam in Africam confugerunt, cum eos Ægyptii non ſuſcepiſſent, propter memoriam priorem eorum, quæ propter ipſos perpeſſi fuerant, in rubro mari ſubmerſi. Cum igitur ad Afros confugiſſent, deſertam illorum regionem incoluerunt, eorum habitu & inſtitutis receptis, & cauſa in lapideis tabulis inſcripta, cur ex Chananæa regione in Africam habitandi cauſa migraſſent. Hæ vero tabulæ adhuc ſunt in Numidia, quæ hæc verba continent: *Nos Chananæi ſumus, quos profligavit Jeſus latro.* Et fœmininum, Χαναναία, Chananæa. Et, Chananitis terra. *Port.*

Χανδόν. Ore hianti. Affatim. Avide. Capaciter. Ut, πίνειν χανδόν, ore hianti bibere. *Eutropius vero occaſione & fortuna immoderate & avide ſe quaſi ingurgitans, & curioſe omnia inquirens, adeo ut nec filius patri exoſus, aut uxor marito, aut filia matri, eum lateret; ſed omnes, prout ipſi lubitum eſſet, urbe ejiceret.*

Χάνοι. Hiet. Pateat. Apertum ſit.

Χάονες. Chaones. Gens Epirotica. Ariſtophanes: *Podex ejus reapſe eſt inter Chaones.* [Hoc ideo dicit,] quia propter impudicitiam quoque male audiebat Cleon. Et iterum Ariſtophanes: *Sed fieri non poteſt, ut Paphlagonem quidquam lateat. Omnia enim inſpicit: & crus alterum habet in Pylo; alterum vero in concione.* Ἐν Χάοσι vero dixit; [alludens ad latum culum Cleonis: quaſi nomen iſtud deductum eſſet] a κεχηνέναι, i. e. hiare. Chaones vero eſt gens Thracica.

1 Χαμαιτηλεῖς] Etymologus & Heſychius recte, χαμαιζηλεῖς.

2 Ἀριστοφάνης] *Avibus*, pag. 579. (400. Ed. Baſ. P.) Sed de hoc loco Comici vide Nos ſupra ad v. Κειρία.

3 Οἱ δὲ ἐξ αὐτοῦ] Lege, καὶ οἱ ἐξ αὐτοῦ.

4 Καὶ εἰσὶ μέχρι νῦν αἱ τ.] Idem refert Procopius *Vandalic.* lib. II. cap. X. qui cum hoc loco Suidæ conferendus eſt. Vide etiam Sam. Bochartum lib. I. *de Coloniis Phœn.* cap. XXIV.

5 Ἀπίστως] Eſt vox corrupta: cujus emendatio eſt ſequens ἀπλήστως.

6 Ἀριστοφάνης] *Equit.* pag. 291. (195. Ed. Baſ. P.) ſed ubi legitur, ἐν χαόσι, cum accentu in penultima.

7 Ὁ Γέρης] Imo, ὁ Κλέων. De eo enim apud Ariſtophanem loco citato verba ſunt.

8 Καὶ αὖθις Ἀριστοφάνης] Male. Eſt enim idem locus.

9 Τὸν Παφλαγόνα λαθ.] Apud Ariſtophanem recte ſic legitur:

Ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν.

Χάος. καὶ ὁ ἀήρ, παρ' [1] Ἀριστοφάνει ἐν Ὄρνισι.

Διὰ τῆς πόλεως τῆς ἀλλοτρίας, καὶ τοῦ χάους,
Τῶν μηρίων τὴν κνίσαν οὐ διαφρήσετε.

Καί, Χάους ἀρχαιότερος, καὶ Κρονίων. ἐπὶ τῶν πάνυ παλαιῶν. καὶ Ἴβυκος· Ποτᾶται δ' ἐν ἀλλοτρίῳ χάει. Καὶ αὖθις· Ὁ δὲ φλυαρεῖ, καὶ μάτην ἡμῶν λῆρον καταχεῖ, τοῦ χάους ἀρχαιότερον, καὶ Κρονίων ἀπόζοντα.

Χάος. [2] Ἀριστοφάνης·

Χάος ἦν, καὶ Νύξ, Ἔρεβός τε μέλαν πρῶτον, καὶ Τάρταρος εὐρύς·
Γῆ δ', οὐδ' ἀήρ, οὐδ' οὐρανὸς ἦν· Ἐρέβους δ' ἐν [3] ἀπείροισι κόλποις
Τίκτει πρώτιστον ὑπηνέμιον Νὺξ ἡ μελανόπτερος ὠόν·
Ἐξ οὗ περιτελλομέναις ὥραις ἔβλαστεν Ἔρως ὁ ποθεινός,
Στίλβων νῶτον πτερύγοιν χρυσαῖν, εἰκὼς ἀνεμώκεσι δίναις.
Οὗτος δὲ Χάει πτερόεντι μιγεὶς νυχίῳ, κατὰ Τάρταρον εὐρύν,
Ἐνεόττευσεν γένος ἡμέτερον, καὶ πρῶτον ἀνήγαγεν εἰς φῶς.
Πρότερον δ' οὐκ ἦν γένος ἀθανάτων, πρὶν Ἔρως συνέμιξεν ἅπαντα.
Ξυμμιγνυμένων δ' ἑτέρων ἑτέροις, γένετ' Οὐρανός, Ὠκεανός τε,
Καὶ Γῆ, πάντων τε θεῶν μακάρων γένος ἄφθιτον.

Χαόν. [4] τὸ εὐγενές. ἢ τὸ ἀρχαῖον.

Χαρά. [5] ἡδονή. εὐφροσύνη. τέρψις. τινές φασι [6] κατὰ τὸ ὑποκείμενον ταυτὸν σημαινόμενον εἶναι. Πρόδικος δὲ ἐπειρᾶτο ἑκάστῳ τῶν ὀνομάτων τούτων ἴδιόν τι σημαινόμενον ὑποτάσσειν· ὥσπερ καὶ οἱ ἀπὸ τῆς Στοᾶς· χαρὰν μὲν λέγοντες, εὔλογον ἔπαρσιν. ἡδονὴν δέ, ἔπαρσιν ἄλογον. τέρψιν δέ, [7] τὴν διὰ θεωρίας ἡδονήν. εὐφροσύνην δέ, τὴν διὰ λόγων ἡδονήν. νομοθετούντων δέ ἐστι τοῦτο. τὸ μὲν γὰρ εἰπεῖν ἡδονὴν χαράν, οὐχ ἁμάρτημα· ὥσπερ οὐδὲ τὸ τὴν μονάδα ἀδιαίρετον. οὐδὲ γὰρ τὸ τὴν χαρὰν χαρὰν εἰπεῖν, ἢ τὴν μονάδα μονάδα· τὸ δὲ συμβεβηκέναι θάτερον θατέρῳ λέγειν, ἄτοπόν τε καὶ ψεῦδος.

Χαράδρα. διώρυξ πηλοῦ μεστή, [8] ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα. [9] Ἀριστοφάνης·

Φωνὴν δ' εἶχεν χαράδρας ὄλεθρον τετοκυίας.

Ἐν Ἐπιγράμμασι·

Ὁππότε [10] μιν κνημοῖς τε κατὰ λασίους τε χαράδρας
Ἐξ ὀρέων ποταμοῦ φράσατ' ἐπ' ἠϊόνων.

Χάος. Chaos. Sic etiam dicitur aer, apud Ariſtophanem *Avibus*. *Per urbem alienam & aerem non tranſmittetis femorum nidorem.* Et, Antiquior quam Chaos & Saturnia tempora. Dicitur de iis, quæ valde antiqua ſunt. Et Ibycus: *Volat autem in alieno aere.* Et iterum: *Ille autem nugatur, & ineptas temere effutit fabulas, antiquiores quam ipſum Chaos, & Saturnia tempora redolentes.*

Χάος. Chaos. Ariſtophanes:

Chaos erat, & Nox, Erebuſque niger primum, & Tartarus amplus:
Non autem Terra, nec Aer, neque Cœlum erat: ſed Erebi in immenſo ſinu
Parit primum ſubventaneum Nox nigris alis prædita ovum;
Ex quo volventibus annis natus eſt Amor deſiderabilis,
Aureis in tergo fulgens alis, & velocibus ventorum procellis ſimilis.
Hic cum Chao alato & tenebroſo coiens, in Tartaro ſpatioſo,
Procreavit genus noſtrum, & primum produxit in lucem.
Prius vero non erat genus Immortalium, quam Amor omnia inter ſe miſcuiſſet.
Ex mutuo vero aliorum cum aliis coitu natum eſt Cælum, & Oceanus,
Et Terra, omniumque Deorum beatorum genus immortale.

Χαόν. Generoſum. Nobile. Vel, antiquum.

Χαρά. Gaudium. Ἡδονή, voluptas. Εὐφροσύνη, lætitia. Τέρψις, oblectatio. Quidam ajunt ratione ſubjecti voces iſtas ſignificationem eandem habere. Prodicus vero ſingulis his nominibus propriam aliquam ſignificationem tribuere conabatur: ſicut & Stoici. Nam χαρὰν dicunt eſſe animi elationem cum ratione. Ἡδονήν, animi abſque ratione elationem. Τέρψιν, voluptatem, quam contemplatio alicui affert. Εὐφροσύνην, voluptatem, quæ ex oratione vel ſermone percipitur. Sed hoc perinde eſt, ac leges aliis præſcribere. Nam qui *voluptatem* vocat *gaudium*, non errat: ut nec ille, qui unitatem individuam eſſe dicit. Sed ſi dicas alterum alteri accidere; id vero abſurdum eſt & falſum.

Χαράδρα. Foſſa cœni plena, perniciem, non aquam habens. [Alveus torrentis. Torrens.] Ariſtophanes: *Vocem habebat torrentis, qui* [*ſegeti & plantis*] *ſtragem tulit.* Et in Epigrammate: *Cum eum* [*taurus paſcens*] *in locis ſylvoſis & ad opacas torrentium ripas ex monte conſpexit, in ripa fluvii* [*verſantem.*]

1 Παρ' Ἀριστοφάνει ἐν Ὄρνισι] Pag. 550. (375. Ed. Baſ. P.)
2 Ἀριστοφάνης] *Avibus*, pag. 573. 574.
3 Ἀπείροισι] Metri gratia ſcribendum eſt, ἀπείροσι: ut legitur apud Ariſtophanem.
4 Χαόν] Vide ſupra v. Χαῖα.
5 Χαρά. ἡδονή. εὐφρ.] Totum hunc articulum Suidas ſumpſit ex Alexandro Aphrodiſ. in lib. 11. *Topic.* pag. 96.
6 Κατὰ τὸ ὑποκείμενον ταυτ.] Ex Alexandro Aphrodiſienſi reſcribendum eſt, κατὰ τὸ ὑποκείμενον ταῦτα εἶναι, κατὰ τὸ σημαινόμενον.
7 Τὴν διὰ θεωρίας ἡδονήν] Alex. Aphrodiſ. τὴν δι' ὤτων ἡδονήν.
8 Ὄλεθρον, οὐχ ὕδωρ ἔχουσα] Hæc Grammaticus noſter addidit, non reſpiciens ad abſolutam ſignificationem vocis χαράδρα, ſed ad ſubjunctum locum Ariſtophanis.
9 Ἀριστοφάνης] In *Veſpis*, pag. 503. (348. Ed. Baſ. P.)
10 Ὁππότε μιν κν.] Diſtichum hoc decerptum eſt ex Epigrammate, quod ex cod. MS. Anthologiæ ineditæ integrum publici juris fecimus ſupra v. Ἰξύς.

Χαράδραι. αἱ διαιρέσεις, καὶ τὰ σχίσματα, καὶ χείμαῤῥοι γῆς.

Χαράδραι. Terræ hiatus, vel fiſſuræ, & torrentes, [vel torrentium alvei.]

Χαραδραῖος[1] λέων. ὁ παρὰ ταῖς χαράδραις. εἰ μὴ τὸν Θεσπιακὸν λέγει, ὃν πρῶτον ἀνεῖλεν Ἡρακλῆς ἐν Θεσπιαῖς. Χαράδρα δὲ καλεῖται ὁ τόπος ἐκεῖνος.

Χαραδραῖος λέων. Charadræus leo. Id eſt, qui juxta torrentium alveos, vel terræ cavernas degit. Niſi forte intelligat [leonem] Theſpiacum, quem primum Hercules ad Theſpias interfecit. Locus autem ille vocatur Charadra.

Χαραδριός.[2] ὄρνεον, εἰς ὃν ἀποβλέψαντες οἱ ἰκτεριῶντες, ῥᾷον ἀπαλλάττονται. ὅθεν καὶ κρύπτουσιν αὐτοὺς οἱ πιπράσκοντες, ἵνα μὴ προῖκα ὠφελῶνται οἱ κάμνοντες.

Καὶ μὴν καλύπτει. μῶν χαραδριὸν περνᾷς;

οὕτως Ἱππῶναξ. Καὶ παροιμία ἐντεῦθεν· [3] Χαραδριὸν μιμούμενος. ἐπὶ τῶν ἀποκρυπτομένων. οὕτως Εὐφρόνιος. ἐπεὶ γὰρ τοὺς ἰκτεριῶντας ὠφελεῖ ὁ χαραδριὸς ὀφθείς, καὶ τοῦτον οἱ περνῶντες κρύπτουσιν, ἵνα μὴ πρὸ τοῦ ὠνήσασθαι ἰαθῇ τις [4] περιέργως. ἔστι δὲ εἶδος ὀρνέου, μεταβαλλόμενον εἰς τὰ προκείμενα. καὶ ἐπὶ μὲν τοῦ ὀρνέου ὀξύνεται. ἐπὶ δὲ τῆς χαράδρας, βαρύνεται. ἐπεὶ καὶ αἱ χαράδραι τρόπον τινὰ διὰ τῶν ῥευμάτων μελῳδίαν ποιοῦσι. Χαραδριὸν οὖν μιμούμενος, ἀντὶ τοῦ, ἀποκρυπτόμενος. οἱ δὲ φασίν, οὐ τοὺς ἰδόντας τὸν χαραδριόν, ἀλλὰ τοὺς φαγόντας, ἀπαλλάσσεσθαι τῆς νόσου.

Χαραδριός. Charadrius. Avis eſt, quam illi, qui ictero laborant, adſpicientes, facilius eo morbo defunguntur. Quare etiam venditores eas occultant, ne illi, qui ictero laborant, gratis [& ſolo ejus adſpectu] morbo ſuo leventur. *Equidem occulit* [*rem.*] *Num charadrium vendis?* Sic Hipponax. Et proverbium inde ortum eſt: *Charadrium imitans.* Quod dicitur de iis, qui occultantur. *Sic* Euphronius. Quoniam enim adſpectus charadrii icterum levat, ideo venditores avem illam occulunt, ne quis, antequam eam emat, obiter [illam intuens,] a morbo liberetur. Eſt autem [charadrius] genus avis, quæ in quosvis colores mutatur. Et quidem χαραδριὸς acuitur in ultima: at χαράδρα, torrens, alveus torrentis, acuitur in penultima. [Dicta eſt autem χαράδρα ab ave χαραδριός,] quod & torrentes fluxu aquarum ſonum & melodiam quandam efficiant. Quare, Charadrium imitans, dicitur pro Occultatus. Alii vero dicunt, non eos, qui charadrium conſpexerint, ſed qui eum comederint, ab ictero liberari.

Χαραδροῦται. ὀρύσσεται. κοιλαίνεται.

Χαραδροῦται. Cavatur. Excavatur.

Χάρακα. χαράκωμα. περίφραγμα. [5] χαράκωμα, ὃ περιεβάλλοντό τινες ἐν στρατοπέδῳ ἐπὶ σωτηρίᾳ. ὡς Δημοσθένης. καὶ Μένανδρος·

Πολλοὶ γὰρ ἐκλελοιπότες τὸν χάρακα, τὰς
Κώμας ἐπόρθουν.

Χάρακα. Vallum. Septum. Agger, quo quidam caſtra ſalutis cauſa circumdabant. Ut Demoſthenes. Et Menander: *Multi enim derelicto vallo vicos vaſtabant.*

Χαρακτῆρες λόγων ῥητορικῶν, ὑψηλός, ἰσχνός, μέσος. ὁ δὲ Θουκυδίδης τὸν ὑψηλὸν ἐζήλωσεν, ὡς πρόσφορον τῇ οἰκείᾳ φύσει.

Χαρακτῆρες. Characteres orationum, ſive genera dicendi tria ſunt; ſublime, tenue, mediocre. Thucydides autem genus dicendi ſublime, ut ingenio ſuo conveniens, ſectatus eſt.

Χάραξ,[6] Περγαμηνός, ἱερεύς, καὶ φιλόσοφος· ὡς εὗρον ἐν ἀρχαίῳ βιβλίῳ ἐπίγραμμα οὕτως ἔχον·

Εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης,

Ἔνθα ποτὲ πτολέμιζεν Ἀχιλλῆϊ πτολιπόρθῳ

Τήλεφος, Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων.

Ἔστι δὲ τῶν κατ' Αὔγουστον πολλῷ νεώτερος. μέμνηται γοῦν ἐν τῷ β'. τῶν βιβλίων Αὐγούστου, ὡς πάλαι γενομένου Καίσαρος. καὶ ἐν τῷ ζ'. Νέρωνος, καὶ τῶν μετ' αὐτὸν βασιλευσάντων. ἔγραψεν Ἑλληνικῶν ἱστοριῶν βιβλία μ'.

Χάραξ. Charax, Pergamenus, ſacerdos, & Philoſophus: de quo in antiquo quodam libro tale Epigramma reperi:

Sum Charax ſacerdos veneranda ex Pergami arce:
Ubi quondam pugnavit cum Achille urbium vaſtatore
Telephus, Herculis inclyti filius inclytus.

Eſt autem Auguſti temporibus multo recentior. Secundo enim libro meminit Auguſti, ut Imperatoris, jam olim defuncti. Et libro ſeptimo, Neronis, & eorum, qui poſt eum imperarunt. Scripſit Græcarum hiſtoriarum libros XL.

Χάραξ. ἀρσενικῶς, τὸ στρατόπεδον. [7] Οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρακα ἄριστον, ὃς ἂν ἔχοι πλείστας ἐκφύσεις καὶ μεγάλας πέριξ τοῦ πρέμνου. παρὰ δὲ Ῥω-

Χάραξ. Genere maſculino. Vallum caſtrorum. Caſtra. [Item, vallus.] *Græci vallum illum optimum eſſe putant, qui circa ipſum*

1 Χαραδραῖος λέων. ὁ π.] Ex Zenobio.

2 Χαραδριός. ὄρνεον, εἰς ὃν ἀποβλ.] Hæc omnia fere leguntur etiam apud veterem Interpretem Ariſtophanis ad *Aves*, pag. 553.

3 Χαραδριὸν μιμούμενος] Ariſtophanes loco laudato:
——Ἐπᾶξε, χαραδριὸν μιμούμενος.

4 Περιέργως] Scholiaſtes Ariſtophanis rectius, παρέργως.

5 Χαράκωμα, ὃ περιεβ.] Ex Harpocratione.

6 Χάραξ Περγ.] De eo vide Voſſium in opere *de Hiſt. Gr.*

7 Οἱ Ἕλληνες τοῦτον ἡγοῦνται χάρ.] Hæc ſunt verba Polybii lib. XVII. cap. XIV. eademque leguntur ſupra v. Πρέμνον.

μαίοις δύο κεραίας ἢ τρεῖς ἔχουσιν οἱ χάρακες. Δημόστρατος Δημοποιήτῃ·[1]

Οἱ μὲν προσέφερον τοὺς χάρακας πρὸς τὴν ἄκραν.

Θηλυκῶς δὲ, ὁ τῆς ἀμπέλου.

[2]Ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

ſtipitem plurimos & maximos habeat ſurculos erumpentes. Valli autem, quibus Romani utuntur, duos ramulos aut tres habent. Demoſtratus *Demopœeto: Alii vero vallum ad arcem afferebant.* Fœminino autem genere, ἡ χάραξ, dicitur palus, quo vitis fulcitur. Ridica. [Ut in illo proverbio:] *Decepit ridica vitem.*

Χάραξ τὴν ἄμπελον. ὅταν ὑπὸ τοῦ σώζοντος τὸ σωζόμενον [3]πάθῃ.

Χάραξ τὴν ἄμπελον. Palus vitem [decepit. Eſt proverbium, quod tunc dicitur,] cum ſervator damno afficit eum, quem ſervaverat.

Χάραξιν. ὀξέσι ξύλοις. ἢ καλάμοις. ἢ ἀκανθώδεσι φυτοῖς.

Χάραξιν. Vallis. Palis præacutis. Vel, calamis. Vel, plantis ſpinoſis.

Χάραξος.[4] ὁ Σαπφοῦς ἀδελφός.

Χάραξος. Charaxus. Sapphonis frater.

Χάρεια.

Χάρεια. [Pro χαρά] Gaudium. Lætitia.

Χάρητος ὑποσχέσεις. Χάρης δὲ ἦν στρατηγὸς Ἀθηναίων, εὐχερής τε καὶ ἑτοιμότατος πρὸς τὰς ὑποσχέσεις γενόμενος. ὅθεν ἡ παροιμία τάττεται ἐπὶ τῶν προχείρως ἐπαγγελλομένων.

Χάρητος ὑποσχ. Charetis pollicitationes. Chares fuit dux Athenienſium, qui prompte quidvis cuivis pollicebatur. Unde proverbium hoc dicitur in eos, qui facile quid aliis pollicentur.

Χαρίδημος. ὄνομα κύριον.

Χαρίδημος. Charidemus. Nomen proprium.

Χάριεν. οἱ Ἀττικοὶ περὶ δύο ἀναπέμπουσι. τὸ δὲ περὶ μίαν, κοινόν. Ἀριστοφάνης Πλούτῳ·

Καὶ, νὴ Δί', εἴ τί γ' ἐστὶ λαμπρὸν καὶ καλὸν,
Ἢ χάριεν, ἀνθρώποισι, διὰ σὲ γίνεται.

Χάριεν. Attici vocem hanc acuunt in antepenultima. At χαρίεν, cum acuto in penultima, commune eſt. Ariſtophanes *Pluto: Et, per Jovem, ſi quid eſt præclarum, & pulchrum, aut venuſtum, hominibus per te contingit.*

Χάριεν. προπαροξυτόνως, ἀντὶ τοῦ χαριέντως. χαρίεν δὲ, παροξυτόνως, ἐπὶ τοῦ ἐπιχαροῦς. καὶ χαριέντως.

Χάριεν. Cum acuto in antepenultima, ponitur pro χαριέντως. Venuſte. Eleganter. Facete. Lepide. At χαρίεν, cum acuto in penultima, [eſt adjectivum.] Venuſtum, urbanum, lepidum.

Χαριεντίζεις,[5] καὶ καταπαίζεις ἡμῶν, καὶ βωμολοχεύῃ. Δαμάσκιος· Κινδυνεύομεν εἰς αὐτὰ ἐμπεπτωκέναι τὰ τῶν χαριέντων σκώμματα.

Χαριεντίζεις, καὶ κατ. *Facete cavillaris, & nobis illudis, ſcurrilibus jocis utens.* Damaſcius: *Periculum eſt, ne hominum facetorum cavillationes provocemus.*

Χαριεντιζόμενοι. εὐτραπελευόμενοι. σκώπτοντες. ὡς Ἀριστοφάνης.

Χαριεντιζόμενοι. Facete jocantes. Facetiis utentes. Cavillantes. Ut Ariſtophanes.

Χαριεργός. ὁ κεχαριτωμένα ἐργαζόμενος.

——— Ἃ[6] δὴ χαριεργὰ
Παλλάδι ἐκ τέχνας θήκατο παυόμενος.

Χαριεργός. Qui opera venuſta & grata facit. [In Epigrammate:] *Quæ venuſtorum operum elaboratrici Palladi, artem [fabrilem] exercere deſinens, dedicavit.*

Χαριεστέρους. ἐνδοξοτέρους. Εὐνάπιος· Ὁ δὲ Προκόπιος τοὺς χαριεστέρους ἀναλαβὼν, ἐπὶ τὸν βασιλέα Οὐάλεντα διὰ Φρυγίας συνήπετο.

Χαριεστέρους. [Venuſtiores.] Illuſtriores. Eunapius: *Procopius autem aſſumptis illis, qui illuſtriores erant, ad Imperatorem Valentem per Phrygiam contendit, ut eum conveniret.*

Χαριέττων. ὄνομα κύριον.

Χαριέττων. Charietton. Nomen proprium.

Χαρίζεσθαι. κοινῶς μὲν, ὡς οἱ πολλοί. [7]ἰδίως δὲ, ἐπὶ ἀφροδισίων. ἢ ἐπὶ τοῦ ὑποκατακλίνεσθαι ἐν λόγῳ. Εἴ τε σοι δεῖ χαρίζεσθαι. καὶ πάλιν· Ἵνα σοι χαρίσωμαι. καὶ χαριζόμενοι, χάριν τιθέμενοι. Οἱ δὲ τὴν κεφαλὴν αὐτοῦ ἀπέτεμον, ἀχαρίστῳ νοσήματι τῷ θυμῷ χαριζόμενοι.

Χαρίζεσθαι. Gratificari. Communiter eo ſenſu dicitur, quo vulgus vocem illam accipit. Peculiariter vero de muliere dicitur, quæ viro porrigit, vel ſui copiam illi facit. Vel ſignificat, in diſputando alicui cedere. *Si tibi gratificari oportet.* Et iterum: *Ut tibi gratificer.* Et χαριζόμενοι, gratificantes, obſequentes. *Illi vero caput ejus amputarunt, ingrato morbo, iræ, obſequentes.*

1 Δημοποιήτῃ] Scribendum puto, Δημοποιήτῳ: ut ſit nomen fabulæ. Demoſtrati autem hujus vix alibi mentionem factam reperias.

2 Ἐξηπάτησεν ἡ χ.] Ariſtoph. *Veſpis*, pag. 523.

Εἶτα νῦν ἐξηπάτησεν ἡ χάραξ τὴν ἄμπελον.

3 Πάθῃ] Lege, ἀπατηθῇ; ut apud Scholiaſtam ad modo indicatum locum Ariſtophanis, itemque Euſtathium ad Il. Σ. pag. 1163. 32.

4 Χάραξος] Vide ſupra v. Αἴσωπος, & v. Ἰάδμων.

5 Χαριεντίζεις, καὶ καταπ.] Eſt fragmentum Ariſtophanis, ex fabula ejus *Gerytade* ſumptum, ut diſcimus ex Harpocratione v. Βωμολοχεύεσθαι.

6 Ἃ δὴ χαριεργὰ Παλλ.] Lego, Ἃ δὴ χαριεργῷ Παλλάδι: quam lectionem in verſione expreſſimus. Cæterum, fragmentum hoc decerptum eſt ex Epigrammate in fabrum lignarium, qui cum præ ſenio artem ſuam exercere amplius non poſſet, inſtrumenta, quibus ante uſus fuerat, Minervæ dedicat. Epigramma iſtud ex cod. MS. integrum exhibuimus ſupra v. Ἀμφίξοον.

7 Ἰδίως δὲ, ἐπὶ ἀφροδισίων] Vide Harpocrationem v. Ἀναίνεσθαι, & ibi Mauſſacum: itemque Gatakerum in Diſſertat. *de Stilo Nov. Teſt.* cap. XI.

Χαρίκλεια. ὄνομα κύριον. καὶ Χαρικλῆς, εἷς τῶν λ'.

Χάριν. τέρψιν. καὶ ἀντὶ τοῦ ἕνεκεν.

Χαρινάδης. ὄνομα κύριον. οὗτος νωθὴς ἦν. καὶ παροιμία. ¹Κρείττων ἐστί σου Χαρινάδης βαδίζειν. ἐπὶ τῶν βραδυνόντων ἐν τῇ πορείᾳ.

Χαριξένη. εὐήθης καὶ μωρὰ ἡ Χαριξένη, ἑταίρα. ²Ἀριστοφάνης· Οὐ γὰρ τἀπὶ Χαριξένης τάδε γ' ἐστί.

Χαρίωνος. ὄνομα κύριον.

Χάρις.

Χάρις³ χάριν γάρ ἐστιν ἡ τίκτουσ' ἀεί.

τουτέστιν, ἡ φύσις τὴν χάριν χάρις ἐστὶ προϋπάρξασα.

Χαρίσασθαι.⁴ ἀντὶ τοῦ κατορθῶσαι. Ὀλίγοις χαρίσασθαι. παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσι.

Χάρισι⁵ καὶ Ἀφροδίτῃ ξύντροφος ἡ διαλλαγή. τουτέστιν, ἡ εἰρήνη. διότι οἱ γάμοι καὶ αἱ ἑορταὶ ἐν καιρῷ τῆς εἰρήνης ἄγονται.

Χαρίσιον. χαριστήριον. Ταῦτα⁶ ἀναγεγράφθω μοι, χαρίσια ὀλίγα ἀντὶ πολλῶν ἀποδιδόντι. καὶ χαρίσιοι, πλακοῦντος εἶδος. Ἀριστοφάνης Δαιταλεῦσι· ⁷Πέμψω παλλακαῖς ἑσπέρας χαρισίους.

Χαριστίωνος. ὄνομα κύριον.

Χάριτας. τιμάς. εὐεργεσίας. Ὁ δὲ στέλλει Θεόδωρον, ὁμολογήσοντα χάριτας, ἀνθ' ὧν τὸν μέγιστον Ῥωμαίων πρεσβευτὴν ἐτίμησεν ἐς τὰ μάλιστα. Καὶ παροιμία· Αἱ Χάριτες γυμναί. ἤτοι ὅτι δεῖ ἀφελῶς καὶ ἀφανέρως χαρίζεσθαι. ἢ, ὅτι αἱ Χάριτες τὸν ἑαυτῶν κόσμον ἀφῄρηνται. τρεῖς δὲ αἱ Χάριτες, Πειθώ, Ἀγλαΐα, καὶ Εὐφροσύνη. τὰς Χάριτας γυμνὰς ἱστοροῦσι, διότι δωρεὰν δεῖ χάριτας τίθεσθαι.

Χαριταίνης. ὄνομα κύριον.

Χαριτία. ἡ χαρμονή.

Χαρίτων⁸ θρύμμα. καλλώπισμα.

Χαρίτων, καὶ Μελάνιππος. ἐν τῷ Ἀντέρως.

Χαρίτων, Χαρίτωνος. ὄνομα κύριον.

Χάρμα. χαρά. ἡδονή. Πολύβιος· ⁹Τὸν δὲ ἅμα χάρμα καὶ ἄλγος ἔλαβε φρένας.

Χαρίκλεια. Chariclea. Nomen proprium. Et Charicles, unus xxx. [Tyrannorum.]

Χάριν. Gratiam. Voluptatem. Item, gratia, cauſa, propter.

Χαρινάδης. Charinades. Nomen proprium. Hic tardus erat. Et proverbium: *Charinades celerius te incedit.* Dicitur in eos, qui tardo gradu ambulant.

Χαριξένη. Charixene. Hæc fuit meretrix fatua & ſtulta. Ariſtophanes: *Non enim ſub Charixene hæc ſiunt.*

Χαρίωνος. Charionis. [Genitivus, a recto Χαρίων.] Nomen proprium.

Χάρις. Gratia. *Gratia gratiam ſemper parit.* Id eſt, Beneficium ante collatum parit alterum beneficium.

Χαρίσασθαι. Gratificari. *Paucis eam gratificatam eſſe.* Apud Ariſtophanem *Equitibus.*

Χάρισι καὶ Ἀφρ. *Gratiarum & Veneris Pax eſt ſodalis.* Nuptiæ enim & feſta pacis tempore fiunt.

Χαρίσιον. Gratia, quæ refertur. Gratiæ relatio. *Hæc a me ſcripta ſint, ut pauca ſaltem munuſcula, grati animi mei teſtandi cauſa, pro multis beneficiis ipſi reddam.* Et Chariſiæ, placentæ genus. Ariſtophanes *Dætalenſibus: Mittam pellicibus veſpere placentas chariſias.*

Χαριστίωνος. Chariſtionis. [Genitivus, a recto Χαριστίων.] Nomen proprium.

Χάριτας. Gratias. Honores. Beneficia. *Ille vero mittit Theodorum, acturum gratias, quod maximum Romanorum legatum ſummis honoribus affeciſſet.* Et proverbium: *Gratiæ nudæ.* Vel, quia ſimpliciter & abſque oſtentatione benefaciendum eſt. Vel, quia Gratiæ ornatu ſuo ſpoliatæ ſunt. Tres autem ſunt Gratiæ, Pitho, Aglaia, & Euphroſyne. Gratias nudas eſſe narrant: quo ſignificatur, gratis eſſe benefaciendum.

Χαριταίνης. Charitænes. [Genitivus, a recto Χαριταίνη.] Nomen proprium.

Χαριτία. Gaudium. Lætitia.

Χαρίτων θρύμμα. Gratiarum deliciæ. Id eſt, venuſta, & elegans.

Χαρίτων. Chariton, & Menalippus. In voce Ἀντέρως.

Χαρίτων. Chariton, Charitonis. Nomen proprium.

Χάρμα. Gaudium. Voluptas. Lætitia. Polybius: *Illius vero animum ſimul gaudium & dolor invaſit.*

1 Κρείττων ἐστί σου Χαρ.] Ariſtoph. *Veſpis.* pag. 445. (318. Ed. Baſ. *P.*)

Νυνὶ δὲ κρείττων ἐστί σου Χαρινάδης βαδίζειν.

Huc Suidas reſpexit.

2 Ἀριστοφάνης] *Eccleſiaz.* pag. 752. (506. Ed. Baſ. *P.*) Confer Heſych. v. Ἐπὶ Χαριξένης.

3 Χάρις χάρ.] Eſt verſus Sophoclis in *Ajace*, pag. 31. ut Portus monuit.

4 Χαρίσασθαι. ἀντὶ τοῦ κατορθῶσαι] Ineptiſſime. Quis enim ſibi perſuadeat, τὸ χαρίσασθαι unquam poni pro κατορθῶσαι? Quare, ut oſcitantia Compilatoris pateſcat, & ſimul locus hic recte intelligatur, conſulendus eſt Scholiaſtes Ariſtoph. ad *Equit.* pag. 318. (218. Ed. Baſ. *P.*) unde hæc ſumpta ſunt.

5 Χάρισι καὶ Ἀφροδίτῃ ξύντρ.] Hæc ſunt verba Ariſtophanis in *Pace*. Confer Noſtrum ſupra v. Διαλλαγή.

6 Ταῦτα ἀναγεγρ.] Confer Noſtrum ſupra v. Ἀσκληπιόδοτος: ubi locum integrum habes.

7 Πέμψω παλλακαῖς ἑσπ.] Ut metro conſulatur, ſcribendum eſt, Πέμψω πλακοῦντας ἑσπέρας χαριτίους: ut recte monuit incomparabilis Rich. Bentlejus ad Frag. Callim. 193. Cæterum, fragmentum hoc Ariſtophanis exſtat etiam apud Athenæum lib. xiv. pag. 646. ubi ſic legitur:

——— Ἐγὼ δὲ νῶν

Πέμψω πλακοῦνθ' ἑσπέρας χαρίσιον.

Metrum & illic claudicat, quod modo laudatus vir mihi amiciſſimus ſic reſtituit:

Πέμψω πλακοῦντ' ἐς ἑσπέραν χαρίσιον.

8 Χαρίτων θρύμμα] Reſpexit Suidas ad locum Ariſtophanis *Eccleſiaz.* pag. 752. ubi hodie legitur, Χαρίτων θρέμμα. Sed θρύμμα agnoſcit etiam Suidas ſupra v. Θρύψις. Utraque lectio ſatis commoda eſt. Nam θρέμμα eſt *alumna*: at θρύμμα *deliciæ*; a θρύπτομαι, delicias facio.

9 Τὸν δὲ ἅμα χ.] Merito Caſaubonus dubitat, an hæc ex Polybio ſumpta ſint. Sunt enim ποιητικώτερα.

Χάρμη. μάχη.

Χάρμος,[1] Συρακούσιος, εἰς ἕκαστον τῶν ἐν τοῖς δείπνοις παρατιθεμένων στιχίδια καὶ παροιμίας ἔλεγε. [2] Κλέαρχος δὲ ὁ Σολεὺς Δειπνολογίαν καλεῖ τὸ ποίημα. ἄλλοι, Ὀψολογίαν. Χρύσιππος, Γαστρονομίαν. ἄλλοι, Ἡδυπάθειαν.

Χαροπός. [3] περιφερής. εὐόφθαλμος.

Χάρωψ. καὶ κλίνεται, Χάρωπος.

Χάρων. ὁ θάνατος. καὶ [4] πορθμευτικῶς παρὰ Χάρωνος πεύσεις καὶ κηρύγματα·

Τίς [5] εἰς ἀναπαύλας ἐκ κακῶν καὶ πραγμάτων;
Τίς εἰς τὸ Λήθης πεδίον;

Χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον· ὡς καὶ τὸν Αὔκνου λίθον. Τίς εἰς ὄνου πόκας; οὕτω λέγουσι τὸ ἄχρηστον. οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκαι χρησιμεύουσι. λέγεται δὲ καὶ ἐπὶ τῶν ἀνηνύτων ἡ παροιμία· ἐν ᾧ τρόπῳ φασί, χύτραν ποικίλλεις. ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. διὰ τοῦτο οὖν ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς.

Χάρων[6] Λαμψακηνός, υἱὸς Πυθοκλέους, γενόμενος κατὰ τὸν πρῶτον Δαρεῖον, οθʹ. ὀλυμπιάδι. μᾶλλον δὲ ἦν ἐπὶ τῶν Περσικῶν, κατὰ τὴν οεʹ. ὀλυμπιάδα· ἱστορικός. ἔγραψεν Αἰθιοπικά. Περσικά, ἐν βιβλίοις βʹ. Ἑλληνικά, ἐν βιβλίοις δʹ. Περὶ Λαμψάκου, βʹ. Λιβυκά. Ὅρους Λαμψακηνῶν, ἐν βιβλίοις δʹ. Πρυτάνεις, ἢ Ἄρχοντας τοὺς τῶν Λακεδαιμονίων. ἔστι δὲ χρονικά. Κτίσεις πόλεων ἐν βιβλίοις βʹ. Κρητικά, ἐν βιβλίοις γʹ. λέγει δὲ καὶ τοὺς ὑπὸ Μίνωος τεθέντας νόμους. Περίπλουν τὸν ἐκτὸς τῶν Ἡρακλείων στηλῶν.

Χάρων Καρχηδόνιος, ἱστορικός. ἔγραψε Τυράννους, ὅσοι ἐν τῇ Εὐρώπῃ καὶ Ἀσίᾳ γεγόνασι. Βίους ἐνδόξων ἀνδρῶν, ἐν βιβλίοις δʹ. Βίους ὁμοίως γυναικῶν, ἐν δʹ.

Χάρων Ναυκρατίτης, ἱστορικός. Ἱερεῖς τοὺς ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν Αἰγύπτῳ, καὶ τὰ ἐπὶ ἑκάστου πραχθέντα. Βασιλεῖς τοὺς ἐκ παλαιοῦ γεγονότας ἐν ἑκάστῳ ἔθνει. καὶ περὶ Ναυκράτεως, καὶ ἄλλα τινὰ περὶ Αἰγύπτου.

Χαρώνδας. ὄνομα κύριον.

Χαρώνειος[7] θύρα. μία τῆς Νομοφυλακίου θύρα, δι' ἧς οἱ κατάδικοι τὴν ἐπὶ θάνατον ἐξάγονται. καὶ Ἀριστοφάνης ἐν Πλούτῳ· Ὁ δὲ Χάρων τὸ ξύμβολον δίδωσιν. ἀντὶ τοῦ, μέλλεις ἀποθανεῖν.

Χαρτά. χαρᾶς ἄξια. Σύμβολον φρονήσεως, τὸ διακριτικὸν τῶν χαρτῶν καὶ λυπηρῶν.

Χαρτόν. [8] Σοφοκλῆς·

Χαίρειν δὲ τὸν κήρυκα προὐννέπω, χρόνῳ
Πολλῷ φανέντα, χαρτὸν εἴ τι καὶ φέρει.

Χάρμη. Pugna. Prælium.

Χάρμος. Charmus, Syracuſanus, in ſingula opſonia, quæ convivis apponebantur, verſiculos & proverbia in promptu habebat. Clearchus vero Solenſis poema illud *Dipnologiam* vocat. Alii, *Opſologiam*. Chryſippus, *Gaſtronomiam*. Alii, *Hedypathiam*.

Χαροπός. Vultum habens lætum. Pulchris oculis præditus.

Χάρωψ. [Idem, quod χαροπός.] Declinatur, χάρωπος, [per ω in ſyllaba penultima.]

Χάρων. [Charon. Portitor mortuorum. Item,] mors. [Apud Ariſtophanem] Charon portitorum more percontatur & proclamat: *Quis ad quietem ex malis & moleſtiis* [*migrare cupit?*] *Quis ad campum Oblivionis?* Locum apud Inferos ita dictum finxit: ut & Auxni ſaxum. *Quis ad aſini lanas?* Sic vocant id, quod prorſus inutile eſt. Aſini enim lanæ nullius omnino ſunt uſus. Dicitur item proverbium hoc de rebus irritis & vanis: quemadmodum & illud, *Ollam pingis*. Vana enim ſunt ea, quæ ſunt apud Inferos. Propterea aſini lanas poetice confinxit.

Χάρων. Charon Lampſacenus, filius Pythoclis, qui tempore primi Darii floruit, Olymp. LXXIX. Vixit autem potius belli Perſici temporibus, Olympiad. LXXV. Hiſtoricus. Scripſit Æthiopica. Perſica, lib. II. Græca, lib. IV. De Lampſaco, lib. II. Libyca. Fines Lampſacenorum, lib. IV. Prytanes, aut Archontes Lacedæmoniorum: quod opus eſt Chronologicum. Origines urbium, lib. II. Cretica, lib. III. in quo opere etiam leges a Minoe latas refert. Navigationem circa oram maritimam extra columnas Herculis.

Χάρων. Charon Carthaginenſis, hiſtoricus. Scripſit de Tyrannis, quotquot in Europa & Aſia fuerunt. Vitas illuſtrium virorum, lib. IV. Mulierum item vitas, lib. IV.

Χάρων. Charon Naucratita, hiſtoricus. Scripſit de Sacerdotibus Alexandrinis & Ægyptiis, & res ſub unoquoque geſtas. De Regibus, qui priſcis temporibus in unaquaque gente fuerunt. De Naucrate. Item, alia quædam de Ægypto.

Χαρώνδας. Charondas. Nomen proprium.

Χαρώνειος θύρα. Janua Charonia. Erat janua illa Nomophylacii, per quam damnati ad ſupplicium educebantur. Et Ariſtophanes *Pluto: Charon vero ſignum dat*. Id eſt, mox moriturus es.

Χαρτά. Gaudio digna. *Prudentiæ ſignum eſt, ſi quis diſcernere queat ea, quibus gaudendum, & quibus dolendum ſit.*

Χαρτόν. Gaudio dignum. Lætum. Gratum. Sophocles: *Salvere præconem jubeo, multo poſt tempore ad nos reverſum; ſi quid modo*

1 Χάρμος, Συρακούσιος, εἰς ἕκαστον τ.] Hæc ſumpta ſunt ex Athenæi *Dipnoſoph.* lib. I. pag. 4.

2 Κλέαρχος δὲ ὁ Σολεὺς Δειπνολ.] Hæc male ſuperioribus attexuit Compilator. Pertinent enim ad Archeſtratum, non vero ad Charmum: ut ex loco laudato Athenæi patet.

3 Περιφερής] Optimus MS. A. recte περιχαρής. Et ſic Heſychius.

4 Καὶ πορθμευτικῶς παρὰ Χ.] Confer Noſtrum ſupra, v. Ἀνάπαυλαν, & v. Τίς εἰς ἀνάπαυλαν.

5 Τίς εἰς ἀναπ.] Ariſtoph. in *Ranis*, pag. 220. (137. Ed. Baſ. P.) Vide ibi Scholiaſtam, qui eadem habet, quæ hic Suidas.

6 Χάρων Λαμψ.] De eo vide Voſſium in opere *de Hiſt. Gr.*

7 Χαρώνειος θύρα. μία τ.] Eadem legas apud Zenobium, Pollucem, & Heſychium.

8 Σοφοκλῆς] *Trachin.* pag. 339. ut Portus monuit.

Ὁ [1] αὐτός·

Χαίροις ἄν, εἴ σοι χαρτὰ τυγχάνοι τάδε.

lætum affers. Idem: *Læteris; ſi modo hæc gaudio digna tibi videantur.*

Χαρτοφυλάκιον. τὰ παρὰ τὸ φυλάσσω ἅπαντα, διὰ τοῦ ι γράφεται, καὶ προπαροξύνεται· οἷον χαρτοφυλάκιον, θησαυροφυλάκιον, σκευοφυλάκιον, καὶ τὰ τούτοις ὅμοια. πλὴν τοῦ σιτοφυλακείου.

Χαρτοφυλάκιον. Chartophylacium. Sive, ſcrinium, in quo chartæ, vel tabulæ, & ſcripta aſſervantur. Omnia nomina a φυλάσσω deducta, per ι ſcribuntur, & acuto notantur in ſyllaba antepenultima: ut χαρτοφυλάκιον, θησαυροφυλάκιον, σκευοφυλάκιον, & alia his ſimilia. Excipitur autem σιτοφυλακεῖον.

Χάρυβδις. ἡ ἀναπινομένη θάλασσα περὶ τὰ Γάδειρα, καὶ πάλιν ῥαγδαίως ἐπαναστρέφουσα. εἴρηται δὲ παρὰ τὸ εἰς χάος καὶ ὄλεθρον κατάγειν. Πρίσκος δὲ λέγει περὶ Χαρύβδεως· Παραπλέουσι δὲ τὴν Σικελίαν πρὸς τῇ Μεσσήνῃ κατὰ τὸν πορθμὸν τῆς Ἰταλίας, ἐν ᾧπερ ἡ Χάρυβδις, πνευμάτων ἐπιλαβόντων δυσαῶν, αὐτοῖς ἀνδράσι κατέδυσαν. † Ὅτι Χάρυβδις καὶ Σκύλλα, ἐν στενῷ τόπῳ κειμένη, ὑποδέχεται τὰ τοῦ ὠκεανοῦ ῥεύματα, καὶ τοὺς παραπλέοντας βυθίζει. ἐκεῖσε Ὀδυσσεὺς πάντας τοὺς ἑταίρους μετὰ τῶν πλοίων ἀποβαλὼν, αὐτὸς μόνος περικαθίσας σανίδι ἐν τοῖς ῥεύμασι τῆς θαλάσσης ἐφέρετο. τοῦτον ἑωρακότες Φοίνικές τινες ἐν τοῖς ὕδασι πλέοντα, ἀναλαβόντες ἤγαγον ἐν Κρήτῃ πρὸς Ἰδομενέα γυμνόν. τοῦτον ἐξενοδόχησε τῇ ὥρᾳ τοῦ χειμῶνος, καὶ ἀπέπεμψεν εἰς Φαιακίαν, τὴν νῦν λεγομένην Κέρκυραν. οἱ δὲ πέμπουσιν αὐτὸν σὺν δυσὶ ναυσὶ καὶ ἑταίροις.

Χάρυβδις. Charybdis. Mare juxta Gades, alternis æſtibus reciprocum. Dictum vero eſt inde, quod [navigantes] in chaos & perniciem attrahat. Et Priſcus de Charybdi dicit: *Cum autem Siciliam præternavigarent juxta Meſſanam in freto Italiæ, ubi Charybdis eſt, ingentibus coortis procellis, naves cum ipſis viris ſubmerſæ ſunt.* † Charybdis & Scylla, in auguſto freto ſitæ, undas Oceani abſorbent, & prætcrnavigantes ſubmergunt. Illic Ulyſſes omnibus ſociis & navibus amiſſis, ipſe ſolus tabulæ inſidens fluctibus maris jactatus eſt. Hunc Phœnices quidam in mari fluctuantem cernentes, nudum excipiunt, & ad Idomeneum in Cretam perducunt: qui eum tempore hyberno ædibus ſuis exceptum, in Phæaciam, quæ nunc Corcyra vocatur, tranſportandum curavit. Phæaces vero cum duabus navibus & ſociis cum [domum] mittunt.

Χασσάμενος. ἀναχωρήσας. [2] Ὅμηρος·

Ὁ δὲ χασσάμενος πελεμίχθη.

Τὰ ἐμπηγνύμενα τῇ ἀσπίδι δόρατα ἀναχωροῦντες διετίνασσον, ἵνα σκεδασθῇ.

Χασσάμενος. Recedens. Homerus: *Ille autem recedens clypeum concuſſit.* Haſtas enim clypeo infixas recedentes quatiebant, ut eas excuterent.

Χασμᾷ. μετεωροφρονεῖς. περὶ ἄλλα τὴν διάνοιαν ἔχεις. Καὶ, χασκάζεις. [3] Ἀριστοφάνης· Σὺ δὲ χασκάζεις τὸν Κωλακρέτην. καὶ, χασμήσῃ σύ.

Χασμᾷ. [Hias. Oſcitas.] De rebus ſublimibus cogitas. Mentem aliis rebus intentam habes. Et χασκάζεις, idem. Ariſtophanes: *Tu vero hianti ore Colacretam obſervas.*

Χάσμασιν. Οἱ δὲ Πάρθοι τὰς κεφαλὰς τῶν θηρείων ἁρμόσαντες τοῖς κράνεσιν, ἐχρῶντο τοῖς τῶν θηρείων χάσμασι.

Χάσμασιν. Hiatibus. Rictibus. *Parthi vero ferarum capita galeis adaptantes, eorum rictibus utebantur.*

Χαυλιόδων. [4] κεκλασμένους ἔχων τοὺς ὀδόντας καὶ ἐξέχοντας. καὶ ζῶα χαυλιόδοντα, τὰ φαίνοντα ἔξω τοὺς ὀδόντας· οἷον ἀσπάλαξ, ἐλέφας, σῦς, καὶ εἴ τι ἄλλο.

Χαυλιόδων. Dentes exertos habens. Et animalia χαυλιόδοντα dicuntur, quæ dentes exertos habent: ut talpa, elephas, aper, & ſi quod aliud animal.

Χαῦνον. ὑψηλόν. ἢ πλατὺ, καὶ μέγα. τὰ γὰρ χαῦνα εἰς πλάτος ἁπλοῦται. [5] Ἀριστοφάνης Ὄρνισιν· Ἐκ τῶν μετεώρων χωρίων χαῦνόν τι πάνυ. λέγεται δὲ καὶ τὸ ἀσθενές.

Χαῦνον. [Laxum.] Altum. Vel, amplum, & magnum. Quæ enim laxa ſunt, facile dilatantur. Ariſtophanes *Avibus: Ex ſublimi regione aeris [nomen aliquod] amplum valde [& ſonorum peti volo.]* Χαῦνον item dicitur, infirmum, molle, fungoſum.

Χαυνοπολίτας. [6] κεχαυνωμένους περὶ τὴν πολιτείαν, ἢ τὴν πόλιν.

Χαυνοπολίτας. Cives faſtu inflatos & tumidos.

Χαύνωσιν. τουτέστι, λύσιν τῶν δικῶν.

Πῶς [7] ἂν μάθοι ποτ' οὗτος ἀπόφευξιν δίκης,

Ἢ χαύνωσιν ἀναπειστηρίαν;

οἷον ἀπάτην, καὶ διακένῳ ῥήματι ἀναπείθουσαν τοὺς ἀκούοντας. παρὰ τὸ πείθειν τὴν δίκην.

Χαύνωσιν. [Proprie, laxationem, diſſolutionem. In ſubjuncto autem loco Ariſtophanis ſignificat,] rationem effugiendi judicia. *Quomodo hic diſcet unquam rationem effugiendi judicia, & inanem eloquentiam, vim perſuadendi habentem.* Vel, fallacem eloquentiam, verbis inanibus rem judicibus perſuadentem.

1 Ὁ αὐτός] In *Electra*, pag. 142. ut itidem a Porto obſervatum.
2 Ὅμηρος] Il. Δ. v. 535.
3 Ἀριστοφάνης] In *Veſpis*, pag. 480. (335. Ed. Baſ. *P.*)
4 Κεκλασμένους] Scribendum eſt κεχαλασμένους, ut & Portus monuit. Confer Heſychium, & Euſtathium ad Homerum.
5 Ἀριστοφάνης Ὄρνισι] Pag. 579. (400. Ed. Baſ. *P.*) ubi ſic legitur:

Ἐκ τῶν νεφελῶν καὶ τῶν μετεώρων χωρίων
Χαῦνόν τι πάνυ βέλει. Νεφελοκοκκυγίαν.

6 Χαυνοπολίτας. κεχαυν.] Ex Scholiaſte Ariſtoph. ad *Acharnenſ.* pag. 401.
7 Πῶς ἂν μάθοι ποθ' οὗ.] Ariſtoph. *Nubibus*, pag. 174. (105. Ed. Baſ. *P.*) Confer Noſtrum ſupra v. Ἀναπειστηρίαν, ubi eadem leguntur.

Χαύνας.[1] ἄρτους ἐλαίῳ ἀναφυραθέντας κριθίνους. ἢ λάχανα ὀπτά.

Χαῖον.[2] χαῖόν ἐστιν ἡ καμπύλη βακτηρία, ᾗ ποιμένες χρῶνται.

Χαιρέας. ὄνομα κύριον.

Χαιρέκακος. ὁ χαίρων τοῖς κακοῖς.

Χαιρέτω λήρων. ἐρρέτω φλυαρῶν. καὶ χαίρειν, οἰμώζειν.

Χαῖρε φίλον φῶς. γυναῖκα βουλομένην ἀκολασταίνειν, σβέσασαν τὸν λύχνον, φασὶ τοῦτο εἰπεῖν. οἱ δὲ, αἰσχράν. ἄλλοι, γραῦν.

Χαιρεφῶν. Ἀθηναῖος, τὸν δῆμον Σφήττιος, φιλόσοφος, Σωκράτους ἀκουστής.

Χαιρεφῶν.[3] τῶν ἄγαν γνωρίμων Σωκράτους ὁ Χαιρεφῶν. οὐδὲν δὲ αὐτοῦ δοκεῖ σώζεσθαι τῶν συγγραμμάτων. δοκεῖ γὰρ γενέσθαι πάνυ θερμὸς, καὶ σφόδρα ἐχθρεῦσαι τἀδελφῷ. καὶ φησὶ [4] Ξενοφῶν, Σωκράτην συνάγοντα αὐτοὺς λέγειν, ὡς οὐδὲν ὀφθαλμῶν ὄφελος εἴη, εἰ μὴ συμφωνοῖεν, οὐδὲ χειρῶν, οὐδὲ ποδῶν.

Χαιρεφῶν. ἐπὶ τῶν ὠχρῶν καὶ ἰσχνῶν. καὶ παροιμία·

Οὐδὲν[5] διοίσεις Χαιρεφῶντος τὴν φύσιν.

ἦν γὰρ ἰσχνὸς καὶ ὠχρὸς τὴν ἰδέαν, ἅτε σοφίᾳ συντηκόμενος. ὅθεν καὶ Νυκτερὶς ἐκαλεῖτο.

Χαίρειν. οἰμώζειν. στενάζειν.

Χαίρειν. τοῦτο ἐπὶ προσαγορεύουσιν ἀπαλλαττομένων, ἢ προσερχομένων. ἐτίθετο δὲ κατ' ἀρχὰς τῶν ἐπιστολῶν.

Χαίρειν. πρόσρημα. ὀψὲ ταῖς ἐπιστολαῖς τοῦτο προστεθῆναι τινὲς νομίζουσιν· ἁπλῶς δ' οὕτως ἀλλήλοις πρότερον ἐπιστέλλειν, οἷον, Ἄμασις Πολυκράτει τάδε λέγει. [6] πρῶτον δὲ Κλέωνα φησὶν Εὔβουλος ὁ κωμικὸς οὕτως ἐπιστεῖλαι τοῖς Ἀθηναίοις ἀπὸ Σφακτηρίας, ἐφ' ᾧ καὶ ὑπερησθῆναι· ἀγνοῶν, ὅτι καὶ οἱ παλαιοὶ ἐχρῶντο, καὶ προσηγόρευον οὕτως ἀλλήλους, οὐ μόνον τὸ πρῶτον ἐντυγχάνοντες, ὡς ἡμεῖς· ἀλλὰ καὶ διαλυόμενοι ἀπ' ἀλλήλων, ἀντὶ τοῦ ὑγιαίνειν, καὶ ἐῤῥῶσθαι, χαίρειν διεκελεύοντο ἀλλήλοις. † [7] Ὥσπερ οἱ ὄρνιθες, ἃ μανθάνουσι παρὰ τῶν ἀνθρώπων. τὸ γὰρ χαῖρε, καὶ τὸ εὖ πράττειν, καὶ τὸ, Ζεὺς ἵλεως, καὶ τὰ τοιαῦτα οἱ ὄρνιθες εὔχονται, οὔτε εἰδότες ὅ, τι λέγουσιν, οὔτε διακείμενοι πρὸς τοὺς ἀνθρώπους, ἀλλὰ ἐῤῥυθμισμένοι τὴν γλῶσσαν.

Χαίρειν. [8] ἀρχαῖον ἔθος τὸ ἐπιστολαῖς προστιθέ-

Χαύνας. Panes hordeaceos oleo mixtos. Vel, olera aſſata.

Χαῖον. Curvus baculus, quo paſtores utuntur. Pedum.

Χαιρέας. Chæreas. Nomen proprium.

Χαιρέκακος. Gaudens malis [alienis.]

Χαιρέτω λήρων. Gaudeat ſuis nugis. Valeat cum ſuis nugis. Et, χαίρειν [λέγω τινὶ,] aliquem valere jubeo: idem eſt, ac] οἰμώζειν [λέγω] i.e. plorare jubeo.

Χαῖρε φίλον φῶς. Vale clara lux. Mulierem, cum rebus venereis operari vellet, exſtincta lucerna hoc dixiſſe ferunt. Eam vero alii deformem; alii vetulam fuiſſe ajunt.

Χαιρεφῶν. Chærephon, Athenienſis, populo Sphettius, Philoſophus, Socratis auditor.

Χαιρεφῶν. Chærephon, unus eorum, qui Socrati maxime familiares fuerunt. Hujus nullum ſcriptum exſtare dicitur. Creditur autem valde fervidus fuiſſe, & graves cum fratre inimicitias exercuiſſe. Xenophon vero dicit, Socratem eos conciliare volentem, dixiſſe, nullum eſſe oculorum, nec manuum, nec pedum uſum, niſi concordes ſint.

Χαιρεφῶν. Chærephon. Dicitur de pallidis & macilentis. Et proverbium: *Specie corporis nihil differes a Chærephonte.* Erat enim macilentus, & vultu pallidus; quippe qui philoſophiæ ſtudio intabuerat. Quare etiam Veſpertilio vocabatur.

Χαίρειν. [Proprie, gaudere, valere. At per antiphraſin,] lugere, plorare, gemere.

Χαίρειν. Salvere. Valere. Eſt vox, qua abeuntes vel advenientes ſe invicem ſalutant. Eadem vox in principiis epiſtolarum etiam ponebatur.

Χαίρειν. Gaudere. Salvere. Quidam hanc ſalutationem epiſtolis ſero additam fuiſſe putant. Olim enim alios aliis ita ſimpliciter ſcribere conſueviſſe, *Amaſis Polycrati hæc dicit.* Eubulus vero Comicus dicit, primum Cleonem ex inſula Sphacteria ſic Athenienſibus ſcripſiſſe, eaque formula ſalutandi valde delectatum fuiſſe; ignorans, veteres quoque ea uſos fuiſſe, & ita ſe mutuo ſalutare conſueviſſe, non ſolum cum primum congrederentur, ut nos; ſed etiam, cum a ſe invicem diſcederent, pro *Vale* dicentes *Salve.* † [*Dogmata Pythagorica ita noverat,*] *ut aves ea, quæ ab hominibus docentur. Nam, Salve, &, Felix ſis, & Jupiter tibi propitius ſit, & alia hujuſmodi aves precantur, neque ſcientes ea, quæ dicunt, neque ex ullo erga homines affectu, ſed tantum lingua voces humanas imitari doctæ.*

Χαίρειν. Gaudere. Salvere. Mos fuit anti-

1 Χαύνας] Videtur Grammaticus reſpexiſſe ad *Jerem.* XLIV. v. 19. Ἐποιήσαμεν αὐτῇ χαυῶνας. καὶ ἐσπείσαμεν αὐτῇ σπονδάς. Etymologus habet, χάνωνας: at Heſychius, χαυῶνες; quæ vera lectio videtur.

2 Χαῖον] Confer Etymologum, qui plura habet.

3 Χαιρεφῶν. τῶν ἄγαν γνωρίμων Σωκρ.] Eadem leguntur apud Scholiaſtam Ariſtophanis ad *Nubes*, pag. 131. (67. Ed. Baſ. *P.*)

4 Ξενοφῶν] Lib. II. Ἀπομνημονευμάτων.

5 Οὐδὲν διοίσεις Χαιρεφῶντ.] Eſt verſus Ariſtophanis in *Nubibus*, pag. 155. (88. Ed. Baſ. *P.*) Vide etiam ſupra v. Διοίσειν, ubi eadem leguntur.

6 Πρῶτον δὲ Κλέωνα φησὶν Εὔβ.] Confer Scholiaſtam Ariſtophanis ad *Plutum*, pag. 36.

7 Ὥσπερ οἱ ὄρνιθες, ἃ μανθ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Philoſtrati lib. I. *de Vit. Apoll.* cap. XV. pag. 8. ut Pearſonius obſervaverat.

8 Ἀρχαῖον ἔθος τὸ ἐπιστολ.] Scholiaſtes Ariſtophanis ad *Nubes*, pag. 163. Ἀρχαῖον ἦν ἔθος προστιθέναι ἐν ταῖς ἐπιστολαῖς χαίρειν. οὐ γὰρ, ὥς τινες, Κλέων οὕτω πρῶτος ἐπέστειλεν Ἀθηναίοις ἐκ Σφακτηρίας.

καὶ τὸ χαίρειν. οἱ δὲ λέγοντες πρῶτον Κλέωνα χρήσασθαι τούτῳ, ψεύδονται.

Χαίρειν, εὖ πράττειν, πολλὰ φρονεῖν. προσρήματα. [1] οἱ δὲ, χαίρειν, οἰμώζειν, στενάζειν.

Χαίρειν. οὕτως [2] ἐπέγραφε Κλέων. ὁ δὲ Πλάτων, Εὖ πράττειν. ὁ δὲ Ἐπίκουρος, Εὖ διάγειν.

Χαίρειν εἰπών. ἀντὶ τοῦ καταλιπών. Ὁ δὲ δι' ἄλλης ὁδοῦ παρεγένετο, τῇ Μισσιανῇ χαίρειν εἰπών.

Χαίρειν, ἤν τε βούλησθε, ἤν τε μή. ἀντὶ τοῦ, παντὶ τρόπῳ. Ἀριστοφάνης Πλούτῳ·

Πάρεστι χαίρειν, ἤν τε βούλησθ', ἤν τε μή.

Καὶ ἔτι ὁ αὐτός·

[3] Χαίρειν μὲν ὑμᾶς, ἐστὶν, ὦ ἄνδρες δημόται,
Ἀρχαῖον ἤδη προσαγορεύειν, καὶ σαπρόν.

Χαίρειν φράσαντες. ἀποταξάμενοι. καταγνόντες.

Χαιρηδόνος. χαρᾶς. τὸν τόνον δὲ, ὡς ἀλγηδόνος. ὡς γὰρ ἀπὸ τοῦ ἀλγῶ, ἀλγήσω μέλλοντος, ἀλγηδὼν, ἀλγηδόνος· οὕτω καὶ ἀπὸ τοῦ χαίρω, χαιρηδὼν, χαιρηδόνος.

Χαιρήμων, [4] κωμικός. τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· [5] Τραυματίας, ὡς Ἀθήναιός φησιν. [6] Οὐρεύς. Ἀλφεσίβοια. Κένταυρος. Διόνυσος. Ὀδυσσεύς. Θυέστης. Μινύαι. καὶ ἕτερος Χαιρήμων, γράψας Ἱερογλυφικά.

Χαιριδεῖς. [7] ὑπὸ τοῦ Χαίριδος πεπαιδευμένοι. ἢ μελετῶντες. Χαῖρις δὲ, αὐλητὴς Θηβαῖος ἄμουσος. οὕτω δὲ λέγουσιν Ἀττικοὶ ἀπὸ τοῦ Χαίριδος, Χαιριδεῖς, καὶ ἀπὸ τοῦ πρεσβεῦς, πρεσβειδεῖς. οὗτος δὲ ηὔλει ἐν ταῖς θυσίαις. [8] ἦν δὲ κιθαρῳδός. Ἀριστοφάνης·

Ὡς, ἢν Χαῖρις ὑμᾶς ἴδῃ,
Πρόσεισιν, αὐλήσων ἄκλη-
τος. ———

Καὶ παροιμία· [9] Χαῖρις ᾄδων ὄρθιον. Ὄρθιος δὲ, αὐλητικὸς νόμος, οὕτω καλούμενος, οἷον εὔτονος, καὶ ἀνάτασιν ἔχων. καὶ [10] Ὅμηρος·

Ἔνθα στᾶσ' ἤϋσε Θεὰ μέγα τε, δεινόν τε,
Ὄρθι' Ἀχαιοῖσι.

Χαῖρις. [11] κιθαρῳδός. μνημονεύει δὲ αὐτοῦ καὶ Φερεκράτης ἐν [12] Ἀγροῖς·

Φέρ' ἴδω, κιθαρῳδὸς τίς κάκιστος ἐγένετο;
Πεισιμελὴς [13] μετὰ Μέλιτον. ἦν. ἔχ' ἀτρέμας.
Ἐγᾦδα. Χαῖρίς ἐστι. ———

Καὶ ἕτερος, οὗ μνημονεύει Κρατῖνος ἐν Νεμέσει.

quus, epiſtolis addere τὸ χαίρειν. Qui vero dicunt Cleonem primum eo uſum fuiſſe, falluntur.

Χαίρειν, εὖ πράττειν, & πολλὰ φρονεῖν, ſunt formulæ ſalutandi. Interdum vero χαίρειν [per antiphraſin ſignificat,] lugere, plorare, gemere.

Χαίρειν. Salve. Hanc formulam ſalutandi in epiſtolis ſuis adhibebat Cleon. Plato vero, εὖ πράττειν: & Epicurus, εὖ διάγειν.

Χαίρειν εἰπών. Qui valedixit. Qui valere juſſit. Qui aliquid reliquit. *Ille vero per aliam viam advenit, cum Miſſianæ valedixiſſet.*

Χαίρειν. Gaudere. Ariſtophanes *Pluto: Licet jam vobis gaudere, ſive velitis, ſive nolitis.* Et idem alibi: *Salvere vos jubere, o viri populares, antiqua ſalutatio eſt, & putida.*

Χαίρειν φράσαντες. Qui valedixerunt. Qui aliquid damnarunt. [Qui in malam rem abire juſſerunt.]

Χαιρηδόνος. Gaudii. Lætitiæ. Eodem effertur accentu, quo nomen ἀλγηδόνος, i. e. doloris. Ut enim ab ἀλγῶ, deducitur Futurum ἀλγήσω; unde ἀλγηδὼν, dolor: ſic a χαίρω, χαιρήσω, χαιρηδὼν, χαιρηδόνος. Gaudium. Lætitia.

Χαιρήμων. Chæremon. Comicus. Ex ipſius fabulis ſunt & iſtæ: Traumatias, ut Athenæus ait: Ureus, Alpheſibœa, Centaurus, Bacchus, Ulyſſes, Thyeſtes. Minyæ. Fuit & alter Chæremon, qui ſcripſit Hieroglyphica.

Χαιριδεῖς. Quaſi dicas, pulli Chæridis. Id eſt, a Chæride inſtituti: ſive, diſcipuli Chæridis. Vel, qui meditantur. Chæris autem fuit tibicen Thebanus, & indoctus. Attici vero a Χαῖρις formant Χαιριδεῖς, ut a πρέσβεα, πρεσβειδεῖς. Hic Chæris in ſacrificiis tibia canebat. Fuit & alter, citharœdus. Ariſtophanes: *Nam ſi Chæris vos viderit, accedet invocatus, carmen tibia modulaturus.* Et proverbium: *Chæris canens orthium modum.* Sic dicebatur modus tibiæ acutus & intenſus. Et Homerus: *Ibi ſtans Dea, magna terribilique & intenſa voce Achivis acclamavit.*

Χαῖρις. Chæris, citharœdus. Ejus mentionem facit & Pherecrates in *Agris: Eja videam, citharœdus quis peſſimus fuerit. Meles: & poſt Meletem, (tace; novi enim) Chæris eſt.* Fuit & alter, cujus meminit Cratinus in *Nemeſi.*

1 Οἱ δὲ, χαίρειν, οἰμώζειν] Nimis præciſe hæc Grammaticus. Senſus autem eſt, μακρὰν χαίρειν φράσαι, i. e. aliquem longum valere jubere, idem eſſe, ac, οἰμώζειν τινὶ λέγειν, aliquem plorare jubere.

2 Χαίρειν. οὕτως ἐπέγραφε Κλ.] Eadem leguntur apud Laertium in *Platone*, Num. 61. unde ea Suidas mutuatus eſt. Vide etiam ſupra v. Εὖ διάγειν.

3 Χαίρειν μὲν ὑμ.] Duo hi verſus Jambici leguntur apud Ariſtophanem *Pluto*, pag. 36. (19. Ed. Baſ. *P.*)

4 Κωμικός] Imo, Τραγικός. Tragicum enim expreſſe eum nominat Athenæus lib. XIII. pag. 562. Et nomina fabularum, quæ ſubjunguntur, Tragœdiæ potius quam Comœdiæ conveniunt.

5 Τραυματίας] Fabulæ hujus, & ſequentium, meminit Athenæus in *Dipnoſophiſtis.*

6 Οὐρεύς] Athenæus, Οἰνεύς.

7 Ὑπὸ τοῦ Χαίριδος πεπ.] Eadem leguntur apud veterem interpretem Comici ad *Acharnenſ.* pag. 413. (295. Ed. Baſ. *P.*)

8 Ἦν δὲ κιθαρῳδός] Scribe, ἦν δὲ καὶ ἕτερος, κιθαρῳδός.

9 Χαῖρις ᾄδων ὄρθιον] Ariſtoph. *Acharnenſ.* ſub initium:

Ὅτε δὴ παρέκυψε Χαῖρις ἐπὶ τὸν ὄρθιον.

Huc Suidas reſpexit.

10 Ὅμηρος] Il. Λ. v. 10. & 11.

11 Χαῖρις. κιθαρῳδός. μνημ.] Hæc omnia leguntur etiam apud Scholiaſtam Ariſtophanis ad *Aves*, pag. 582.

12 Ἐν Ἀγροῖς] Scribe, ἐν Ἀγρίοις. Vide Meurſium in *Bibliotheca Attica*, ubi Pherecratis fabulas recenſet.

13 Πεισιμελὴς μετὰ Μέλ.] Hæc corrupta ſunt. Apud Enarratorem Comici loco laudato ſic legitur: Πεισίου Μέλης. μετὰ Μέλητα ἦν, &c. Quod ſi ſequamur, Meles fuerit Piſiæ filius.

Χαίρομαι. Οἷς Δάτις ὁ Πέρσης, ἐπιτηδευόμενος ἑλληνίζειν, ἀντὶ τοῦ εἰπεῖν χαίρω, χαίρομαι εἶπε. καὶ ἔστι Δατισμός.

Χαίρω. δοτικῇ. τὸ εὐφραίνομαι. καὶ, χαίρω σε ἐληλυθότα. Ὠρωπικοὶ οὕτω λέγουσιν. Εὐριπίδης Σισύφῳ·

Χαίρω τέ γ', ὦ βέλτιστε Ἀλκμήνης τέκος,
Τόν τε μιαρὸν ἐξολωλότα.

καὶ χαιρούμενος.

Χαίρων, [1] Λακεδαιμόνιος· ὃς ἐπρέσβευσεν εἰς τὴν Ῥώμην, ἀνὴρ ἀγχίνους μὲν, καὶ πρακτικός· νέος δὲ, καὶ ταπεινὸς, καὶ δημοτικῆς ἀγωγῆς τετευχώς. οὗτος ὀχλαγωγῶν, καὶ κινήσας, ὃ μηδεὶς ἕτερος ἐθάῤῥει, ταχέως περιεποιήσατο φαντασίαν παρὰ τοῖς πολλοῖς. καὶ τὸ μὲν πρῶτον ἀφελόμενος τὴν χώραν, ἣν οἱ τύραννοι συνεχώρησαν ταῖς ὑπολειφθείσαις τῶν τυράννων ἀδελφαῖς, καὶ γυναιξὶ, καὶ μητράσι, καὶ τέκνοις· ταύτην διέδωκε τοῖς λιτοῖς εἰκῇ καὶ ἀνίσως, κατὰ τὴν ἰδίαν ἐξουσίαν. μετὰ δὲ ταῦτα τοῖς κοινοῖς ὡς ἰδίοις χρώμενος, ἐξεδαπάνα τὰς προσόδους, οὐ νόμου στοχαζόμενος, οὐ κοινοῦ δόγματος, οὐκ ἄρχοντος. [2] ἐφ' οἷς ἀγανακτήσαντες, κατεστάθησαν Δοκιμαστῆρες τῶν κοινῶν κατὰ τοὺς νόμους. ὁ δὲ Χαίρων θεωρῶν τὸ γινόμενον, καὶ συνειδὼς ἑαυτῷ κακῶς κεχειρικότι τὰ τῆς πόλεως, τὸν ἐπιφανέστατον τῶν Δοκιμαστήρων Ἀπολλωνίδην, ἀποπορευόμενον ἡμέρας ἐκ βαλανείου, ἐξεκέντησε. τοῦ δὲ πλήθους ἀγανακτήσαντος ἐπὶ τοῖς γεγονόσιν, ὁ στρατηγὸς παραγενόμενος εἰς Λακεδαίμονα, τὸν Χαίρωνα παρήγαγεν εἰς κρίσιν ὑπὲρ τοῦ φόνου, τοῦ κατὰ τὸν Ἀπολλωνίδην. καὶ κατακρίνας, ἐποίησε δέσμιον· τούς τε λοιποὺς Δοκιμαστῆρας παρώξυνε πρὸς τὸ ποιεῖσθαι τὴν ζήτησιν τῶν δημοσίων ἀληθινήν. [3] Φροντίσας δὲ καὶ περικομίσασθαι τὰς οὐσίας τοὺς τῶν φυγάδων ἀναγκαίους πάλιν, ἃς ὁ Χαίρων αὐτῶν ἀφείλετο βραχεῖ χρόνῳ πρότερον.

Χαιρώνεια. πόλις. καὶ Χαιρωνεύς, Χαιρωνέως. Χαιρωνικόν.

Χαίρωνος. ὄνομα κύριον.

Χαῖται. αἱ τρίχες. αἱ κόμαι.

Χαιτήεις ἵππος. ὁ χαίτην τρέφων.

Χέδροπας. ὄσπρια. καὶ ἑνικῶς, χέδροψ, τὸ ὄσπριον. οὕτως Θουκυδίδης.

Χεζητιάων. βουλόμενος χέσαι. [4] Ἀριστοφάνης·

Εἴτε [5] Προκλείδης τις ὑμῶν τυγχάνει χεζητιῶν,
Οὐκ ἂν ἐξίδισεν εἰς θοἰμάτιον, ἀλλ' ἀνέπτατο,
Κἀποπαρδὼν, κἀναπνεύσας, αὖθις αὖ κατέπτατο.

Ἀντὶ τοῦ, ἀπεπάτησε. δοκεῖ ὁ [6] Προκλείδης πολιτικὸς εἶναι, καὶ λόγιος· ἄλλως δὲ καταισχημονῶν τῶν στρωμάτων. διὸ καὶ Χεσᾶς ἐλέγετο. καὶ [7] αὖθις Ἀριστοφάνης·

Χαίρομαι. [Pro χαίρω. Gaudeo.] Datis Perſa, cum Græce loqui conaretur, χαίρομαι dixit, pro χαίρω: & eſt Datiſmus.

Χαίρω. Gaudeo. Lætor. Dativo jungitur. Et, χαίρω σε ἐληλ. Gaudeo te veniſſe. Sic Oropici dicunt. Euripides *Siſypho: Lætor, optime Alcmenes fili, ſceleratum illum periiſſe.* Et χαιρούμενος, gaudens.

Χαίρων. Chæron, Lacedæmonius, qui Romæ legationem obierat, vir gnavus quidem ac ſolers, ſed tum temporis admodum juvenis, & infimæ ſortis, nec liberaliter educatus. Hic concionabundus cum eam rem commoviſſet, quam nemo tentare auſus fuerat, famam apud populum brevi ſibi comparavit. Ac principio quidem agrum, quem Tyranni ſororibus ac conjugibus exulum, matribuſque ac liberis conceſſerant, ipſe infimis hominibus temere atque inæqualiter pro arbitrio ſuo diviſit. Deinde publica pecunia quaſi privata abuſus, vectigalia decoquere cœpit, abſque ulla lege, aut publico decreto, aut magiſtratus auctoritate. Quam rem ægre ferentes nonnulli, effecerunt, ut Quæſtores ærarii publici legibus conſtituerentur. Id cum animadverteret Chæron, conſcius ſibi ipſe male adminiſtratæ publicæ pecuniæ, Apollonidem, qui Quæſtorum clariſſimus erat, interdiu e balneo redeuntem ſubmiſſis percuſſoribus interfecit. Cum igitur populus caſum hunc acerbe ferret, Prætor Lacedæmonem profectus, Chæronem comprehenſum cauſam dicere juſſit de Apollonidis cæde, damnatumque in carcerem conjecit: & reliquos Quæſtores hortatus eſt, ut de publica pecunia quæſtionem ſerio exercerent; utque operam darent, ut exulum propinquis bona nuper a Chærone adempta reſtituerentur.

Χαιρώνεια. Chæronea. Urbs [Bœotiæ.] Et Χαιρωνεύς, Chæronenſis. Et Χαιρωνικὸν, Chæronicum.

Χαίρωνος. Chæronis. [Genitivus, a recto Χαίρων.] Nomen proprium.

Χαῖται. Crines. Capilli. Comæ.

Χαιτήεις ἵππος. Equus comam alens. Equus comatus, vel jubatus.

Χέδροπας. Legumina. Et in ſingulari numero, χέδροψ, legumen. Ita Thucydides.

Χεζητιάων. Cacaturiens. Cacare cupiens. Ariſtophanes: *Et ſi aliquis veſtrum Patroclides ſit cacaturiens, non cacet in pallium, ſed avolet, &, poſtquam pepedit, & reſpiravit, rurſus devolet.* Videtur Patroclides vir civilium negotiorum peritus fuiſſe, & doctus: cæterum, lectum ſtercore fœdaſſe. Unde & Cacator dictus eſt. Et iterum Ari-

1 Χαίρων, Λακεδαιμόνιος· ὃς ἐπρέσβ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, ſunt verba Polybii, quæ leguntur in Collectaneis Conſtantini Porphyr. a Valeſio editis, pag. 121, 122.

2 Ἐφ' οἷς ἀγανακτήσαντες, κατεσ.] In modo laudatis Collectaneis Conſtantini rectius ſic legitur, ἐφ' οἷς τινες ἀγανακτήσαντες ἐσπούδαζον κατασταθῆναι Δοκιμαστῆρας.

3 Φροντίσας δὲ καὶ περικομίσασθαι] Scribe, Φροντίσας δὲ καὶ περὶ τοῦ κομίσασθαι; ut legitur in modo laudatis Collectaneis Conſtantini.

4 Ἀριστοφάνης] *Avibus*, pag. 578. (399. Ed. Baſ. *P.*)

5 Προκλείδης] Apud Ariſtophanem recte, Πατροκλείδης. Error natus ex abbreviatione vocis.

6 Προκλείδης] Et hic Πατροκλείδης ſcribendum.

7 Καὶ αὖθις Ἀριστοφάνης] *Eccleſiaz.* pag. 734. (493. Ed. Baſ. *P.*)

'Ari-

Ἀντισθένη τις καλεσάτω πάσῃ τέχνῃ.
Οὗτος γὰρ ἀνὴρ ἕνεκά γε στεναγμάτων,
Οἶδεν τί πρωκτὸς βούλεται χεζητιῶν.

Οὗτος ὁ Ἀντισθένης ἰατρὸς ἦν θηλυδρίας. ἀπηλλάγη μὲν πολυχέσου νοσήματος.

Χέζομεν. ζημιούμεθα. [1] Ἀριστοφάνης·
Ἡμεῖς δὲ δίδομεν. εἰ δὲ μή, πατούμενοι
Ὑπὸ τοῦ γέροντος ὀκταπλάσιον χέζομεν.
ἀντὶ τοῦ, πολλαπλάσιον. τὸ δὲ νοούμενον, ὅτι μικροῖς λήμμασιν ὁ Κλέων τῆς πόλεως προδίδωσι τὰ πράγματα.

Χεθέντος. πλατυνθέντος.

Χελιδόνας.[2] ἰχθύς ποιός. λέγεται χελιδών, καὶ τῶν γυναικῶν τὸ μόριον. καὶ τὸ κοῖλον τῶν ἵππων τῆς ὁπλῆς. ἔνιοι καὶ τῶν κυνῶν τὸ αὐτὸ μέρος. καὶ νόμισμα δὲ ἀργυροῦν Πελοποννησιακόν. καλεῖσθαι δὲ χελιδόνα καὶ τοῦ ἀνθρώπου τὸ ἄνωθεν τοῦ ἀγκῶνος, τὸ κατὰ τὰς καμπάς. λέγεται δὲ χελιδών, καὶ ἡ ναῦς, ἡ τοὺς εἰς Μασσαλίαν διακομίσασα. καὶ χρησμολόγος δέ τις τῶν πάλαι. καὶ ὁ Κλεοπάτρας κίναιδος.

Χελιδόνειον μέλος. τὸ τῆς χελιδόνος. ἔστι δὲ αὐτῆς ἡ φωνή, οὐ θρῆνος, ἀλλ' ᾆσμα ἐνδοτικόν, καὶ κελευστικὸν πρὸς ἔργα. διὰ τοῦτο χειμῶνος οὔτε ἵπταται, οὔτε φθέγγεται.

Χελιδόνων[3] μουσεῖα. ἐπὶ τῶν βάρβαρα καὶ ἀσύνετα ποιούντων. καὶ γὰρ ἡ χελιδὼν ἐπὶ τῶν βαρβάρων. ἐπιφέρει γάρ, Θρηϊκίη χελιδών. καὶ ἐν τοῖς ἑξῆς· Οὗ περὶ χείλεσι βρέμεται Θρηϊκία χελιδών. καὶ Εὐριπίδης·
Πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος,
Χελιδόνων μουσεῖον.

Χελιδόνων φάρμακον. παρὰ Ἱππώνακτι, τὸ φίλτρον, τὸ [4] διαγινόμενον, ἐπειδὰν χελιδόνα πρῶτόν τις ἴδῃ.

Χελώνας.
Τὰς [5] χελώνας μακαρίζειν σε τοῦ δέρματος.
διὰ τὸ κέντρον τῶν σφηκῶν.

Χελώνη. τὸ χερσαῖον ζῶον. ἡ ὀστρακόνωτος. καὶ τὸ θαλάσσιον. καὶ παρατάξεως ὄνομα. καὶ εἶδος πολεμιστήριον. [6] ἐξ οὗ αἱ χελῶναι καὶ χωστρίδες, πολιορκητικὸν μηχάνημα, καὶ κριοί. † [7] Ζηλοτυπήσασαι αἱ Θετταλαὶ γυναῖκες τὴν Λαΐδα τὴν ἑταίραν ξυλίναις χελώναις ἐφόνευσαν τύψασαι ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης, πανηγύρεως οὔσης. ὕστερον δὲ ἱερὸν ἐποίησαν ἀνοσίας Ἀφροδίτης, ἐπειδὴ αἱ γυναῖκες ἐν τῷ ἱερῷ ἀνόσιον πετολμήκασι φόνον.

Χελώνη μυιῶν. ἐπὶ τοῦ ἀφροντιστοῦντος τινός. [8] Τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων εἶναι ὀβολῶν, τὸ λε-

ſtophanes: *Antiſthenem aliquis huc evocet omni modo. Hic enim vir ſuſpirationum cauſa novit, quid ſibi velit culus cacaturiens.* Hic Antiſthenes medicus fuit effœminatus: qui tandem a morbo multicaco liberatus eſt.

Χέζομεν. [Cacamus. At in ſubjuncto loco Ariſtophanis ſumitur, pro] Mulctamur. Ariſtophanes: *Nos vero damus. Sin ſecus, conculcati a ſene, octuplum cacamus.* Senſus vero eſt, Cleonem propter exigua lucella Reip. negotia prodere.

Χεθέντος. Diffuſi. Dilatati.

Χελιδόνας. Chelidonias. Piſcis quidam. Dicitur & χελιδών, cunnus. Item, ungulæ equinæ cava pars. Quidam & in canibus eandem partem ita vocant. Item, nomiſma argenteum Peloponneſiacum. Χελιδόνα etiam vocant cubiti humani partem ſuperiorem, ubi cubitus flectitur. Chelidon etiam dicitur navis, quæ milites Maſſiliam tranſportavit. Item, vates quidam antiquus. Item, Cleopatræ cinædus.

Χελιδόνειον μέλος. Melos hirundineum. Sive, cantus hirundinis. Vox autem ejus non eſt gemitus, ſed cantus, homines ad opus faciendum excitans & adhortans. Quare hyeme neque volat, neque canit.

Χελιδόνων μουσεῖα. Hirundinum muſea. Dicitur in eos, qui barbara & obſcura poemata ſcribunt. Nam hirundo Barbaros notat. Subjicit enim: *Cujus in labris Threicia hirundo ſtrepit.* Et Euripides: *Multa autem ſurſum ſerpebat hedera, ramuſque virens, hirundinum muſeum.*

Χελιδόνων φάρμακον. Hirundinum medicamentum. Apud Hipponactem, philtrum, quod conficitur, quum quis hirundinem primum vidit.

Χελώνας. Teſtudines. *Teſtudines te beatas prædicaturum eſſe pellis cauſa.* Nimirum, propter aculeum veſparum.

Χελώνη. Teſtudo. Animal terreſtre, quod dorſum habet teſtaceo operimento tectum. Eſt & animal marinum, ita dictum. Item, nomen aciei, & machinæ bellicæ ſpecies; ut teſtudines aggeſtitiæ, & arietes, quibus in obſidionibus urbium utuntur. † Theſſalicæ mulieres invidia ſtimulatæ Laidem meretricem ligneis teſtudinibus in templo Veneris, cum magna ibi eſſet hominum frequentia, percuſſam occiderunt. Quare templum Sceleratæ Veneris poſtea condiderunt: quod mulieres in templo nefariā cædem commiſiſſent.

Χελώνη μυιῶν. Teſtudo muſcas [contemnit. Dicitur] in eos, qui aliquid non curant.

1 Ἀριστοφάνης] *Equit.* pag. 292. (195. Ed. Baſ. *P.*)

2 Χελιδόνας] Scribe, χελιδονίας.

3 Χελιδόνων μουσεῖα. ἐπὶ τ.] Scholiaſtes Comici ad *Ranas*, pag. 215. (134. Ed. Baſ. *P.*) Χελιδόνων μουσεῖα. παρὰ τῇ ἐν Ἀλκμήνῃ Εὐριπίδου·

Πολὺς δ' ἀνεῖρπε κισσός, εὐφυὴς κλάδος,
Χελιδόνων μουσεῖα.

ἀντὶ τοῦ, βάρβαρος καὶ ἀσύνετος. καὶ γὰρ παροιμία ἐπὶ τῶν βαρβάρων καὶ πολυλόγων καὶ ἐπαχθῶν ἐστὶ πεπλασμένη. πιστὸν γὰρ τὸ χελιδόνων γένος, πλέον διὰ τὸ πολὺ τῆς ᾠδῆς ἀνιῶν τοὺς ἀκούοντας, ἢ διὰ τὸ μέλος εὐφραῖνον. Hinc Suidas ſuppleri poteſt.

4 Τὸ διαγινόμενον, ἐπ.] Ut ſenſus aliquis hinc eliciatur, lego τὸ γινόμενον. Sed & ſic locus hic obſcurus eſt: de quo proinde amplius cogitandum cenſeo.

5 Τὰς χελώνας μακ.] Hæc ſunt verba Chori, apud Ariſtophanem *Veſpis*, pag. 459. (325. Ed. Baſ. *P.*)

6 Ἐξ οὗ αἱ χελ.] Scribendum potius eſt, ὡς αἱ χελῶναι χωστρίδες, &c.

7 Ζηλοτυπήσασαι αἱ γυν.] Vide Brodæum ad Antholog. Epigr. pag. 328. ad Epigramma; Ἔρπων εἰς Ἐφύρην, &c.

8 Τὴν παρρησ. ——— τὸ λεγόμενον] Hæc ſunt verba Juliani Imperatoris, Epiſt. LIX. eademque leguntur ſupra, v. Τεττάρων ὀβολῶν.

γόμενον.

γόμενον. Οὐκ οἶσθα, ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαῤῥησιάζετο· τῷ δὲ Ἀγαμέμνονι τῆς Θερσίτου παῤῥησίας ἧττον ἔμελεν, ἢ χελώνη μυιῶν, τὸ τῆς παροιμίας. † [1] Χελώνης ἐπιῤῥιφθείσης Αἰσχύλῳ τῷ Ἀθηναίῳ ὑπὸ ἀετοῦ φερομένης κατὰ τῆς κεφαλῆς, ἀπώλετο, ἐτῶν νη. γενόμενος.

Χελώνης κρέα φαγεῖν. ζήτει ἐν τῷ, Ἢ δεῖ χελώνης κρέα φαγεῖν.

Χελωνίδος. [2] τοῦ οὐδοῦ τῆς θύρας.

Χελύνη. τὸ ἄνω χεῖλος. [3] Εἰς τὴν ὑπερῴαν χελύνην οἰστὸς Μηδικὸς ἐνεῤῥίζωτο. Καὶ αὖθις·

Στὰς [4] ἀνὴρ παρ' ἄνδρ', ὑπ' ὀργῆς τὴν χελύνην ἐσθίων.

Χέλυς. ἡ κιθάρα. καὶ ἡ χελώνη, ἡ ὀστρακόνωτος.

Χέμετλα. [5] ὡς χέρνιβα.

Χεράδος. [6] ἡ μετ' ὀστράκων καὶ λίθων ὕλη.

Χερεκράτης, καὶ Χερώνδας. διὰ τοῦ ε ψιλοῦ.

Χέῤῥεως. φρούριόν τι. [7] Ἀπὸ γοῦν τοῦ ἐρύματος Χέῤῥεως διὰ μιᾶς ἐφοίτα ἐς τὴν Ἀντιόχειαν τῇ ὠκύτητι τῶν ποδῶν ὁ [8] Ἰνδικός.

Χερείων. [9] χείρων.

Χέῤῥη. ὄνομα πόλεως.

Χέρηες. χείρονες.

Χέρης, Χέρητος. ὄνομα κύριον.

Χειροφυρία. ἐν Ἐπιγράμματι·

—————— [10] Φοῖβε,

Δέξαι πλωτήρων μάζης χειροφυρέα δαῖτα.

Χερμαδίῳ. χειροπληθεῖ λίθῳ.

Οὐδέ [11] σε χερμαδίων ὦσε κτύπος, οὐ νέφος ἰῶν.

καὶ χερμάδος, λίθου πληροῦντος τὴν χεῖρα. Οἱ δὲ ἀπὸ τοῦ τείχους πλῆθος χερμάδων καὶ βελῶν παντοίων κατέχεαν.

Χερμαστήρ. ἡ σφενδόνη.

Ῥινοῦ [12] χερμαστῆρος εὔστροφα κῶλα τιταίνων.

Χερνῆτις. χήρα, ἡ ἀπὸ χειρῶν ζῶσα. χειρόβιος. Ὁ δὲ ὑπὸ τῷ κνέφει σὺν τοῖς χερνήταις, τοῖς ἐπὶ τοὺς ἀγροὺς ἰοῦσιν, ὑπεξῆλθε. καὶ χερνήτης, ὁ πένης, ἀρσενικῶς. ἐν [13] Ἐπιγράμματι·

Confidentiam tuam & audaciam in dicendo quatuor obolis, quod vulgo dicitur, dignam putas. Ignoras autem & Therſiten inter Græcos confidenter locutum fuiſſe: Agamemnonem vero ejus confidentiam minus curaſſe, quam teſtudo muſcas, ſecundum proverbium. † Æſchylus Atheninſis, teſtudine, quam aquila ferebat, in caput ejus decidente, mortuus eſt, anno ætatis LVIII.

Χελώνης κρέα φαγεῖν. Teſtudinis carnes edere. Quære in v. Ἢ δεῖ χελ. κρ. φ.

Χελωνίδος. Liminis januæ.

Χελύνη. Labrum ſuperius. *In labro ſuperiore ſagitta Medica erat infixa.* Et iterum: *Stans vir juxta virum, præ ira labrum ſuperius mordens.*

Χέλυς. Chelys. Cithara. [Teſtudo. Inſtrumentum muſicum.] Item, teſtudo animal, dorſum habens teſtaceum.

Χέμετλα. [Dictum eſt,] ut χέρνιβα: [abſque ε in ſyllaba prima.]

Χεράδος. Congeries teſtarum & lapillorum.

Χερεκράτης. Cherecrates, & Cherondas. Per ε [in ſyllaba prima.]

Χέῤῥεως. Cherreos. [Genitivus, a recto Χέῤῥις.] Caſtellum quoddam ita dictum. *Nam Indicus velocitate pedum a caſtello Cherre uno die Antiochiam ivit.*

Χερείων. Pejor. Χέριστος, peſſimus.

Χέῤῥη. Cherre. Nomen urbis.

Χέρηες. [Poetice, pro] χείρονες. Pejores. Deteriores.

Χέρης. Cheres, Cheretis. Nomen proprium.

Χειροφυρία. Manu ſubactam. In Epigrammate: *Phœbe, accipe nautarum dapes, mazam manu ſubactam.*

Χερμαδίῳ. Lapide, qui manum implet. Lapide, qui manu tractari & projici poteſt. [In Epigrammate:] *Neque te lapidum repulit ſtrepitus, neque nubes ſagittarum.* Et χερμάδος, lapidis, qui manum implet. *Illi vero e muro lapides & tela confertim [in hoſtes] emiſerunt.*

Χερμαστήρ. Saxorum jaculatrix. Epithetum fundæ. *Fundæ ſaxa jaculantis bene tortas tendens habenas.*

Χερνῆτις. Vidua, quæ manuum labore vivit. Mulier, quæ manibus victum ſibi quærit. [Et χερνήτης, genere maſculino, qui manibus victum ſibi quærit. Operarius.] *Ille vero ſub crepuſculum veſpertinum cum operariis, qui*

1 Χελώνης ἐπιῤῥ.] Vide ſupra v. Αἰσχύλος.

2 Τοῦ οὐδοῦ] Scribe, τοῦ οὐδοῦ. Vide Heſychium.

3 Εἰς τὴν ὑπερῴαν χελ.] Fragmentum hoc ſumptum eſt ex Theophylacti Simoc. lib. II. cap. VI. ut Pearſonius obſervaverat. Idem auctius legitur ſupra, v. Ὑπερῴαν.

4 Στὰς ἀνὴρ παρ' ἄνδρ'.] Eſt verſus Ariſtophanis *Veſpis*, pag. 508. (350. Ed. Bas. P.) Apud ipſum Ariſtophanem vero pro στὰς hodie minus recte legitur πᾶς.

5 Χέμετλα] Alii, χνίμεθλα, χέμεθλα, vel, χύμετλα. Vide Lexica vulgata: & Noſtrum infra, v. Χείμεθλον.

6 Χεράδος] Homerus Il. Φ. v. 319. —— Ἅλις χεράδος περιχεύας. Ubi eſt genitivus, a recto, χεράς: aſſentiente etiam breve Scholiaſte. Suidas autem vocem hanc ſic interpretatur, ac ſi eſſet nominativus: quod ita ſe habere, vix conceſſerim. Nam & accentus & conſtructio refragantur. Etymologus tamen nominativum eſſe ſtatuit: ſed ſcribit χέραδος, cum accentu in prima; ut κόραδος. Eum vide.

7 Ἀπὸ γοῦν τοῦ ἐρύμ.] Vide ſupra v. Ἰνδικός: ubi eadem leguntur.

8 Ἰνδικός] Supra ſuo loco rectius, Ἴνδακος.

9 Χέρειον] Rectius. χείρειον, per ει in ſyllaba prima.

10 Φοῖβε. δέξαι πλωτ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Philippi, quod ex cod. MS. integrum exhibuimus ſupra, v. Βοτρυοφόρους.

11 Οὐδέ σε χερμαδ.] Integrum Epigramma habes Anthol. lib. III. cap. XIV. pag. 344.

12 Ῥινοῦ χερμαστῆρος εὔστρ.] Sunt verba decerpta ex Epigrammate Antipatri, quod integrum exſtat Anthol. lib. III. cap. XVI. ut Portus etiam monuit.

13 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. VIII. Epigr. X. ut itidem Portus obſervaverat.

Οἷς

Οἷς ἔχον χερνῆτα βίον δηναιὸν, Ἀθάνα
Πότνια, ταῦθ᾽ αἱ σαὶ σοὶ θέσαν ἐργάτιδες.

Ὁ δὲ τὰς θυγατέρας ἐπειρᾶτο ποιεῖν ταλασιουργοὺς καὶ χερνήτιδας.

Χερνίβα. τὸ ὕδωρ. Φησὶν [1] Ἀριστοφάνης· Τὸ κανοῦν αἴρεσθε, καὶ τὴν χερνίβα. προπαροξυτόνως κατὰ τὴν ἀναλογίαν. παρὰ δὲ τοῖς ποιηταῖς, παροξυτόνως. Καὶ αὖθις· Χερνιπτομένους πρὸς αὐτοῖς τοῖς βωμοῖς ἀπέκτειναν.

Χερνίβος.

——— [2] Λοιδορεῖσθαι βούλομαι
Κοινῇ δικαίως· οἳ μιᾶς τε χέρνιβος
Βωμοὺς περιρρέοντες, ὥσπερ συγγενεῖς,
Ὀλυμπιᾶσιν, ἐν Πύλαις, Πυθοῖ· πόσους
Εἴποιμ᾽ ἂν ἄλλους, εἴ με μηκύνειν δέοι;

Χερνίβων. Δημοσθένης φησί· Καὶ χερνίβων καὶ κανῶν ἁψόμενον. εἴη δ᾽ ἂν ἀπὸ ὀρθῆς τῆς χέρνιψ. τῆς δὲ χέρνιβος μέμνηνται καὶ οἱ κωμικοὶ, ὡς παραλαμβανομένης εἰς τὰς θυσίας.

Χερνιπτομένους. τὰς χεῖρας νιπτομένους. Χερνιπτομένους πρὸς αὐτοῖς τοῖς βωμοῖς ἀπέκτειναν.

Χερνιφθέντα. [3] Σὺν βοὶ χερνιφθέντα. ἀντὶ τοῦ, τυθέντα. καὶ χερνίψαντο. ἀντὶ τοῦ, τὰς χεῖρας ἔνιψαν.

Χερρόνησος. [4] Θρᾴκης χώρα. καὶ πόλις ὑποτελὴς τοῖς Ἀθηναίοις, εὔφορος εἰς πυρῶν γεωργίαν· ὅθεν καὶ ἐσιτάγωγουν οἱ Ἀθηναῖοι. οὓς Κλέων διέσειε.

Χερουβείμ. ἐπὶ τῶν ἑνικῶν, διὰ διφθόγγου. [5] πληθυντικῶς δὲ, διὰ τοῦ ι. ἑρμηνεύεται δὲ, γνῶσις πεπληθυσμένη.

Χερσαῖος. ὁ ἀπὸ χέρσου.

Χερσεία. ἐρημία.

Χεσᾶς. ὁ [6] Προκλείδης, ὡς φησιν Ἀριστοφάνης. καὶ ζήτει ἐν τῷ Χεζητιῶν.

Χεσείω. ἐπείγομαι χέσαι. ἐπιθυμητικῶς τοῦ χέσαι ἔχω.

——Ὅπερ [7] πίνων ἀνὴρ πέπονθ᾽, ὅταν χεσείῃ·
Τοῖσι τρόποις τοῖσιν ὥσπερ βλαυτίοισι χρήσομαι.

ἐπειδὴ εἰώθασιν οἱ πίνοντες τοῖς τῶν ἄλλων ὑποδήμασι χρῆσθαι, εἰ ἐπείγοντο πρὸς λάσανον.

Χετταῖοι. ὄνομα ἔθνους. οἱ Χαναναῖοι.

Χεῦμα. ῥεῦμα ὕδατος.

Χεύμασι. [8] προχὴ, ἡ ἐκ δεξιῶν καὶ ἀριστερῶν ἔχουσα θάλασσα.

Χειᾷ. τῇ τῶν δρακόντων καταδύσει. ἀπὸ τοῦ χεῖσθαι, ὅ ἐστι χωρεῖσθαι. [9] Οὐδὸς δ᾽ ἀμφοτέρους ὅδε χείσεται. τοῦτο γὰρ μόνον μηχανῶνται οἱ ὄφεις, τὸ χωρῆσαι τὸ σῶμα ὥσπερ εἰς ἔλυτρον.

rus ibant, clam diſceſſit. Et in Epigrammate: *Quibus pauperem vitam diu ſuſtentarunt, Minerva veneranda, ea tuæ tibi dedicarunt operatrices.* † *Ille autem filias lanificas & netrices conabatur efficere.*

Χερνίβα. Aquam, qua manus abluuntur. Ariſtophanes inquit: *Tollite caniſtrum, & trulleum.* Secundum analogiam [dicendum eſt χέρνιβα,] cum accentu in antepenultima. Apud poetas vero [dicitur χερνίβα,] cum accentu in penultima. Et iterum: *Ipſos vero manus lavantes ad ipſas aras interfecerunt.*

Χερνίβος. Pollubri Trullei. *Jure vos communiter objurgabo, qui eodem trulleo aras aſpergentes, utpote cognati, Olympiæ, ad Pylas, Pythone: quot referre poſſem, ſi vellem eſſe longior.*

Χερνίβων. Aquæ luſtralis. Vel, pollubri. Demoſthenes inquit: *Pollubra & caniſtra tacturum.* Erit autem a recto [ſingulari,] χέρνιψ. Χέρνιβος autem meminerunt etiam Comici, ut vaſis, quod ad ſacrificia adhiberetur.

Χερνιπτομένους. Manus lavantes. *Ipſos, dum manus lavarent, ad ipſas aras interfecerunt.*

Χερνιφθέντα. [Interdum ſignificat,] immolatum. *Cum bove immolatum.* Et χερνίψαντο, manus laverunt.

Χερρόνησος. Cherſoneſus, regio Thraciæ, & urbs Athenienſibus tributaria, frumentique ferax: unde etiam Athenienſes frumentum [in Atticam] advehebant. Cherſoneſiotas autem Cleon concutiebat.

Χερουβείμ. Cherubeim. In ſingulari per ει diphthongum ſcribitur. At in plurali, per ι, [Χερουβίμ.] Exponitur autē, copia cognitionis.

Χερσαῖος. Terreſtris.

Χερσία. Deſertum.

Χεσᾶς. Cheſas. Sic Patroclides dictus fuit. Et quære in v. Χεζητιῶν.

Χεσείω. Cacaturio. [Ariſtophanes:] *Idem facio, quod poti, cum cacaturiunt: moribus tuis ut crepidis utor.* Solent enim illi, qui potant, alienis uti calceis, cum ad matulam properant.

Χετταῖοι. Chettæi. Nomen gentis in regione Chananæa.

Χεῦμα. Fluxus aquæ.

Χεύμασι. Fluxibus.

Χειᾷ. Draconum vel ſerpentum latibulo. A χεῖσθαι, capere, continere. *Limen autem iſtud ambos capiet.* Hoc enim ſolum moliuntur ſerpentes, ut corpus illorum tanquam in involucrum coeat.

1 Ἀριστοφάνης] *Avibus*, pag. 581. (401. Ed. Baſ. *P.*)

2 Λοιδορεῖσθαι βούλ.] Hæc ſunt verba Ariſtophanis *Lyſiſtrata*, pag. 905. (566. Ed. Baſ. *P.*) ſed ubi pro περιρρέοντες rectius legitur, περιρραίνοντες.

3 Σὺν βοὶ χερνιφθέντα] Eſt pars Epigrammatis, quod integrum habes Anthol. lib. VI. cap. XXII.

4 Χερρόνησος. Θρ.] Eadem habet Scholiaſtes Ariſtoph. ad *Equit.* pag. 302.

5 Πληθυντικῶς δὲ, διὰ τοῦ ι. ἑρμηνεύεται δὲ, γνῶσις πεπλ.] Sic reſcripſi ex optimo MS. A. Ante enim legebatur, πληθυντικῶς δὲ διὰ τοῦ ι. γνώσεως, ἢ σοφίας.

6 Προκλείδης] Scribe, Πατροκλείδης. Error natus ex abbreviatione vocis.

7 Ὅπερ πίνων ἀν.] Sunt verba Ariſtophanis *Equit.* pag. 341. (239. Ed. Baſ. *P.*)

8 Προχὴ, ἡ ἐκ δ.] Hæc vel corrupta ſunt, vel mutila: quorum proinde verſionem conſulto prætermiſimus.

9 Οὐδὸς δ᾽ ἀμφοτ.] Sunt verba Homeri Odyſſ. Σ. v. 17. Confer Etymologum, v. Γῆ.

Χεῖλος. τὸ μέρος τοῦ στόματος. [1]Ἐγένετο πᾶσα ἡ γῆ χεῖλος ἕν. περὶ τῆς ἁμαρτιῶν λέγει.

Χεῖμα. ὁ χειμών.

Χειμεία. ἡ χώνευσις. ζήτει ἐν τῷ Χημεία.

Χειμαδίῳ τόπῳ. ἐφ' οὗ ἄν τις δύναιτο χειμῶνος ἐγκαθορμίσασθαι.

Χείμαῤῥος, καὶ χειμάῤῥους. ὁ ἐν τῷ χειμῶνι ῥέων ποταμός. καὶ ὄνομα κύριον. Χίμαρος δὲ, ὁ τράγος.

Χειμασκήσαντα.[2] Διάλειψιν εἶχε, τὰ στρατόπεδα χειμασκήσαντα βελτίω τὰ πράγματα ὑπελάμβανε γενήσεσθαι.

Χείμεθλον. τὸ ἐν χειμῶνι γινόμενον ἐν ταῖς ῥήξεσι τῶν δακτύλων ἕλκος.

Χειμερία ὥρα, καὶ χειμέριος, Ἀττικῶς. ὁ τοῦ χειμῶνος καιρός. καὶ χειμερίζω, καὶ χειμάζω. τὸ μὲν, ἤγουν, ἐν χειμῶνι διάγω. τὸ δὲ, χειμῶνος ποιῶ διάγω. Ὁ δὲ ἐν Βερεκύντῃ ἐχειμέριζεν. ἀντὶ τοῦ, ἐχείμαζε.

Χειμερινὸς καιρός.

Χειμὼν, χειμῶνος. [3]Χειμὼν δέ ἐστιν, ὁ ὑπὲρ γῆς ἀὴρ κατεψυγμένος, διὰ τὴν τοῦ ἡλίου πρόσω ἄφοδον. [4]Ὅμηρος· Αἵ τ' ἐπεὶ οὖν χειμῶνα φύγον. περὶ γεράνων. λέγει δὲ οὐ τὴν χειμερινὴν κατάστασιν, ἀλλὰ τὸν χειμερινὸν τόπον τῆς Θρᾴκης. οὐ γὰρ ἐνεστῶτος χειμῶνος φεύγουσιν, ἀλλὰ προσδοκίας οὔσης.

Χειμών. ζήτει περὶ τῶν Σκυθῶν ἐν τῷ Ὑφαντοδόνητον.

Χειμὼν[5] ὀρνιθίας. ἐπὶ τὴν γῆν τὰ ὄρνεα στρωννὺς ὑπὸ τῆς ψυχρᾶς πνοῆς. τουτέστιν, ὁ σφοδρὸς, ἐν ᾧ καὶ τὰ ὄρνεα φθείρεται. λέγεται δὲ καὶ ἄνεμος ὀρνιθίας. ἢ ὅτι τὰ ὄρνεα ταῦτα χειμῶνος φαίνεται, ὡς Ἄρατος φησί.

Χεὶρ, χειρός.

Χεῖρα.[6] τὸ χειρόγραφον. Ὑπερείδης. Χεῖρας Θεοῦ ὁ Δαβὶδ τὴν τοῦ Θεοῦ προμήθειαν φησίν. Εἰς χεῖράς σου παρατίθημι τὸ πνεῦμά μου.

Χεῖρας[7] καθαίρειν, φροντίδων δηλοῖ λύσιν.

Χειραγωγία. βοήθεια.

Χειραγωγῶ. αἰτιατικῇ.

Χειραλειπτήσας. Φάβιος Δικτάτωρ, καθάπερ ἀγαθὸς ἀθλητὴς, πολὺν χειραλειπτήσας χρόνον, ἐπὶ τὸν ἀγῶνα κατήντα. ἀντὶ τοῦ, ἀσκήσας τὴν χεῖρα.

Χειραψίαι αἱ διὰ τῶν χειρῶν πράξεις. Ἀπαυστοι καὶ συνεχεῖς ἐγίνοντο κατὰ ἀκροβολισμοὶ, καὶ χειραψίαι καὶ πεζῶν καὶ ἱππέων.

Χεῖλος. Labrum. *Fuit tota terra labrum unum.* De peccatis loquitur.

Χεῖμα. Idem ac χειμών. Hyems.

Χειμεία. Chimia. Quære in v. Χημεία.

Χειμαδίῳ τόπῳ. Loco, in quo quis hyeme commode ſtationem habere poteſt.

Χείμαῤῥος, & χειμάῤῥους. Torrens. Item, nomen proprium [viri.] At χίμαρος, hircus, caper.

Χειμασκήσαντα [στρατόπεδα.] Milites, qui per hyemem ſe exercuerunt. *Exiſtimabat enim, milites ſuos, ſi per hyemem ſe exercuiſſent, meliores futuros,*

Χείμεθλον. Ulcus, quod tempore hyberno in digitorum fiſſuris [ex frigore] naſcitur.

Χειμερία ὥρα, & Attice, χειμέριος ὥρα. Tempus hybernum. Et χειμερίζω, & χειμάζω. Hyberno. Hyemem tranſigo. *Ille vero in Berecynte hybernabat.* ['Εχειμέριζε enim hic poſitum eſt,] pro ἐχείμαζε.

Χειμερινὸς καιρός. Hybernum tempus.

Χειμὼν, ῶνος. Hyems. Hyems autem eſt aer ſupra terram refrigeratus, propter Solis longinquiorem diſceſſum. Homerus: *Quæ poſtquam hyemem fugerunt.* De gruibus ibi verba fiunt. Intelligit autem non tempus hybernum, ſed hyemalem Thraciæ locum. Non enim grues fugiunt, cum jam eſt hyems, ſed cum hyems inſtat.

Χειμών. Quære de Scythis in v. Ὑφαντοδόνητον.

Χειμὼν ὀρνιθίας. Hyems avicularis. Sive, hyems, quæ frigido flatu aves humi ſternit. Id eſt, hyems acris, qua & ipſæ aves pereunt. Dicitur etiam ventus quidam Ornithias. Vel, quod aves iſtæ hyeme appareant, ut Aratus ait.

Χεὶρ, χειρός. Manus,

Χεῖρα. [Proprie, manum. Interdum vero,] ſcripturam. Hyperides. *Manus Dei* David Dei providentiam appellat. *In manus tuas trado ſpiritum meum.* † *Manus purgare, curarum ſolutionem ſignificat.*

Χειραγωγία. Manuductio. Auxilium.

Χειραγωγῶ. Accuſativo jungitur. Manu duco.

Χειραλειπτήσας. Qui manus unxit. Vel, qui athletæ inſtar manus in certamine exercuit. *Fabius Dictator, cum boni pugilis inſtar longo tempore ſe exercuiſſet, in certamen deſcendit.*

Χειραψίαι. Manuum conſertiones. *Continuæ fiebant velitationes, & tam pedites quam equites manus frequenter cum hoſte conſerebant.*

1 Ἐγένετο πᾶσα ἡ γ.] Geneſ. XI. v. 1.

2 Διάλειψιν εἶχε, τὰ στρατ.] Hæc mendoſa ſunt & mutila, quæ ex Polybii lib. III. cap. LXX. unde ea ſumpſit Suidas, ſic emendanda & ſupplenda ſunt: Ὁ δὲ Πόπλιος τὴν ἐναντίαν εἶχε διάληψιν περὶ τῶν ἐνεστώτων. τὰ γὰρ στρατόπεδα χειμασκήσαντα βελτίω τὰ παρ' αὐτῶν ὑπελάμβανε γενήσεσθαι.

3 Χειμὼν δέ ἐστιν ὁ ὑπὲρ γῆς——ἄφοδον] Hæc ſunt verba Laertii in *Zenone Citt.* Num. 151.

4 Ὅμηρος] Il. Γ. v. 4.

5 Χειμὼν ὀρνιθίας. ἐπὶ τ. γ.] Nota hæc pertinet ad locum illum Ariſtophanis in *Acharnenſ.* pag. 413.

——Ὥσπερεὶ χειμὼν ἀὴρ
Ὀρνιθίας ἐς τὴν ἀγορὰν ἐλήλυθας.

Vide ibi veterem interpretem; & Noſtrum ſupra v. Ὀρνιθίας.

6 Χεῖρα. τὸ χειρόγραφον] Artemidorus lib. I. cap XLIV. Χειρόγραφα δὲ, ὅτι καὶ αὐτὰ χεῖρες λέγονται. Sic apud Latinos *manus* interdum ponitur pro ſcriptura.

7 Χεῖρας καθαίρειν, φροντ.] Eſt verſus onirocriticus, qui legitur etiam apud Aſtrampſychum.

Χείρ.

Χεὶρ. ἡ βοήθεια. καὶ ἡ ἐξουσία, καὶ δύναμις.

Χεῖρες χαλκαῖ. [1]ἐν τοῖς Ἀμασριᾶ. καὶ ζήτει ἐν τῷ Μαναΐμ.

Χειρίαν. [2]Σοφοκλῆς· Μή με τὸν σὸν ὑπ' ἐχθρῶν χειρίαν ἐφῇς τινί. τουτέστιν, ὑποχειρίαν τοῖς ἐχθροῖς σὺν τῷ παιδὶ καταλείψῃς.

Χειριδωτός. ὁ χειρωτός. καὶ χειριδωτὸς χιτών. ὁ χειρίδας ἔχων.

Χειρίζω. αἰτιατικῇ. καὶ κεχειρικότες. [3]Κάνδιδος ἱστοριογράφος φησὶν, ὅτι ὁ Λέων ὁ Μακέλλης, ὁ μετὰ Μαρκιανὸν βασιλεύσας, περὶ τὴν ἐκστρατείαν τὴν κατὰ Βανδίλων, ἄπειρα χρήματα δεδαπάνηκε. ἦσαν γὰρ, ὡς οἱ ταῦτα ἐφανέρωσαν κεχειρικότες, διὰ μὲν τῶν ὑπάρχων, χρυσίου λίτραι τεσσαρακοντάκις μύριαι πρὸς ἑπτακισχιλίαις. διὰ δὲ τοῦ Κόμητος τῶν θησαυρῶν, ἑπτακισχίλιαι πρὸς μυρίαις· καὶ ἀργυρίου λίτραι ἑπτακόσιαι χιλιάδες· ἅ τε τῶν ἀνηλωμένων [4]ἀρχόντων ἐκ δημοσίων, καὶ ἐκ τοῦ βασιλέως Ἀνθεμίου.

——— [4]Οὕνεχ' ἡ πόλις
Δωρητὸν οὐκ αἰτητὸν εἰσεχείρισε,
Ταύτης Κρέων ὁ πιστὸς, οὐξ ἀρχῆς φίλος,
Λάθρα μ' ὑπελθὼν ἐκβαλεῖν ἱμείρεται.

Χειρισμόν. ἐπιχείρησιν. [6]Πολύβιος· Ὅταν γένηται ταῦτα κατὰ χειρισμὸν ἰσοτυχῆ. Καὶ αὖθις· Ὥστε μὴ μόνον ἀλόγιστον, ἀλλὰ καὶ μανιώδη φαίνεσθαι τὸν χειρισμὸν τῶν πραγμάτων. ἀντὶ τοῦ, τὴν ἐπιχείρησιν, τὴν πρᾶξιν.

Χείριστα. κάκιστα. καὶ, χειριστήν. αὐτουργόν. ὑπηρέτην. Ὁ δὲ περὶ τῆς ἐπιβουλῆς ἐκοινώσατο, καὶ παρεκάλει χειριστὴν γενέσθαι τῆς πράξεως. ἀντὶ τοῦ, ἐπιτελεστὴν, πληρωτήν.

Χειρόβιοι. οἱ ἐκ χειρῶν ζῶντες, καὶ ταῖς τέχναις προσκαθήμενοι. λέγονται καὶ ἀποχειρόβιοι.

Χειροβρὼς, [7]χειροβρῶτος. ὁ δέσμος, ὁ ἀποβιβρώσκων τὰ χεῖρε.

Χειροδάϊκτα [8]θύματα. τὰ ὑπὸ τῶν χειρῶν δαϊχθέντα.

Χειροδίκαιος [9].

Χειρόηθες. ἥμερον. πρᾶον. καὶ χειροήθης, χειροήθους, ὁ ἥμερος.

Χειρόκμητα. ὑπὸ χειρῶν γεγλυμμένα, ἢ περιεξεσμένα.

Χειρόμακτρον. ὁ παρὰ Ῥωμαίοις καλεῖται [10]μανδύλιον. [11]παρὰ τὸ μάττειν τὴν ὕλην.

Χεὶρ. [Manus.] Auxilium. Poteſtas. Potentia.

Χεῖρες χαλκαῖ. Manus æreæ. Quære in Μαναΐμ.

Χειρίαν. [Pro ὑποχειρίαν.] Poteſtati alicujus ſubjectam. Sophocles: *Ne me poteſtati alicujus ex inimicis tuis permittas.* Vel, ne me cum filio tuo in inimicorum tuorum poteſtate relinquas.

Χειριδωτός. Manicatus. Manicas habens. Et χειριδωτὸς χιτών. Tunica manicata. Sive, quæ manicas habet.

Χειρίζω. Accuſativo jungitur. Tracto. Adminiſtro. Et κεχειρικότες, qui tractarunt. Qui adminiſtrarunt. Candidus Hiſtoricus ait, *Leonem Macellem, qui poſt Marcianum imperavit, immenſam pecuniæ vim in expeditione adverſus Vandalos conſumpſiſſe. Nam, ut teſtantur illi, qui pecuniam illam adminiſtrarunt, per Præfectos quidem Prætorio impenſa ſunt auri librarum quadraginta ſeptem millia; per Comitem vero largitionum, auri librarum ſeptendecim millia, & argenti librarum ſeptingenta millia: cum ſumptus abunde ſuppeterent, partim ex bonis proſcriptorum, partim ex ærario Imperatoris Anthemii.* [Et εἰσχειρίζω, trado, committo.] *Si hujus regni cauſa, quod mihi civitas ultro nec roganti tradidit, ex eo Creon, fidelis ille & antiquus amicus, clam me circumventum expellere cupit.*

Χειρισμόν. Tractationem. Adminiſtrationem. Polybius: *Cum iſta pari celeritate adminiſtrata fuerint.* Et iterum: *Ut adminiſtratio non ſolum imprudens, ſed etiam inſana videretur.*

Χείριστα. Peſſime. Et χειριστήν, Illum, qui aliquid aggreditur, vel adminiſtrat. Illum, qui manibus ſuis aliquid facit. Miniſtrum. *Ille vero conſilium inſidiarum cum eo communicavit, rogans, ut negotium illud exequeretur.*

Χειρόβιοι. Qui manibus victum ſibi parant. Opifices. Iidem & ἀποχειρόβιοι vocantur.

Χειροβρώς. Epithetum vinculi, quod manus paulatim atterit & quaſi arrodit.

Χειροδάϊκτα θύματα. Manibus cæſæ victimæ.

Χειροδίκαιος. Qui jus viribus metitur.

Χειρόηθες. Manſuetum. Cicur. Manu tractabile. Et χειροήθης, manſuetus, cicur.

Χειρόκμητα. Manibus elaborata. Manibus ſculpta, vel polita.

Χειρόμακτρον. Linteum, quo manus abſterguntur: quod apud Romanos mantile vocatur. A μάττειν τὴν ὕλην; quod materiã abſtergat.

1 Ἐν τοῖς Ἀμασριᾶ] Hæc & corrupta ſunt, nec ad rem quicquam faciunt: quæ proinde rectius deleveris.

2 Σοφοκλῆς] In *Ajace*, pag. 30. ut Portus monuit. Ibi autem ſic legitur:

Μή μ' ἀξιώσῃς βάξιν ἀλγεινὴν λαβεῖν
Τῶν σῶν ὑπ' ἐχθρῶν χειρίαν ἀφεὶς τινι.

Hinc Suidam emendabis.

3 Κάνδιδος] Scribendum hic eſſe Κάνδιδος, recte monuerunt viri eruditiſſimi, Thom. Reineſius *Var. Lect.* lib. III. pag. 366. & Henr. Valeſius ad Euagrii *Hiſt. Eccleſ.* lib. II. cap. XVI. De Candido autem Hiſtorico vide Photium in *Biblioth.* Cod. LXXIX.

4 Ἀρχόντων] Valeſius loco laudato recte emendat, ἀρκούντων.

5 Οὕνεχ' ἡ πόλις δωρ.] Hæc ſunt verba Sophoclis in *Oedip. Tyr.* pag. 168. ut Portus monuit.

6 Πολύβιος] Lib. X. cap. XLI. ſed ubi pro ἰσοτυχῆ rectius legitur, ἰσοταχῆ.

7 Χειροβρώς] Confer Zenob. Centur. VI. Adag. XLIV. itemque Heſych. v. Χειροβρῶτι.

8 Χειροδάϊκτα θύματα] Ex Scholiaſte Sophoclis ad *Ajacem*, pag. 14. ut Portus monuit.

9 Χειροδίκαιος] Potius, χειροδίκης.

10 Μανδύλιον] Id eſt, *mantile*. Vide Dufrenium in *Gloſſ. Gr.*

11 Παρὰ τὸ μάττ.] Eſt etymologia inepta: ut facile cuilibet patet.

Χειρομάστης [1].

Χειρομάστης. Chiromaſtes.

Χειρονομεῖν. πυκτεύειν. [2] Σκιαμαχοῦντός ἐστιν ὁ ἀνδριὰς παρέχεται σχῆμα. ζήτει ἐν τῷ Γλαῦκος.

Χειρονομεῖν. Manibus geſticulari, pugilum inſtar. *Statua ejus præ ſe fert ſpeciem hominis, cum umbra digladiantis.* Quære in v. Γλαῦκος.

Χειροπληθεῖ [3] λίθῳ.

Χειροπληθεῖ λίθῳ. Lapide manum implente.

Χειροσκοπικόν. ὅτι [4] Ἕλενος συνέγραψε τὸ χειροσκοπικὸν οἰώνισμα· ὡς ὅταν τῆς ἐκτάσεως τῶν χειρῶν ἀπὸ τῶν ῥυτίδων τῆς παλάμης εἴπωμεν, παιδοποιήσεσθαι, ἤ τι τοιοῦτον.

Χειροσκοπικόν. Ars divinandi ex inſpectione manuum. Helenus ſcripſit de divinatione, quæ fit per manuum inſpectionem. Ut, cum expanſa manu, ex inſpectione rugarum ejus prædicimus, aliquem liberos procreaturum eſſe, vel ſimile quid.

Χειροσκόποι. οἱ τὰς χειροτονίας ἐπισκοποῦντες.

Χειροσκόποι. Qui manuum elevationes [in comitiis populi] obſervant.

Χειροτονεῖν τὸ αἰδοῖον. τουτέστιν, αἰσχρῶς ἀνακινεῖν, καὶ ἀποσπερματίζειν.

Χειροτονεῖν τὸ αἰδ. Manu tractare & ſubigere penem, ſemenque emittere. Maſturbare.

Χειροτονήσαντες. ἐκλεξάμενοι.

Χειροτονήσαντες. Qui manibus elevatis elegerunt.

Χειροτονητέον. τὴν χεῖρα ἐκτατέον. [5] Ἀριστοφάνης·

Χαλεπόν τι πρᾶγμ᾽· ὅμως χειροτονητέον

Ἐξωμισάσαις τὸν ἕτερον βραχίονα.

τουτέστιν, ἄχρι τῶν ὤμων γυμνωσάσαις.

Χειροτονητέον. Manus eſt extendenda. Ariſtophanes: *Res illa difficilis eſt: tamen extendendæ manus, ab humero nudantibus alterum brachium.* Vel, ad humeros uſque nudantibus.

Χειροτονία. ἐκλογή. πάντων κύρωσις. Τῆς οὖν χειροτονίας αὐτοῖς ἀνειπούσης, Σεβαστοὶ ἀνηγορεύθησαν.

Χειροτονία. Manuum elevatio, quæ fit in comitiis. Electio, quæ fit per manuum elevationem. Manuum extenſio, per quam populus aliquid ratum facit. *Populi ſuffragiis Auguſti renuntiati ſunt.*

Χειρουργίας. τόλμης. [6] Ἀριστοφάνης·

Οὐδὲν ἐλλείψουσιν αὗται λιπαρᾶς χειρουργίας.

ἀντὶ τοῦ προσεχῶς. παρὰ τὸ λίαν παρεῖναι.

Χειρουργίας. Audaciæ. Facinoris, quod quis manu patrat. [In ſubjuncto vero loco Ariſtophanis accipitur pro penis ſubagitatione, vel ſubactione.] Ariſtophanes: *Nihil remittent iſtæ de aſſidua penis ſubagitatione.*

Χειρουργοί. Χειρουργοὶ ἐγένοντο ἄριστοι καὶ ἀκριβεῖς, Φειδίας, Λύσιππος, Πολύκλειτος, τουτέστιν, ἀγαλματοποιοί.

Χειρουργοί. Qui manibus propriis opus aliquod faciunt. Artifices. Statuarii. Statuarii optimi & peritiſſimi fuerunt, Phidias, Lyſippus, Polycletus.

Χείρων, Κένταυρος· ὃς πρῶτος εὗρεν ἰατρικὴν διὰ βοτανῶν. Ὑποθήκας δι᾽ ἐπῶν, ἃς ποιεῖται πρὸς Ἀχιλλέα. καὶ Ἱππιατρικόν. διὸ καὶ Κένταυρος ὠνομάσθη.

Χείρων. Chiron, Centaurus: qui primus medicinam herbariam invenit. [Scripſit] præcepta verſibus, ad Achillem. Item, Medicinam veterinariam. Quare etiam Centaurus eſt appellatus.

Χειρῶναξ. τεχνίτης. χειρῶν μόνων δεσπόζων. ἢ διὰ χειρῶν κτεατιζόμενος. ἢ χειρώνακτες, διὰ χειρῶν ταλαιπωρούμενοι. Πλῆθος ὅσον θητικόν, καὶ ἐν χειρωναξίαις, καὶ ἄλλως ἐγκατῳκισμένον τῇ πόλει, συναγαγών.

Χειρῶναξ. [Proprie,] manuum Rex, ſive dominus. [A χείρ, & ἄναξ. Sic autem dicitur,] opifex, ſive qui manibus victum ſibi parat. Et χειρώνακτες, operarii, opifices. *Cum coegiſſet multitudinem mercenariorum, & opificum, & aliorum qui in urbe habitabant.*

Χειρώνειον ἕλκος. τὸ ἀπὸ πολλῆς στάσεως ἐν τοῖς ποσὶ γινόμενον τραῦμα, καὶ διηνεκῶς ἰχῶρας ἐκχέον. ἡ παροιμία ἐπὶ τῶν ἀνηκέστων καὶ ἀνιάτων ἑλκῶν.

Χειρώνειον ἕλκος. Chironium ulcus. [Sic dicitur] ulcus, quod ex aſſidua ſtatione in pedibus naſcitur, & continenter ſaniem excernit. Proverbium hoc de ulceribus inſanabilibus dicitur.

Χειρῶν νόμῳ. Ὁ δὲ χειρῶν νόμῳ δέχεται ἐπιστολήν.

Χειρῶν νόμῳ. Lege manuum. Id eſt, jure belli. Vi. *Ille autem jure belli epiſtolam accipit.*

Χείρων, Χείρωνος. ὄνομα κύριον. Χείρονος δέ, ἐπὶ συγκριτικοῦ.

Χείρων, ωνος. [Per ω in genitivo.] Chiron. Nomen proprium. At χείρονος, [per ο in ſyllaba penultima,] eſt comparativus. Deterioris. Pejoris.

Χειρώσασθαι. ὑποτάξαι. Αἰλιανός· Καὶ ἐκ τοῦ-

Χειρώσασθαι. Subjicere. In poteſtatem ſuam

1 Χειρομάστης] Quid hoc? An corrupte, pro σιρομάστης, vel χειρομάντις? Certe, quid χειρομάστης ſibi velit, prorſus ignoro: nec vocem illam apud alios Grammaticos reperio.

2 Σκιαμαχοῦντός ἐστιν ὁ ἀνδρ.] Ex Pauſaniæ Eliacis poſterioribus. Vide ſupra v. Γλαῦκος, ubi locum integrum habes. Cæterum, exemplum hoc nihil facit ad vocem χειρονομεῖν.

3 Χειροπληθεῖ λίθῳ] Vide ſupra v. Χερμαδίῳ.

4 Ὅτι Ἕλενος συνέγρ.] Hæc leguntur etiam ſupra v. Ἕλενος.

5 Ἀριστοφάνης] *Eccleſiaz. pag. 731. (491. Ed. Baſ. P.) ubi verſus prior rectius ſic legitur:*

Χαλεπὸν τὸ πρᾶγμ᾽. ὅμως δὲ χειροτονητέον.

6 Ἀριστοφάνης] *Lyſtrata*, pag. 879. (556. Ed. Baſ. P.)

τοῦ

τῶν χειρώσασθαι τὸν ἄνδρα, καὶ ἔχειν αὐτὸν, ὡς εἰπεῖν, ἰδιόξενον.

Χειρῶσαι. [1] ἐρημῶσαι.

Χηλαργοῖς.[2] τοῖς λευκόποσι. ἢ ταῖς ταχείαις. τὰς χηλὰς δὲ ἀντὶ ὁπλῶν εἶπε.

Χηλαί. οἱ ἔμπροσθεν τοῦ πρὸς θάλασσαν τείχους προβεβλημένοι λίθοι, διὰ τὴν τῶν κυμάτων βίαν, μὴ τὸ τεῖχος βλάπτοιτο. παρὰ τὸ ἐοικέναι χηλῇ βοός.

Χηλή. ὁπλή. ὄνυξ βοὸς, καὶ προβάτου, καὶ αἰγός. [3] λέγεται δὲ καὶ τὰ τῶν θαλαττίων στόματα χηλαὶ καρκίνων, καὶ τῶν λιμένων αἱ ἐξοχαί.

Χηλὴ ὄρους. Οἱ δὲ ἀγχοῦ τῆς χηλῆς τοῦ ὄρους ηὐλίζοντο, ὡς τὴν ὕλην καὶ τὸ ἐκ ταύτης νέμος πρόβλημα εἶναι. τουτέστι, τῆς ἐξοχῆς.

Χηλός. κιβωτός. ἀπὸ τῆς γινομένης διαστάσεως κατὰ τὴν ἄνοιξιν. ἢ ἀπὸ τοῦ χεῖσθαί τι εἰς αὐτήν· οἷον ἐντίθεσθαι. ἢ ἀπὸ τοῦ τὰ ἐντιθέμενα χωρεῖν. καὶ χηλοί, κιβωτοί.

Χημάς. ὁ ἰχθύς.

Χημεία. ἡ τοῦ ἀργύρου καὶ χρυσοῦ κατασκευή. ἧς τὰ βιβλία διερευνησάμενος ὁ Διοκλητιανὸς, ἔκαυσεν. [4] ὅτι διὰ τὰ νεωτερισθέντα Αἰγυπτίοις [5] Διοκλητιανοὶ τούτοις ἀνημέρως καὶ φονικῶς ἐχρήσατο. ὅτε δὴ καὶ τὰ περὶ χημείας χρυσοῦ καὶ ἀργύρου τοῖς παλαιοῖς γεγραμμένα βιβλία διερευνησάμενος, ἔκαυσε, πρὸς τὸ μηκέτι πλοῦτον Αἰγυπτίοις ἐκ τῆς τοιαύτης προσγίνεσθαι τέχνης, μηδὲ χρημάτων αὐτοὺς θαρροῦντας περιουσίᾳ, τοῦ λοιποῦ Ῥωμαίοις ἀνταίρειν. ζήτει ἐν τῷ Δέρας.

Χήμη. εἶδος ὀστρέου.

Χὴν, χηνός. τὸ χηνάριον.

Χηναλώπηξ. εἶδος ὀρνέου. [6] οὕτω δὲ ἐλέγετο καὶ Λυσίστρατος, ὃς ἐπὶ μαλακίᾳ διεβέβλητο· πένης καὶ αὐτὸς, καὶ κυβευτὴς ἐν ἀγορᾷ Χολαργέων. Χολαργεῖς δὲ, δῆμος Ἀττικῆς.

Χῆνα [7] ὀμνύναι. ὑπὲρ τοῦ μὴ τοὺς Θεοὺς ἐπὶ πᾶσιν ὀνομάζειν, Ῥαδάμανθυς ἐκέλευε κατὰ χηνὸς καὶ κριοῦ ὀμνύναι· οὐχ, ὥς τινες, Σωκράτης.

Χηνέας. ὄνομα κύριον.

Χηνίσκος. μέρος τι τοῦ πλοίου.

Χήρα. καὶ χηρεία. ἐκ τοῦ χηρεύω.

Χηράμβας [8].

redigere. [Sibi devincire.] Ælianus: *Et exinde virum ſibi devincire, &, ut ita dicam, privatum hoſpitem habere [ſtatuit.]*

Χειρῶσαι. [Capere. In poteſtatem ſuam redigere. At χηρῶσαι,] deſertum reddere, orbare, viduare.

Χηλαργοῖς. Albos pedes habentibus. Vel, velocibus. Χηλὰς vero hic dictum eſt, pro ὁπλάς: [quorum illud ſignificat ungulas biſulcas, quales ſunt boum: hoc vero, ungulas ſolidas, quales ſunt equorum.]

Χηλαί. Chelæ. Sic vocantur ſaxa, muro juxta mare objecta, ad frangendam fluctuum vim, ne murus labefacteтur. Sic autem dicta ſunt, quod ungulæ bovis ſimilia ſint.

Χηλή. Ungula biſulca, qualis eſt bovis, ovis, & capræ. Item χηλαὶ vocantur cancrorum brachia: & ſaxeæ moles portubus objectæ.

Χηλὴ ὄρους. Montis eminentia, vel vertex. *Prope vero montis verticem caſtra poſuerant, ut & ſylva & nemus ipſis adverſus hoſtes munimenti loco eſſent.*

Χηλός. Arca. [Sic dicta] ab hiatu illo, qui fit, cum arca aperitur. Vel a χεῖσθαι, fundi: quod ſcilicet aliquid in eam quaſi infundatur, id eſt, reponatur. Vel [a χεῖσθαι, capere:] quod nimirum capiat & contineat ea, quæ in eam reconduntur. Et χηλοί, arcæ.

Χημάς. Chemas. Piſcis, ita dictus.

Χημεία. Chemia. Sive, ars conficiendi argenti & auri. Chemicos libros Diocletianus perquiſitos combuſſit. † Diocletianus Ægyptiis ob tumultum, quem concitaverant, infenſus, omni acerbitate & crudelitate eos vexavit: libroſque a veteribus [Ægyptiis] de chemia auri & argenti conſcriptos cum perquiſiſſet, igni tradidit, ne ex hujuſmodi arte opes, & ex opibus fiducia atque animus ad rebellandum poſthac Ægyptiis ſuppeterent. Quære in v. Δέρας.

Χήμη. Cheme. Genus oſtrei.

Χήν. Anſer. Et χηνάριον, parvus anſer.

Χηναλώπηξ. Chenalopex. Genus avis. Sic autem vocabatur & Lyſiſtratus, qui propter mollitiem male audiebat: pauper & ipſe, & aleator in foro Cholargenſium. Cholargenſes vero, populus Atticæ.

Χῆνα ὀμνύναι. Per anſerem jurare. Ne ad omnes res nomen Dei adhiberetur, Rhadamanthus per anſerem & arietem jurare juſſit: non, ut quidam, Socrates.

Χηνέας. Cheneas. Nomen proprium.

Χηνίσκος. Anſerculus. Pars quædam navis ſic dicitur.

Χήρα. Vidua. Et χηρεία, viduitas. A χηρεύω, viduus ſum.

Χηράμβας. Viduarum domos.

1 Ἐρημῶσαι] Hæc interpretatio convenit voci χηρῶσαι, per η in ſyllaba prima. Vide infra, v. χηρώσει.

2 Χηλαργοῖς. τοῖς λ.] Ex Scholiaſta Sophoclis ad *Electram*, pag. 120.

3 Λέγεται δὲ καὶ τὰ τῶν θαλαττίων στόματα] Hæc vel corrupta ſunt, vel mutila; nec, quem ſenſum habere poſſint, video.

4 Ὅτι διὰ τὰ νεωτερισθέντα Αἰγ.] Hæc leguntur inter Excerpta ex Joanne Antiocheno, a Valeſio edita, pag. 834. eademque occurrunt ſupra, v. Διοκλητιανός. Cæterum, locum hunc auctoritate MSti A. ſupplevi & diſtinxi, qui in prioribus Editt. minus recte ſic legitur: ὁ Διοκλητιανὸς ἔκαυσε διὰ τὰ νεωτερισθέντα, &c.

5 Διοκλητιανοὶ] Scribe, Διοκλητιανός.

6 Οὕτω δὲ ἐλέγετο καὶ ὁ Λυσ.] Eadem habet vetus interpres Comici ad *Acharnenſ.* pag. 412. (296. Ed. Baſ. *P.*)

7 Χῆνα ὀμν.] Vide Philoſtr. lib. VI. *de Vit. Apoll.* cap. IX. in fin. itemque Noſtrum ſupra v. Λάμπων, & v. Ῥαδάμανθυς.

8 Χηράμβας] Heſychius, χηράμβης, χηρῶν οἴκησις. Sed malim, χηράμβη: a quo deducitur accuſativus pluralis, χηράμβας.

Χηραμοί. οἱ φωλεοί. τῶν θηρίων αἱ καταδύσεις.

Χῆρος. ὁ μετὰ τὴν πρώτης στέρησιν δευτέρᾳ μὴ συνεζευγμένος γυναικί.

Χηρώσειεν. ἐρημώσειε.

Χηρωσταί. οἱ ἀλλότριοι τοῦ γένους κληρονόμοι. ἢ οἱ διοικοῦντες τοὺς χηρεύοντας διαδόχων. ἢ καὶ ὧν αἱ γυναῖκες ἔμειναν χῆραι, καὶ τῶν ἐπιτροπευόντων δεόμεναι.

Χήτει. στερήσει. Μὴ βραδύνειν ἐν τοῖς ἐπείγουσι, χήτει ξένων τε καὶ ὀθνείων ξυνεργῶν.

Χήτει. ἐνδείᾳ. σπάνει. στερήσει. [1]Ἀγαθίας· Οἱ δὲ χήτει τῶν ἄλλων ἐπιτηδείων ἔθλιβον τοὺς βότρυας, καὶ ἐνεφοροῦντο τοῦ γλεύκους. ἔνθεν αὐτοῖς ἡ γαστὴρ ἐπὶ μέγα ἐφέρετο, καὶ διέρρει.

Χιάζειν. Πραξιδάμας Δημόκριτον τὸν Χῖον καὶ Θεοξενίδην τὸν Σίφνιον πρώτους ἐπὶ [2]χρήματος τάξαι τὴν ἰδίαν ποίησιν· ὡς Ἰσοκράτης ἐν τοῖς πρὸς Εἰδοθέαν. ὡς παρ' Ἀριστοφάνει τεταγμένον·

——Ὑπολείνει[3] δέ τις αὐτὸν βωμολοχεῦσαι,
Αὐτὸς δείξας ἐν ἁρμονίαις χιάζων ἢ σιφνιάζων.

Χιανεύει,[4] καὶ λαικάζει. Ἀριστοφάνης.

Χίδρα.[5] στάχυες νεογενεῖς. ἢ κρίμνα. ἢ τὰ ἐξ ὀσπρείων ἄλευρα. ἢ τὰ ὄσπρια. ἰδίως δὲ τὰ ἀπὸ χλωρᾶς κριθῆς. χίδρα δὲ εἴρηται, παρὰ τὸ χεῖσθαι.

Χίδρα. τὰ εἰς τὴν χεῖρα λεπτυνόμενα ἀπὸ τῶν ἀσταχύων σίτου καὶ κριθῆς.

Χίδρα. Χίδρον, τὸ ἀπὸ [6]ἐλύμνου γιγνόμενον ὄσπριον, ἔδεσμα περὶ Καρίαν. ἤτοι, τὸ ἀπὸ χλωρῶν κριθῶν. οἱ δὲ, εἶδος βοτάνης. ἐκ δὲ τούτου δηλοῖ τὴν εὐετηρίαν.

Χίδρα[7] ἐρεικτά. ἐκ κριθῆς νέας κεχυμένα, ὡς σεμίδαλις.

Χιβούλδιος.[8] οὗτος ἦν ἐκ τῆς Ἰουστινιανοῦ οἰκίας· ἐστάγαν μὲν δραστήριος τὰ πολεμικά, ἐς τοσοῦτον δὲ χρημάτων κρείσσων, ὥστε ἀντὶ μεγίστου κτήματος ἐν τῇ οὐσίᾳ τῇ αὐτοῦ εἶχε τὸ κεκτῆσθαι μηδέν. ὥστε τούτου στρατηγήσαντος Θρᾴκης, καὶ ἐπὶ τῇ τοῦ Ἴστρου φυλακῇ καταστάντος, καὶ ἐν πολέμῳ ἀναιρεθέντος, [9]συμβῆναι τὸν Ἴστρον ἐσβατὸν κατ' ἐξουσίαν τοῖς βαρβάροις γενέσθαι. τὰ Ῥωμαίων πράγματα, καὶ ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ ἀνδρὸς ἑνὸς ἀρετῇ ἀντίρροπος γενέσθαι ἐν τῷ ἔργῳ τῷδε οὐδαμῇ ἴσχυσεν.

Χιλή. τροφή. καὶ χιλὸς, ἀρσενικῶς, ἡ τροφή. Ξενοφῶν· Τὰ δὲ κτήνη πάντα χιλῷ ἔνδον ἐτρέφετο. †

Χηραμοί. Ferarum latibula. Luſtra ferarum.

Χῆρος. Viduus. Sive, qui poſt mortem primæ uxoris non duxit alteram uxorem.

Χηρώσειεν. Viduarit. Deſertum reddiderit.

Χηρωσταί. Hæredes externi. Vel, qui bona eorum adminiſtrant, qui hæredibus carent. Vel etiam illi, quorum uxores manſerunt viduæ, & tutoribus indigent.

Χήτει. Privatione. Inopia. *Non cunctandum eſſe, negotiis urgentibus, propter mercenariorum & peregrinorum militum penuriam.*

Χήτει. Indigentia. Penuria. Inopia. Privatione. Agathias: *Illi vero præ inopia aliarum rerum neceſſariarum, ſucco ex uvis expreſſo, muſto ſeſe ingurgitarunt. Unde venter illis intumeſcere & profluvio laborare cœpit.*

Χιάζειν. Chios imitari. Praxidamas Democritum Chium & Theoxenidem Siphnium [ait] primos poemata pacta mercede conſcripſiſſe: ut Iſocrates tradit in opere ad Idotheam. Ariſtophanes: *Aliquis ſuggerit, ipſum ſcurrilibus jocis uti, cum ipſe oſtendat ſe in harmoniis Chios & Siphnios imitari.*

Χιανεύει, καὶ λαικ. *Liquat, & ſcortatur.* Ariſtophanes.

Χίδρα. Spicæ novellæ. Vel, craſſiores triticeæ farinæ partes. Vel, leguminum farina. Vel, ipſa legumina. Proprie vero ſic vocantur ea, quæ ex novello hordeo parata ſunt. Χίδρα vero dictum eſt a χεῖσθαι, i. e. fundi.

Χίδρα. Spicæ tritici & hordei manu tritæ.

Χίδρα. Χίδρον dicitur edulium ex panico factum, quod in Caria frequens eſt, Vel, edulium, quod ex viridi hordeo paratum eſt. Alii dicunt eſſe genus herbæ. Per id ipſum autem annonæ copiam indicat.

Χίδρα ἐρεικτά. Recens hordeum freſum & contuſum: ut ſimilago.

Χιβούλδιος. Chibuldius. Hic unus ex Juſtiniani domeſticis fuit, bellator fortiſſimus, & tantus opum contemptor, ut in fortunis ſuis magnæ poſſeſſionis loco duceret, nihil poſſidere. Quare cum Thraciæ & Iſtri cuſtodiæ præfectus eſſet, & poſtea in prælio occumberet; Barbari amnem impune trajicere cœperunt, & ditiones Romanæ incurſibus eorum patuerunt. Adeo univerſum imperium Romanum unius viri virtutem hac in re exæquare nullo modo potuit.

Χιλή. Cibus. Pabulum. Et χιλὸς, genere maſculino. Idem. Xenophon: *Jumenta vero*

1 Ἀγαθίας] Lib. II. pag. 39.

2 Ἐπὶ χρήματος τάξαι τὴν ἰδ.] Locus eſt obſcurus, & corruptus, quem ſic emendandum cenſeo, ἐπὶ χρήματι συντάξαι τὴν ἰδίαν, &c. Hanc lectionem in verſione ſecutus ſum.

3 Ὑποτείνει δέ τις αὐτ.] Fragmentum hoc propter brevitatem obſcurum eſt, quod ex aliqua fabularum Ariſtophanis hodie deperditarum depromptum eſt.

4 Χιανεύει] Sic Suidam olim in codice ſuo Ariſtophanis legiſſe, ſeries literarum oſtendit. At hodie apud Ariſtoph. rectius legitur κιανεύει. Locus autem Comici exſtat in *Theſmophoriaz.* pag. 768. (513. Ed. Baſ. P.)

5 Χίδρα] De hac voce vide omnino Caſaubonum ab Athenæum lib. XIV. cap. XVI. Grammaticorum enim Græcorum in explicanda hac voce tanta eſt inconſtantia, ut Lector ab illis incertior quam antea diſcedat.

6 Ἐλύμνου] Lege, ἐλύμου. Vide Lexica.

7 Χίδρα ἐρεικτά] Levit. 2. 14. Ἐὰν δὲ προσφέρῃς θυσίαν πρωτογεννημάτων τῷ Κυρίῳ, νέα πεφρυγμένα χίδρα ἐρεικτὰ τῷ Κυρίῳ. Ad hunc locum Suidas reſpexit. Vide etiam ſupra v. Πεφρυγμένα.

8 Χιβούλδιος. οὗτος ἦν ἐκ τῆς Ἰου.] Hæc excerpta ſunt ex Procopii lib. III. *de Bello Goth.* cap. XIV.

9 Συμβῆναι τὸν Ἴστρον ἐσβ.] Apud Procopium ſic legitur, καὶ τὸ λοιπὸν ὅ, τε ποταμὸς ἐσβατὸς ἀεὶ τοῖς βαρβάροις κατ' ἐξουσίαν, καὶ τὰ Ῥωμαίων πράγματα εὐέφοδα γέγονε· ξύμπασά τε ἡ Ῥωμαίων ἀρχὴ &c.

Διὰ

Διὰ τῆς ἑτέρης χώρης, τῇ χιλός τε ἵπποις καὶ ὕδατα ἦν. Ἡρόδοτος. † Ὅστε σῖτος καὶ χιλὸς ἐν τῇ χώρᾳ, εἴσω τειχῶν κομίζεσθαι. ἀρσενικῶς δέ ἐστιν, ὁ χιλός. καὶ Ἀχιλλεύς, ὁ ἥρως, παρὰ τὸ μὴ μετασχεῖν χιλοῦ. μυελοῖς γὰρ ἐτρέφετο. ὁ χιλὸς ἐν χέρσῳ φύεται. τοῦτο δέ ἐστι χόρτος. ὅθεν τὸ [1] ἐκκεχιλωμένην, ἀντὶ τοῦ, ἐφθισμένην, ἢ κεχερσωμένην. οἷον [2] ἐξηλειμμένην.

Χίλια. ὁ ἀριθμός.

Χιλίαρχος. [3] Δεκαπέντε πρὸς τοῖς τριακοσίοις ἐτῶν ἀπὸ τοῦ πρώτου συνοικισμοῦ τοῦ ἄστεος διαγεγονότων, Χιλίαρχοι τὴν ἀρχὴν Ῥωμαίων παρειλήφασι.

Χιλιοστύς. χίλιοι ἄνδρες. [4] Σημεῖα δὲ ἦν τοῖς Ἰνδοῖς καθ᾽ ἑκάστους, καὶ ἄλλα τῶν γενῶν πάτρια. τῶν δὲ ἱππέων, καθ᾽ ἑκάστην χιλιοστὺν, δράκων ἡγεῖτο ἐπὶ κάμακος ἀνατεταμένος. ἀργύρεος μὲν ἡ κεφαλὴ πεποίητο, σεσηρότων ὀδόντων, καὶ τοῦ χάσματος ἀπειλὴν ἔχοντος. τὸ δὲ ἄλλο σῶμα [5] συγκεκυφὸς ἦν ἔς τε μῆκος, καὶ βάθος, καὶ τὸ ποικίλον τῆς χρόας ἐς ἀληθινὸν δράκοντα. τοῦτο φέρων ἱππεὺς, μετεωρίσας τὸν κάμακα εἰς τὸν ἀέρα, ῥύμῃ διώκει τὸν ἵππον· καὶ ἐμπίπλει μὲν, ὥσπερ εἰκὸς, ἐλαυνόμενον [6] βίᾳ τοῦ πνεύματος, ἐν τοῖς κόλποις τοῦ ὅλου ὕφους, καὶ διέξοδον εὑρεῖν διὰ τὸ στεγανὸν οὐ δυνάμενον, κυμαίνει τε ἐς τὸν ἀέρα, μετεωρίζον τὸ ποικίλον ἤτριον πάσας ἑλίσσει τροπὰς, ὥσπερ ὁλκὸν δράκοντος ἀληθινοῦ.

Χιλιωθέντα. [7] ἀντὶ τοῦ [8] χίλια σοφὰ ὄντα· ὡς Λυκοῦργος. ὁ δ᾽ αὐτὸς καὶ χιλιῶσαι ἔφη.

Χιλιῶν δραχμῶν. οὕτως οἱ Ἀττικοὶ περισπῶσιν.

Χίλιοι [9] διακόσιοι. Ἰσαῖος φησίν· [10] Οὐδεὶς Λυσίδης ἐστὶ τῶν διακοσίων καὶ χιλίων. οἱ πλουσιώτατοι τῶν Ἀθηναίων χίλιοι διακόσιοι ἦσαν· οἳ καὶ ἐλειτούργουν. μνημονεύουσι δὲ αὐτῶν καὶ ἕτεροι ῥήτορες.

Χιλός. ζήτει ὀπίσω ἐν τῷ Χιλή.

Χίλων, [11] Χίλωνος, Δαμαγήτου, Λακεδαιμόνιος, εἷς τῶν ζ΄. Σοφῶν· ὃς ἦν βραχυλόγος. ὅθεν Ἀρισταγόρας ὁ Μιλήσιος τοῦτον τὸν τρόπον Χιλώνειον καλεῖ. καὶ Χιλώνειος τρόπος, ἡ βραχυλογία. ὁ γὰρ Χίλων βραχυλόγος ἦν.

Χίμαρος. ὁ τράγος. καὶ χίμαιρα, ἡ αἴξ. χείμαρρος δέ ἐστιν, ὁ ἐν τῷ χειμῶνι ῥέων ποταμός.

Χίμετλα. [12] τὰ ἀποκαύματα λεγόμενα, ἅπερ γίνεται ἀπὸ χειμῶνος ἐν τοῖς ποσί.

omnia pabulo intus alebantur. † *Per aliam regionem, in qua equis pabulum & aquæ ſuppetebant.* Herodotus. † *Omne frumentum & pabulum, quod in regione erat, intra mœnia comportari* [*juſſit.*] Et Achilles heros [dictus eſt ab α privativo, & χιλός:] quod non nutriretur cibo [communi.] Medullis enim alebatur. Χιλός, i. e. pabulum, vel herba, quæ in terra naſcitur. Hinc ἐκκεχιλωμένην, mentitam. Vel, vaſtatam, & neglectam.

Χίλια. Mille. Numerus eſt.

Χιλίαρχος. Tribunus militum. Trecentis & quindecim annis ab urbe condita elapſis, Tribuni militares [Conſulari poteſtate] ſummam rerum Romæ adminiſtrare cœperunt.

Χιλιοστύς. Mille viri. *Indis autem ſingulis erant vexilla, & alia familiarum avita ſigna. Singulis vero equitum turmis, quæ millenariæ erant, præibat draco, perticæ impoſitus: cujus caput erat argenteum, dentibus exertis, & rictu minitabundo. Reliquum vero corpus ex ſerico contextum, longitudine & profunditate & coloris varietate verum draconem referebat. Hoc vexillum ferens eques, pertica in aerem ſublata, impetu concitat equum; & ventus, ut credibile eſt, magna vi impulſus draconem intrat: in cujus cavo ſinu dum rotatur, nec propter laterum denſitatem exitum invenire poteſt, in aere fluctuans, variegatum vexillum elevat, & variis vibrationibus agitat, ut pene veri draconis tractus exprimantur.*

Χιλιωθέντα. Eum, qui mille drachmis mulctatus eſt: ut Lycurgus. Idem etiam χιλιῶσαι dixit.

Χιλιῶν. Sic Attici vocem hanc circumflectunt: [pro communi, χιλίων.]

Χίλιοι διακόσιοι. Mille & ducenti. Iſæus dicit: *Neque Lyſides eſt unus ex mille & ducentis.* Athenienſium ditiſſimi fuerunt mille & ducenti: qui etiam publica munera obibant. Horum autem & alii oratores mentionem faciunt.

Χιλός. Quære ſupra in voce Χιλή.

Χίλων. Chilo, Chilonis, Damageti filius, Lacedæmonius, unus ſeptem Sapientum: qui fuit breviloquus. Quamobrem Ariſtagoras Mileſius hunc modum [dicendi] Chilonium vocat. Et modus [dicendi] Chilonius. Id eſt, breviloquentia. Chilo enim breviloquus fuit.

Χίμαρος. Hircus. Et χίμαιρα, capra. At χείμαρρος, torrens: ſic dictus a χειμὼν, & ῥέω; quod nempe in hyeme fluat.

Χίμετλα. Perniones, qui ex vi frigoris in pedibus naſcuntur.

1 Ἐκκεχιλωμένην, ἀντὶ τοῦ ἐψ.] Eadem leguntur etiam ſupra, v. Ἐκκεχιλωμένην.
2 Ἐξηλειμμένην] Scribe, ἐξημελημένην: ut ſupra v. Ἐκκεχιλωμένην.
3 Δεκαπέντε πρὸς τοῖς τρ.] Confer Dionyſ. Halicarn. lib. XI. ſub finem.
4 Σημεῖα δὲ ἦν τοῖς Ἰνδ.] Cum toto hoc loco Confer Suidam ſupra v. Ἰνδοί, ubi eadem leguntur.
5 Συγκεκυφός] Supra v. Ἰνδοί, rectius, σηρικοῦ ὑφάσματος.
6 Βίᾳ τοῦ πνεύματος, ἐν τοῖς κόλπ.] Supra v. Ἰνδοί rectius ſic legitur, βίᾳ τὸ πνεῦμα. κολπούμενον δὲ ἐν τοῖς κόλποις τοῦ κοίλου ὕφους, &c.
7 Χιλιωθέντα] Confer Heſych. v. Κεχιλιωμένος.
8 Χίλια σοφὰ ὄντα] Sic etiam Harpocratio. At peſſime. Scribendum enim eſt, χιλίας ὀφλόντα: ut viri docti jamdudum ante monuerunt. Vide Paul. Leop. *Emend.* lib. XVI. cap. XX.
9 Χίλιοι διακόσιοι] Confer Noſtrum ſupra, v. Συμμορία.
10 Οὐδείς] Forte, οὐδέ.
11 Χίλων] Ejus vitam habes apud Laertium.
12 Χίμετλα] Alii ſcribunt χείμετλα, per ει in ſyllaba prima. Cæterum de voce hac vide Schol. Ariſtoph. ad *Veſpas*, pag. 514. & alios Grammaticos: qui rem melius & clarius exponunt.

Χιών

Χῖον κεράμιον. ζήτει ἐν τῷ Ἀθήναιος.

Χιόνος. καὶ χιονωθήσονται. ψυχρανθήσονται. ἢ λαμπρυνθήσονται. [1] Χιονωθήσονται ἐν Σελμών.

Χίος. ἡ νῆσος. λέγεται καὶ Αἴθλη.

Χιὼν [2] φανεῖσα δυσμενῶν ἔχθρας φέρει.

Χιών. ἡ λευκότης τῆς χιόνος χωριστόν ἐστι συμβεβηκός. συνίσταται γὰρ ἐκ νέφους ὕλης καὶ πήξει· ἥτις δι' ὑπερβολὴν ψυχρότητος γινομένη μετ' ἐναπολήψεως πνεύματός τινος, ᾗ ἐξ ἀνάγκης ἕπεται ἡ λευκότης. ἡ γὰρ ἀέρος τοῦ ἐντὸς ἐν τῷ νέφει ἐναπόληψίς τε, καὶ πλῆξις, καὶ τρῖψις ἐν τῇ τοῦ νέφους πήξει, ἥτις δι' ὑπερβολὴν ψυχρότητος γινομένη φθάνει τὴν ἔκκρισιν, αὕτη τοῦ τοιούτου χρώματος ἡ αἰτία. τριβόμενον γὰρ καὶ κινούμενον τὸ πνεῦμα, λευκαίνεται. διὰ τοῦτο γὰρ καὶ ὁ ἀφρὸς λευκός. τρῖψις δέ τις καὶ κίνησις γίνεται ἐν τῇ πήξει τοῦ νέφους, τοῦ ἐν αὐτῷ πνεύματος συστελλομένου, καὶ εἰς τὸ βάθος ἀποκλειομένου, καὶ τὴν ἔκκρισιν ἐμποδιζομένου. καὶ ἔστιν ἐκεῖνα μὲν τῆς οὐσίας τῆς χιόνος. τὸ δὲ λευκὸν ἐπακολουθεῖν ἐκείνοις· καὶ ἔστι πάθος τι συμβεβηκός, τῷ μὴ εἶναι συμπληρωτικὸν τῆς οὐσίας τῆς χιόνος. εἰ γὰρ μήτε ὕλη τῆς χιόνος τὸ λευκόν, μήτε εἶδος, οὐκ ἔστιν ἐν τῇ οὐσίᾳ τῆς χιόνος. τῷ δὲ συμπτώματι τῆς ὕλης ἐπιγινόμενον ἐν τῇ εἰς τοιοῦτον εἶδος μεταβολῇ, τούτῳ ἀχώριστόν ἐστιν αὐτῆς. † [3] Πολλοὶ δὲ τοὺς ὀφθαλμοὺς ὑπὸ τῆς χιόνος διεφθάρησαν, καὶ τοὺς δακτύλους τῶν ποδῶν ἀποσεσηπότες ἕτεροι. ἦν δὲ τοῖς μὲν ὀφθαλμοῖς [4] ἐπικούφημα τῆς χιόνος, εἴ τις μέλαν τι πρὸ τῶν ὀφθαλμῶν ἔχων ἐπορεύετο. τῶν δὲ ποδῶν, εἴ τις κινοῖτο, καὶ μηδέποτε ἡσυχίαν ἔχοι, καὶ εἰ τὴν νύκτα [5] ὑπολύοιτο. ὅσοι δὲ ὑποδεδεμένοι ἐκοιμῶντο, εἰσεδύοντο ἐς τοὺς πόδας οἱ ἱμάντες, καὶ τὰ ὑποδήματα ἐπήγνυντο. Ξενοφῶν ἐν τῇ Ἀναβάσει.

Χιωνίδης, [6] Ἀθηναῖος, κωμικὸς τῆς ἀρχαίας κωμῳδίας· ὃν καὶ λέγουσι πρωταγωνιστὴν γενέσθαι τῆς ἀρχαίας κωμῳδίας, διδάσκειν δὲ ἔτεσιν ὀκτὼ πρὸ τῶν Περσικῶν. τῶν δραμάτων αὐτοῦ ἐστι καὶ ταῦτα· [7] Ἥρως, [8] Πτωχοί, Πέρσαι, ἢ Ἀσσύριοι.

Χιράς. εἶδος πάθους.

Χιτών. ἱμάτιον ἀνδρικόν. καὶ, [9] χιτωνίσκος χειριδωτός, οἷος πρέπει δούλῳ παιδί. χιτὼν οὖν ἐστι, λεπτὸν ἱμάτιον. ὑποκάμισον. παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι. [10] Χιτῶνα γ' ἔχων οὔλων ἐρίων ὑπένερθε, κἂν ταῦτα λέγων ἐξαπατήσῃ παρὰ τοὺς ἰχθύας ἀνέκυψε. τουτ-

Χῖον κεράμιον. Chium vas fictile. Quære in voce Ἀθήναιος.

Χιόνος. Nivis. Et χιονωθήσονται, Nivis inſtar algebunt. [Nive perfundentur, vel operientur.] Nivis inſtar, ſplendeſcent, vel dealbabuntur. *In Selmon nivis inſtar ſplendeſcent.*

Χίος. Chius, inſula: quæ & Æthle dicitur.

Χιὼν φαν. *Nix [in ſomnis] apparens, inimicorum inimicitias affert.*

Χιών. Nix. Albedo nivis eſt accidens ſeparabile. Conſtat enim ex nube, ut materia, & concretione, quæ ob intenſum frigus fit cum incluſione ſpiritus alicujus; quam neceſſario candor ſequitur. Nam aeris in nube incluſio, & percuſſio, & attritio in nubis concretione, quæ ex nimio frigore orta, præcedit excretionem, hujus coloris cauſa eſt. Spiritus enim, cum teritur & movetur, albeſcit. Quæ ratio eſt, quare & ſpuma alba ſit. Frictio vero quædam & motio fit in concretione nubis, dum ventus, qui in ea ineſt, contrahitur, & in profunditate includitur, & excretionem impedit. Ac illa quidem ſunt de ſubſtantia nivis. Albedo vero ea ſequitur, & eſt accidens quoddam, quia ſubſtantiam nivis non conſtituit. Nam ſi albedo neque materia nivis eſt, neque forma; non eſt in ipſa nivis ſubſtantia. Sed quia eſt accidens, materiæ ſuperveniens, quum in talem formam mutatur; ideo ab ea ſeparari nequit. † *Multi autem ob nivis fulgorem viſum amiſerunt; & aliis digiti pedum ex frigore putruerunt. Remedium autem adverſus nivem erat, ſi quis ita pergeret, ut nigri aliquid ante oculos haberet. Pedibus vero conſulebatur, ſi quis ſe moveret, nec unquam interquieſceret, noctuque calceamenta ſolveret. Quotquot enim calceati cubabant, iis lora in pedes imprimebantur & calcei pedibus adhæreſcebant.* Xenophon in Expeditione Cyri.

Χιωνίδης. Chionides, Athenienſis, Comicus antiquæ comœdiæ: quem etiam ajunt principem comœdiæ antiquæ fuiſſe, & annis octo ante bellum Perſicum fabulas docuiſſe. Ex fabulis ejus ſunt & hæ: Heros, Mendici, Perſæ, ſive Aſſyrii.

Χιράς. Chiras. Genus morbi.

Χιτών. Tunica. Sive, veſtimentum virile. Et, tunicula manicata, qualis ſervo convenit. Tunica autem eſt veſtimentum tenue: [quod a recentioribus Græcis] ὑποκάμισον [vocatur. Dictus eſt autem χιτὼν] ab ἐγχεῖσθαι: quod nempe circa membra fundatur.

1 Χιονωθήσονται ἐν Σελμών] Pſalm. LXVII. 15.

2 Χιὼν φανεῖσα δυσμ.] Eſt verſus ad ſomniorum interpretationem pertinens, qui legitur etiam apud Aſtrampſychum.

3 Πολλοὶ δὲ τοὺς ὀφθ.] Hæc ſunt verba Xenophontis lib. IV. Ἀναβ. pag. 330. ut Portus etiam monuerat.

4 Ἐπικούφημα] Xenophon rectius, ἐπικούρημα.

5 Ὑπολύοιτο] Sic recte Xenophon loco laudato: itemque optimus MS. A. At priores Editt. male, ἀπολύοιτο.

6 Χιωνίδης] Sic MS. A. At priores Editt. Χιονίδης, per ο in ſyllaba ſecunda: quam lectionem ſeries literarum refellit. Alii tamen ſcriptores eum appellant Χιωνίδην, per ω: ut Ariſtoteles *de Poet.* cap. III. Athenæus, lib. III. & XIV. & Pollux. Præterea ejus mentionem facit Vitruvius in Præfat. lib. VI. Vide Meurſium in *Bibliotheca Attica.*

7 Ἥρως] Laudatur hæc fabula ab ipſo Suida ſupra, v. Ἄγνος: & Polluce lib. X. cap. VIII.

8 Πτωχοί] Laudatur ab Athenæo, lib. III. & XIV.

9 Χιτωνίσκος χειριδ.] Procopius *Hiſt. Arc.* cap. IX. Θεοδώρα δὲ, ἡ μετ' ἐκείνην χιτωνίσκον χειριδωτὸν ἀμπεχομένη, δούλῳ παιδὶ πρέποντα, &c. Huc Suidas reſpexit.

10 Χιτῶνα γ' ἔχ.] Fragmentum hoc valde lacerum eſt, ſenſuſque ejus obſcurus: cui abſque ope meliorum codicum lucem afferre non poſſumus.

τοῦτ,

σιν, ἀναφαίνεται περὶ τὰ ἰχθυοπώλια. τουτέστι, γλύφων εὑρίσκεται.

Tunicam habens ex criſpis lanis confectam, * * * * *in foro piſcario viſus eſt.*

Χιτὼν [1] ῥαγεὶς, ἔῤῥηξε φροντίδων βάρος.

Χιτὼν ῥαγ. *Tunica rupta curarum onus rumpit.*

Χιτωνίσκους. [2] Ξενοφῶν· Χιτωνίσκους δὲ ἐνδεδύκεσαν ὑπὲρ γονάτων, πάχος ὡς λινοῦ στρωματοδέσμου.

Χιτωνίσκους. Parvas tunicas. Xenophon: *Parvis autem tunicis ſupra genua induti erant, craſſitie lineæ faſciæ, qua veſtis ſtragula conſtringitur.*

Χθαμαλά. ταπεινά. ὁμαλά. ἴσα. Δοκιμάζων, ἢ ἅμα μὲν στερεά, ἅμα δὲ χθαμαλὸν ἦν τοῦ ποταμοῦ. καὶ χθαμαλώτατον, ταπεινότατον.

Χθαμαλά. Humilia. Depreſſa. Æqualia. Plana. *Explorans, partim, qua fluminis alveus eſſet durus; partim, qua depreſſus.* Et χθαμαλώτατον, humillimũ. Maxime depreſſum.

Χθές. τὸ κατ' ἀρχὴν ε ἀφελὼν λέγει ὁ Πλάτων. τὸ δὲ χθὲς παρὰ τὸ ἐκθεῖν, ὅ ἐστι παρελθεῖν. ἰστέον δὲ, ὅτι ὁ μὲν Πλάτων προὔργου εἶχε τὸ κατέβην. τὸ δὲ χθὲς, πάρεργον. οἷον, Κατέβην χθὲς εἰς Πειραιᾶ. ὁ δὲ [3] Θεολόγος τὸ χθὲς εἶχε σκοπόν. Τὸ δὲ, Τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ, παρέλκον. ὃ οὖν ἕκαστος εἶχε προηγούμενον, ἐκεῖνο προὔτρεψε.

Χθές. Heri. Sic Plato dixit, ſublato ε, pro ἐχθές. Χθές autem dictum eſt ab ἐκθεῖν, i.e. excurrere, vel præterire. Sciendum autem eſt, Platonem verbi κατέβην primariam habuiſſe rationem: at adverbii χθὲς, ſecundariam; in loco illo: *Heri deſcendi in Piræeum.* At Theologo τὸ χθὲς velut ſcopus propoſitus fuit, [cum dixit: *Heri ſplendido luminum die.*] Illud vero, Τῇ λαμπ. τ. Φ. ἡμ. ſuperfluum eſt. Quod igitur quilibet præcipuum ducebat, id priore loco poſuit.

Χθεσιφωνῶν. κακολογῶν.

Χθεσιφωνῶν. Maledicens.

Χθεσινοί. ἀργοί. ἄχρηστοι. καὶ, χθιζὸς, ὁ χθεσινός.

Χθεσινοί. Heſterni. Otioſi. Inutiles. Et χθιζὸς, heſternus.

Χθονία. ἀντὶ τοῦ σκοτεινή. Πολιτείας δεκάτῳ· Μὴ χθονίαν καὶ τραχεῖαν πορεύεσθαι, ἀλλὰ λείαν καὶ οὐρανίαν. ἀνθυποφέρει γὰρ τῇ μὲν τραχείᾳ, λείαν· τῇ δὲ χθονίᾳ, τὴν οὐρανίαν. ἀντὶ τοῦ λαμπράν. καὶ παρ' Ἀλκμᾶνι δὲ, ὅτε φησὶ, Χθόνιον τέρας· ἐπὶ τῆς ἔριδος· Τινὲς ἀντὶ τοῦ στυγνὸν ἐδέξαντο. ἔνιοι δὲ, ἀντὶ τοῦ μέγα. ἐπεὶ πρὸς αὐτὴν λέγει.

Χθονία. [Proprie, terreſtris. Vel, ſubterranea. Inferna. Interdum vero accipitur] pro, obſcura. [Plato] libro x. *de Republ. Non obſcuram & aſperam viam ire [oportet,] ſed planam & cœleſtem.* Viæ enim *aſperæ* opponit *planam*; at *obſcuræ*, *cœleſtem*, i.e. ſplendidam. Et cum Alcman de Lite ait, χθόνιον τέρας: quidam id interpretantur, *Monſtrum inviſum.* Alii vero, *Monſtrum ingens.*

Χθόνια λουτρά. τὰ τοῖς νεκροῖς ἐπιφερόμενα. ἐκόμιζον γὰρ εἰς τάφους λουτρά.

Χθόνια λουτρά. Lavacra inferna. Id eſt, lavacra mortuorum. [Veteres] enim lavacra ad ſepulcra afferre ſolebant.

Χθονίας βροντάς. [4] Κλήσατε χθονίας βροντάς. ἀντὶ τοῦ ὑμνήσατε. Χθονίας δὲ, φοβεράς. πάντα γὰρ τὰ δεινὰ γῆς γενεαλογοῦσιν. οἱ δὲ, τὰς μέγαν ἦχον ἀποτελούσας. ἢ τὰς ὑπὸ τῆς γῆς γινομένας. ὅτε γὰρ ἠχεῖ ἡ γῆ, ἀναπέμπει τὸν ἦχον εἰς τὸν οὐρανὸν καὶ δοκοῦσιν οἱ ἄνθρωποι ἐξ οὐρανοῦ γίνεσθαι τὰς τοιαύτας βροντάς. ἢ τὰς μέχρι τῆς γῆς ἀκουομένας. ἢ τὰς τὴν γῆν κινούσας. καὶ Χθόνιος Ζεὺς, ὁ καταχθόνιος.

Χθονίας βροντάς. Fulmina terreſtria. *Carminibus celebrate tonitrua terreſtria.* Χθονίας vero dixit pro φοβεράς, i.e. terribilia. Omnia enim terribilia ex terra orta eſſe fingunt. Alii vero interpretantur, magnum ſtrepitum edentia. Vel, a terra edita. Cum enim terra mugit, ſonus ad cœlum uſque emittitur: unde homines putant, tonitrua hujuſmodi ex cœlo edi. Vel, [tonitrua,] quæ uſque ad terram audiuntur. Vel, terram concutientia. Et Χθόνιος Ζεὺς, Jupiter Infernus.

Χθονίων. ἐπιγείων.

Χθονίων. Terreſtrium. Terrenorum.

Χθονοπλάστου. ἀπὸ γῆς πλασθέντος.

Χθονοπλάστου. Ex terra formati. [Epithetum Adami.]

Χθονοστιβῆ. τὰ ἐν τῇ γῇ. τὰ ἐπίγεια. [5] Ἄῤῥητά τε καὶ χθονοστιβῆ.

Χθονοστιβῆ. Quæ ſunt in terra. Terreſtria.

Χθών. γῆ.

Χθών. Tellus. Terra.

Χλαμύς. [6] Νουμᾶς ὁ [7] πρῶτος Ῥωμαίων βασιλεὺς, πρεσβείαν Ἰσαύρων δεξάμενος, καὶ τὸ σχῆμα τῆς φορεσίας αὐτῶν καταμαθὼν, ἐξ αὐτῶν λαβὼν ἐ-

Χλαμύς. Chlamys. Numa, primus Romanorum Rex, cum Iſaurorum legati ad eum veniſſent, habitu illorum obſervato, formam

1 Χιτὼν ῥαγ.] Eſt verſus onirocriticus, qui legitur etiam apud Aſtrampſychum.

2 Ξενοφῶν] Lib. v. *de Exp. Cyr.* pag. 352.

3 Ὁ δὲ Θεολόγος τὸ χθὲς εἶχε σκ.] Hæc ſumpta ſunt ex Scholio aliquo ad locum illum Gregorii Nazianz. initio orationis XL. Χθὲς τῇ λαμπρᾷ τῶν φώτων ἡμέρᾳ, &c. ut Pearſonius recte obſervaverat.

4 Κλήσατε χθονίας βροντάς] Ariſtoph. *Avibus*, pag. 619. Καὶ τὰς χθονίας κλήσατε βροντάς. Vide ibi Scholiaſtam, qui eadem habet, quæ hoc loco Suidas.

5 Ἄῤῥητά τε καὶ χθ.] Sophocles *Oedip. Tyran.* pag. 164. Ἄῤῥητά τε, ἀργά τε, καὶ χθονοστιβῆ.

6 Νουμᾶς ὁ πρ.] Nugæ meræ ſunt, quæ Suidas hic de Numa refert. Quibus gemina ſunt, quæ de eadem re tradit Joannes Malelas in *Chronographia.* pag. 38. qui cum hoc loco conferendus eſt.

7 Ὁ πρῶτος] Imo, ὁ δεύτερος: ut hiſtoriæ Romanæ ſcriptores docent.

φεῦρε τὴν χλαμύδος στολὴν, ἑνώσας τὴν βασίλειον τῇ συγκλήτῳ, οὐκ ἔξωθεν ἐπιθεὶς, ἀλλ' ἔσωθεν ἐμβαλὼν τὴν τῆς πορφύρας βαφήν· ὥστε ἐξ ἑκατέρου τύπου ἓν ἀποτελεσθῆναι σῶμα, καὶ ἐν τοῖς τῶν βουλευτῶν ὑποδήμασιν ἀποσημαίνεσθαι τὸ Ῥωμαϊκὸν κάππα. Καὶ παροιμία· Ἡ Συλοσῶντος χλαμύς. ἐπὶ τῶν ἀλαζονευομένων ἐπ' ἐσθῆτι. οὗτος γὰρ εἶχε πολυτελῆ ἐσθῆτα, ἣν ἐδωρήσατο Δαρείῳ ἰδιωτεύοντι ἔτι· καὶ ἔτυχε μετὰ ταῦτα καθόδου, βασιλεύσαντος Δαρείου.

chlamydis inde acceptam invenit, conjuncta veſte regia cum ſenatoria, purpuræ colorem non extrinſecus, ſed intrinſecus adjiciens: ita ut ex utroque unum quaſi corpus conficeretur, & Senatorum calcei cappa Romano inſignirentur. Et proverbium: *Syloſontis chlamys*. Dicitur in eos, qui veſtitu ſuperbiunt. Hic enim veſtem habebat pretioſam & ſplendidam, quam Dario privato adhuc donavit. Poſtea vero, cum Darius regnare cœpiſſet, reditum in patriam impetravit.

Χλανίς. ἱμάτιον στρατιωτικόν.

Χλανίς. Læna. Veſtis militaris.

Χλαῖνα. τὸ παχὺ καὶ χειμερινὸν ἱμάτιον. παρὰ τὸ χλιαίνω. χιτὼν δὲ, τὸ λεπτὸν ἱμάτιον, τὸ ὑποκάμισον. παρὰ τὸ ἐγχεῖσθαι τοῖς μέλεσι.

Χλαῖνα. Læna. Craſſum & hybernum veſtimentum. A χλιαίνω, tepefacio. Χιτὼν vero eſt tunica, ſive veſtis tenuis, [quam recentiores Græci] ὑποκάμισον [vocant. Dictus eſt autem χιτὼν] ab ἐγχεῖσθαι: quod nempe circa membra fundatur.

Χλαῖναι. περιβολαί· διαστέλλει ὁ Ὅμηρος τοὺς πέπλους ἀπὸ τῶν χλαινῶν· ὅ ἐστι γυναικεῖον ἔνδυμα, ἐμπερόνημα. τὸ δὲ αὐτὸ καλεῖ καὶ ἑανόν.

Χλαῖναι. Lænæ. Homerus peplos a lænis diſtinguit. Nam peplus eſt muliebre veſtimentum, & amiculum, quod fibulis adſtringitur. Idem & ἑανὸν vocat.

Χλευασία, καὶ χλεύη. ὕβρις τις, εἶδος οὖσα τῆς ὕβρεως. καὶ ἐν τῷ τί ἐστι κατηγορεῖται αὐτῆς. τῆς γὰρ ὕβρεως ἡ διὰ γέλωτος γινομένη, χλευασία καλεῖται· ἡ δὲ διὰ πληγῶν, ὕβρις ὁμωνύμως. Αἰλιανός· [1]Περιιὼν δὲ ἐς τὸν νεὼν, χλευάζων γεμὴν τοὺς τοῦ Θεοῦ θεραπευτῆρας, καὶ ἐπετώθαζε.

Χλευασία, & χλεύη. Subſannatio. Irriſio. Eſt contumeliæ ſpecies. Contumelia enim, quæ cum riſu conjuncta eſt, χλευασία dicitur. At ea, quæ cum verberibus conjuncta eſt, eodem nomine ὕβρις [appellatur.] Ælianus: *In templum ingreſſus, Dei cultores irriſit & ſannis excepit.*

Χλιδανόν. τρυφερόν.

Χλιδανόν. Delicatum. Luxurioſum.

Χλιδή. τρυφὴ, ἔκλυσις, καὶ μαλακία. εἴρηται δὲ ἀπὸ τοῦ ἐχλιάνθαι. [2]Ξενοφῶν· Οὐκ ἐν χλιδῇ τεθράμμεθα, ἀλλὰ χωρικῶς. Καὶ αὖθις· Συγχωρούντων ἐπαύρεσθαι τῆς χλιδῆς. Καὶ αὖθις· Οὕτω μὲν οὖν ἐν τῷ Τούρκων ἡγεμόνι ἔνεστι χλιδῆς. καὶ, [3]Χλιδαῖς καρατόμοις. τοῖς ἀπὸ τοῦ κρατὸς τετμημένοις βοστρύχοις. λέγοι δ' ἂν χλιδὰς, ἤτοι καθόλου τοὺς πλοκάμους, οἵ εἰσι τρυφὴ τῆς κεφαλῆς· ἢ παρόσον τρυφὴ καὶ κόσμος ἀπετίθεντο τοῖς νεκροῖς οἱ πλόκαμοι ἐν τῷ τάφῳ. [4]Σοφοκλῆς·

Ἡμεῖς δὲ πατρὸς τύμβον, ὡς ἐφίετο,
Λοιβαῖς τε πρῶτον, καὶ καρατόμοις χλιδαῖς
Στέψαντες, εἶτ' ἄψορρον ἤξομεν πάλιν.

Χλιδή. Deliciæ. Luxus. Mollities. Voluptas. A χλιάνθαι, tepefactum eſſe. Xenophon: *Non delicate & molliter educati ſumus, ſed duriter, ruſticorum more.* Et iterum: *Cum permitterent frui deliciis.* Et iterum: *Sic igitur in Turcorum duce & deliciæ inſunt.* Et, χλιδαῖς καρ. Cincinnis ex capite reſectis. Χλιδὰς autem vocavit, vel cincinnos in genere, qui ſunt quaſi deliciæ quædam capitis: vel, quia cincinni in ſepulcro deponebantur, ut mortuis deliciæ quædam & ornamentum eſſent. Sophocles: *Nos vero, poſtquam patris ſepulcrum, ex præcepto [Apollinis,] libationibus prius & cincinnis ex capite reſectis coronaverimus, revertemur.*

Χλιδόναι.[5] κόσμοι περὶ τοὺς βραχίονας. καλοῦνται δὲ, βραχιόλια.

Χλιδόναι. Ornamenta brachiorum: quæ & βραχιόλια, i. e. brachialia, vocantur. Armillæ.

Χλίδος.[6] Δημοσθένης ἐν τῷ πρὸς Καλλικλέα, περὶ χωρίου βλάβης· Ἐπειδὴ δὲ τὸ χλίδος ἐκβαλὼν εἰς τὴν ὁδὸν, ἐξ ὧν ὑψηλοτέραν καὶ στενοτέραν τὴν αὐτὴν ὁδὸν πεποιῆσθαι συμβέβηκε. Πᾶν πλῆθος χλίδος λέγεται. καὶ ἔτι σωρός τις, μάλιστα δὲ τῶν ἀποκαθαρμάτων τε καὶ ἀποψημάτων. καὶ ἡ τῶν ποταμῶν πρόσχωσις. καὶ πολὺ μᾶλλον τῶν χειμάρρων, ὃ καὶ χέραδος καλεῖται. νῦν δ' ἔοικεν ὁ ῥήτωρ λέγειν, ὅτι χοῦν καὶ φρυγανώδη τινὰ ἐκ τοῦ χωρίου σωρὸν ὁ Καλλικλῆς εἰς τὴν ὁδὸν ἐμβέβληκεν· ὡς καὶ αὐτὸς ἐν τοῖς ἑξῆς ὑπεσημείωσε.

Χλίδος. Demoſthenes in oratione adverſus Calliclem de damno prædii: *Poſtea vero cum ſordes in viam ejeciſſet, quæ viam illam & altiorem & anguſtiorem reddiderunt.* Omnis congeries χλίδος vocatur: eſtque acervus quidam, maxime purgamentorum & ramentorum. Item, limus a fluviis, & multo magis torrentibus aggeſtus: qui etiam χέραδος vocatur. Nunc autem orator dicere videtur, Calliclem terræ cumulum & virgultorum ſarmentorumque acervum ex prædio in viam publicam conjeciſſe: quemadmodum etiam ipſe in ſequentibus ſubindicat.

1 Περιιών] Lego, παριών.
2 Ξενοφῶν] De Inſtit. Cyri, lib. IV. pag. 110.
3 Χλιδαῖς καρατόμ——ἐν τῷ τάφῳ] Ex Scholiaſta Sophoclis ad *Electram*, pag. 82.
4 Σοφοκλῆς] *Electra*, pag. 82. ut Portus monuit.
5 Χλιδόναι] Alias, χλιδῶνες. Vide Heſych. & alios Grammaticos.
6 Χλίδος. Δημοσθένης ἐν τῷ πρ.] Ex Harpocratione.

Χλιδῶ-

Χλιδῶσαι. τρυφῶσαι.

Χλοάω, χλοῶ.

[1] Χλοερός. ὁ χλωρός.

Χλόη. βοτάνη. παρὰ τὸ φλέω, τὸ ἀναπέμπω, φλόη, καὶ χλόη. ἡ ἐκ τῆς γῆς ἀναπεμπομένη, καὶ αὐξάνουσα.

Χλομάρων. [1] Ἀλλ' ὅτε Ῥωμαῖοι ἀπεστένουν, ἐρεβοδιφοῦντες τὰ ὑποχθόνια, στρατοπεδεύουσιν ἀμφὶ τὸ Φρούριον τὸ Χλομάρον.

Χλοῦναι. λωποδύται, οἱ ἐν τῇ χλόῃ εὐναζόμενοι. καὶ χλούνης, μονιός, πλήκτης, κακοῦργος, χαλεπός. καὶ ὁ ἀπόκοπος. [2] Χλούνης τε καὶ γύνανδρος ἀνήρ, (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθείς, καὶ θῆλυς γενόμενος. † [3] Ὁ πρὸς Στρατοκλέα Ἀθήνησι δᾳδουχήσας, ὁ χλούνης τε, καὶ γύννις, καταγοητευθείς, καὶ οἷον ἐν δεσμῷ τινι ἀφύκτῳ πεδηθείς.

Χλούνιον. ὄνομα τόπου. Χλούνειον δέ, τὸ χοίρειον, δίφθογγον.

Χλωθάειος. ὄνομα κύριον.

Χλωθαῖος. ὄνομα κύριον.

Χλωθόμυρος. ὄνομα κύριον.

Χλωρανθείς. ἀντὶ τοῦ χλωρὸς γενηθείς. οὕτω Σοφοκλῆς.

Χλωρεῖον. εἶδος ζώου.

Χλωρίς. ὄνομα κύριον.

Χλωρόν. τὸ ἀκμάζον. Μένανδρος.

Χλωρός. ἀπὸ τοῦ χλόη, χλοερός, καὶ χλωρός. ἀπὸ τούτου δὲ καὶ ὠχρός. καὶ χλωρότης.

Χνόας. [4] τὰς σύριγγας τοῦ ἄξονος. σύριγξ δέ ἐστι τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος. καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. εἴρηται δὲ βαρέως. τὰ γὰρ εἰς η καθαρὸν δισύλλαβα, τῷ ο [5] παραληγόμενα, ὧν προηγεῖται δασύ, βαρύνεται· χνόη, φθόη, χλόη. τὸ δὲ πνοὴ οὐκ ἔχει δασύ.

Χνοωδεστέρα. λεπτοτέρα. Ἥ τε ὑποκειμένη γῆ ψάμμου πάσης χνοωδεστέρα διὰ λεπτότητα.

Χνοῦς.

Χοᾶ. χοῦς, μέτρον Ἀττικόν, χωροῦν κοτύλας ὀκτώ. [6] Ἀριστοφάνης·

——,——Ἐπὶ δεῖπνον ταχὺ
Βάδιζε, τὴν κίστιν λαβών, καὶ τὸν χοᾶ.

οἱ γὰρ καλοῦντες ἐπὶ δεῖπνον, στεφάνους καὶ μύρα καὶ τραγήματα καὶ ἄλλα τινὰ τοιαῦτα παρετίθεσαν. οἱ δὲ κα-

Χλιδῶσαι. In deliciis viventes. Deliciis indulgentes.

Χλοάω, ῶ. Vireo. Vireſco.

Χλοερός. [Et contracte,] χλωρός. Viridis.

Χλόη. Herba. A φλέω, ſurſum emitto, deducitur φλόη, & [verſo φ in χ,] χλόη, i. e. herba, quæ ex terra editur & creſcit.

Χλομάρων. Chlomarorum. *Romani vero, cum loca ſubterranea ſcrutari deſiiſſent, ad caſtellum Chlomarum caſtra ponunt.*

Χλοῦναι. Graſſatores, ſive latrones: ſic dicti, quod in herba [vel ſylvis] deliteſcant. Et χλούνης, [in gramine cubans,] ferus, qui [dentibus] ferit, maleficus, ſævus. [Epithetum apri.] Item, exectus, ſive caſtratus. Eunuchus. *Eunuchus ille & ſemivir: modo demus illum eſſe virum, cujus animum philoſophia Epicurea enervaverat & effæminaverat.* † *Qui ante Stratoclem Athenis daduchus fuerat, eunuchus ille & ſemivir, faſcinatus, & vinculo quodam inextricabili conſtrictus.*

Χλούνιον. Chlunium. Nomen loci. Χλούνειον vero, porcinum, ſcribitur per diphthongum ει.

Χλωτάριος. Chlotarius. Nomen proprium.

Χλωθαῖος. Chlotæus. Nomen proprium.

Χλωθόμυρος. Chlotomyrus. Nomen proprium.

Χλωρανθείς. Viridis factus. Ita Sophocles.

Χλωρεῖον. Chloreum. Genus avis.

Χλωρίς. Nomen proprium. Chloris.

Χλωρόν. Viride. Vigens. Menander.

Χλωρός. Viridis. Herbidus. A nomine χλόη, fit χλοερός, & [contracte,] χλωρός. Hinc etiam fit ὠχρός, i. e. pallidus. Et χλωρότης, viriditas, viror.

Χνόας. Axis fiſtulas. Fiſtula vero eſt pars axis, quæ in rotæ foramen immittitur. Sic etiam ipſum foramen rotæ vocatur. Habet autem accentum gravem in ultima. Nomina enim in η purum deſinentia, quæ ο habent in penultima, præcedente litera aſpirata, accentum gravem habent: ut χνόη, φθόη, χλόη. At πνοὴ non habet literam aſperam.

Χνοωδεστέρα. Tenuior. Minutior. *Et terra ſubjecta propter tenuitatem ſuam quavis arena minutior.*

Χνοῦς. Lanugo.

Χοᾶ. [Accuſativus ſingularis, a recto χοεύς: pro quo etiam dicitur χοῦς, χοός.] Eſt autem χοῦς menſura Attica, continens cotylas octo. Ariſtophanes: *Ad cœnam cito vade, ſumpta ciſta & congio.* Qui enim aliquos ad cœnam invitarant, coronas, & unguenta, & bellaria, & alia quædam hujuſmodi [invitatis]

1 Ἀλλ' ὅτε Ῥωμ.] Hæc ſunt verba Theophyl. Simoc. lib. II. cap. VII. ſed ubi pro ἀπεστένουν, quod corruptum eſt, legitur ἀπηγόρευον; uti etiam apud ipſum Suidam ſupra v. Ἀπειπόντων, & v. Ἐρεβοδιφῶντες, ubi idem fragmentum habes. Deinde, pro ἐρεβοδιφοῦντες, Theophylactus habet ἐρεβοδιφῶντες: uti etiam ipſe Suidas ſupra, v. Ἀπειπόντων, & v. Ἐρεβοδιφῶντες.

2 Χλούνης τε καὶ γ.] Hæc ex libro Æliani de Providentia ſumpta eſſe, diſcimus ex Euſtathio ad Il. I. pag. 772. ubi inter alia ait: Ἀλλὰ καὶ Αἰλιανὸς μάλιστα ἐν τοῖς περὶ Προνοίας, χλούνην λέγων τὸν ἀπόκοπον. Reſpexit enim ad ipſum illum locum Æliani, quem Suidas hic adducit. Confer etiam Noſtrum ſupra v. Εὐνοῦχος.

3 Ὁ πρὸς Στρατοκλέα] Supra v. Δᾳδουχεῖ, legitur, ὁ πρὸ Στρατοκλέους.

4 Χνόας. τὰς σύριγγας τ.] Ex vetere interprete Sophoclis ad *Electr.* pag. 113. ut & Portus monuerat.

5 Παραληγόμενα, ὧν πρ.] Locum hunc mutilum ex Scholiaſta Sophoclis ſic ſupplebis. παραληγόμενα, ἀπὸ δύο συμφώνων ἀρχόμενα, ὧν προηγεῖται, &c.

6 Ἀριστοφάνης] *Acharnenſ.* pag. 413. (303. Ed. Baſ. P.)

 λεγόμενοι

λεύμενοι ἔφερον ἐψήματα, καὶ κίστην, καὶ [1] χοᾶν. [2] Ὅμηρος περὶ τῆς κίστεώς φησι·

Μήτηρ δ' ἐν κίστει ἐτίθει μενοεικέα δαῖτα,
Ὄψα τε, οἷα ἔδουσι διοτρεφέες βασιλῆες.

[3] Χοᾶν δὲ ἐπεφέροντο οἱ καλούμενοι, ἵνα μὴ κοινωνήσωσιν ἄλλου ποτηρίου, διὰ τὴν τοῦ Ὀρέστου γενομένην αἰτίαν. [4] Καὶ παροιμία· Ἓξ [5] χοᾶς χωρήσεται. ἐπὶ τῶν παραληρούντων. τουτέστιν, ὁ ἐγκέφαλος αὐτοῦ. ἅμα δὲ ὡς ἐπὶ κεράμου ἢ ἀσκοῦ ἔμεινε μεταφορᾶς· ὃς ἐὰν σμηχθῇ, πλέον χωρεῖ τῶν [6] ἐμπεφραγκτων ἀποβεβλημένων. καὶ αὖθις·

Τὴν [7] ὑστάτην ἥκουσαν οἴνου τρεῖς [8] χοᾶς
Ἡμῶν [9] ἀποτίσειν, καὶ ἐρεβίνθων χοίνικα.

Ὑποπίνοντες ἔκαπτον φρυκτοὺς ἐρεβίνθους.

Χοάνης, χοάνου. [10] χονεῖον. καὶ χόανα, τὰ μέταλλα.

Χοάς. ἐκχύσεις. ἐναγίσματα ἐπὶ νεκροῖς. ἢ σπονδάς. [11] Ἐκπίπτει χρησμὸς, δεῖν ἄγεας τοῖς τεθνεῶσι τῶν Αἰτωλῶν ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν [12] Χοὰς ἄγειν. λέγονται καὶ θυσίαι νεκρῶν. [13] Σοφοκλῆς·

Πρῶτον μὲν ἱερὰς ἐξ ἀειρρύτου χοὰς
Κρήνης ἐνεγκοῦ, δι' ὁσίων χειρῶν θιγών.
Ὅταν δὲ τοῦτο χεῦμ' ἀκήρατον λάβω;
Κρατῆρές εἰσιν ἀνδρὸς εὔχειρος τέχνη,
Ὧν [14] κρᾶτ' ἔρεψον, καὶ λαβὰς ἀμφιστόμους.

Χοάς. ὅτι ἐπὶ μέτρου τίθεται, περισπᾶται.

Χοάσπης. ποταμός. καὶ Χοάσπειον ὕδωρ, τὸ ἐκ τούτου. καὶ κύριον ὄνομα, ὁ Χοάσπης.

Χοβάρ. ὄνομα ποταμοῦ.

Χόες. ἔστιν ἑορτὴ Ἀθήνησιν, ἀγομένη μηνὶ Ἀνθεστηριῶνι. τὴν δὲ ἑορτὴν φασὶν οὕτω γενέσθαι, ὅτι Ὀρέστης ἀνελὼν τὴν μητέρα ἦλθεν εἰς Ἀθήνας, καὶ ἐδέξαντο οἱ Ἀθηναῖοι, καὶ εἱστίασαν· οὐ μὴν ἐκοινώνησαν αὐτοῦ οἴνου· ἀλλὰ χοεῖς χοᾶ παρατεθεὶς αὐτοῦ ὁ δῆμος, οὕτως εἱστιᾶτο, ἀπονείμας ὀλίγον τι χώρας τοῦ Ὀρέστῃ. Καὶ ἄλλως. [15] Ἑορτὴ Ἀθήνησι, Χόες· ἀπὸ τοιαύτης αἰτίας. Ὀρέστης μετὰ τὴν τῆς μητρὸς ἀναίρεσιν, ἦλθεν εἰς Ἀθήνας παρὰ [16] Πανδίονα, συγγενῆ καθεστηκότα, ὃς ἔτυχε βασιλεύων. κατέλαβε δὲ αὐτὸν εὐωχίαν τινὰ δημοτελῆ ποιοῦντα. ὁ τοίνυν Πανδίων παραπέμψασθαι μὲν τὸν Ὀρέστην αἰδούμενος, κοινωνῆσαι δὲ ποτοῦ καὶ τραπέζης ἀσεβὲς ἡγούμενος, μὴ

apponebant. Invitati autem ſecum ferebant edulia cocta, & ciſtam, & congium. Homerus de ciſta dicit: *Mater autem in ciſta poſuit ſuaves epulas, opſoniaque, qualibus veſcuntur a Jove nutriti Reges.* Congium vero ad cœnam invitati afferebant, ne cum aliis ex eodem poculo biberent, ob crimen Oreſti objectum. Et proverbium: *Sex congios capiet cerebrum ejus.* Dicitur in eos, qui delirant. Simul autem in metaphora permanet, tanquam de teſta, vel utre verba faceret. Uter enim, ſi fricetur & ungatur, plus capit, quam ii, qui clauſi ſunt & obſtructi. Et iterum. [*Glyce dejeravit,*] *illam, quæ ultima venerit, vini tribus congiis multatum iri, & cicerum chœnice.* Potantes enim edebant cicer toſtum.

Χοάνης. Vas fuſorium, in quo liquantur metalla. Et χόανα, ipſa metalla, quæ liquantur.

Χοάς. Libamina, quæ patera funduntur. Inferias. Libationes. *Oraculum redditum eſt, Ætolis defunctis inferias quotannis faciendas, & Choas feſtum* [*in eorum honorem*] *agendum eſſe.* Sic etiam dicuntur ſacrificia, quæ mortuis offeruntur. Sophocles: *Primum ſacra libamina ex perenni fonte affer, puris manibus ea tangens. Cum autem liquorem iſtum purum cepero:* [*quid poſtea?*] *Crateres ſunt, excellentis artificis opus: quorum caput corona, & anſas ancipites.*

Χοάς. Quum de menſura dicitur, circumflectitur, [& ſcribitur χοᾶς.] Congios.

Χόασπης. Choaſpes. Fluvius. Et Χοάσπειον ὕδωρ, aqua Choaſpis. Item, Choaſpes, nomen proprium [viri.]

Χοβάρ. Chobar. Nomen fluvii.

Χόες. Choes. Eſt feſtum, quod Athenis celebrabatur menſe Antheſterione: idque inde ortum eſſe ajunt. Cum Oreſtes matre occiſa Athenas veniſſet, Athenienſes eum admiſſum convivio exceperunt: non tamen vinum cum eo biberunt, ſed populus congio ſeorſim ei appoſito, ita convivatus eſt: exiguâ quadam agri parte illi attributa. Aliter. Choes feſtum erat Athenis, hac de cauſa [inſtitutum.] Oreſtes poſt matris cædem Athenas venit ad Pandionem cognatum, qui tunc ibi regnabat. Venit autem ad eum, dum publicum epulum populo præberet. Pandion igitur, cum & Oreſtem a ſe dimittere verecundaretur, & co-

1 Χοάν] Scribe, χοᾶ: a recto, χοεύς.

2 Ὅμηρος] Odyſſ. Ζ. v. 76, 77. ſed ubi hodie ſic legitur:
Μήτηρ δ' ἐν κίστῃ ἐτίθει μενοεικέ' ἐδωδὴν
Παντοίην, ἐν δ' ὄψα τίθει. ἐν δ' οἶνον ἔχευεν
Ἀσκῷ ἐν αἰγείῳ.——

3 Χοάν] Et hic ſcribendum eſt χοᾶ.

4 Καὶ παροιμία] Solet Suidas multa loca Ariſtophanis inter proverbia paſſim referre, quæ revera talia non ſunt; veluti hic locus, qui nihil niſi jocum Comicum continet, ut Lectori patebit, qui ipſum Ariſtophanem in *Nubibus*, pag. 193. (119. Ed. Baſ. P.) inſpicere voluerit.

5 Χοάς] Scribendum eſt, χοᾶς, cum circumflexo in ultima.

6 Ἐμπεφραγκτων ἀποβεβλημένων] Apud Scholiaſtam Ariſtophanis legitur, ἐμπεφραγκότων, ἀποβεβυσμένων. Sed ſcribendum eſt, ἐμφράκτων, ἤγουν ἀποβεβυσμένων.

7 Τὴν ὑστάτην ἥκ.] Hæc ſunt verba Ariſtophanis *Ecclesiaz.* ſub initium.

8 Χοάς] Et hic ſcribendum eſt, χοᾶς, cum circumflexo in ultima.

9 Ἡμῶν] Apud Ariſtophanem recte, ἡμῖν.

10 Χονεῖον] Scribe χωνεῖον, per ω in ſyllaba prima. Vide Lexica.

11 Ἐκπίπτει χρ.] Fragmentum hoc occurrit etiam ſupra v. Ἄκος, & v. Ἐκδίκως, & infra v. Χρησμὸς, ubi pro ἄγεας rectius legitur χοάς.

12 Χοάς] Scribe, Χόας, cum accentu in penultima: a recto plurali Χόες.

13 Σοφοκλῆς] *Oedip. Colon.* pag. 287. ut Portus monuit.

14 Ὧν κρᾶτ' ἔρ.] Sic locum hunc ex Sophocle emendavimus. Antea enim mendoſe legebatur, Ὧν κατέρεψον, τῇ λαβῇ ἀμφὶ στόμα.

15 Ἑορτὴ Ἀθήνησι Χόες, ἀπὸ τ.] Hæc, & quæ ſequuntur uſque ad finem articuli, leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 293.

16 Παρὰ Πανδίονα] Atqui Pandion Oreſte antiquior. Quare alii pro Πανδίονα rectius ſubſtituunt Δημοφῶντα, qui erat Pandionis pronepos. Vide Meurſ. *de Regn. Athen.* lib. III. cap. VIII.

καθαρθέντος αὐτοῦ τοῦ φόνου, ὡς ἂν μὴ ἀπὸ τοῦ κρατῆρος πίνοι, ἕνα ἑκάστῳ τῶν κεκλημένων παρέθηκε [1] χοᾶν.

Χόες. [2] ἑορτή τις ἦν παρ' Ἀθηναίοις, ἀγομένη Ἀνθεστηριῶνος δωδεκάτῃ. Φησὶ δὲ Ἀπολλόδωρος, Ἀνθεστήρια καλεῖσθαι κοινῶς τὴν ὅλην ἑορτὴν, τῷ Διονύσῳ ἀγομένην. κατὰ μέρος δὲ, Πιθοιγίαν, [3] Χοᾶς, Χύτρους. Καὶ αὖθις. Ὅτι Ὀρέστης μετὰ τὸν φόνον εἰς Ἀθήνας ἀφικόμενος, (ἦν δὲ ἑορτὴ Διονύσου Ληναίου) ὡς μὴ γένοιτο σφίσιν ὁμόσπονδος, ἀπεκτονὼς τὴν μητέρα, ἐμηχανήσατο τοιόνδε τι. [4] χοᾶν οἴνου τῶν δαιτυμόνων ἑκάστῳ παραστήσας, ἐξ αὐτοῦ πίνειν ἐκέλευσεν ὁ [5] Πανδίων, μηδὲν ὑπομιγνύντας ἀλλήλοις, ὡς μήτε ἀπὸ τοῦ αὐτοῦ κρατῆρος πίῃ ὁ Ὀρέστης, μήτε ἐκεῖνος ἄχθοιτο καθ' αὑτὸν πίνων μόνος. καὶ ἀπ' ἐκείνου Ἀθηναίοις ἑορτὴ ἐνομίσθη οἱ Χόες.

Χοζίας. ὄνομα κύριον.

Χοεῖον. παχὺ ἔντερον.

Χοὴ, καὶ χοαί. ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χόης. ποταμός.

Χοΐδια. σταμνία. Κατεσκεύασαν χοΐδια τὸ μέγεθος, λεπτὰ ταῖς κατασκευαῖς διαφερόντως.

Χοϊκός. ὁ γήϊνος.

Χολάδες. τὰ ἔντερα. ἐν [6] Ἐπιγράμματι·

——— Ἀντιβίων τε

Πολλάκις ἐγχείην γευσαμένην χολάδων.

Παρὰ τὴν χύσιν. ἢ διὰ τὸ κατὰ φύσιν δέχεσθαι τὸ χολῶδες τοῦ ἥπατος· ἐπειδὴ εἰς αὐτὰ συῤῥεῖ ἡ ξανθὴ χολὴ, τοῦτο μηχανωμένης τῆς φύσεως πρὸς τὸ διαθερμαίνεσθαι καὶ ἐρεθίζεσθαι αὐτὰ πρὸς τὴν ἀπόκρισιν τῶν περιττῶν.

Χολαργέων. [7] Χολαργεῖς, δῆμος τῆς Ἀττικῆς. ἡ εὐθεῖα, ὁ Χολαργεύς.

Χολαῖον. ἧπαρ.

Χολέρα. καὶ χολερῶ, ῥῆμα. ἔστι δὲ πάθος, ἢ εἶδος νόσου, οὕτω παρ' ἰατροῖς καλούμενον.

Χολλεῖδαι. δῆμος τῆς Λεοντίδος.

Χολέρα. νόσος. διὰ χολῆς πάθος.

Χοληδόχον ἀγγεῖον.

Χόλικες. τὰ παχέα ἔντερα τῶν βοῶν. ταῦτα δὲ οὐχ ἱερεύοντο, ὡς τὸ ἄλλο σῶμα. τινὲς χόλικα φασὶν εἶδος ἰχθύος. θηλυκῶς δὲ, ἡ Χόλιξ, ἐθνικόν.

Χολοδογαμόρ. ἐθνικόν.

Χόλον. ὀργὴν ἀλλὰ πρόσκαιρον. παρὰ τὸ χεῖσθαι.

dem cibo potuque cum eo uti impium duceret, quod a cæde nondum purgatus eſſet; ne ex eodem cratere biberet, ſingulis convivis vini congium appoſuit.

Χόες. Choes. Feſtum quoddam, apud Athenienſes agi ſolitum duodecimo die menſis Antheſterionis. Apollodorus autem ait, Antheſteria generaliter vocari totum feſtum in honorem Bacchi celebrari ſolitum: particulariter vero, Pithœgiam, Choas, Chytros. Aliter. Cum Oreſtes poſt cædem [matris] Athenas veniſſet, eo tempore, quo feſtum Bacchi Lenæi celebrabatur; ne earundem libationum particeps fieret, qui matrem occidiſſet, [Pandion] tale quid excogitavit. Singulis convivis congium appoſuit, & ex eo bibere juſſit, vinum non miſcentes; ne ex eodem cratere Oreſtes biberet, nec ægre ferret, ſi ipſe ſolus & ſeparatim ab aliis biberet. Ab illo igitur tempore Choes feſtum apud Athenienſes celebrari cœpit.

Χοζίας. Chozias. Nomen proprium.

Χοεῖον. Craſſum inteſtinum.

Χοὴ, & χοαί. Terra, quæ mortuis injicitur.

Χόης. Choes. Fluvius.

Χοΐδια. Parvi congii. Urnulæ. *Confecerunt urnulas, arte admodum ſubtili fabricatas.*

Χοϊκός. Terrenus.

Χολάδες. Inteſtina. In Epigrammate: *Haſtamque, quæ ſæpius hoſtium guſtavit inteſtina.* [Dictæ ſunt χολάδες] a χύσις, i.e. effuſio. Vel, quod naturaliter ſint receptaculum bilis, quæ eſt in hepate. In ea enim confluit flava bilis: prudenti conſilio Naturæ, ut & calefiant, & ad purgamentorum excretionem proritentur.

Χολαργέων. Cholargenſium. Cholargenſes populus eſt Atticæ. Rectus caſus eſt Χολαργεύς, Cholargenſis.

Χολαῖον. Bilioſum. Eſt epithetum hepatis.

Χολέρα. Cholera. Et χολερῶ, cholera laboro. Sum cholericus. Cholera autem eſt morbus, apud Medicos ſic dictus.

Χολλεῖδαι. Chollidæ. Populus tribus Leontiæ.

Χολέρα. Cholera. Morbus, a bile manans.

Χοληδόχον ἀγγεῖον. Vas bilem recipiens.

Χόλικες. Craſſa boum inteſtina. Hæc autem cum reliquo corpore non immolabantur. Quidam dicunt cholicem eſſe piſcis genus. Fœminino genere vero, ἡ Χόλιξ, Cholix, eſt nomen gentile.

Χολοδογαμόρ. Cholodogamor. Gentile nomen.

Χόλον. Iram: ſed eam, quæ brevi tantum tempore durat. A χεῖσθαι, fundi, diffundi.

1 Χοᾶν] Scribe, χοᾶ: a recto χοεύς. Vel, ut Enarrator Comici habet, χοῦν: a recto, χοῦς.

2 Χόες. ἑορτή τις παρ' Ἀθ.——Χύτρους] Ex Harpocratione.

3 Χοᾶς] Harpocratio recte, Χόας: a recto plurali Χόες, quod eſt nomen feſti. At χοᾶς, eſt a recto χοεύς, i.e. congius.

4 Χοᾶν] Scribe, χοᾶ.

5 Ὁ Πανδίων] Alii hoc rectius ad Demophontem, Pandionis pronepotem referunt, ut & paulo ante diximus.

6 Ἐν Ἐπιγράμματι] Anthol. lib. vi. cap. xxv. Epigr. v.

7 Χολαργεῖς. δῆμος τῆς Ἀττ.] Vide Harpocrationem.

Χολωσέμεν.[1] εἰς ὀργὴν ἐμβαλεῖν.

Χολῶσι.

Σὺ[2] δ' ἐς τοῦτον τῶν μανιῶν ἐλήλυθας,
Ὥστ' ἀνδράσι πείθῃ χολῶσι.

Χόνας.[3] ὄνομα ἔθνους.

Χονδρῖτις. σεμίδαλις.

Χόνδρος. τοῦ στομάχου τὸ ἔντερον. καὶ χόνδροι, ἁλῶν θρόμβοι. παχὺς ἅλς.

Χόνδρος. πυρῷ παραπλήσιος· γλίσχρος δὲ πλέον ἐκείνου.

Χοός. Ἀνατετραμμένου χοός. [4] Ἀριστοφάνης· ἀντὶ τοῦ ἀνακαλυφθέντος, ἢ κενωθέντος εἰς γῆν, ὥσπερ οἱ ἐν τοῖς πότοις σφαλλόμενοι ὑπὸ τῆς μέθης ἐν τῷ ὑπηρετεῖν. καὶ παίζοντες τὰ τοιαῦτά φασι.

Χοός.[5] διξέστου. χοῦς γὰρ, δύο ξέσται. Χοεὺς δὲ, ἕξ. Ἀριστοφάνης·

Εἴ τις κάπηλος, ἢ καπηλὶς τοῦ χοὸς
Ἢν τῶν κοτυλῶν τὸ νόμισμα διαλυμαίνεται.

Χόρδευε.[6] τουτέστι, τέμνε, σύμπλεκε ἀλλήλοις, καὶ συγκύκα. τὰ γὰρ ἔντερα τῶν τετραπόδων, χορδὰς καλοῦσιν. ἀπὸ τῆς τέχνης οὖν τοῦ ἀλλαντοπώλου τὸ ὄνομα εἴρηται. ὥσπερ γάρ, φησί, γεμίζεις καὶ πληροῖς τὰ ἔντερα παντὸς τοῦ φυράματος· οὕτω χόρδευε καὶ τάραττε καὶ τὰ πολιτικά, καὶ συντάραττε καὶ συμφύρα τὰ πράγματα, ὑπογλυκαίνων ῥηματίοις μαγειρικοῖς, ἡδύσμασι χρώμενος, καὶ ἀρτύων κακίαις.

Χορδή. νευρά. καὶ τὸ παχὺ ἔντερον τοῦ προβάτου.

Χορευτής. ἐπιστήμων.

Χορείαν. οἱ παλαιοὶ τὴν μετ' ᾠδῆς ὄρχησιν. [7] Δύο δὲ ὀρχήσεις οἶδεν Ὅμηρος· τὴν τῶν [8] κυβιστήρων, καὶ τὴν διὰ τῆς σφαίρας. τὴν[9] δὲ σφαιριστικὴν ἔπαιζεν Ἀριστόνικος ὁ Καρύστιος, ὁ Ἀλεξάνδρου τοῦ βασιλέως συσφαιριστής. καὶ χορεῖον, ἡ χόρευσις.

Χορηγία. δόσις. καὶ Πολύβιος· Μὴ οἷόν τε κατὰ θάλατταν τὰς παρασκευὰς καὶ τὰ χορήγια παρακομίζειν τοῖς στρατοπέδοις, μηδὲ ἐπὶ ὑποζυγίων, ἀλλ' ἐν πήραις δέχ' ἡμερῶν ἐχόντας ἐφόδια. καὶ αὖθις Πολύβιος· [10] Καί τις ἦν περὶ τοὺς πλείστους καλλωπισμός, [11] ὑπέχων τὴν ἐκ τοῦ βίου χορηγίαν. τουτέστι, παροχήν.

Χορηγός. ὁ τοῦ χοροῦ ἡγούμενος, καὶ δοτήρ.

Χολωσέμεν. [Pro χολῶσαι.] Ad iram p vocaturum eſſe. Irritaturum eſſe.

Χολῶσι. Inſanientibus. *Tu vero eo deme progreſſus es, ut viris inſanientibus creda*

Χόνας. Chonas. Nomen gentis.

Χονδρῖτις. Ex chondro facta. Ut, χονδρῖτις σεμίδ. Simila ex chondro facta.

Χόνδρος. Chondrus. Stomachi inteſtinum. Et χόνδροι, ſalis grumi. Sal craſſior.

Χόνδρος. Chondrus. Species frugis, tritico ſimilis, ſed illo tenacior.

Χοός. Congii. *Everſo congio.* Ariſtophanes. Vel, evacuato: humore ſcilicet in terram effuſo: quemadmodum illi, qui in compotationibus præ ebrietate inter miniſtrandum labuntur, [facere ſolent.] Jocantes autem talia dicunt.

Χοός. Congii. Sive, duorum ſextariorum. Congius enim ſunt duo ſextarii. At χοεὺς, ſex. Ariſtophanes: *Si quis caupo, aut caupona, congii aut cotylarum menſuram receptam adulteraverit.*

Χόρδευε. Seca. Inter ſe commiſce, & confunde. Quadrupedum enim inteſtina vocant chordas. Ab arte igitur allantopolæ nomen hoc deſumptum eſt. Ut enim, inquit, farcis & reples inteſtina quovis farcimine: ſic etiam miſce & turba Rempubl. [populum] demulcens voculis culinariis, & condimentis utens vitioſis.

Χορδή. Chorda. Nervus. Item, craſſum inteſtinum ovis.

Χορευτής. [Saltator. Saltandi] peritus.

Χορείαν. Choream. Antiqui ſic vocabant ſaltationem cum cantu Homerus autem duas ſaltationes novit: unam eorum, qui in caput ſaltant; & alteram, quæ fit cum pila. Pila autem luſit Ariſtonicus Caryſtius, Alexandri Regis in luſu iſto colluſor. Et χορεῖον, ſaltatio.

Χορηγία. Sumptuum ſuppeditatio. Erogatio. Largitio. Et Polybius: *Fieri non poteſt, ut apparatus [bellicus] & commeatus in caſtra mari deferantur, neque per jumenta: ſed milites ad bellum proficiſci oportet, decem dierum viatica in peris geſtantes.* Et iterum Polybius: *Et plerique ſumptuoſius, quam pro facultatibus, veſtiti incedebant.*

Χορηγός. Choragus. Chori dux. Sive, qui Chorum ſumptibus ſuis inſtruit.

1 Χολωσέμεν. εἰς ὀργ.] Ex Scholiaſta Homeri ad Il. A. v. 78.

2 Σὺ δ' εἰς τοῦτον τῶν μαν.] Hæc ſunt verba Ariſtoph. *Nubibus*, pag. 173. (103. Ed. Baſ. *P.*)

3 Χόνας] An potius χῶνας, per ω in ſyllaba prima. Vide Stephanum Byzantium v. Χώνη.

4 Ἀριστοφάνης] In *Pace*, pag. 660. (453. Ed. Baſ. *P.*) ſed ubi legitur χοῶς, a recto χοεύς.

5 Χοός] A recto, χοῦς; quod idem ſignificat, ac χοεύς. Quare ἀνερμήνευτον puto, & falſum, quod Suidas hic ait, χοῦς eſſe menſuram duorum ſextariorum; χοεὺς autem, ſex ſextariorum. Non enim duo iſta vocabula ſenſu diſcrepant, ſed, ut diximus, idem prorſus ſignificant. Eſt autem χοῦς, ſive χοεύς, menſura ſex ſextariorum, ut alii auctores docent.

6 Χόρδευε. τουτέστι, τ.] Nota hæc pertinet ad locum illum Ariſtophanis *Equit.* pag. 298. (201. Ed. Baſ. *P.*)
Τάραττε, καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα.
Vide ibi veterem interpretem, qui eadem pene habet, quæ hoc loco Suidas.

7 Δύο δὲ ὀρχήσεις οἶδεν Ὅμ. —— διὰ τῆς σφαίρας] Hæc ſumpta ſunt ex Athenæi *Dipnoſ.* lib. 1. cap. XI. pag. 14. eademque leguntur ſupra v. Ὄρχησις.

8 Κυβιστήρων] Sic etiam hodie exhibent codices Athenæi. At ſcribendum potius eſt κυβιστητήρων, ut habet Suidas ſupra v. Ὄρχησις.

9 Τὴν δὲ σφαιριστικὴν ἔπ.] Athen. lib. 1. cap. XV. pag. 19. Ὅτι Ἀριστόνικον τὸν Καρύστιον, τὸν Ἀλεξάνδρου σφαιριστήν, Ἀθηναῖοι πολίτην ἐποίησαν διὰ τὴν τέχνην. Hinc Suidas ſua ſumpſit. Vide etiam ſupra v. Σφαῖρα.

10 Καί τις ἦν περὶ τοὺς πλ.] Exemplum hoc antea male ſub voce Χόρδευε collocatum erat, quod nunc loco ſuo reſtituimus.

11 Ὑπέχων] Lege, ὑπερέχων, ut in v. Ἐσπάθαζον, & v. Ὑπερέχων, ubi idem fragmentum occurrit.

Χοριάμβος. μέτρον στίχων. Βαβρίας, ἢ Βάβριος, μύθους, ἤτοι μυθικά. εἰσὶ γὰρ[1] διὰ χοριάμβων, ἐν βιβλίοις δέκα. οὗτος ἐκ τῶν Αἰσωπείων μύθων μετέβαλεν ἀπὸ τῆς αὐτῶν λογοποιΐας εἰς ἐμμέτρα· ἤγουν, τοὺς[2] χοριάμβους.

Χορικός. ὁ τοῦ χοροῦ ἐξάρχων.[3] τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκριτικὰ μέλη ἐποίει, καὶ αὐτὸς ὑπεκρίνετο. διὸ καὶ χορικὰ λέγεται.

Χορίλη. ἡ Ἑκάβη.

Χόριον. τὸ κάλυμμα, τὸ συγγεννώμενον ἐκ τῆς κοιλίας τοῖς βρέφεσι.

Χοροβατῶ. τὸ εἰς χορὸν βαίνω.

Χοροδέκτης. ὁ τοῦ χοροῦ προεξάρχων. Ὥσπερ ἂν παρά τινος χοροδέκτου λαβεῖν τὴν στάσιν.

Χορὸν δίδωμι. ἐν ἴσῳ τῷ εὐδοκιμεῖν καὶ νικᾶν.[4] ἐπὶ γὰρ τοῖς Ἀθηναίων χοροῖς ἐτύγχανον κωμῳδίας καὶ τραγῳδίας ποιηταὶ, οὐ πάντες, ἀλλὰ οἱ εὐδοκιμοῦντες, καὶ δοκιμασθέντες ἄξιοι.

Χορός. τὸ σύστημα τῶν ἐν ταῖς Ἐκκλησίαις ᾀδόντων. διηρέθησαν δὲ οἱ χοροὶ τῶν Ἐκκλησιῶν εἰς δύο μέρη ἐπὶ Κωνσταντίου τοῦ υἱοῦ Κωνσταντίνου τοῦ μεγάλου, καὶ Φλαβιανοῦ, Ἐπισκόπου Ἀντιοχείας, διχῇ τοὺς Δαβιδικοὺς ψαλμοὺς ᾄδοντες. ὅπερ ἐν Ἀντιοχείᾳ πρῶτον ἀρξάμενον, εἰς πάντα περιῆλθε τῆς οἰκουμένης τὰ πέρατα.

Χορός. καὶ οἱ χορευταί· καὶ ὁ τόπος, ἐν ᾧ τὸ σύστημα τῶν χορευτῶν. Ὅμηρος· Ἐν δὲ χορὸν ποίκιλλεν.[5] Χορὸς τραγικὸς ἐξ ιέ. προσώπων. Χορὸς κωμικὸς, ἐξ κδ΄.

Χοροστατῶν. χοροῦ κατάρχων.

Χορταῖος.[6] ὁ δασὺς καὶ μαλλωτὸς χιτών.

Χοροῖσι[7] τῶν τραγῳδιῶν ἄχθεται. ἐπὶ τῶν πεινώντων. ὡς μακρῶν ὄντων τούτων. Ἀριστοφάνης·

Εἶτα πεινῶν τοῖς χοροῖσι τῶν τραγῳδιῶν[8] ἄχθοιτο,
Ἐκπτόμενος ἂν οὗτος ἠρίστησεν ἐλθὼν οἴκαδε.

Χοροίτυπος. ἐν τῷ χορῷ τύπτων.

Χορυμαῖοι. ἔθνος.

Χοσρόης.[9] ὁ τῶν Περσῶν βασιλεύς. ὑμνοῦσιν αὐτὸν καὶ ἄγανται πέρα τῆς ἀξίας, μὴ ὅτι οἱ Πέρσαι, ἀλλὰ καὶ ἔνιοι τῶν Ῥωμαίων, ὡς λόγων ἐραστὴν, καὶ φιλοσοφίας τῆς παρ' ἡμῖν ἐς ἄκρον ἐλθόντα, μεταβεβλημένων αὐτῷ ὑπό του ἐς τὴν Περσίδα φωνὴν τῶν Ἑλ-

Χοριάμβος. Choriambus. Metrum verſuum. [Sive potius, pes metricus, conſtans ex Trochæo & Jambo.] Babrias, ſive Babrius, ſcripſit fabulas verſibus Choriambicis, libris x. Hic fabulas Æſopicas oratione proſa ſcriptas in verſus Choriambicos redegit.

Χορικός. Choricus. Chori dux & magiſter. Talis fuit Agathon, qui hiſtrionica carmina fecit, & ipſe hiſtrionem in Scena egit. Quamobrem etiam Chorica dicuntur.

Χορίλη. Chorile. Hecuba.

Χόριον. Tegumentum & involucrum infantum in utero. Secundæ.

Χοροβατῶ. Per chorum incedo. Vel, ad chorum vado.

Χοροδέκτης. Chori dux. Chori magiſter. *Tanquam a quodam chori magiſtro ſtationem accipere.*

Χορὸν δίδωμι. Chorum do. Idem valet ac, gloria clarum eſſe, & præ aliis excellere. Nam apud Athenienſes Comici & Tragici poetæ chorum impetrabant, non omnes, ſed clariores, & qui eo honore digni cenſebantur, poſtquam artis ſuæ ſpecimen dediſſent.

Χορός. Chorus. In Eccleſiis cantantium cœtus. Eccleſiarum autem Chori diviſi fuerunt in duas partes, ſub Conſtantio, Conſtantini Magni filio, & Flaviano, Epiſcopo Antiochiæ, bifariam Davidis pſalmos canentes. Qui mos Antiochiæ primum cœptus, totum Terrarum orbem poſtea pervaſit.

Χορός. Chorus. Sic & ipſi ſaltatores dicuntur; & locus, in quo ſaltantium cœtus erat. Homerus: *Inque* [*ſcuto Vulcanus*] *chorum pulchra varietate cœlavit.* Chorus [Tragicus] ex xv. perſonis conſtabat. Chorus Comicus vero, ex XXIV.

Χοροστατῶν. Chori dux. Chori magiſter.

Χορταῖος. Craſſa & villoſa tunica.

Χοροῖσι τῶν τραγ. Choris Tragicis offenditur. Dicitur in eſurientes: quod chori iſti longiores ſint. Ariſtophanes: *Deinde, ſi quis eſuriens Choros Tragicos invitus audiret, domum avolans illic pranderet.*

Χοροίτυπος. Qui in choro, vel chorea terram pedibus pulſat.

Χορυμαῖοι. Chorymæi. Gens.

Χοσρόης. Choſroes, Rex Perſarum. Eum deprædicant atque admirantur ſupra ipſius meritum non tantum Perſæ, ſed & nonnulli Romanorum, ut literarum amatorem, quique ad philoſophiæ noſtræ culmen evaſerit, cum ei Græcanica ſcripta ab interprete quo-

1 Διὰ χοριάμβων] Imo, χωλιάμβων. Babrius enim fabulas Æſopi in verſus Choliambicos, non Choriambicos, redegerat; ut patet ex fragmentis, quæ Suidas paſſim ex ſcriptore illo adducit. Vide Nos etiam ſupra ad v. Βαβρίας.

2 Χοριάμβους] Et hic ſcribendum eſt, χωλιάμβους.

3 Τοιοῦτος ἦν Ἀγάθων, ὃς ὑποκρ.] Hæc leguntur etiam ſupra v. Μύρμηξ.

4 Ἐπὶ γὰρ τοῖς Ἀθηναίων χοροῖς ἐτύγχ.] Nullum hinc ſenſum elicias. Quare ſcribendum eſt, παρὰ γὰρ τοῖς Ἀθηναίοις χορῶν ἐτύγχανον, &c.

5 Χορὸς Τραγικὸς ἐξ ιέ. πρ.] Vide omnino Scholiaſtam Ariſtoph. ad *Equit.* pag. 323. (223. Ed. Baſ. *P.*) ad verba illa Comici, Ἡ χορικῶν ἐστιν ἑταίρα.

6 Χορταῖος. ὁ δασὺς τῶν μαλλ.] Dionyſ. Halicarnaſſ. lib. VII. pag. 477. Σχολαὶ δὲ αὐτοῖς ἦσαν, τοῖς μὲν εἰς Σιληνοὺς εἰκασθεῖσι, μαλλωτοὶ χιτῶνες, οὓς ἔνιοι χορταίους καλοῦσι. Huc Suidas reſpexit. Confer etiam Pollucem & Heſychium.

7 Χοροῖσι τῶν τραγῳδιῶν ἄχθ.] Male Suidas, eumque ſecuti Eraſmus & Schottus, locum hunc Comici inter proverbia retulerunt. Non enim proverbiis eum accenſeri poſſe Lector facile videbit, qui ipſum Ariſtophanem inſpicere voluerit. Exſtat autem locus in *Avibus*, pag. 578. (399. Ed. Baſ. *P.*)

8 Ἄχθοιτο] Ariſtophanes, ἤχθετο. Et ſic metri gratia hic ſcribendum eſt.

9 Χοσρόης. ὁ τῶν Περσῶν βασιλ.] Totum hunc articulum Suidas excerpſit ex Agath, lib. II. ut Pearſonius etiam obſervaverat.

ληνικῶν

Ληναίων συγγραμμάτων. καὶ τοίνυν φασίν, ὅτι δὴ ὅλον τὸν Σταγειρίτην καταπιὼν εἴη μᾶλλον, ἢ ὁ ῥήτωρ Παιανιεὺς τὸν Ὀλόρου. τῶν τε Πλάτωνος τοῦ Ἀρίστωνος ἀναπέπλησται δογμάτων. καὶ ὡς οὐδὲ ὁ Τίμαιος αὐτὸν ἀποδράσειεν ἄν, εἰ καὶ σφόδρα γεωμετρικῇ θεωρίᾳ πεποίκιλται, καὶ τὰς τῆς φύσεως ἀνιχνεύει κινήσεις· οὔτε ὁ Φαίδων, οὔτε ὁ Γοργίας ἔλαθεν, οὐδὲ ἄλλος τις τῶν γλαφυρῶν καὶ ἀγκυλωτέρων διαλόγων, ὁποῖος ὁ Παρμενίδης. ἐγὼ δὲ, φησὶν Ἀγαθίας, οὕτως αὐτὸν ἀρίστης ἔχειν παιδείας, καὶ ταῦτα τῆς ἀκροτάτης, οὐκ ἄν ποτε πεισθείην. πῶς γὰρ οἷόν τε ἦν, τὸ ἀκραιφνὲς ἐκεῖνο τῶν παλαιῶν ὀνομάτων, καὶ ἐλευθέριον, καὶ πρός γε τῇ τῶν πραγμάτων φύσει προσφορόν τε καὶ ἐπικαιρότατον, ἀγρίᾳ τινὶ γλώττῃ καὶ ἀμουσοτάτῃ ἀποσώζεσθαι; πῶς δὲ ἀνὴρ βασιλείῳ τύφῳ ἐκ παίδων καὶ κολακείᾳ πολλῇ [1]γεγαννωμένος, δίαιτάν τε λαχὼν ἐς ὅτι [2]βαρυτάτην, καὶ πρὸς πολέμους ἀεὶ καὶ παρατάξεις ὁρῶσαν, πῶς δὴ οὖν ὧδε βιοὺς ἔμελλε μέγα τι καὶ λόγου ἄξιον ἐν τοῖσδε ἀπώνασθαι τοῖς διδάγμασι, καὶ ἐνασκηθῆναι; εἰ μὲν οὖν ἐπαινοίη τις αὐτὸν, ὅτι δὴ βασιλεύς γε ὢν, καὶ Πέρσης, καὶ ἐθνῶν τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὁ δὲ ἐφίετο γοῦν ὅμως ἁμηγέπη ἀπογεύεσθαι λόγων, καὶ τῇ περὶ ταῦτα γάνυσθαι δόξῃ· ξυνεπαινέσαιμι ἂν καὶ ἔγωγε τὸν ἄνδρα, καὶ μείζονα θείην τῶν ἄλλων βαρβάρων. ὅσοι δὲ λίαν αὐτὸν σοφὸν ἀποκαλοῦσι, καὶ μονονουχὶ τοὺς ὅποι ποτὲ πεφιλοσοφηκότας ὑπερβαλλόμενον, ὡς καὶ ἁπάσης τέχνης τε καὶ ἐπιστήμης τὰς ἀρχὰς καὶ αἰτίας διαγινώσκειν· ἐκεῖνοι ἂν μάλιστα φωραθεῖεν οὐ τῶν ἀληθῶν ἐστοχασμένοι, μόνῃ δὲ τῇ τῶν πολλῶν ἑπόμενοι φήμῃ.

piam in Perſicam linguam eſſent converſa. Fertur itaque totum Ariſtotelem melius edidiciſſe, quam Demoſthenes Thucydidem: & Platonicis quoque dogmatibus eum totum refertum fuiſſe ajunt, adeo ut ne Timæus quidem intelligentiam ejus effugerit, tametſi lineari ſpeculatione valde ſit argutus, & naturæ motus inveſtiget: ſed neque Phædon, neque Gorgias, neque alius quiſquam ex elegantioribus & difficilioribus ipſius dialogis, qualis eſt Parmenides. Ego vero, inquit Agathias, eum doctrina præditum fuiſſe, & quidem ſumma, nequaquam crediderim. Qui enim fieri poterat, ut puritas illa veterum nominum, & nativa gratia, & præterea rerum ipſarum naturæ congruens valdeque accommodata, in agreſti quadam & ineptiſſima lingua conſervaretur? Quo vero etiam pacto vir regio faſtu a puero multaque aſſentatione delibutus, & barbarum in primis vitæ genus ſectatus, & bella ſemper præliaque ſpirans; quo pacto, inquam, qui ita vitam inſtituit, videatur magnum aliquem ac memorabilem fructum ex hiſce diſciplinis reportare, & in iis exercitatus eſſe poſſe? Quod ſi quis itaque eum idcirco laudaverit, quod, Rex cum eſſet, & Perſa, tantarumque gentium pariter ac rerum cura ei incumberet, nihilominus tamen ſtudia literarum deguſtare etiam voluerit, & hac gloria conſpicuus eſſe: collaudaverim profecto hominem etiam ego, & aliis barbaris prætulerim. Quotquot vero eum eximie doctum vocant, & tantum non omnibus, quotquot uſpiam philoſophiæ cultores exſtiterunt, antecellentem, perinde ac ſi omnium artium & ſcientiarum principia & cauſas pernoviſſet: illi quam longiſſime a vero aberrare deprehendi poſſint, ſolum multitudinis rumorem ſequentes.

Χοῦς θανάτου. ὁ τάφος. ἅτε δὴ χωννυμένων τῶν θαπτομένων. Δαβίδ· Καὶ εἰς χοῦν θανάτου κατήγαγές με.

Χοῦς θανάτου. Mortis agger. Id eſt, ſepulcrum. Qui enim ſepeliuntur, aggeſta terra teguntur. David: *Et in mortis aggerem me deduxiſti.*

Χουσί. ὄνομα κύριον.

Χουσί. Chuſi. Nomen proprium.

Χωβάλ. πόλις.

Χωβάλ. Chobal. Urbs.

Χώβαρος. ὄνομα κύριον.

Χώβαρος. Chobarus. Nomen proprium.

Χωλός. ἀντὶ τοῦ ἀτελής. περὶ ψυχῆς Πλάτων· Ἀλλ' εἰ ταύτῃ ἔσται χωλὴ ἡ φύσις.

Χωλός. [Proprie, claudus. At metaphorice,] imperfectus. Plato de anima: *Sed ſi hac in parte natura manca ſit.*

Χωλίαμβος. εἶδος στίχου.

Χωλίαμβος. Choliambus. Genus verſus.

Χωλός.[3] καὶ ἐπὶ ποδός, καὶ ἐπὶ χειρός. Εὔπολις· Ὅτι[4] χωλὸς τὴν χεῖρα σὺ σφόδρα. καὶ κυλλοὺς οἱ Ἀττικοὶ ἐπὶ ποδῶν καὶ χειρῶν ὁμοίως. καὶ χωλοποιός. [5]Ἀριστοφάνης·

Οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς
Τὸν χωλοποιὸν, οἷος ὢν θρασύνεται.

Χωλός. Claudus. Et de pede, & manu dicitur. Eupolis: *Manu valde claudus es.* Pariter & κυλλοὺς Attici de pedibus & manibus dicunt. Et χωλοποιός, claudum faciens. Ariſtophanes: *Nequaquam, priuſquam aperte hunc commonſtravero, claudos Heroas in fabulis ſuis introducentem, quam ſit feroculus.*

Χῶλος. ὄνομα κύριον.

Χῶλος. Cholus. Nomen proprium.

Χῶμα. ὕψωμα γῆς, [6]ὅπερ οἱ πολέμιοι ἐν ταῖς πολιορκίαις εἰώθασι προσχοῦν τὰ τείχη, Τραϊανὸς εἰς

Χῶμα. Agger: quo hoſtes in urbium obſidionibus muros obſtruere conſueverunt.

1 Γεγαννωμένος] Agathias, γεγανωμένος. Vide etiam ſupra v. Γεγαννωμένος, ubi hic ipſe locus legitur.

2 Βαρυτάτην] Agathias rectius, βαρβαρικωτάτην.

3 Χωλός. καὶ ἐπὶ π.] Vide ſupra v. Κυλλός, ubi eadem leguntur.

4 Ὅτι χωλὸς τὴν χ.] Pollux lib. IV. cap. 25. fragmentum hoc Eupolidis auctius ſic citat:

Ὅτι χωλὸς εἶ τὴν ἑτέραν χεῖρ' οὐ σφόδρα.

5 Ἀριστοφάνης] *Ranis*, pag. 252.

6 Ὅπερ] Conſtructionis ratio requirit, ut ſcribatur, ᾧ περ.

Βαβυλῶνα ἀφικόμενος, ἐντυγχάνει χώματι μεγίστῳ, ὅπερ χῶσαι ἐλέγετο Σεμίραμις. ἦν δὲ αὐτοῦ τὸ μὲν ὕψος ποδῶν ε' καὶ κ'. τὸ δὲ εὖρος, ἐς ν'. κατὰ μῆκος ἐπεῖχε σταδίους σ'. κατηγορεῖ δὲ τὴν δύναμιν τῆς πόλεως.

Χώματα χοῦν. Ἡρόδοτος ἱστορεῖ. ἀντὶ τοῦ, γῆν ὑψοῦν.

Χωμισδαίτης. ὁ Ἡρακλῆς.

Χῶναι. ὄνομα τόπου.

Χωνεύω. τὸ εἰς χῶνον ἐμβάλλω. καὶ χωνεία, ἐκ τοῦ χωνεύω. καὶ χωνεύω, ὁμοίως.

Χωνεῖον. τὸ χωνευτήριον. Χωνίον δὲ, τὸ ἐργαλεῖον, ι.

Χῶνος. τὸ χωνεῖον. καὶ χῶνες, οἱ χωνευταί.

Χ' ὡ ξυμπότης.

Χωόμενος. ὀργιζόμενος.

Χώρα. ὁ τόπος. παρὰ δὲ Θουκυδίδῃ, χώρα, ἡ τάξις.

Χωραζίν. ὄνομα τόπου. καὶ [1] προφήτου. Οὐαί σοι Χωραζίν.

Χωράσμιος. ὄνομα κύριον.

Χώραυλος. ὁ ἐπὶ χώρας διατρίβων.

Χωρεῖν. πορεύεσθαι. ὁρμᾶν. Ἀλλὰ χωρεῖν, καὶ συναποθνήσκειν ταῖς ἐπιβολαῖς τῶν πραγμάτων. † Οὐ χωρούντων αὐτοῖς τῶν ἐν Σικελίᾳ πραγμάτων κατὰ νοῦν, (ἀντὶ τοῦ γινομένων) διὰ τὸ μὴ βασιλικὴν φαίνεσθαι τὴν ἡγεμονίαν, ἀλλὰ δεσποτικὴν ταῖς πόλεσι. καὶ χωρῶ, αἰτιατικῇ.

Χωρήβ.[2] ὄνομα ὄρους.

Χωρήσατε. προσδέξασθε.

Χωρίζω· τὸ διαχωρίζω. καὶ χωρίζομαι, γενικῇ.

Χωρισμός. ἡ διάστασις.

Χωρὶς ἱππεῖς. Δάτιδος ἐμβαλόντος εἰς τὴν Ἀττικὴν, τοὺς Ἴωνας φασὶν, ἀναχωρήσαντος αὐτοῦ, ἀνελθόντας τὰ δένδρα σημαίνειν τοῖς Ἀθηναίοις, ὡς εἶεν χωρὶς οἱ ἱππεῖς· καὶ Μιλτιάδην συνιέντα τὴν ἀποχώρησιν αὐτῶν, συμβαλεῖν οὕτω, καὶ νικῆσαι. ὅθεν καὶ τὴν παροιμίαν λεχθῆναι ἐπὶ τῶν τὴν τάξιν διαλυόντων.

Χωρὶς τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα. [3] Φιλοσοφοῦντος οὐκ ἔστι μαντικὴν ἐπαγγέλλεσθαι καὶ προφέρειν, οὐδὲ τὴν ἄλλην ἱερατικὴν ἐπιστήμην. χωρὶς γὰρ τὰ τῶν φιλοσόφων καὶ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον, ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν.

Χωρὶς[4] τό, τ' εἰπεῖν πολλά, καὶ τὸ καίρια.

Ὡς δὴ σὺ βραχέα, ταῦτα δ' ἐν καιρῷ λέγεις.

Τουτέστιν, ἄλλο ἐστὶ τὸ φλυαρεῖν, καὶ ἄλλο τὸ ἀναγκαῖα λέγειν. Τοῖς κατὰ σὲ οὐ δοκῶ καίρια λέγειν.

Trajanus, cum Babylonem veniſſet, incidit in aggerem maximum, quem Semiramis excitaſſe ferebatur. Ejus altitudo erat pedum XXV. *latitudo circiter pedum* L. *At longitudo continebat ſtadia* CC. *quæ res urbis illius potentiam indicat.*

Χώματα χοῦν. Aggeres excitare. Herodotus. Vel, terram aggerere.

Χωμισδαίτης. Chomiſdætes. Epithetum Herculis.

Χῶναι. Chonæ. Nomen loci.

Χωνεύω. In vas fuſorium injicio. Liquo. Liquefacio. Et χωνεία, metallorum liquatio.

Χωνεῖον. Vas fuſorium, in quo metalla liquantur.

Χῶνος. Vas fuſorium, in quo metalla liquantur. Et χῶνες, metallorum fuſores & liquatores.

Χ' ὡ ξυμπότης. [Pro, καὶ ὁ ξυμπότης.] Et compotator.

Χωόμενος. Iraſcens.

Χώρα. Regio. Locus. Apud Thucydidem vero, χώρα dicitur, ordo, ſive locus alicui aſſignatus.

Χωραζίν. Chorazin. Nomen loci. Et Propheta: *Væ tibi Chorazin.*

Χωράσμιος. Choraſmius. Nomen proprium.

Χώραυλος. In regione degens. In agro commorans.

Χωρεῖν. Ire. Vadere. Pergere. *Sed pergendum eſt, & in ipſo conatu rerum moriendum.* † *Cum res in Sicilia ipſi ex animi ſententia non ſuccederent, quod imperium non regium, ſed herile urbibus eſſe videretur.* Et χωρῶ, accuſativo jungitur. Capio. Contineo.

Χωρήβ. Choreb. Nomen montis.

Χωρήσατε. [Capite. Accipite.] Recipite.

Χωρίζω. Separo. Divido. Disjungo.

Χωρισμός. Separatio. Diviſio.

Χωρὶς ἱππεῖς. Seorſim equites. Cum Datis Atticam invaſiſſet, Ionas ajunt, eo digreſſo, conſcenſis arboribus ſignificaſſe Athenienſibus, equites diſceſſiſſe: & Miltiadem, cognito eorum diſceſſu, [cum Perſis] conflixiſſe, eoſque viciſſe. Unde proverbium dictum in eos, qui aciem diſſolvunt.

Χωρὶς τὰ Μυσῶν καὶ Φρ. *Diſcreti ſunt Myſorum & Phrygum fines.* † *Philoſophi non eſt, artem vaticinandi profiteri & docere, nec aliam aliquam ſcientiam ad ſacerdotes pertinentem. Philoſophorum enim & ſacerdotum termini non minus ſunt diſcreti, quam Myſorum & Phrygum, ut ajunt.*

Χωρὶς τό, τ' εἰπ. *Aliud eſt dicere multa; aliud, talia, quæ ad rem faciant. Quare tu hæc breviter quidem, ſed opportune dixiſti.* Hoc eſt, Aliud eſt nugari, & aliud dicere ea, quæ ſunt neceſſaria. [Creon vero reſpondet Oedipo:] *Tibi tuiſq; nihil videor ad rem dicere.*

1 Καὶ προφήτου] Lege, καὶ προφήτης.

2 Χωρήβ] An pro, καὶ Ὠρήβ, i.e. *Et Horeb?* Sic cum Porto putamus.

3 Φιλοσοφοῦντος οὐκ ἔστι μαντ.] Locum hunc ex Damaſcio excerpſit Suidas, ut patet ex Photio, apud quem in Excerptis ex illo ſcriptore, pag. 1053. præter alia & hæc leguntur: Χωρὶς τὰ φιλοσόφων καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον, ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν. Vide etiam ſupra v. Οὐδὲν ἧττον, ubi idem fragmentū legitur.

4 Χωρὶς τό, τ' εἰπ.] Duo hi verſus Jambici leguntur apud Sophoclem in *Oedip. Colon.* pag. 298. ut & Portus monuit.

Χωρίτης. ἀπὸ τῆς χώρας.

Χωριτικός. ὁ χωρίτης. ὁ ἰδιώτης.

Χῶρος. ὁ τόπος.

Χωρῶ, χωρήσω. αἰτιατικῇ. Χωρίζω δὲ, τὸ διαχωρίζω.

Χώσασθαι. λυπηθῆναι.

Χωστρίς [1].

Χραίνειν. αἰτιατικῇ. μιαίνειν. μολύνειν. ῥυποῦν.

Χραίσμωσιν.[2] ὠφελήσωσι. βοηθήσωσι.

Χρεμέτης. ὄνομα ποταμοῦ.

Χρεμετίζειν. ἦχον τῷ στόματι ἀποτελεῖν. † [3] Πτάρνυται, καὶ χρέμπτεται, ὁμοίως. Τὴν ἀρχὴν, ὁπόθεν εὑρέθη ὁ μῦθος, καὶ ὅς τις πρῶτος ἔφευρεν, οὐ μᾶλλον εὕροι τις ἂν, ἢ εἴ τις ἐπιχειρήσειε τὸν πτάρνυντα, ἢ χρεμψάμενον ἀναζητεῖν.

Χρέμης,[4] χρέμητος. εἶδος ἰχθύος.

Χρεμψιθέατρον. ἢ ὅτι εἰσιόντες εἰς τὸ θέατρον χρέμπτονται· ἢ ὅτι χρεμπτόμενοι ἐκβάλλονται.

Χρεωκοπεῖται. ὑπὸ [5] χρεῶν ἐνοχλεῖται. Τῆς παρὰ τοῖς Αἰτωλοῖς χρεωκοπείας κατὰ τὴν Θετταλίαν ζηλωθείσης, καὶ πάσης πόλεως εἰς στάσεις καὶ ταραχὰς ἐμπεπλήσης.

Χρέος. παρὰ τὸ χρειῶδες. λέγεται χρέος καὶ ἡ χρεία παρὰ [6] Ἀριστοφάνει·

Τί δ', ὦ τάλας, τοῦδ' ἔχεις τοῦ πλέκους χρέος;

λέγει δὲ, σπυρίδος.

Χρέος. τὸ δάνειον. καὶ χρεῖος.

Χρεολυτῶ.

Χρεών. εἱμαρμένον τέλος ζωῆς. Αἰλιανός· Ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε, καὶ τῆς προσηκούσης κηδεύσεως ἔτυχε. τὸ δὲ χρεὼν μετοχή ἐστιν ἀπὸ τοῦ χρῶ, χρέω, γινόμενον. οὐδέτερον, χρέον. παρατροπὴ δὲ παρηκολούθησε τοῦ τόνου, καὶ κατ' Ἀττικὴν ἔκτασιν ἐτράπη τὸ ο εἰς ω. καὶ ἔστιν ἄκλιτον. τὰ δὲ εἰς ον ἐπιρρήματα διὰ τοῦ ο μικροῦ γράφεται· πλὴν τοῦ χρεὼν, καὶ ἐμποδών.

Χρεῶν ἀποκοπαί. ὅταν τὰ ὑπὸ τῶν πενήτων [7] ἀφαιρεθέντα ἄφεσιν λάβωσι.

Χρεώστης. ὁ δανειστής.

Χρεωφειλέτης. ὁ χρεωστῶν.

Χρεία. ὑπόθεσις. [8] πρόνοια. Ὁ δὲ [9] ὑπελάμβανεν ὑγιασθεὶς ἐκ τοῦ τραύματος ἀληθινὴν παρέχεσθαι

Χωρίτης. In agro degens. Agreſtis. Ruſtic

Χωριτικός. Agreſtis. Ruſticus. Imperitus

Χῶρος. Locus.

Χωρῶ, χωρήσω. Capio. Contineo. Accuſativo jungitur. At χωρίζω, ſeparo, disjungo

Χώσασθαι. Iratum eſſe.

Χωστρίς. [Teſtudo aggeſtitia, cujus uſus e in bellis.]

Χραίνειν. Accuſativo jungitur. Polluer Contaminare. Maculare. Fœdare.

Χραίσμωσιν. Juvent. Proſint. Auxilientur.

Χρεμέτης. Chremetes. Nomen fluvii.

Χρεμετίζειν. Ore ſonum aliquem eden Hinnire. † Πτάρνυται, ſternutat, [formæ e Mediæ:] & χρέμπτεται, ſcreat, pariter. *Initium unde fabula hæc orta ſit, & quiſnam primu eam invenerit, non magis inveſtiges, quam quis conetur inquirere, quis primus ſternutarit aut ſcrearit.*

Χρέμης. Chremes. Genus piſcis.

Χρεμψιθέατρον. Theatrum, in quo ſpectatores ſcreant. [Quod ideo dictum,] vel quoc in Theatrum ingreſſi ſcreent: vel, quoc ſcreantes illinc ejiciantur.

Χρεωκοπεῖται. Debitis premitur, vel vexatur. [Et χρεωκοπία, priorum debitorum reſciſſio. Novæ tabulæ.] *Cum novæ tabulæ apud Ætolos uſitatæ etiam in Theſſalia introducerentur, eaque res totam urbem ſeditionibus & turbis repleviſſet.*

Χρέος. Debitum. Item, uſus neceſſarius apud Ariſtophanem. *Quid tibi, miſer, vaſ hoc vimineo opus eſt?* Intelligit autem ſportulam.

Χρέος, [& poetice,] χρεῖος. Debitum. Fœnus. Æs alienum.

Χρεολυτῶ. Debitum, vel, æs alienum diſſolvo.

Χρεών. Fatum. Fatalis vitæ finis. Ælianus *Cum autem ad ſenectutem perveniſſet, commune Fato debitum perſolvit, & eo, quo pa erat, funere elatus eſt.* Χρεὼν autem eſt participium, a χρέω, χρῶ, deductum. Neutrun eſt χρέον. Sed accentus in hac voce præte morem loco ſuo motus eſt, & per productionem Atticam τὸ ο mutatum in ω. Eſt autem vox indeclinabilis. Adverbia vero in desinentia per ο ſcribuntur: exceptis iſtis χρεὼν, & ἐμποδών.

Χρεῶν ἀποκοπαί. Debitorum reſciſſiones. Novæ tabulæ. Sive, cum pauperibus debita remittuntur.

Χρεώστης. Fœnerator.

Χρεωφειλέτης. Debitor.

Χρεία. [Neceſſitas. Uſus.] Argumentum Egeſtas. *Ille autem putabat, ſeſe, cum e*

1 Χωστρίς] Vide ſupra v. Χελώνη.

2 Χραίσμωσιν] Homer. Il. A. v. 566.

3 Πτάρνυται, καὶ χρ.] Hæc male ſubjiciuntur voci Χρεμετίζειν. Pertinent enim ad v. Χρέμπτεσθαι, vel χρέμψασθαι.

4 Χρέμης] Heſychius, χρεμύς.

5 Ὑπὸ χρεῶν ἐνοχλεῖται] Alias vocis χρεωκοπεῖται ſignificationes vide in Lexicis vulgatis.

6 Παρὰ Ἀριστοφάνει] *Acharnenſ.* pag. 393. (280. Ed. Baſ. P ubi rectius ſic legitur:

Τί δ', ὦ τάλας γε, τοῦδ' ἔχει πλέκους χρέος;

7 Ἀφαιρεθέντα] Corrupte, pro ὀφληθέντα.

8 Πρόνοια] Scribe meo periculo, πενία, i. e. paupertas, vel egeſtas. Heſychius: Χρείαν, τὴν ἔνδειαν. Et, Χρεῖαι. ἔνδειαι. Atqui, ἔνδεια & πενία idem ſignificant. Pauper enim omnibus rebus indig

9 Ὁ δὲ ὑπελάμβ.] Sunt verba Polybii lib. III. cap. LXX.

χρεία

χρείαν τοῖς κοινοῖς πράγμασι. καὶ παροιμία·

[1] Χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν
Καρχηδόνιον.

τουτέστιν, ἐνδεχομένην ἐκ τοῦ καιροῦ ποιησάμενοι τὴν ἐπίνοιαν.

Χρείειν. τύπτειν.

Χρείη. δέῃ.

Χρειώ. ἡ χρεία.

Χρείω. τὸ χρησμοδοτῶ. ἐπὶ ἐνεστῶτος μόνου, καὶ παρατατικοῦ. ἐπὶ δὲ τῶν λοιπῶν, διὰ τοῦ η.

Χρείω. τὸ μαντεύομαι. διὰ διφθόγγου. ὁ δὲ μέλλων, διὰ τοῦ η, χρήσω. Χείω δὲ, τὸ ἀλείφω, διὰ τοῦ ι.

Χρή. ὀξυτόνως. ἤγουν δεῖ. χρῆ δὲ, περισπωμένως, τὸ ὑποτακτικόν. σημαίνει δὲ, τὸ δέῃ. Εὔπολις Αἰξίν·

Ἐγὼ τελῶ τὸν μισθὸν, ὅν τιν' ἂν [2] χρῆ.

καὶ χρῆ, ἐπὶ β' προσώπου τοῦ παθητικοῦ ἐνεστῶτος τοῦ χρῶμαι. ὅπερ γίνεται ἀπὸ τοῦ χράω, χρᾷ, καὶ τροπῇ τοῦ α εἰς η, χρῆ. χρῆν δὲ, μετὰ τοῦ ν, καὶ περισπωμένως, τὸ παρεληλυθὸς, τὸ ἔδει. λέγουσι δέ ποτε καὶ χρῆσθαι, ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις·

Τὸ δ' ὄνομά μοι κάτειπε, τί σε χρῆσθαι καλεῖν.

Ἀριστοφάνης Λημνίαις·

Ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;

Χρῄς δὲ, τὸ χρῄζεις, καὶ δέῃ. Κρατῖνος Νόμοις· [3] Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ' ἄλλ', ὅτι χρῄς. χρείη δὲ, τὸ δέοι. Πλάτων Εὐθύφρονι· [4] Πευσόμενοι τοῦ ἐξηγητοῦ, τί χρείη ποιεῖν.

Χρῄζω. γενικῇ.

Χρῆμα. πρᾶγμα. ἢ κτῆμα. πλοῦτος. οὐσία. λῆμμα. Τὸ δὲ δωμάτιον ζοφῶδες ἦν, καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν. Καὶ αὖθις· [5] Ὁ δὲ κατέσεισεν ἅπαντα, καὶ κατεβρόντησεν ἐς τοσοῦτον, ὥστε ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν. [6] Ἰουλιανός· Πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθέομεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. ἰδοὺ γοῦν σοι θαῤῥῶν ἐγὼ ἐγγυῶμαι, μή σε ὦφθαι τοιοῦτον, μηδὲ ὅσα ποτέ γε ἡμεῖς ἴσμεν ἐν τῇ Ῥωμαίων. ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις, εἴτε τὰς ἐν Θερμοπύλαις, εἴ τε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον· ἐλάχιστον ἔστω χαλεπότητος ἕνεκα πρὸς τὸν Ἑρκύνιον τοὔνομα. Καὶ Εὐνάπιός φησιν· Ὁ δὲ τὰς δυνάμεις ἤθροισε, καὶ τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη, καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων.

Χρῆμα. πρᾶγμα. Μέγα τι χρῆμα καὶ θαυμάσιον, ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ, τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων. Καὶ αὖθις· Εἰκάζειν ἂν βοῶν ἀγέλῃ με-

vulnere convaluiſſet, utilem Reip. operam præſtiturum eſſe. Et proverbium: *Neceſſitas docet ingenioſum eſſe Carthaginenſem, quamvis rudis ſit & indoctus.* Hoc dictum eſt de Carthaginenſibus, cum ſolers conſilium e re nata iniiſſent.

Χρείειν. Verberare.

Χρείη. Oporteat.

Χρειώ. Neceſſitas.

Χρείω. Oraculum edo. Dicitur tantum in præſenti & imperfecto. In reliquis vero [temporibus ſcribitur] per η.

Χρείω. Vaticinor. Oraculum edo. [Scribitur] per diphthongum ει. At Futurum, per η, χρήσω. Χείω vero, ungo, per ι.

Χρή. Idem quod δεῖ. Oportet. Scribitur cum acuto. At χρῆ, ſubjunctivus, cum circumflexo. Oporteat. Eupolis *Capris*: *Ego perſolvo mercedem, quam oportet.* Et χρῆ, ſecunda perſona paſſivi præſentis. Uteris. A χρῶμαι, utor. Hoc autem formatur a χράω, χρᾷ, & verſo α in η, χρῆ. At χρῆν, cum ν, & circumflexo, eſt imperfectum: pro ἔδει, oportebat. Interdum vero & χρῆσθαι dicunt pro δεῖ, i.e. oportet. Pherecrates *Nugis*: *Nomen vero mihi declara, quo te oporteat vocare.* Ariſtophanes *Lemniis*: *Cor vero quodnam eſt? Et quomodo oportet facere?* Χρῄς vero, indiges, opus habes. Cratinus *Legibus*: *Nunc enim tibi in promptu ſunt leges noſtræ, & alia item, quibus indiges.* At χρείη, pro δέοι. Oporteat. Plato in *Eutyphrone*. *Quæram ex interprete, quid oporteat facere.*

Χρῄζω. Genitivo jungitur. Indigeo. Egeo.

Χρῆμα. Res. Vel, opes, divitiæ, facultates, lucrum. *Erat autem domuncula obſcura & deformis, & tempore æſtivo maxime incommoda: adeo ut res videretur eſſe carcer.* Et iterum: *Ille vero omnia tonitruis quaſi concuſſit, adeo ut fabuloſus ille Salmoneus cum eo collatus parva quædam res videretur.* Julianus: *Ad ſylvam Hercyniam contendentes, rem inuſitatam & mirabilem vidimus. Affirmare enim auſim, te nihil tale unquam vidiſſe: nec nos ſimile quicquam in imperio Romano cognitum habemus. Sive enim quis Theſſalica Tempe inacceſſa exiſtimat, ſive loca ad Thermopylas, ſive ingentem & arduum montem Taurum: minima hæc ſunt, cum ſaltus Hercynii aſperitate collata.* Et Eunapius inquit: *Ille autem copias coegit, tranſitum accelerans & ſqualida, nulla pene re inſtructus, præterquam animi audacia & fiducia.*

Χρῆμα. Res. *Magna quædam res eſt, & admiranda, vir & animus in primo ortu recte compoſitus; quicquid eorum operum, quæ ſibi initio propoſuerat, aggreſſus fuerit.* Et iterum:

1 Χρεία διδάσκ.] Vide Gatakerum in *Miſcell. Poſthum.* cap. x. pag. 528.

2 Χρῆ] Metri gratia ſcribendum eſt, χρή.

3 Νῦν γὰρ δή σ.] Lego & diſtinguo,
Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ' ἄλλων,
Ὧν χρῄς.
Eſt autem verſus Anapæſticus.

4 Πευσόμενοι τοῦ ἐξηγ.] Apud ipſum Platonem in *Eutyphrone* ſic legitur, Πευσόμενοι τοῦ ἐξηγητοῦ, ὅ, τι χρὴ ποιεῖν.

5 Ὁ δὲ κατέσεισεν ἅπ.] Hæc ſunt verba ſcriptoris incerti de Eutropio eunucho, ut patet ex ipſo Suida ſupra v. Εὐτρόπιος.

6 Ἰουλιανός] Non in iis, quæ hodie exſtant operibus.

γίστη τὸ χρῆμα. περὶ βαρβαρικῆς παρατάξεως ὁ λόγος. [1] Ἡρόδοτος· Ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον. καὶ [2] Ἀριστοφάνης·

—— Τὸ χρῆμα τῶν νυκτῶν, ὅσον
Ἀπέραντον. ——————

Δηλαδὴ, τὸ ἔκτασμα, τὸ μέγεθος. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι· οἷον, ἵππος, σπάνιόν τι χρῆμα. γυνὴ, κακόν τι χρῆμα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν ἂν ἐξαίρειν βούλονται. † Ὁ δὲ χρημάτων οὐκ ἦν εὔπορος, οὐδὲ ὅσα ἂν ἐξήρκεσεν ἕτερα πρὸς τὴν τοῦ ἀναγκαίου βίου διαγωγὴν, οὐδὲ τοσαῦτα κεκτημένος.

Res erat, quæ maximo armento boum aſſimilari poterat. De acie barbarorum hæc dicuntur. Herodotus: *Erat autem res hyemis,* [i. e hyems,] *intolerabilis.* Et Ariſtophanes: *Quam longum eſt hoc noctis.* Vel, [quanta eſt noctis hujus] longitudo. Atticis autem mos eſt, appoſitione uti: ut, Equus rara quædam res eſt. Mulier mala quædam res eſt Et in aliis ſimiliter, quæ exaggerare volunt [Et χρήματα, pecunia, opes.] *Ille autem non abundabat opibus, neque tantæ ipſi erant facultates, quæ ad neceſſarios vitæ uſus ei ſufficerent.*

Χρῆμα. χρῆσις. Ἰώσηπος· Ἦν [3] δὲ σάββατον ἁγία παντὸς χρήματος ἡμέρα τοῖς Ἰουδαίοις τιμιωτάτη. Καὶ αὖθις· Κινδυνεύει ἀποβῆναι τῆς ἀληθείας τὸ χρῆμα. καὶ χρήματα, παρὰ Ἡροδότῳ, ἀντὶ τοῦ πράγματα. Χρήμασιν ἐδωρήσατο.

Χρῆμα. Res. Uſus. Joſephus: *Sabbatum autem erat dies ſanctus, & omnium rerum maxime venerabilis apud Judæos.* Et iterum: *Periculum eſt, ne iſtud re vera nobis accidat.* Et χρήματα, pecunia, apud Herodotum. *Pecunia eum donavit.*

Χρήματ' [4] ἀνὴρ, πενιχρὸς δ' οὐδέποτ' ἐσθλός. ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων. Ἀριστόδημός φησι. μέμνηται τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος. Ὡς γάρ δή ποτ' Ἀριστόδημον φασὶν ἐν Σπάρτᾳ οὐκ ἀπάλαμνον λόγον εἰπεῖν, Χρήματα· καὶ τὰ ἑξῆς. καὶ αὖθις, [5] Ἀριστοφάνης·

—— Οὐκ οἶδ', ὅ, τι χρῆμά με ποιεῖς.
Σκέψαι τοίνυν γ', ὡς ἐξόν σοι πλουτεῖν, καὶ τοῖσιν ἅπασιν,
Ὑπὸ τῶν ἀεὶ [6] μηδιζόντων.

Καὶ [7] Σοφοκλῆς·

——— Τί χρῆμα δρᾷς,
Αἴαν; τί τήνδ' ἄκλητος, οὐδ' ὑπ' ἀγγέλων
Κληθεὶς ἀφορμᾷς πεῖραν, οὔτε του κλύων
Σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
Ὁ δ' εἶπε πρός με βαιὰ, ἀεὶ δ' ὑμνούμενα·
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
Κἀγὼ μαθοῦσ', ἔληξ'. ὁ δ' ἐσσύθη μόνος.

Χρῆμ' ἀνὴρ, πενιχρ. *Pecunia virum facit: pauper vero nunquam bonus.* Dicitur de iis, qui propter divitias rem feliciter gerunt. Ariſtodemus [autem hoc] dixit. Ariſtodemi meminit etiam Alcæus. *Ut enim Ariſtodemum Spartæ ſententiam non inſcitam dixiſſe ajunt, Pecunia* [*vir,*] &c. Et iterum, Ariſtophanes: *Neſcio quam rem mihi facias. Vide igitur, cum liceat tibi diteſcere, & omnibus veſtris; quo redactus ſis ab oratoribus popularibus.* Et Sophocles: *Quam rem facis, Ajax? Quid invocatus, nec a nuntiis vocatus, hanc rem aggrederis, nec tubam aliquam audiens? Nam nunc quidem totus exercitus dormit. Ille autem dixit ad me pauca, ſed quæ ſemper* [*omnium ore*] *celebrantur: Mulier, mulieribus ſilentium ornamento eſt. His ego auditis, tacui. Ille autem ſolus exivit.*

Χρήματα, [8] χρήματ' ἀνήρ. αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ζ. Σοφῶν. μέμνηται αὐτῆς Πίνδαρος, καὶ Ἀλκαῖος. ὁμοία τῇ, ὡς καὶ Ἀρχὴ ἄνδρα δείκνυσι. καὶ τῇ, Τὴν κατὰ σαυτὸν ἔλα. καὶ τῇ, Γνῶθι σαυτόν. λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρτιάτου φησί. Πίνδαρος δὲ, ὑπό τινος Ἀργείου τὸ ὄνομα, οὕτω λέγων. ὁ δ' Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς ζ'. Σοφοῖς ὑπό τινων.

Χρήματα. *Pecunia, pecunia vir.* Eſt ſententia, qualia ſunt ſeptem Sapientum præcepta. Meminit ejus Pindarus & Alcæus. Similis eſt illi, *Magiſtratus virum oſtendit.* Et, *Turbinem, qui juxta te eſt, verſa.* Et, *Noſce, te ipſum.* Sententiæ autem hujus auctorem eſſe Ariſtodemum Spartanum Alcæus ait. Pindarus vero, Argivum quendam. Ariſtodemus autem ſeptem Sapientibus a quibuſdam annumeratur.

Χρηματίζεσθαι. χρήματα περιποιεῖσθαι. ἐὰν δέ τις εἴπῃ τὴν λέξιν ἐνεργητικῶς, χρηματίζει, οὐκέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ τὸ πράγμασι χρῆσθαι· οἷον Φα-

Χρηματίζεσθαι. Pecuniam colligere, [vel comparare. Quæſtum facere.] Si quis vero active dicat, χρηματίζει, non amplius idem ſignificat, ſed negotiis publicis vacare, [vel, reſponſa dare, jus reddere.] Ut cum dicimus, Se-

1 Ἡρόδοτος] Lib. VII. pag. 283. ut Portus monuit.
2 Ἀριστοφάνης] Initio *Nubium.*
3 Ἦν δὲ σάββατον ἁγία παντὸς χρ.] Conſtructio turbata videtur. Scribendum enim potius eſt, ἦν δὲ σάββατον ἁγία ἡμέρα, παντὸς χρήματος τοῖς Ἰουδαίοις τιμιωτάτη.
4 Χρήματ' ἀνὴρ, πενιχρ.] Pindarus Iſthm. 2. v. 17.
Χρήματα, χρήματ' ἀνήρ.
Scholiaſtes ad illum locum: Τοῦτο ἀναγράφεται καὶ εἰς τὰς παροιμίας ὑπ' ἐνίων. ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δῆλον ὄντος, ὡς ἐστιν ὁ τοῦτο εἰπών· μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος. Ἀλκαῖος δὲ καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἀργεῖον, ἀλλὰ Σπαρτιάτην. Ὡς γὰρ δή ποτέ φασιν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν, Χρήματ' ἀνήρ· πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσθλὸς, οὐδὲ τίμιος. Hæc Suidam egregie illuſtrant.
5 Ἀριστοφάνης] In *Veſpis*, pag. 484. (335. Ed. Baſ. P.)
6 Μηδιζόντων] Apud Ariſtophanem rectius legitur, δημιζόντων. Eſt autem δημίζειν, auram popularem captare, vel, populo ſtudere: eaque vox comica licentia conficta eſt, & eodem modo formata, quo Μηδίζειν, Φιλιππίζειν. & ſimilia.
7 Σοφοκλῆς] In *Ajace*, pag. 18. ut Portus monuit.
8 Χρήματα. χρ.] Vide articulum præcedentem, & quæ ibi notavimus.

μὲν

μὲν, χρηματίζει ἡ βουλὴ, καὶ ὁ δῆμος· οἷον, πράγμασι σχολάζει. ἀφ᾽ οὗ χρήματα, τὰ πράγματα.

natus & Populus negotia publica tractat, & de iis decernit. Hinc χρήματα, res, negotia.

Χρηματίζεσθαι. πλουτεῖν. [1]Οὐδὲ χρηματίζομαι. πάλαι γάρ μοι ταῦτα ἐδόκει καὶ ἐκ μειρακίων λῆρος καὶ φλήναφος.

Χρηματίζεσθαι. Pecuniam ſibi comparare. Diteſcere. Quæſtum facere. *Neque quæſtui ſtudeo. Id enim vel ab adoleſcentia mihi viſum eſt delirium & nugæ.*

Χρηματίζει. διοικεῖ. ἀποκρίνεται. πρᾶγμα διοικεῖ. οὕτως Ἀππιανὸς ὁ ἱστορικός· Τοῖς πρέσβεσιν ἐχρημάτιζε. Χρηματίζειν ἐστὶ, καὶ τὸ λόγους διδόναι ἀλλήλοις. τινὲς δὲ καὶ ἀντὶ τοῦ ὑπάρχειν ἐξέλαβον. [2]Ἀριστοφάνης δέ·

Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
Ὅ, τι χρὴ παθεῖν. ———

Χρηματίζει. Dativo jungitur. Reſponſum dat. Negotia publica tractat, & de iis conſultat. Sic Appianus hiſtoricus: *Legatis reſponſa dabat.* Χρηματίζειν etiam eſt, de negotio aliquo inter ſe colloqui. Quidam etiam acceperunt pro, exiſtere, eſſe. Ariſtophanes vero: *Primum conſultare oportet de Euripide; qua pœna afficiendus ſit.*

Χρηματισαμένων. χρήματα λαβόντων. Ἀρριανός· Χρηματισαμένων δὲ καὶ αὐτῶν, τρίτη παρεγένετο πρεσβεία.

Χρηματισαμένων. Illorum, qui pecunias acceperunt. Arrianus: *Cum autem & ipſi pecunias accepiſſent, tertia legatio venit.*

Χρηματισάμενοι. πραγματευσάμενοι. καὶ χρηματίσαι μέν ἐστι, τὸ πρᾶξαι. Χρηματίσασθαι δὲ, κερδᾶναι, παρὰ Θουκυδίδῃ.

Χρηματισάμενοι. Qui negotiati ſunt. Qui quæſtum fecerunt. Et χρηματίσαι, negotia adminiſtrare. Agere. Χρηματίσασθαι vero apud Thucydidem eſt, lucrum facere, quæſtum facere.

Χρηματίσεσθαι. χρήματα λαβεῖν. Ἡροφίλα, ἡ καὶ Σίβυλλα Ἐρυθραία, ἔγραψε βιβλία γ΄. μανικά· καὶ ἦλθεν εἰς Ῥώμην χρηματίσεσθαι. καταφρονηθεῖσα δὲ, ἔκαυσε τὰς δύο βίβλους.

Χρηματίσεσθαι. Pecuniam accepturum eſſe. Lucrum reportaturum eſſe. *Herophila, quæ & Sibylla Erythræa dicitur, tres libros oraculorum ſcripſit. Cum autem Romam veniſſet, ut ea magno pretio venderet, & repulſam tuliſſet, duos libros combuſſit.*

Χρημάτισις. χρημάτων συναγωγή. Αἰλιανός· Ὁ δὲ τῆς θεοσυλίας τε καὶ ἀθέσμου χρηματίσεως διαφθαρεὶς τὸν μισθὸν ἠνέγκατο τοῦτον πικρότατόν τε καὶ [3]πικρωδέστατον.

Χρημάτισις. Pecuniæ collectio. Opum corraſio. Ælianus: *Ille vero interfectus ſacrilegii ſui & injuſtæ opum corraſionis mercedem hanc tulit acerbiſſimam ſimul & horrendam.*

Χρηματισμός. Πᾶσι δὲ συνετέτακτο ποιήσασθαι τοὺς χρηματισμοὺς, τουτέστι, τὰς διοικήσεις. Καὶ αὖθις· Ὁ δὲ τοὺς πρεσβευτὰς ἑτοίμως δεξάμενος, ἐχρημάτιζε τούτοις. ἀντὶ τοῦ, ἐκοινολογεῖτο, λόγους ἐδίδου. Καὶ αὖθις· Ἐν χρηματισμοῦ δικαίῳ καταστάς. Φησὶ Δαμάσκιος· Τὸν χρηματισμὸν, (τουτέστι, τὴν τῶν χρημάτων συλλογὴν) μηδὲ φανεῖσθαι τοῖς ἐν ᾅδου πρὸς βοήθειαν, οὐδὲ τὴν τρυφὴν, οὐδὲ τὰς [4]πολυαράτους ταύτας τιμὰς, ὧν οὐδὲν προτιμῶσιν οἱ πολιτικοὶ, καὶ σφόδρα ὑπὸ τῶν πολλῶν μακαριζόμενοι, ὡς εὐδαίμονες, ὄντες γε τῇ ἀληθείᾳ κακοδαίμονες.

Χρηματισμός. [Pecuniæ comparandæ ratio. Reſponſum, quod magiſtratus aliquibus reddunt. Negotiorum adminiſtratio.] *Omnibus autem præceptum erat, ut negotia publica tractarent.* Et iterum: *Ille autem, cum legatos prompte admiſiſſet, illis reſponſum dedit.* Et iterum: *Cum juſtum quæſtum faceret.* Et Damaſcius inquit: *Lucrum & opes hominibus apud Inferos nihil profuturas eſſe, neque luxum, neque tantopere expetitos honores illos, quibus ambitioſi nihil anteponunt, & quorum cauſa a vulgo beati prædicantur, cum revera ſint infelices.*

Χρηματιστής. χρημάτων ποριστής. ὁ ῥᾳδίως χρήματα πορίζων, οὕτω προσαγορεύεται. κεῖται τὸ ὄνομα παρὰ Λυσίᾳ.

Χρηματιστής. Sic dicitur ille, qui quæſtui deditus eſt. Vel, qui pecuniam & opes facile acquirit. Vox hæc exſtat apud Lyſiam.

Χρημάτων. συνήθως μὲν οἵ τε ἰδιῶται καὶ οἱ ῥήτορες τῷ ὀνόματι τῶν χρημάτων ἐπὶ νομίσμασι χρῶνται ἀργυρείοις καὶ χρυσίοις. καὶ ἐπὶ τῆς ὅλης οὐσίας τὴν λέξιν ταύτην ἔταξαν. Τὸν ἀποκτείναντα ὅσιον εἶναι καὶ θνήσκειν, καὶ τὰ χρήματα αὐτοῦ πεπρᾶσθαι. κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος, ἢ προσώπου, ἢ λόγου· ὡς Ἀντιφῶν. τάσσουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων. ὁ δὲ Λυσίας ἐπὶ τοῦ χρυσοῦ κατασκευάσματος τίθησι.

Χρημάτων. Vulgo tam indocti, quam oratores nomine hoc utuntur pro pecunia, vel nummis argenteis & aureis. Ponitur etiam hæc vox pro omnibus bonis, quæ quis poſſidet. *Eum, qui alterum occidit, fas eſſe morte plecti, & ipſius bona vendi.* Ponitur item hæc vox pro re, vel perſona, vel oratione: ut apud Antiphontem. Item, pro mercibus mercatorum. Lyſias autem pro nummo argenteo ponit.

1 Οὐδὲ χρηματίζομαι. πάλ.] Ex Marco Antonino, ut puto.
2 Ἀριστοφάνης] *Theſmophor.* pag. 786. (520. Ed. Baſ. P.)
3 Πικρωδέστατον] Eſt vox Græcis ſcriptoribus ignota. Ne dicam ταυτολογίαν fore manifeſtam, ſi vox iſta admittatur. Præceſſit enim πικρότατον. Quare cum Kuhnio lego, φρικωδέστατον.
4 Πολυαράτους] Sic recte optimus MS. A. At MSS. B. & C. itemque priores Editt. male, Πολυκράτους, i. e. *Polycratis.* Wolfius tamen jam ante etiam ex ingenio recte emendaverat, πολυαράτους.

Χρημάτων. χρυσοῦ νομίσματος. Οἱ δὲ ἤγοντο, χρημάτων μεγάλων ἐωνημένοι.

Χρῆμα οἰκτρόν. ταπεινοί. ἐλέους ἄξιοι. Λιβύων δὲ πρέσβεις, χρῆμα οἰκτρόν, κατὰ κλέος τὸ τῆς παρθένου ἧκον, καὶ ἐδέοντο λύσιν τινὰ τοῦ λοιμοῦ λαβεῖν.

Χρήμη. χρεία, καὶ σπάνις. [1] Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου· Τοὺς ἐναντιωθέντας τῇ χρήμῃ αὐτοῦ. ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο. τουτέστι, μετρίῳ πλούτῳ, καὶ περιουσίᾳ.

Χρῆ μοι. ἔχρησεν. ἐμαντεύσατο. [2] Σοφοκλῆς·

Χρῆ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα.

Χρῆν. ἔδει. καὶ ἐχρῆν, ἔπρεπε. Χρῆν δὲ μὴ, τὸ λεγόμενον, ἄστροις τὰ καθ' ἡμᾶς σημαίνεσθαι, μηδὲ τί λέγει Φήμη, πυνθάνεσθαι· ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας· εἰ δὲ μὴ, γράμμασιν ἡμετέροις ἐντυγχάνειν.

Χρῆναι. πρέπειν. Χρῆναι γὰρ ἤδη ἀφῖχθαι παρ' αὐτόν.

Χρῇς. χρῄζεις. ζήτει ἐν τῷ Χρῄ.

Χρήσασθαι. δανείσασθαι. Τὸ χρῆσαι τοῦ δανείσαι αἱρετώτερον. τὸ μὲν γὰρ χρῆσαι ἐπὶ φίλων· τὸ δὲ [3] δανείσασθαι, πρὸς τοὺς τυχόντας.

Χρήσιμον. τὸ ἀγαθόν. ὅ, τι χρῆσιν ὠφελείας παρέχεται. ὠφέλιμον. [4] Οἱ δὲ οὕτω διεφθάρησαν, ὡς μήτε τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀχρειωθῆναι αὐτούς.

Χρήσιμον πρᾶγμα. ὅ, τι χρείαν ὠφελείας παρέχεται. Εὔχρηστον δὲ, ὅτι χρείαν ἐπαινετὴν ἀπεργάζεται.

Χρῆσις. χρῆσις λέγεται, τῶν χρησίμων τινὸς χρεία. χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά. [5] Ὧν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα. εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος αἱρετωτέρα· καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος.

Χρῆσθαι. διοικεῖσθαι. δαπανᾶν. καταναλίσκειν. Τά τε ἐπιτήδεια παρεσκευακέναι ἄφθονα, καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι.

Χρήσθων. ἀντὶ τοῦ χρήσθωσαν. καὶ ζήτει ἐν τῷ Δρώντων.

Χρησμοδοτῶ, καὶ χρησμοδότημα. χρησμῳδῶ δέ.

Χρησμός. προφητεία. Ὁ [6] δὲ Σκηπίων, ὁ στρατηγὸς τῶν Ῥωμαίων, μετὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων, ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξουσι τοῦ χρόνου, παρελθὼν εἰς μέσους ἔφη· Νῦν μέν τοι πολέμων ἀρχαὶ τὰ παρόντα· καὶ ἦν χρησμὸς ὁ λόγος. κινδυνεύσομεν γὰρ μὴ ἔχοντες, μήτε οὓς φοβησόμεθα, μήτε οὓς φοβηθῶμεν. Καὶ αὖθις·

Χρημάτων. Nummo aureo, [vel argenteo. Pecunia.] *Illi vero adducebantur, ingenti pecunia empti.*

Χρῆμα οἰκτρόν. Res miſeranda. Spectaculum miſerabile. *Afrorum legati, ſpectaculum miſerabile, audita fama virginis venerunt, orantes, ut a peſtilentia liberarentur.*

Χρήμη. Indigentia. Inopia. Raritas. Herodotus in vita Homeri: *Eos, qui egeſtati ipſius adverſati fuerant. Nihilominus ſumptuoſe vixit.*

Χρῆ μοι. Oraculum mihi reddidit. Reſpondit mihi. Sophocles: *Apollo ea mihi reſpondit, quæ ſtatim audies.*

Χρῆν. Oportebat. Decebat. Et ἐχρῆν, idem. *Non oportebat de rebus noſtris ex aſtris, ut vulgo dicitur, conjecturam facere, neque ſciſcitari, quid fama ferret: ſed potiſſimum quidem nobiſcum converſari, vel ſaltem libros noſtros legere.*

Χρῆναι. Oportere. [*Dicebat*] *enim oportere eos ad ipſum jam veniſſe.*

Χρῇς. Pro χρῄζεις. Indiges. Quære in v. Χρῄ.

Χρήσασθαι. Fœnerari. Fœnori accipere. [At χρῆσαι, commodare, mutuo dare.] *Mutuo dare ſatius eſt quam fœnori dare. Nam illud inter amicos locum habet. Fœneramur vero cuilibet.*

Χρήσιμον. Utile. Bonum. *Romanorum autem claſſes tempeſtate ita confractæ fuerunt, ut ne tabula quidem ullius uſus e naufragio ſuperaret: ſed utraque penitus corrumperetur.*

Χρήσιμον πρᾶγμα. Res, quæ eſt ſimpliciter utilis. At εὔχρηστον dicitur id, quod commodum & eximium uſum præbet.

Χρῆσις. Uſus rei alicujus utilis. Bona vero *utilia*, peculiariter dicuntur inſtrumentalia. † Quorum uſus eſt optabilior, & ipſa ſunt optabiliora. Si enim uſus divitiarum eſt optabilior uſu roboris; & ipſæ divitiæ robore ſunt optabiliores.

Χρῆσθαι. Uti. Adminiſtrare. Impendere. Conſumere. [*Dicebat*,] *ſe magnam commeatuum copiam paraſſe, ejuſque uſum ſe gratis exercitui præbiturum eſſe.*

Χρήσθων. [Attice,] pro χρήσθωσαν. Utantur. Quære in v. Δρώντων.

Χρησμοδοτῶ, & χρησμοδότημα. [Scribuntur per ο in ſyllaba ſecunda.] At χρησμῳδῶ, per ω.

Χρησμός. Oraculum. Reponſum a Deo datum. Vaticinium. *Scipio autem Romanorum Imperator, capta Carthagine, cum Romani ſperarent imperium ſuum pacatum in poſterum & tranquillum fore; in medium progreſſus, Hoc, inquit, tempus bellorum eſſe initium exiſtimare debetis: idque velut ex tripode dictum fuit. Periculum enim eſt, ne de medio ſuſtulerimus, quos metuamus, quibusque timori ſimus.* Et rurſus:

1 Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου] Pag. 335. Διηγήσατο τοὺς ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ. Quæ autem ſequuntur, ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο; nec apud Herodotum exſtant, nec ad rem quicquam facere videntur.

2 Σοφοκλῆς] In *Electra*, pag. 81. ut Portus monuit.

3 Δανείσασθαι] Potius, δανεῖσαι: active.

4 Οἱ δὲ οὕτω διεφθ.] Ex Polybii lib. I. cap. LIV. ſed ubi ſic legitur: Οἱ δὲ τῶν Ῥωμαίων στόλοι οὕτω διεφθάρησαν, ὥστε μηδὲ τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀμφοτέρους αὐτοὺς ἄρδην καὶ παραλόγως ἀχρειωθῆναι. Hinc Suidas ſupplendus eſt.

5 Ὧν αἱ χρήσεις αἱρετ.] Ex Alexandro Aphrodiſ. in lib. III. *Topic. Ariſtot.*

6 Ὁ δὲ Σκηπίων, ὁ στρατ.] Hæc leguntur etiam ſupra v. Σκηπίων.

[1] Τοῖς Ἀθηναίοις ἐκπίπτει χρησμός, λέγων, δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν [2] Χοὰς ἄγειν· καὶ ἐκ τούτου εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς.

Χρησμόν. ἐν τῷ, Δόρυ κηρύκειον.

Χρησμός. ζήτει ἐν τῷ Τυρταῖος, καὶ ἐν τῷ Ἀνεῖλε, καὶ ἐν τῷ Θοῦλις, καὶ ἐν τῷ Αὔγουστος Καῖσαρ. ζήτει χρησμὸν θαυμάσιον ἐν τῷ Δαφίδας. χρησμὸν περὶ ἔρωτος, ἐν τῷ Διογένης. ζήτει χρησμὸν περὶ Αἰγιέων, ἐν τῷ Αἰγιεῖς. ζήτει χρησμὸν καὶ ἐν τῷ Οἰδίπους.

Χρησμῳδεῖν. θεολογεῖν.

Χρησμῴδημα. μάντευμα.

Χρηστά. χρήσιμα. καλά.

Χρῆσται. δανεισταί. Χρήστης, καὶ ὁ δανείζων, καὶ ὁ δανειζόμενος. [3] ὁ δὲ Ἀριστοφάνης χρήστας τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσιν· τοὺς δὲ ὀφειλέτας, χρεωφειλέτας. Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων·

— Χρήστης [4] κακοῦ ἔμμεναι ἀνδρὸς φεύγειν
Μή σ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτέων.

Ἀριστοφάνης [5]·

Ὑπὸ γὰρ τόκων, χρήστων τε δυσκολωτάτων
Ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.

Χρῆσται. [6] δύο σημαίνει τοὔνομα τἀναντία. καὶ γὰρ τοὺς δανειστὰς, ὡς παρ' Ἰσαίῳ. ἐπὶ δὲ τοῦ δανειζομένου [7] Δημοσθένης φησί. Οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες αὐτοὺς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δὲ οὐδέν.

Χρήστην. καὶ τὸν δανείσαντα, καὶ τὸν δανεισάμενον.

Χρηστήρια. τολμήματα. πράξεις. [8] Σοφοκλῆς· Κείνου χρηστήρια τἀνδρός. ἢ τὰ διεφθαρμένα ποίμνια λέγει. παρὰ τὸ διαχρήσασθαι αὐτά. Χριστήρια δὲ, τὰ μετ' ἐλαίου κεχρισμένα· μεθ' οὗ ἐχρίοντο οἱ ἱερεῖς. διὰ τοῦ ι.

Χρηστήριον. τὸ μάντευμα. ἤτοι ὁ χρησμός. τὸ χωρίον. τὸ [9] ἱερεῖον. τὸ μαντεῖον ἢ διχῶς.

Χρηστόν. χρήσιμον. Ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

Χρηστός. ὁ ἀγαθός. Καὶ χρηστὸς ἐξ ἀγάπης, ἀλλ' οὐκ ἐξ ἀνάγκης. Χριστὸς δὲ, ὁ ἐν ἐλαίῳ κεχρισμένος. καὶ Χριστὸς, ὁ Κύριος καὶ Θεὸς ἡμῶν.

rimus, tam quos terreamus, quam quos formidemus. Et iterum: *Athenienſibus oraculum præcepit, ut Ætolis injuſte cæſis quotannis inferias facerent, & feſtum Choas agerent. Et ex eo tempore Athenienſibus proſpere omnia ceſſerunt.*

Χρησμόν. Oraculum. Quære in v. Δόρυ κηρύκειον.

Χρησμός. Oraculum. Quære in v. Τυρταῖος, & v. Ἀνεῖλε, & v. Θοῦλις, & v. Αὔγουστος Καῖσαρ. Oraculum mirabile quære in v. Δαφίδας. Oraculum de amore, in v. Διογένης. Oraculum de Ægienſibus, in v. Αἰγιεῖς. Quære etiam oraculum in v. Οἰδίπους.

Χρησμῳδεῖν. Oracula canere, vel edere. Vaticinari.

Χρησμῴδημα. Vaticinium. Oraculum.

Χρηστά. Utilia. Bona.

Χρῆσται. Fœneratores. Χρήστης, tam ille dicitur, qui fœnori dat, quam qui fœnore accipit. [Id eſt, tam creditor, quam debitor.] Ariſtophanes autem χρήστας vocat fœneratores. Communi enim uſu loquendi debitores appellantur χρῆσται. Athenienſes vero fœneratores, ſive creditores vocant χρήστας: debitores autem, χρεωφειλέτας. Phocylides vero ſecundum communem loquendi uſum debitores vocat χρήστας, cum dicit: *Cave, ne debitor ſis viri mali: ne pecunia data moleſtiam tibi exhibeat, intempeſtive eam repetens.* Ariſtophanes: *Ab uſuris & creditoribus moleſtiſſimis agor ferorque; & bona mea pignoris loco ab iiſdem auferuntur.*

Χρῆσται. Vox hæc duas habet ſignificationes, easque contrarias. Nam & fœneratores, ſive creditores ſignificat: ut apud Iſæum. Pro debitore vero accipit Demoſthenes, dicens: *Creditores autem ab initio decepti ſunt, videntes, ſe pro pecunia tantum habere debitorem, eumque hominem improbum, aliud vero nihil.*

Χρήστην. Et creditorem [ſignificat,] & debitorem.

Χρηστήρια. Facinora. Actiones. [Cædes.] Sophocles: *Cædes ab illo viro factas.* Vel, pecudes [ab eo] trucidatas. A διαχρήσασθαι, i. e. occidere. Χριστήρια vero, unguenta, quibus ungebantur ſacerdotes. Per ι [ſcribitur.]

Χρηστήριον. Vaticinium. Sive, oraculum. Item, locus, in quo oracula redduntur. Item, victima.

Χρηστόν. Utile. Bonum. *Vilia ſalſamenta mercati, ruſticis uſui futura.*

Χρηστός. Bonus. *Et ex amore non neceſſitate bonus erat.* At χριστός, [per ι in ſyllaba prima,] oleo unctus. Et Χριστός, Chriſtus, Dominus & Deus noſter.

1 Τοῖς Ἀθην.] Fragmentum hoc legitur etiam ſupra v. Ἐκδίκως, & v. Χοάς.

2 Χοάς] Scribendum eſt, Χόας: a recto Χόες, quod eſt nomen feſti.

3 Ὁ δὲ Ἀριστοφ. χρήστας τοὺς δαν. λ.] Hæc leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Nubes*, pag. 137.

4 Χρήστης κακοῦ ἔμμ.] Metrum turbatum eſt, quod ſic in ordinem redigi poteſt:

— Χρήστης φεύγειν κακοῦ ἔμμεναι ἀνδρὸς,
Μή σε γ' ἀνιήσειε διδοὺς, παρὰ καιρὸν ἀπαιτῶν.

5 Ἀριστοφάνης] *Nubibus*, pag. 137. (72. Ed. Baſ. P.)

6 Χρῆσται. δύο σημ.] Ex Harpocratione.

7 Δημοσθένης] In orat. adverſus Zenothem. pag. 576. ubi ſic legitur: *Οἱ δὲ δανεισταὶ ἐξ ἀρχῆς ἐξηπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἀλλ' οὐκ ἐλπίδα ἔχοντες,* &c.

8 Σοφοκλῆς] In *Ajace*. pag. 15. ut Portus monuit.

9 Τὸ ἱερεῖον] An potius τὸ ἱερόν? Sic putamus.

Χρηστουρ-

Χρηστουργία. ἀγαθοεργία. Ἡ δὲ φεύγει, ἐπιθυμοῦσα ἀμείψασθαί ποτε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον.

Χρηστῶς. ἀντὶ τοῦ φυλακτικῶς. [1] Ἀριστοφάνης·

——— Ἡ δ' Ἀθηναίων πόλις,
Εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
Εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.

Ἀντὶ τοῦ, ἐφυλάττετο τὸν ἀρχαῖον νόμον, καὶ μὴ ἐπολυπραγμόνει, καὶ τὰς καινὰς [2] ἔφερε πολιτείας.

Χρίμπτεται. προσκνᾶται. πελάζει. ἐγγίζει.

Εἰ [3] δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα.

Χρίομαι. αἰτιατικῇ. ἀλείφομαι. Χρείω δὲ, τὸ μαντεύομαι, διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνον. ἐπὶ δὲ μέλλοντος, διὰ τοῦ η.

Χρίσασθαι. ἀλείψασθαι. Καὶ ἀποδυσάμενον χρίσασθαι κελεύει ἐλαίῳ.

Χρίσις. τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι, ἔχριον τοῖς βασιλεῦσι. καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν. καὶ αὖθις·

Νέκταρι δ' εἰνάλιαι Νηρηΐδες ἐχρίσαντο,
Καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι

ἀντὶ τοῦ, ἔχρισαν.

Χρίσμα. τὸ τῆς βασιλείας. ὁ Δαβὶδ τὸ τρίτον εἰς βασιλείαν ἐχρίσθη. καὶ σημαίνει τὸν ἐλαίῳ κεχρισμένον, καὶ τὸν προφήτην. Χριστήρια δὲ, μεθ' ὧν ἐχρίοντο οἱ ἱερεῖς τοπαλαιόν.

Χριστιανοί. ἐπὶ [4] Κλαυδίου βασιλέως Ῥωμαίων, Πέτρου τοῦ Ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι, Χριστιανοί.

Χριστίνα. ὄνομα κύριον. καὶ Χριστίων, Χριστίωνος.

Χριστόδωρος, Πανίσκου, ἀπὸ Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός. ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικά, ἐν βιβλίοις ϛ'. ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν, τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην. Πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβ'. Πάτρια Θεσσαλονίκης, βιβλία κε'. Πάτρια Νάκλης. ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα [5] Ἄφακα. Πάτρια Μιλήτου, τῆς Ἰωνίας. Πάτρια Τράλλεων. Πάτρια Ἀφροδισιάδος. [6] Ἔκφρασιν τῶν ἐν [7] τῷ Ζευξίππῳ ἀγαλμάτων καὶ ἄλλα πολλά.

Χριστόδωρος, Θηβαῖος, Ἰλλούστριος. ἔγραψεν Ἰξευτικά, δι' ἐπῶν καὶ θαύματα τῶν ἁγίων [8] Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ.

Χριστός. ὁ Κύριος καὶ Θεὸς ἡμῶν. Χριστὸς, καὶ ὁ

Χρηστουργία. Beneficentia. *Illa vero fugit, cupiens hominem aliquando remunerare propter beneficentiam.*

Χρηστῶς. Caute. [Bene. Benigne.] Ariſtophanes: *Athenienſium vero civitas, ſi res iſta recte ſe haberet, non foret incolumis: & niſi ſemper novitatibus ſtuderet.* Id eſt, ſi priſcum morem ſervaret, nec pro inſita curioſitate ſemper aliquid novi in Republ. excogitaret.

Χρίμπτεται. Accedit. Appropinquat. [Tangit.] *Si ulla defunctos voluptas tangit.*

Χρίομαι. Ungor. At χρείω, vaticinor, per ει diphthongum ſcribitur, idque in præſenti tantum. In futuro vero, per η, [χρήσω.]

Χρίσασθαι. Ungi. Ungere. *Eumque exutum oleo juſſit ungi.*

Χρίσις. [Unctio. Sive,] unguentum, vel oleum, quo Prophetæ e cornu Reges ungebant. Et David quidem oleo hoc a Samuele unctus fuit. Populi vero ſalutationes hiſtoria ſine diſcrimine unctiones vocat. Et iterum: *Nectare autem marinæ Nereides [defunctum] unxerunt, & cadaver ſub littorali rupe poſuerunt.* [Ἐχρίσαντο hic poſitum eſt] pro ἔχρισαν.

Χρίσμα. Unctio. Unguentum regni. David ter unctus eſt Rex. Et χρίσμα dicitur de eo, qui oleo unctus eſt: velut [Rex, &] propheta. Et χριστήρια, unguenta, quibus ſacerdotes olim ungebantur.

Χριστιανοί. Sub Claudio Romanorum Imperatore, cum Petrus Apoſtolus Euodium Antiochiæ [Epiſcopum] deſignaſſet, qui olim vocabantur Nazaræi & Galilæi, mutato nomine vocati ſunt Chriſtiani.

Χριστίνα. Chriſtina. Nomen proprium. Et Chriſtion, Chriſtionis.

Χριστόδωρος. Chriſtodorus, Paniſci F. ex Copto urbe Ægypti, poeta Epicus. Floruit temporibus Anaſtaſii Imperatoris. Scripſit Iſaurica libris ſex. Continet autem Iſauriæ expugnationem, ab Anaſtaſio Imperatore factam. Origines Conſtantinopolis, verſibus Heroicis, lib. XII. Origines Theſſalonices, lib. XXV. Origines Nacles. Eſt autem Nacle urbs prope Heliopolin, in qua ſunt Aphaca, ita dicta. Origines Mileti, urbis Ioniæ. Origines Trallium. Origines Aphrodiſiadis. Ecphraſin, ſive Deſcriptionem ſtatuarum in Gymnaſio Zeuxippi: & alia multa.

Χριστόδωρος. Chriſtodorus, Thebanus, Illuſtris. Scripſit de Aucupio, verſibus. Item, miracula ſanctorum Martyrum, Coſmæ & Damiani.

Χριστός. CHRISTUS. Dominus & Deus

1 Ἀριστοφάνης] Non in iis, quæ hodie exſtant, fabulis.
2 Ἔφερε] Lego, ἐφεῦρε.
3 Εἰ δή τις φθιμ.] Eſt pars Epigrammatis in Anacreontem, quod integrum legitur, Anthol. lib. III. cap. XXV. pag. 399.
4 Ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.] Hæc leguntur etiam ſupra, v. Γαλιλαῖοι, & v. Ναζηραῖος.
5 Ἄφακα] Sic recte MS. A. At priores Editt. male, Ἄλφακα. De Aphacis autem vide quæ notavit vir πολυμαθέστατος Sam. Bochartus lib. II. *de Colon. Phœnic.* cap. XIV.
6 Ἔκφρασιν τῶν ἐν τ.] Hæc Ecphraſis hodie adhuc exſtat, & librum quintum Anthologiæ Epigrammatum conſtituit. Confer Nos ſupra ad v. Ζεύξιππος.
7 Ἐν τῷ Ζευξίππῳ] Potius, ἐν τῷ Γυμνασίῳ τοῦ Ζευξίππου.
8 Ἀναργύρων] Portus vertit, *Anargyrorum.* Sed mendum in hac voce latens non animadvertit. Scribendum enim eſt, Μαρτύρων: quam lectionem in verſione expreſſimus.

κεχρισ-

κεχρισμένος ἐν ἐλαίῳ. Χρηστὸς δὲ, ὁ ἀγαθὸς, διὰ τοῦ η. ζήτει ὀπίσω Χρηστός.

noſter. Item, Χριστὸς dicitur ille, qui oleo unctus eſt. Χρηστὸς vero, bonus, per η ſcribitur. Quære ſupra v. Χρηστός.

Χρόα. ἡ χροιά. βαρυτόνως, ὡς ψόα.

Χρόα. Idem quod χροιά. Color. Habet accentum gravem, ut ψόα.

Χροῒ δῆλα. [1] Φερεκύδην τὸν σοφὸν φασὶ φθειριάσαντα τελευτῆσαι. ὅτε καὶ Πυθαγόρου παραγενομένου, καὶ πυνθανομένου, πῶς διακέοιτο, διαβαλόντα τὸν δάκτυλον διὰ τῆς θύρας, εἰπεῖν· Χροῒ δῆλα. καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλοσόφοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι, διαμαρτάνουσι.

Χροῒ δῆλα. Ex cute manifeſtum eſt. Pherecydem ſapientem a pediculis conſumptum obiiſſe ferunt. Cumque Pythagoras ad eum acceſſiſſet, quærens, quomodo valeret; digito per fores exerto, dixit: *Ex cute manifeſtum eſt*. Hinc dictum illud a philoſophis de rebus deſperatis, & quæ in deterius vergunt, uſurpari cœpit. Qui vero eo de rebus optime ſe habentibus utuntur, errant.

Χρόμαδος. [2] Ὅμηρος· Δεινὸς δὲ χρόμαδος. τὸν ἐν ταῖς γένυσι τῶν πληγέντων γενόμενον ψόφον, χρόμαδον ὠνόμασεν.

Χρόμαδος. Homerus: *Ingens autem maxillarum crepitus* [*audiebatur.*] Χρόμαδον enim vocat crepitum, quem maxillæ percuſſæ edunt.

Χρόμιος. ὄνομα κύριον.

Χρόμιος. Chromius. Nomen proprium.

Χρόμωνος.

Χρόμωνος. Chromonis. [Genitivus, a recto Χρόμων.]

Χρόνος. [3] οἱ φιλόσοφοι αὐτὸν ἀσώματον εἶναί φασι, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τούτου δὲ τὸν μὲν παρῳχηκότα, καὶ τὸν μέλλοντα, ἀπείρους· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. οὗ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα καὶ ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι. καὶ ὁ κόσμος. ἐξαυχμοῦται γοῦν, καὶ ἐξυδατοῦται.

Χρόνος. Tempus. Philoſophi dicunt, Tempus eſſe incorporeum, & intervallum motus Mundi. Et Tempus quidem præteritum & futurum infinitum eſſe; præſens vero, finitum. Placet etiam ipſis, Mundum corruptioni obnoxium eſſe. Cujus enim partes, [inquiunt,] corruptioni obnoxiæ ſunt, & totum. Atqui partes Mundi corruptioni obnoxiæ ſunt: aliæ enim in alias mutantur. Ergo & ipſe mundus corruptioni obnoxius eſt. Et, ſi quid ita comparatum eſt, ut in pejus mutari poſſit, id corruptioni obnoxium eſt. Ergo & Mundus. Namque & calore ſqualidus penitus redditur, & [contra] in humorem ſolvitur.

Χρόνος [4] γὰρ εὐμαρὴς Θεός. τουτέστιν, ὁ χρόνος εὐμαρῶς παρέρχεται. ἢ οὕτως· Εὐχερής ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους.

Χρόνος γὰρ εὐμ. *Tempus enim eſt facilis Deus.* Hoc eſt, Tempus facile præterit. Vel ita. Tempus eſt leve & expeditum ad perſequendos injuſtos.

Χρόνου πόδα. ἀπὸ Εὐριπίδου. [5] Ἀριστοφάνης·

Αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα.

ἀντὶ Εὐριπίδου, οὗ ταῦτα λεγόμενος. καὶ αὖθις·

Χρόνου [6] γὰρ ἄν σοι καιρὸν ἐξαίροι λόγος.

Σοφοκλῆς. Ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία.

Χρόνου πόδα. Temporis pedem. Ex Euripide [hoc ſumptum eſt.] Ariſtophanes: *Ætherem, Jovis domunculam, vel temporis pedem.* Et iterum: *Rei enim peragendæ occaſionem tibi eximet oratio.* Sophocles. Vel, eorum, quæ facienda ſunt, opportunitatem tibi adimet inutilis loquacitas.

Χροός. σώματος. καὶ [7] Ὅμηρος· Ἀλλ' οὔπη χροὸς εἴσατο. ἀντὶ τοῦ, σώματος. διῄρηται χρόος, ἀντὶ τοῦ ὁ χροῦς. διὸ καὶ βαρύνεται. τὸ δὲ εἴσατο, ἤγουν ἐφάνη.

Λοῦσαι [8] δ' Ἰνωπῷ καθαρὸν χρόα· βᾶθι δ' ἐς οἴκους.

Χροός. Corporis. Et Homerus: *Sed nullam partem corporis intravit* [*ſagitta.*] Vox χρόος [in duas ſyllabas] dividitur, pro χροῦς. Et ideo accentum gravem habet. Εἴσατο autem [in dicto loco Homeri poſitum eſt] pro ἐφάνη, apparuit. [Et in Epigrammate:] *Lava autem in fluvio Inopo purum corpus, & domum abi.*

Χρώζω, καὶ καταχρώζω. Τὸ καλὸν τοῦ πράγματος κατέχρωζε.

Χρώζω. Coloribus pingo. Coloribus tingo, vel inficio. Et καταχρώζω, idem.

Χρῶμα. τοῦτο σημαίνει τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ λευκὸν χρῶμα, καὶ τὸ μέλαν, καὶ τὰ τούτων μεταξύ. σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι. λέγεται γάρ τι καὶ κατ'

Χρῶμα. Color. qui eſt in corporibus; ut color albus, & niger, & qui ſunt inter hos medii. Significat item colorem, qui eſt in

1 Φερεκύδην τὸν σοφὸν φασὶ φθειρ.] Hæc ſunt verba Laertii in *Pherecyde*: ſed apud quem pro χροῒ legitur χρωτί. Confer etiam Noſtrum ſupra v. Ἐπηλυγάζοντες.

2 Ὅμηρος] Il. Ψ. v. 688.

3 Χρόνος. οἱ φιλόσοφοι αὐτὸν ἀσώμ.] Totum hunc articulum deſcripſit Suidas ex Laertio in *Zen. Citt.* num. 141. ut Pearſonius etiam obſervaverat.

4 Χρόνος γὰρ εὐμαρ.] Ex Scholiaſta Sophoclis ad *Electram*, pag. 89. ut Portus monuit.

5 Ἀριστοφάνης] *Ranis*, pag. 215. (134. Ed. Baſ. *P.*)

6 Χρόνου γὰρ ἄν σοι κ.] Eſt verſus Sophoclis in *Electra*, pag. 136. ut Portus monuit. Ibi autem pro ἐξαίροι legitur ἐξείργει. Sed Suidæ lectio magis placet; dummodo mutato accentu ſcribas ἐξαιροῖ, ab ἐξαιρέω. Sic Latini dicunt, *tempus alicui eximere*.

7 Ὅμηρος] Il. Ν. v. 191.

8 Λοῦσαι δ' Ἰνωπ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Noſſidis, poetriæ antiquiſſimæ; quod ex cod. MS. Anthologiæ ineditæ integrum cum Lectore communicavimus ſupra, v. Ἰνωπὸς.

μουσικὴν χρῶμα. [1]Τρία γὰρ μέλη τῆς μελῳδίας· ἁρμονικὸν εἶναί φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος, καὶ τὴν διατονικοῦ χρώματος. καὶ εἰσὶ διαφοραὶ, ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος· ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως. ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον, καὶ διεσιαῖον, καὶ τὸ μαλακὸν, ὁμώνυμα. Διόδωρος· Ὁ δὲ βάρβαρος μαστιζόμενος, ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει.

carminibus, ſive canticis. Nam & Muſicæ color quidam dicitur. Tria enim genera melodiæ eſſe dicunt: Harmonicum, Chromaticum, Diatonicum. Sunt autem differentiæ, aliæ quidem coloris, qui eſt in corporibus; ut ille, qui radios oculorum colligit, vel diſſipat. Aliæ coloris, qui in carminibus ſpectatur. Nam ſemitoniæus, & dieſiæus, & mollis, homonyma ſunt. Diodorus: *Barbarus autem, cum virgis cæderetur, colore vultus non mutato, feræ inſtar dolorem toleravit.*

Χρῶμα. Ὅτι, [2]ὁπηνίκα τὸ κρυσταλλοειδὲς τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἄλλα ὁρατὰ κεχρῶσθαι. χρῶμα δὲ φησὶν ὁρατὸν, τὸ ἐπὶ τοῦ καθ' αὑτὸ ὑπάρχοντος ὁρατοῦ. καθ' αὑτὸ δὲ ὁρατόν φησι, τὴν ἐπιφάνειαν. καθ' αὑτὸ δὲ ὁρατὸν ἡ ἐπιφάνεια, οὐχ οὕτως, ὡς τῷ ὁρισμῷ καθ' αὑτό. διττὸν γὰρ τὸ καθ' αὑτό. ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται· ὡς τὸ ζῶον, καὶ τὸ λογικὸν, ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ. ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ. ἢ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται· ὡς ἐν τῷ ὁρισμῷ τοῦ ἀρτίου, ἢ τοῦ περιττοῦ, ὁ ἀριθμός· καὶ ἐν τῷ ὁρισμῷ τῆς σιμότητος, ἡ ῥίς. ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ὁρισμῷ. οὐχ οὕτως οὖν φησὶ καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν· ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ τὸ αἴτιον τοῦ ὁρατὴν εἶναι. τοῦτο δέ ἐστι τὸ χρῶμα. τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα, τοῦτό ἐστι τὸ ὁρατὸν, καὶ τούτου αἱ ὄψεις ἀντιλαμβάνονται, οὐ τοῦ ἐν βάθει χρώματος. τοὺς γὰρ διαφανεῖς τῶν λίθων εἰ καὶ δοκοῦμεν ὁρᾷν δι' ὅλου τοῦ βάθους κεχρωσμένους, τὰς ὄψεις ἀπατώμεθα. τῷ μὲν γὰρ διαφανεῖς εἶναι τοὺς λίθους, διαβαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις, ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι. διὰ τοῦ χρώματος δὲ τοῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα· καὶ διὰ τοῦτο δοκοῦμεν καὶ τὸ ἐν βάθει χρῶμα ἑωρακέναι. καὶ Πισίδης·

Οὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα.
Ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι.

Ζήτει περὶ χρώματος ἐν τῷ Φαιόν.

Χρῶμα. Color. Cum cryſtallinus humor oculi ob morbum aliquem colore ſuffuſus eſt, putamus & aerem, & alia, quæ cernuntur, eodem colore imbuta eſſe. Colorem autem viſibilem vocat eum, qui in eo eſt, quod per ſe cernitur. Per ſe autem viſible eſſe dicit, corporum ſuperficiem. Eſt autem ſuperficies per ſe viſibilis, non ut id, quod definitioni per ſe ineſt. Duplex enim eſt id, quod *per ſe* dicitur. Vel quod in definitione ſubjecti aſſumitur: ut, *animal*, & *rationale*, in definitione hominis. Hæc enim per ſe inſunt homini. Vel, in cujus definitione ſubjectum aſſumitur: ut, in definitione paris & imparis, numerus: &, in definitione ſimitatis, naſus. Hæc enim per ſe inſunt definitioni. Non igitur [Ariſtoteles] ſuperficiem ita per ſe viſibilem eſſe ait: ſed ut habentem in ſe cauſam, cur cerni poſſit. Cauſa vero illa eſt color. Color enim, qui eſt in ſuperficie, eſt id, quod cerni poteſt; eumque oculi percipiunt: non vero eum, qui eſt in profundo. Quamvis enim lapillos pellucidos videamur nobis videre ad imum uſque coloratos; in eo viſus nos fallit. Quia enim lapilli ſunt pellucidi, viſus noſter ad imum penetrat. Per colorem vero, qui eſt in ſuperficie, lapillos cernimus: eaque cauſa eſt, cur colorem quoque, qui eſt in profundo, nos cernere putemus. Et Piſides: *Non ſunt hæc falſo illita fuco. Omnia enim veritatis verba ſimplicia ſunt.* De colore quære etiam in v. *Φαιόν.*

Χρωμένῳ. χρησμὸν ἐπερωτῶντι. ἢ μαντευομένῳ.

Χρωμένῳ. Oraculum conſulenti. Vel, oraculum petenti.

Χρῶμις. ὄνομα κύριον.

Χρῶμις. Chromis. Nomen proprium.

Χρωννύω.

Χρωννύω. Coloro. Colore imbuo.

Χρωννῦσα.

Χρωννῦσα. Colorans. Colore imbuens.

Χρώς. σῶμα. ἰδέα.

Χρώς. Corpus, Species.

Χρῶσαν. τὴν χρησμῳδοῦσαν. Χρῶσαν Λακεδαιμονίοις. Θουκυδίδης.

Χρῶσαν. Vaticinantem. Oracula edentem. Reſpondentem. Thucydides: *Lacedæmoniis oracula edentem.*

Χρωματισθῆναι.

Χρωματισθῆναι. Coloratum eſſe. Fucatum eſſe.

5 Ἐν Βοηθοῖς] Macrobius loco citato, ἐν Μύθοις. Sed lectio Suidæ recte ſe habet; utpote quæ confirmatur non ſolum auctoritate Scholiaſtæ Ariſtophanis, loco indicato; ſed etiam Priſciani, lib. XVIII. pag. 1202. Ariſtomenem ἐν Βοηθοῖς citat.

6 Ἔνδον γὰρ ἡμῖν γάργ.] Verſus hic ex Macrobio ſic ſupplen & ſcribendus eſt:

Ἔνδον γὰρ ἡμῖν ἐστ᾽ ἀνδρῶν γάργαρα.

7 Παρὰ τῷ ποιητῇ] Il. Υ. v. 157.

8 Ψάμμος] Vide paulo ante, v. Ψάμαθος.

9 Περιεῖσθαι, τὸ π.] Hæc nihil faciunt ad vocem ψᾶν, & m in locum hunc inſulta ſunt.

10 Ψανθεοφάνιχος] Ψονθομφανὴχ legitur apud τοὺς LXX.

11 Ψαττάλλειν] Supra ſuo loco, ψαθάλλειν.

12 Ὡς ἐμψύχῳ] Inſolens prorſus eſt, ut verbum ψαύω jung tur dativo, quod genitivum adſciſcere ſolet, ut ipſe Suidas h loco monet. Quare conſtructio hæc mihi ſuſpecta eſt.

13 Ψαφαρῇ] Portus hoc Ionice dictum putat pro ψαφα Sed antiquiſſimus MS. A. habet, ψαφαρεῖ, a ψαφαρής: quod m gis placet.

K

Καὶ [1] νάρδῳ [2] ψαφαρῇ, [3] κεγχρήτισιν ἰσχάσιν ἀμφί.

Καὶ αὖθις ἐν Μύθοις·

Ἔστασαν, οὐδὲ κόμας ψαφαρῇ ἐμίαντο κονίῃ.

Ψαφαρόν. ἀσθενές. ἐλαφρόν. κακόν. εὔθραυστον. [4] Ἀππιανός· Ἀννίβας ὁ στρατηγὸς Καρχηδονίων, διαβὰς τὰ Πυρηναῖα ὄρη, διέβη καὶ εἰς τὴν Κελτικήν, τὴν νῦν Γαλατίαν, καὶ διώδευε τὴν χώραν. ἐλθὼν δὲ ἐπὶ τὰ Ἄλπια ὄρη, καὶ εὑρὼν ἀπόκρημνα ἰσχυρῶς, ἐπέβαινε κἀκείνοις, ὑπὸ τόλμης κακοπαθῶν, τὴν μὲν ὕλην τέμνων τε καὶ κατακαίων, [5] τὴν δὲ φλόγα σβεννὺς ὕδατι, καὶ ὄξει, καὶ τὴν πέτραν τῷδε [6] ψαθαρὰν γινομένην σφύραις σιδηραῖς θραύων, καὶ ὁδοποιῶν.

Ψαίκαλον. τὸ ξένιον.

Ψαίρειν. τὸ ταχύνειν. ἔνθεν καὶ αἰψηρός.

Ψαιστά. ἄλφιτα ἐλαίῳ καὶ οἴνῳ δεδευμένα, ἅπερ ἐπεθυμίων τοῖς Θεοῖς. ψαιστὰ δὲ καλεῖται, ἀπὸ τῆς τοῦ μύλου περιψήσεως. ἢ πέμμα. ἢ εἶδος πλακοῦντος. καὶ ἐν Ἐπιγράμματι·

——— Σοὶ τάδε πέμπω

Ψαιστία, καὶ λιτῆς δῶρα θυηπολίης.

Καὶ αὖθις ἐν [7] Ἐπιγράμματι·

Καὶ ψαιστῶν ὀλίγων δράγμα πενιχραλέον.

Καὶ ψαιστῶν, ἅπερ ἦν ἄλφιτα, ὑπὸ μύλης [8] καλεψηπισμένα. Καὶ αὖθις·

Ψαιστά [9] τε πίονα, καὶ εὐθησαυρον ἔλαιον.

τὸ δὲ πίονα, λιπαρά.

Ψαίστρα.

Σπόγγον [10] ἔχειν καλάμων ψαίστρ' ἀπὸ Κνιδίων.

Ψέγω. αἰτιαλογῶ.

Ψεδνή. ἀραιά. καὶ ψαιδνὸς, ἀραιόθριξ, μαδαρός.

Ψεκάς. δρόσος. [11] Ἀντίμαχος οὕτως ἐκαλεῖτο Ψεκάς. ἐπὶ τῶν πτυελωδῶν. οὗτος δὲ μελῶν ἦν ποιητής. οὕτω δὲ ἐκλήθη, διότι προσέρραινε τοὺς ὁμιλοῦντας διαλεγόμενος. ἦν δέ τις καὶ Ὀλυμπικὸς, οὕτω καλούμενος. ἐδόκει δὲ ὁ Ἀντίμαχος οὗτος ψήφισμα πεποιηκέναι, μὴ δεῖν κωμῳδεῖν ἐξ ὀνόματος· καὶ ἐπὶ τούτῳ πολλοὶ τῶν ποιητῶν οὐ προσῆλθον ληψόμενοι τὸν χορὸν, καὶ πολλοὶ τῶν χορευόντων ἐπείνων. περὶ τούτου τοῦ Ἀντιμάχου φησὶν Ἀριστοφάνης·

Ὃν [12] ἔτ' ἐπίδοιμι τευθίδος
Δεόμενον· ἡ δ' ὠπτημένη
Σίζουσα πάραλος ἐπὶ τραπέζης κειμένη
Ὀκέλλοι. κᾆτα μέλ-
λοντος λαβεῖν αὐτοῦ, κύων
Ἁρπάσας [13] φάγοι.
Τοῦτο μὲν αὐτῷ κακὸν ἕν.

dus friabilis circa caricas, grana miliaria habentes. Et iterum in Fabulis: *Steterunt, neque comas tenui fœdarunt pulvere.*

Ψαφαρόν. Infirmum. Leve. Friabile. Quod facile frangitur. Appianus: *Annibal, dux Carthaginenſium, ſuperatis montibus Pyrenæis, per Celticam, quæ nunc Gallia vocatur, iter fecit. Cumque ad Alpes perveniſſet, eaſque valde præruptas inveniſſet; fiducia quadam animi nullis moleſtiis cedens, adſcenſum molitus eſt. [Cumque glacie concreta eſſent omnia,] cæſa materia & ſuccenſa, cineribuſque aqua & aceto exſtinctis, torridam & putrem incendio rupem ferreis malleis perfringendo, viam ſibi aperuit.*

Ψαίκαλον. Agnus.

Ψαίρειν. Accelerare. Feſtinare. Unde etiam αἰψηρός, celer, velox.

Ψαιστά. Farinæ oleo & vino mixtæ & ſubactæ, quas Diis adolebant. Ψαιστὰ vero dicuntur, quod [triticum, ex cujus farina ψαιστὰ fiunt,] a mola confringatur & comminuatur. Vel, libum. Vel, genus placentæ. Et in Epigrammate: *Has tibi mitto placentas, & exilis munera ſacrificii.* Et iterum in Epigrammate: *Et placentarum exiguarum munus vile & tenue.* Ψαιστὰ autem erant farinæ a mola comminutæ. Et iterum: *Placentaſque pingues, & oleum diu conditum.*

Ψαίστρα. Abſterſorem. *Spongiam habere calamorum Cnidiorum abſterſorem.*

Ψέγω. Vitupero. Reprehendo.

Ψεδνή. Rara. Raros habens capillos. Calva. Et ψεδνὸς, raros capillos habens, calvus.

Ψεκάς. Ros. Gutta. Stilla. Antimachus vocatus eſt *Pſecas*: idque dicitur in eos, qui ob ſalivæ copiam ſæpe exſpuunt. Fuit autem poeta melicus: dictuſque eſt *Pſecas*, quod inter colloquendum [ſputo] aſpergeret eos, quibuſcum colloquebatur. Fuit & Olympicus quidam, ſic dictus. Creditur autem Antimachus hic decretum feciſſe, neminem in Scena nominatim a Comicis perſtringendum eſſe. Quæ cauſa eſt, quare multi poetæ fabulas ſuas abſque Choro agerent, & multi choreutæ ad egeſtatem redigerentur. De hoc Antimacho Ariſtophanes inquit: *Quem aliquando videam teuthide indigentem: quæ aſſata, ſtridenſque, & juxta ſalem in menſa ſita, in terram cadat. Deinde vero, cum ille eam capere voluerit, canis eam correptam devoret. Hoc ipſi malum unum obtingat.*

1 *Καὶ νάρδῳ ψαφ.*] Eſt pars Epigrammatis, quod ante ineditum ex cod. MS. publici juris fecimus ſupra v. Κιγχείπσι.

2 Ψαφαρῇ] Et hic MS. A. habet ψαφαρεῖ.

3 Κιγχρήπσι] MS. A. rectius, κιγχρείπσι, per ι in ſyllaba ſecunda. Et ſic ipſe Suidas ſupra, v. Κιγχείπσι.

4 Ἀππιανός] *De bellis Annibal.* pag. 546.

5 Τὴν δὲ φλόγα σβενν.] Appianus ſic: τὴν δὲ τέφραν σβεννὺς ὕδατι καὶ ὄξει, καὶ τὴν πέτραν ἐκ τῶνδε ψαφαρὰν γιγνομένην, &c. Sic etiam apud Suidam ſcribendum eſt.

6 Ψαθαράν] Scripſiſſe Suidam, ψαφαράν, vel ex capite articuli apparet. Alioqui enim exemplum hoc nihil faciet ad vocem ψαφαρόν. Huc accedit, quod & Appianus habeat ψαφαράν.

7 Ἐν Ἐπιγράμματι] Anthol. lib. VI. cap. VII. Epigr. XII.

8 Καλεψηπισμένα] Henr. Steph. in Theſ. Gr. Ling. Tom. IV. pag. 690. legit, κατεψηγμένα; quod probo.

9 Ψαιστά τε π.] Fragmentum hoc decerptum eſt ex Epigrammate Leonidæ, quod ex cod. MS. integrum exhibuimus ſupra, v. Ἀνειρύσω.

10 Σπόγγον ἔχειν καλ.] Vide Nos ſupra ad v. Λειώτριβαν, ubi Epigramma integrum, cujus fragmentum hoc pars eſt, ex cod. MS. Anthologiæ ineditæ publici juris fecimus.

11 Ἀντίμαχος οὕτως ἐκαλ.] Locum hunc excerpſit Suidas ex Scholiaſte Ariſtoph. ad *Acharnenſ.* pag. 425. (305. Ed. Baſ. *P.*) Confer etiam Noſtrum ſupra v. Ἀντίμαχος, ubi eadem leguntur.

12 Ὃν ἔτ' ἐπίδ. τευθ.] Supra v. Τευθίς.

13 Φάγοι] Ariſtophanes, φεύγοι.

Ψεκτέος.[1] Οἰκοδομήματα Ἀσσύρια, καὶ δαπανηρὰς λειτουργίας χαίρειν ἐάσαντας, λῃστὰς ἄρχοντας ἄρχειν. ψεκτέος γὰρ ὁ ἄρχων, ὁ χαίρων οἰκοδομήμασιν εὐπρεπέσι.

Ψελίῳ.[2] περιοχῇ. ὁ [3] Κύριος ἐν Ἰὼβ περὶ τοῦ δράκοντος, τουτέστι, τοῦ Διαβόλου· [4] Ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ. τὸ ψέλλιον, κόσμος τῆς χειρός. καὶ Αἰλιανὸς ἐν τῷ περὶ προνοίας· Παρ' οὐδὲν θέμενος [5] τὴν τοῦ ἱεροῦ γράμματος συμβολήν, ὅπερ ἦν οἷα δήπου [6] ψέλιον τῷ βασιλεῖ τῶν Αἰγυπτίων ἐκ τοῦ νόμου προσηρτῆτο, ἀνατέλλον τῶν ἀδικημάτων.

Ψελλός. ἀσήμως καὶ ἀνάρθρως λαλῶν. τραυλός.

Ψενδυνοί.[7] σπόνδυλοι.

Ψευδάμαξυς.[8] ὁ ψευδόπλουτος.

Ψευδατραφάξυος[9] πλέα· ἀντὶ τοῦ, πλήρη ψευσμάτων. Ἀτράφαξυς δέ, εἶδος λαχάνου, ὃ ταχέως εἰς μέγεθος αὔξεται. ἐπεὶ οὖν ὁ Κλέων ψευδῆ κατὰ τῶν ἱππέων κατηγόρησε, καὶ ἡ Βουλὴ πείθεσθαι ἐδόκει, ψευδατραφάξυος πλέαν εἶπε τὴν Βουλὴν γεγονέναι· διαβάλλων μὲν ὡς ψεύστην τὸν Κλέωνα· τῆς δὲ Βουλῆς καθαπτόμενος, ὡς τοῖς ψευδομένοις καὶ διαβάλλουσι πειθομένης εὐχερῶς καὶ ῥᾳδίως· ὥσπερ τὸ λάχανον αὔξεται.

Ψευδεγγραφή.[10] ὄνομα δίκης ἐστίν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ, ὡς καταψευσαμένου αὐτῶν τοῦ ἐγγράψαντος ἐν τῇ σανίδι παρὰ τῇ Θεῷ κειμένῃ, ὡς ἀδίκως ἐγγραφέντες ὀφείλειν τῷ δημοσίῳ.

Ψευδέγγραφος δίκη. τῶν δημόσια ὀφειλόντων τὰ ὀνόματα ἀπογράφονται οἱ ταμίαι, καὶ ὅσα ἕκαστος ὀφείλει. ἐὰν οὖν μὴ ὀφείλοντα ἐγγράψῃ τις, ἢ ὀφείλοντα μὲν ἐγγράψῃ, πλέον δὲ τοῦ ὀφειλήματος· οὗτος ψευδεγγραφῆς κρίνεται.

Ψευδενέδραν.[11] Ξενοφῶν· Ὡς δὲ ἐφοβοῦντο τὴν εἰς Τραπεζοῦντα κατάβασιν, (προσαντὴς γὰρ ἦν) ψευδενέδραν ἐποιήσαντο.

Ψευδῆ. ψευδῶς. καὶ ἐπὶ ὀνόματος.

Ψευδηγόρος. ψευδολόγος.

Ψευδὴς ἐγγραφή. τοῦτο ὄνομα δίκης. ζητήσει δ' ἄν τις, τίνι διαφέρει ψευδεγγραφὴ [12] βουλεύσεως. καὶ γὰρ διαφέροντα τίθησιν ὁ Λυκοῦργος. τάχα οὖν ψευδεγ-

Ψεκτέος. Vituperandus. Reprehendendus. *Oportet bonos Principes Rempubl. adminiſtrare, valere juſſis ædificiis Aſſyriis, & muneribus ſumptuoſis. Vituperandus enim eſt Princeps, qui pulchris ædificiis gaudet.*

Ψελίῳ. Annulo. Torque. Armilla. Dominus in Jobo de Dracone, i. e. Diabolo, dicit: *Annulo autem perforabis labrum ejus.* Ψέλλιον [etiam ſignificat] ornamentum manus, ſive, armillam. Et Ælianus in libro de Providentia: *Nihili faciens ſacræ literæ ſymbolum, quod tanquam armilla Regi Ægyptiorum ex lege alligatum erat, ab injuriis faciendis eum revocans.*

Ψελλός. Qui inarticulate loquitur, & ita, ut vix intelligi poſſit. Balbus. Blæſus.

Ψενδυνοί. Spondyli. Sive, vertebræ, quæ ſunt in dorſi ſpina.

Ψευδάμαξυς. Falſo dives. Qui ſe divitem falſo jactat.

Ψευδατραφάξυος πλέα. [Plena falſæ atriplicis. Id eſt,] Plena mendaciorum. Atriplex eſt genus oleris, quod cito creſcit. Quoniam igitur Cleon Equites falſo criminabatur, & Senatus fidem ei adhibebat; ideo Senatum falſæ atriplicis plenum eſſe dixit: Cleonem quidem perſtringens, ut mendacem; Senatum vero, ut qui mentientibus & calumniantibus facile crederet: quemadmodum & olus [facile & cito] creſcit.

Ψευδεγγραφή. Falſa inſcriptio. Eſt nomen actionis, quam inſtituunt illi, quorum nomen inter debitores ærarii relatum eſt; mendacii poſtulantes eum, qui ipſos in tabula, in Templo Deæ repoſita, inſcripſerat: quod injuſte inter debitores ærarii relati eſſent.

Ψευδέγγραφος δίκη. Falſæ inſcriptionis actio. Nomina illorum, qui ærario aliquid debent, Quæſtores in tabulas referunt, & quantum quiſque debeat. Si quis igitur aliquem inſcripſerit, qui [ærario] nihil debet; vel inſcripſerit quidem ut debitorem, at ſupra ſummam debitam: adverſus eum actio falſæ inſcriptionis inſtituitur.

Ψευδενέδραν. Falſas inſidias. Fictas inſidias. Xenophon: *Cum autem deſcenſum verſus Trapezuntem metuerent, (erat enim præceps) fictas collocarunt inſidias.*

Ψευδῆ. [Interdum adverbialiter accipitur, pro] ψευδῶς. Falſo. Item, pro nomine [ponitur, & ſignificat, falſa, vel ficta.]

Ψευδηγόρος. Falſidicus. Falſiloquus. Mendax.

Ψευδὴς ἐγγραφή. Falſa inſcriptio. Nomen eſt actionis. Quærat autem aliquis, quomodo actio ψευδεγγραφῆς differat ab actione βουλεύσεως.

1 Οἰκοδομήματα Ἀσσ.] Fragmentum hoc legitur etiam ſupra, v. Οἰκοδομήματα.
2 Ψελίῳ] Alii rectius, ψελλίῳ, per duplex λ.
3 Κύριος] Sic MSS. Pariſ. quamvis abbreviate, κς. At priores Editt. Χειρός: quæ lectio ex male intellecta vocis κύριος abbreviatione nata eſt.
4 Ψελίῳ] Ψελλίῳ.
5 Τὴν τοῦ ἱεροῦ γρ. συμβ.] Malim, τὸ τοῦ ἱερ. γρ. σύμβολον. Sed propter fragmenti brevitatem nihil certi affirmari poteſt.
6 ψέλιον] Rectius & hic ψέλλιον ſcribes: per duplex λ.
7 Ψενδυνοί] Heſychius, ψελύνοι. Utrum rectius?
8 Ψευδάμαξυς] Scribe, ψευδαμάμαξυς: ut legitur apud Ariſtoph. in *Veſpis*, pag. 451. ad quem locum Suidas reſpexit. Confer etiam Noſtrum ſupra, v. Ἀμάμαξυς.
9 Ψευδατραφάξυος πλέα. ἀντὶ τοῦ, κτλ.] Ex Scholiaſta Ariſtoph. ad *Acharnenſ.* pag. 326. (225. Ed. Baſ. *P.*)
10 Ψευδεγγραφή. ὄνομα δ.] Ex Harpocratione. Vide etiam Petit. *de Leg. Att.* pag. 375.
11 Ξενοφῶν] Lib. v. *de Expedit. Cyri*, pag. 348.
12 Βουλεύσεως] Vide ſupra, v. Βουλεύσεως.

γραφῆς

γραφῆς μὲν ἐλάγχανον οἱ μὴ ὀφείλοντες μὲν, ἐγγραφέντες δὲ ψευδῶς. βουλεύσεως δὲ, οἱ πάλαι μὲν ὠφληκότες· ἀποδόντες δὲ, καὶ αὖθις κατ᾽ ἐπιβουλὴν ψευδῶς ἐγγραφέντες.

Nam ut diverſas eas ponit Lycurgus. Forſan autem actionem ψευδεγγραφῆς inſtituebant illi, qui, cum ærario nihil deberent, in tabulas debitorum falſo relati erant. Actionem vero βουλεύσεως illi, qui, cum mulctam ærario ante debitam ſolviſſent, iterum in tabulas debitorum inſidioſe relati erant.

Ψευδοκλητεία. [1] ὄνομα δίκης ἐστὶν, ἣν εἰσίασιν οἱ γεγραμμένοι ὀφείλειν τῷ δημοσίῳ· ἐπειδὰν αἰτιῶνταί τινας ψευδῶς κατεσκευάσθαι κλητῆρας καθ᾽ ἑαυτῶν, ὡς τὴν δίκην, ἀφ᾽ ἧς ὦφλον· ὡς Ἰσαῖός φησι.

Ψευδοκλητεία. Eſt nomen actionis, quam inſtituunt illi, qui inter debitores ærarii relati aliquos accuſant, quod viatores falſo ſubornarint, qui ſe in jus citarent, ad debitum ſolvendum: ut Iſæus inquit.

Ψευδόμαντις.

Ψευδόμαντις. Falſus vates. Mendax conjector.

Ψευδομυθία. ψευδολογία.

Ψευδομυθία. Falſiloquium. Mendacium.

Ψευδόπτωμα. [2] Ἀριστοφάνης·

Εἰ δέ που πέσοιεν εἰς τὸν ὦμον ἐν μάχῃ τινὶ,
Τοῦτ᾽ ἀπεψήσαντ᾽ ἄν. ——————

διὰ τὸ μὴ φαίνεσθαι πεπτωκέναι. τὸ δὲ εἶδος τοῦ παλαίσματος ψευδόπτωμα καλοῦσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὅτι, εἰ καὶ οἱ πρόγονοι ἡττήθησαν, τὴν ἧτταν ἀνεκαλοῦντο· καὶ τοῖς νενικηκόσιν, ἡττηθεῖσιν ἐκ δευτέρου, πλέον τῆς προτέρας νίκης οὐδὲν ἦν.

Ψευδόπτωμα. Caſus falſus, non verus. Ariſtophanes: *Si autem forte in pugna aliqua in humerum cecidiſſent, [cito reſurgentes, pulverem] abſtergebant.* Ne ſcilicet cecidiſſe viderentur. Hoc autem genus luctæ ψευδόπτωμα vocant. Senſus vero talis eſt. Quamvis majores noſtri interdum victi fuiſſent, cladem tamen reſarciebant; & victores, cum poſtea vincerentur, ex priore victoria nihil commodi percipiebāt.

Ψευδόπυρα. στρατήγημα, ὅπερ ποιοῦσι, διὰ νυκτὸς καίοντες πυρὰ πρὸς κατάπληξιν τῶν πολεμίων.

Ψευδόπυρα. Falſi ignes. Strategema quoddam eſt, quod fit, cum noctu ignes accenduntur ad terrorem hoſtibus incutiendum.

Ψευδοσέληνον. ἡ ἀμαυρὰ σελήνη.

Ψευδοσέληνον. Obſcura luna. [Proprie, falſa luna.]

Ψεῦδος, ἡ ἀνθρωπίνη εὐημερία. καὶ ὁ Δαβίδ· Ἐγὼ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψεύστης.

Ψεῦδος, ἡ ἀνθρ. Mendacium eſt felicitas humana. Et David: *Dixi in ecſtaſi mea: Omnis homo mendax.*

Ψευδώνυμοι. διεψευσμένοι τῷ ὀνόματι. ψευδολόγοι.

Ψευδώνυμοι. Falſum nomen habentes. Nomen mentientes. Falſiloqui.

Ψευσθέντα. ἀπατηθέντα. Ψευσθέντα δὲ αὐτὸν ὑπ᾽ ἀνδρὸς ἀπατεῶνος, μὴ μένειν ἀπόμαχον. ἐκείνῳ γὰρ βουλαί τε καὶ λόγοι παντοῖοι, ὅπως τοῦ πολέμου περιέσοιτο. καὶ ψευσθῆναι, γενικῇ.

Ψευσθέντα. Deceptum. *Illum vero ab impoſtore deceptum non abfuiſſe à pugna. Ille enim & conſiliis & variis verbis utebatur, ut hoſtem ſuperaret.*

Ψεῦσον. σύνηθες τὸ σχῆμα. Μένανδρος· Οἶσθ᾽, ὃ ποίησον. καὶ ὁ Σοφοκλῆς·

Μὴ ψεῦσον, ὦ Ζεῦ, τῆς ἐπιούσης ἐλπίδος.

Ψεῦσον. Decipe. Falle. Frauda. Menander: *Scis, quid facturus ſis.* Figura hæc [Atticis] familiaris eſt. Et Sophocles: *Ne falle, Jupiter, affulgentem nobis ſpem.*

Ψεφηνός. σκοτεινός. οὐκ ἐπιφανής. ψέφος γὰρ, τὸ σκότος. Ἦν δὲ καὶ ὁ ἀνὴρ ψεφηνός.

Ψεφηνός. Obſcurus. Non illuſtris. Ψέφος enim, caligo, tenebræ. *Erat autem & aer obſcurus.*

Ψεῖσαι. [4] σιτίσαι. ψωμίσαι.

Ψεῖσαι. Alere. Nutrire. Minutis cibi fruſtulis paſcere.

Ψήγματα. μικρὰ κομμάτια.

Ψήγματα. Ramenta. Parva ſegmenta.

Ψηκεδών. κονιορτός.

Ψηκεδών. Pulvis.

Ψήκτρα. ἐργαλεῖον, δι᾽ οὗ τοὺς ἵππους κνήθομεν. ἐν Ἐπιγράμμασι·

Καὶ [5] πριστὸν ψήκτρης [6] κνῆσμα [7] σιδηρόδετον.

Καὶ αὖθις·

Καὶ [8] ψήκτρην ἵππων ἐρυσίτριχα, τήν τ᾽ ἐπὶ νώτων
Μάστιγα, ῥοίζου μητέρα θαρσαλέην.

Καὶ, Ψήκτραν [9] ἄκμιν ἀπέπτυσεν. † Ὁ [10] ψηκτὴρ, καὶ δεινὸς λέγεται.

Ψήκτρα. Strigil. Sive, inſtrumentum, quo equos ſtringimus. In Epigrammate: *Et ſerratos dentes ſtrigilis ferro munitæ.* Et iterum: *Et ſtrigilem equos ſtringentem, & tergis incumbentem ſcuticam, ſtrepitus matrem audacem.* Et [iterum:] *Strigilem dentatam reſpuit.*

1 Ψευδοκλητεία. ὄνομα δ.] Ex Harpocratione. Exemplum autem actionis hujus habes apud Demoſthenem in oratione adverſus Nicoſtratum; quem conſule.

2 Ἀριστοφάνης] *Equit.* pag. 322. (222. Ed. Baſ. *P.*)

3 Ὁ αἰνὴρ] Lege, ὁ ἀήρ. Idem mendum eſt apud Etymologum.

4 Ψεῖσαι] Sic omnes Editt. At rectius ſcripſeris, ψίσαι, per ι. Vide infra v. Ψίω. MSS. Pariſ. ψῆσαι, der η: ſed male.

5 Καὶ πριστὸν ψήκτρ.] Eſt pars Epigrammatis, quod ex cod. MS. integrum cum Lectore communicavimus ſupra, v. Γομφιόδουπα.

6 Κνῆσμα] A κνῶ, rado, abſtergo, polio. Figurate autem κνῆσμα hic dicitur pro dentibus ſtrigilis, quibus equus raditur & politur. Cæterum in cod. MS. Anthologiæ ineditæ legitur, κνῆμα: quod idem eſt ac κνῆσμα. Utrumque enim dicitur.

7 Σιδηρόδετον] In Anthologia inedita rectius legitur, σιδηρόδετε. Refertur enim ad ψήκτρης.

8 Καὶ ψήκτρην ἵπ.] Diſtichum hoc legitur Anthol. lib. VI. cap. 2. ubi integrum Epigramma vide.

9 Ψήκτραν ἄκ.] Fragmentum hoc decerptum eſt ex Epigrammate Phaniæ, quod ex cod. MS. integrum publici juris fecimus ſupra, v. Ἄκμιν.

10 Ὁ ψηκτὴρ, καὶ δεινὸς λέγεται] Conjectore aliquo & Melampode opus eſt, qui loci hujus ſenſum divinet. Adeo ne ulla quidem ſani ſenſus veſtigia in hiſce apparent.

Ψηλα-

Ψηλαφίζει. ἀντὶ τοῦ ψηλαφᾷ. οὕτως Ἀναξίλας. καὶ ψηλαφῶ, αἰτιατικῇ.

Ψῆλαι. ἀντὶ τοῦ ψᾶλαι, κατὰ τροπήν.

Ψήληκες.[1] τῶν ἀλεκτρυόνων οἱ νοθογενεῖς.

Ψῆνας. τοὺς ἰχθύας.

Ψῆνες.[2] κωνώπια, τὰ ἐν τοῖς ὀλύνθοις γινόμενα· οἵτινες καὶ τῶν ὀλύνθων περικρεμαμένων ταῖς συκαῖς, πεπαίνουσι τὰ σῦκα. καὶ ὑπεψηνισμένη ἀπὸ τούτου, ἡ ἐγκύμων.

Ψωλίζω. καὶ παροιμία·

Οὐδεὶς κομήτης, ὅς τις οὐ ψωλίζεται.

Ὅς[3] τις οὐ. τὸ δὲ ἀκροτελεύτιον αὐτὸς σὺ πρὸς τὴν ἠχὼ τοῦ τριμέτρου συνάρμοσον. οὐ γὰρ ἔγωγε φθέγξομαι τὸ δεινὸν ἐκεῖνο πρᾶγμα καὶ ὄνομα.

Ψιλωός. ὁ φαλακρός.

Ψωλίξαι. ξύσαι. σοβῆσαι.

Ψῆρας. ψάρους. ὄρνεα. [4]Ὅμηρος·

——— Κολοιούς τε, ψῆράς τε.

Καὶ αὖθις·

Ὅ[5] πρὶν ἐγὼ καὶ ψῆρα καὶ ἁρπακτειραν ἐρύκων

Σπέρματος ὑψιπετῆ Βιστονίαν γέρανον.

Ψηρόν. ξηρόν.

Ψησία. εἶδος ἰχθύων.

Ψῆττα. τῶν πλατέων τις ἰχθύων. ἔνιοι βούγλωσσον. δοκεῖ δέ τισιν ἐκ δύο συγκεῖσθαι δερμάτων τὴν ἰδέαν. διῄρηται δὲ κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες. ἢ ὄρνεόν ἐστι τετμημένον κατὰ τὸ μέσον, ὡς οἱ σφῆκες.

Ἐγὼ[6] δέ, κἂν ὥσπερεὶ ψῆτταν δοκῶ

Δοῦναι ἂν ἐμαυτῆς παρατεμοῦσα θ' ἥμισυ.

Ἀντὶ τοῦ, κἂν συμβῇ τέμνεσθαί μου τὸ ἥμισυ, βούλομαι.

Ψηφῖδες. ψῆφοι.

Ψηφίσματα. γνῶμαι ἀρέσκουσαι. [7]Ξυνήρεσε δὲ τὰ τοιάδε, εἰ ὁ Ῥωμαίων βασιλεὺς τῷ δόγματι ἐπιψηφίσοιτο. ἀντὶ τοῦ, ἀρεσθῇ.

Ψηφολόγοι.[8] ψηφολόγοι εἰσίν, οἱ ψηφοπαῖκται. ψηφολογικοὶ γοῦν, οἱ πλανῶντες, καὶ ἀπατῶντες, Ὥσπερ οἱ ψηφολόγοι τοὺς ὀφθαλμοὺς τῷ τάχει τῆς μεταθέσεως τῶν ψήφων ἀπατῶντες συναρπάζουσι.

Ψηφολόγοι. οἱ φροντίδα ποιούμενοι τῆς διὰ τῶν ψήφων ἀπάτης.

Ψῆφος. κρίσις. ἀπόφασις. διαλαλιά. λόγος. καὶ ἀψήφιστον. Ἡ κατέχων τὸ ἀψήφιστον γνώμη, ἐπιτελεῖ πᾶσαν τὴν γραφήν. Καὶ αὖθις·

Οὐ[9] γὰρ ἔσται δύναμις, οὐδ' ἢν ἑπτάκις σὺ ψηφίσῃ. Οἱ γὰρ γέροντες ἀεὶ ἐψηφίζοντο, τί πρακτέον, καὶ τί μή.

Ψηλαφίζει. Palpat. Attrectat. Sic Anaxilas. Et ψηλαφῶ, cum accuſativo. Attrecto. Palpo.

Ψῆλαι. Ceciniſſe. Pro ψᾶλαι: verſo α in η.

Ψήληκες. Galli gallinacei nothi, ſeu ſpurii.

Ψῆνας. Pſenas. Piſces [quoſdam ita vocant.]

Ψῆνες. Culices, [ſive vermiculi,] qui in groſſis naſcuntur, &, cum groſſi ficubus appenduntur, ipſas ficus ad maturitatem perducunt. Hinc ὑπεψηνισμένη dicta eſt, gravida.

Ψωλίζω. [Eſt vox obſcœna, & dicitur de iis, qui cinædos ineunt.] Et proverbium: *Nullus eſt comatus, quin ſit cinædus.* † [Syneſius: *Nullus eſt comatus,*] *qui non. Tu porro ad trimetri ſonum extremam verſus partem accommoda. Neque enim ego abominandam iſtam rem nomenve unquam pronuntiavero.*

Ψιλωός. Calvus.

Ψωλίξαι. Radere. [Cinædum] inire, ſive ſubigere.

Ψῆρας. Idem quod ψάρους. Sturnos. Homerus: *Graculoſque, ſturnoſque.* Et iterum: *Ille ego, qui quondam & ſturnum, & rapacem arcui a ſemine altivolantem Biſtoniam gruem.*

Ψηρόν. Aridum. Siccum.

Ψησία. Pſeſia. Genus piſcium.

Ψῆττα. Pſetta. Sive, ſolea. Eſt piſcis quidam e latorum genere: quem nonnulli Bugloſſum vocant. Quibuſdam autem videtur ex duabus pellibus conſtare, [*ſi ſpectes* externam ejus] ſpeciem. Diviſus eſt in medio, ut veſpæ. Vel, avis eſt, cujus medium corpus diviſum eſt, ut veſparum. [Ariſtophanes:] *Ego autem, tanquam pſettam, mediam me dividi ſinam.* Vel, etiamſi in duas partes ſecer, volo, &c.

Ψηφῖδες. Calculi. Lapilli.

Ψηφίσματα. Decreta populi. Plebiſcita. *Hæc autem omnibus placuerunt, ſi Imperator Romanorum decretum iſtud ſuffragio ſuo comprobaret.*

Ψηφολόγοι. Præſtigiatores, qui calculis ludentes ſpectatorum oculos decipiunt. Iidem etiam ψηφοπαῖκται vocantur. *Tanquam præſtigiatores, calculos celeriter transferentes, oculos* [*ſpectatorum*] *agilitate ſua fallunt.*

Ψηφολόγοι. Præſtigiatores, qui per calculos ſpectatores fallere ſtudent.

Ψῆφος. [Calculus. Suffragium.] Judicium. Sententia. Oratio. Et ἀψήφιστον, quod nullo ſuffragio decretum, vel confirmatum eſt. *Qui in animo ſervat legem, nullo decreto confirmatam, omnem ſcripturam perficit.* Et iterum: *Non enim vires ſuppetent, etiamſi ſepties hoc decreveris.* † *Seniores enim ſemper decernebant, quid agendum eſſet, & non.*

1 Ψήληκες] Heſychius, ψίληκες, per ι in ſyllaba penultima.
2 Ψῆνες] Confer Noſtrum ſupra v. Ἀνερίνεος, & v. Ὑπεψηνισμένη.
3 Ὅς τις οὐ] Supple, Οὐδεὶς κομήτης, ὅστις οὐ, &c. Sic enim legitur apud Syneſium in *Encom. Calvit*, pag. 85. unde fragmentum hoc depromptum eſt. Vide etiam ſupra, v. Κομῆται.
4 Ὅμηρος] Il. Π. v. 583.
5 Ὁ πρὶν ἐγὼ καὶ ψ.] Anthol. lib. III. cap. XVI. Epigr. I. ut & Portus monuit.
6 Ἐγὼ δὲ, κἂν ὥσπ.] Metri gratia ſcribendum eſt, Ἐγὼ δέ γ' ἄν, κἂν ὥσπερεὶ, &c. Sic enim legitur apud Ariſtoph. *Lyſiſtr.* pag. 843. (543. Ed. Baſ. P.) unde fragmentum hoc depromptum eſt.
7 Ξυνήρεσε δὲ τ.] Exemplum hoc pertinet ad v. Ἐπιψηφίζεται.
8 Ψηφολόγοι] De hac voce vide omnino Caſaubonum *Animadverſ.* in Athen. lib. I. cap. XV.
9 Οὐ γὰρ ἔσται δύν.] Eſt verſus Trochaicus, qui legitur apud Ariſtophanem *Lyſiſtrata.* pag. 881.

Ψῆφος. [1] ψῆφον καλοῦμεν λίθον, τὸν ἐν τῷ δακτυλίῳ. καὶ τὸν χρημάτων ἀριθμόν.

Ψῆφος μέλαινα. ἡ καταδικάζουσα. λευκὴ δέ, ἡ δικαιοῦσα. Πισίδης·

Ψήφου μελαίνης ἐξεφώνησε κρίσιν.

Ψηφοφορία. ἡ πολλῶν ψῆφος, καὶ ἀποδοχή. [2] Οὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν τοῦ σκέλους λαβὼν ὑμᾶς τις ἐκτραχηλίσῃ θέλων.

Ψήχειν. καταμάσσειν. τρίβειν. ξύειν. Οἱ δὲ Μαυρούσιοι παραυτίκα τοὺς ἵππους ἔψηχον. οἱ δὲ λόγχας, οἱ δὲ ξίφη ἠκόνων. καὶ ἐν [3] Ἐπιγράμμασι·

Ψήχει καὶ πέτρην ὁ πολὺς χρόνος, οὐδὲ σιδήρου
Φείδεται, ἀλλὰ μιῇ πάντ᾽ ὀλέκει δρεπάνῃ.

Ψηχράν. τὴν λεπτήν.

Ψιά. χαρά.

Ψιάδες. ῥανίδες, σταγόνες, ψακάδες.

Ψιαθίον. [4] καὶ ἐπίρρημα, [5] ψιαθηδόν.

Ψίαθος. θηλυκόν. λέγεται δὲ παρ᾽ Ἀριστοφάνει καὶ ἀρσενικῶς, τοὺς ψιάθους.

Ψίδωνες. [6] διάβολοι. ψίθυροι.

Ψίεντα. μακάριον.

Ψιζομένη. κλαίουσα.

Ψῖναι. ψέξαι.

Ψιθυρίζει. αἰκάλλει. ἠρέμα εἰς τὸ οὖς διαλέγεται. διαβάλλει. καὶ [7] Ἀφροδίτης Ψιθύρου ἱερόν. [8] πνέοντος ἀνέμου μαλακοῦ, καὶ ἠρέμα διὰ τῶν φύλλων εἰσιόντος, ὥσπερ προσλαλεῖ τὰ δένδρα, ὅπερ ψιθυρίζειν λέγεται. καὶ Θεόκριτος·

Ἁδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς, αἰπόλε, τήνα,

καὶ λόγος ψίθυρος, ὁ διάβολος. [9] Σοφοκλῆς· Τοιούσδε λόγους ψιθύρους πλάσσων.

Ψιθυριστοῦ Ἑρμοῦ, καὶ Ἔρωτος, καὶ Ἀφροδίτης· ἅπερ πρῶτος ἐποίησεν, ὥς φησι Ζώπυρος, Θησεύς, ἐπειδὴ Φαίδρα, ὥς φασιν, ἐψιθύριζε Θησεῖ κατὰ Ἱππολύτου, διαβάλλουσα αὐτόν. οἱ δὲ ἀνθρωπινώτερόν φασι Ψιθυριστήν, παρὰ τὸ ἀνθρώπους ἐκεῖ συνερχομένους τὰ ἀπόρρητα συντίθεσθαι, καὶ ψιθυρίζειν ἀλλήλοις, περὶ ὧν βούλονται. Ψιθυρισμὸς δέ, [10] ἡ τῶν παρόντων κακολογία. [11] παρὰ τῷ Ἀποστόλῳ.

Ψιθυριστὴς [12] Ἑρμῆς. ἦν τις Ἀθήνησιν Ἑρμῆς οὕτω καλούμενος. ἐτιμᾶτο δὲ Ἀθήνησι καὶ Ψίθυρος Ἀφροδίτη, καὶ [13] Ἑρμῆς Ψίθυρος.

Ψῆφος. [Sic etiam] vocamus lapillum, vel gemmam, quæ eſt in annulo. Item, ſummam pecuniæ.

Ψῆφος μέλαινα. Calculus niger. [Id eſt, calculus] condemnans. Albus enim abſolvebat. Piſides: *Calculi nigri pronuntiavit ſententiā.*

Ψηφοφορία. [Suffragiorum latio.] Multorum ſuffragium, aliquid decernentium, vel ratum facientium. [Et ψήφισμα, decretum, plebiſcitum. Ariſtophanes:] *Non prius plebiſcita facere deſinetis, quam quis vos crure prehenſos in caput præcipites det.*

Ψήχειν. Abſtergere. Defricare. Terere. Radere. Stringere. *Mauruſii autem confeſtim equos ſtringebant. Alii vero lances; alii gladios acuebant.* Et in Epigrammate: *Atterit & petram longum tempus; nec ferro parcit: ſed una omnia perdit falce.*

Ψηχράν. Tenuem.

Ψιά. Gaudium. Lætitia.

Ψιάδες. Guttæ. Stillæ. Rores.

Ψιαθίον. Parva ſtorea. Et adverbium, ψιαθηδόν, ſtorearum inſtar.

Ψίαθος. Storeæ. Tegetis. Eſt fœmininum. Dicitur autem apud Ariſtophanem & maſculino genere, τοὺς ψιάθους.

Ψίδωνες. Calumniatores. Suſurrones.

Ψίεντα. Beatum.

Ψιζομένη. Flens. Plorans.

Ψῖναι. Vituperare.

Ψιθυρίζει. [Suſurrat.] Submiſſa voce in aurem dicit. Calumniatur. Et Veneris Suſurratricis templum. Vento leni ſpirante, & per folia tranſeunte, arbores ſuſurrum quendam edunt, quod ψιθυρίζειν Græci vocant. Theocritus: *Suavis ille ſuſurrus, & pinus, caprarie, illa.* Et λόγος ψίθυρος, oratio ejus, qui ſuſurrat, vel cum ſuſurro loquitur. Calumnia. Sophocles: *Ejuſmodi rumores lingua ſuſurra [& clam maledica] fingens.*

Ψιθυριστοῦ Ἑρμ. Suſurronis Mercurii, & Amoris, & Veneris [templa:] quæ, ut ait Zopyrus, primus Theſeus fecit, poſtquam Phædra, ut ajunt, lingua ſuſurra Hippolytum apud Theſeum falſo criminata eſt. Alii autem probabilius dicunt, [Amorem appellari] Suſurronem, quod homines illic convenientes de rebus arcanis conſilia ineant, & cum ſuſurro inter ſe colloquantur, de quibus quiſque velit. Ψιθυρισμὸς vero apud Apoſtolū dicitur calumnia [clandeſtina] adverſus præſentes.

Ψιθυριστὴς Ἑρμῆς. Suſurrator Mercurius. Mercurius quidam erat Athenis ita dictus. Ibidem etiam colebatur Venus Suſurratrix, & Amor Suſurrator.

1 Ψῆφον καλοῦμεν λίθ.] Hæc ſunt verba Artemidori lib. II. cap. V. ut Pearſonius obſervaverat.

2 Οὐχὶ μὴ παύσησθε τῶν ψηφ.] Ariſtoph. *Lyſiſtr.* pag. 882.

Κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων, πρὶν ἂν
Τοῦ σκέλους λαβὼν ἡμᾶς τις ἐκτραχηλίσῃ φέρων.

Sed utriuſque verſus metrum claudicat, quod ex codice MS. *Lyſiſtratæ*, quem penes me habeo, ſic reſtituendum eſt:

Κοὐχὶ μὴ παύσησθε τῶν ψηφισμάτων τούτων, πρὶν ἂν
Τοῦ σκέλους ὑμᾶς λαβών τις ἐκτραχηλίσῃ φέρων.

3 Ἐν Ἐπιγράμμασι] Anthol. lib. III. cap. XIV. Epigr. I.

4 Ψιαθίον] Alii rectius, ψιάθιον, cum acuto in antepenultima.

5 Ψιαθηδόν] Vide ſupra v. Φορμηδόν.

6 Ψίδωνες] Confer Heſych. v. Ψίδωνες, & v. Ψυθῶνες.

7 Ἀφροδίτης Ψιθύρου ἱερόν] Vide paulo poſt, v. Ψιθυριστοῦ, & v. Ψιθυριστής.

8 Πνέοντος ἀνέμου μαλ.] Hæc leguntur etiam apud Scholiaſtam Ariſtoph. ad *Nubes*, pag. 181. (110. Ed. Baſ. *P.*)

9 Σοφοκλῆς] In *Ajace*, pag. 10. ut Portus monuit.

10 Ἡ τῶν παρόντων] Malim, ἡ τῶν ἀπόντων, i. e. abſentium. Abſentes enim calumnia petere ſolet.

11 Παρὰ τῷ Ἀποστόλῳ] II *Corinth.* XII. 20.

12 Ψιθυριστὴς Ἑρμ.] Ex Harpocratione: ad quem vide Mauſſacum.

13 Ἑρμῆς] Lege, Ἔρως: ut recte apud Harpocrationem. Ἑρμοῦ enim mentio jam ante præceſſit. Vide Meurſ. *Lect. Att.* l. IV. c. XII.

Ψιλεύς.[1] ὁ ἐπ' ἄκρου χοροῦ ἱστάμενος. ὅθεν καὶ φιλόψιλος, παρὰ Ἀλκμᾶνι, ἡ φιλοῦσα ἐπ' ἄκρου χοροῦ ἵστασθαι.

Ψιλοδάπιδας. τὰς ψιλὰς, καὶ μὴ μαλλωτὰς δάπιδας λέγουσι.

Ψιλοκόρσης.[2] φαλακρός.

Ψιλόν. γυμνόν. καὶ ἀντὶ τοῦ ἔρημον. [3] Τὰ δὲ θηρία ὕστερον ἑάλω, ψιλὰ τῶν Ἰνδῶν.

Ψιλός.[4] τάξις ἐστὶν ἀγεννεστάτη, ἥ τις προβάλλεται ἔμπροσθεν τοῦ στρατοπέδου, τῶν γυμνῶν καὶ ἀόπλων· καὶ ἐὰν ταραχὴ γένηται, ἐκείνη πρώτη ἀναιρεῖται.

Οἴμοι[5] κακοδαίμων ψιλὸς αὖ στρατεύσομαι.

τοῦτο δὲ εἴρηκε, διότι ἐψίλωτο. Εὐνάπιος δὲ λέγει ψιλὸν, καὶ οἷον κοῦφον. Αὐξίλια δὲ οἱ Ῥωμαῖοι τὰ τοιαῦτα τέλη προσαγορεύουσι, τὸ τῆς βοηθείας ὀξὺ, καὶ περὶ τὰς χρείας εὐκίνητον ἐπὶ προσαγορεύοντες. καὶ ἡ τραγῳδία·

——— [6] Αὖ πάλιν

Εἴσειμι πρὸς σὲ ψιλὸς, οὐκ ἔχων τροφήν.

Λέγεται καὶ ψιλὴ, ἡ ἀσθενής.

Denuo ad te ingredior nudus, & cibo carens.

Ψιλοί.[7] οἱ μὴ καθωπλισμένοι μὲν, ἐν καιρῷ δὲ τῆς μάχης τῷ παρατυχόντι, ἢ λίθῳ, ἢ ξύλῳ, ἢ ἄλλῳ τινὶ ὀργάνῳ χρώμενοι. ἢ τοξόται. παρὰ τὸ σκευῇ ψιλῇ χρῆσθαι.

Ψίλωθρον. φάρμακον πρὸς ψίλωσιν τῶν τριχῶν σκευαζόμενον.

Ψίμαρον. εὔδιον.

Ψιμμίθιον.[8] χρῶμα ἑταιρικόν.

Ψινάδες. παρὰ Θεοφράστῳ, αἱ [9] ῥοιάδες ἄμπελοι. ἔνιοι [10] τὰς δρυπέπεις ἐλαίας.

Ψινάζει. ἀποῤῥεῖ τὰ ἄνθη τοῦ καρποῦ. φυλλοῤῥοεῖ.

Ψινύθιον. φαῦλον.

Ψίξ, ψιχὸς κλίνεται.

Ψίω. τὸ ἐμβρωματίζω. καὶ ψίσαι, ψωμίσαι, καὶ ψιθεῖν, ψωμιθεῖν, τραφεῖν διὰ ψιχῶν.

Ψιττάκια. ὑποδήματος γυναικεῖου εἶδος.

Ψιττακός. ὄνομα ὀρνέου. τῶν πτηνῶν ὅσα παραπλησίαν ἔχει τὴν γλῶτταν, καὶ τὴν τῶν γενύων διάθεσιν, τῇ τῶν ἀνθρώπων δύναται μιμεῖσθαι διάλεκτον· οἷον ψιττακοί, κίτται, καὶ τὰ ὅμοια.

Ψιλεύς. Qui in extremo Choro conſiſtit. Unde & Φιλόψιλος, apud Alcmanem, quæ in extremo Choro conſiſtere amat.

Ψιλοδάπιδας. Sic vocant tapetes villis carentes.

Ψιλοκόρσης. Calvus. Qui tempora, vel caput pilis nudatum habet.

Ψιλόν. Nudum. Item, orbatum; carens, privatum. *Belluæ autem poſtea captæ ſunt,* [*rectoribus*] *Indis carentes.*

Ψιλός. Nudus. [Nudus armis. Leviter armatus. Veles.] Maxime ignobilis & viliſſimus ordo militum eſt eorum, qui armis nudi ſunt, [vel ſaltem leviter armati, & a Græcis ψιλοί; a Latinis autem *velites* dicuntur.] Hi enim ante primam aciem hoſti objiciuntur; &, ubi tumultus, [vel pugna] oritur, primi cæduntur. *O me miſerum! Nudus igitur iterum militabo.* Hoc autem ideo dixit, quia depilatus erat [& vulſus.] Eunapius vero ψιλὸν vocat, leviter armatum. Romani autem ejuſmodi milites *auxilia* appellant; ob celeritatem, qua ſuis ſuccurrere poſſunt, & expeditum in bellis uſum. Et Tragœdia: ψιλὴ etiam dicitur debilis, infirma.

Ψιλοί. [Proprie, Nudi. Sic autem vocantur milites,] qui non ſunt armati, ſed tempore pugnæ obvio quovis telo, vel lapide, vel fuſte, vel alio inſtrumento utuntur. Vel, ſagittarii. [Dicti autem ſunt ψιλοί,] quod levi armatura utantur.

Ψίλωθρον. Pſilothrum. Id eſt, medicamentum, quod ad pilos evellendos conficitur.

Ψίμαρον. Tranquillum. Serenum.

Ψιμμύθιον. Ceruſſa. Sive, fucus meretricius.

Ψινάδες. Apud Theophraſtum [ſic vocantur] vites, quibus fructus defluunt. Quidam [ſic appellant] olivas, quæ in arbore maturuerunt.

Ψινάζει. Dicitur de fructibus tenellis, qui ab arboribus, vitibus, &c. defluunt, antequam ad maturitatem perducti ſint. Dicitur item de arboribus, quibus folia defluunt.

Ψινύθιον. Vile. Vitioſum. Malum.

Ψίξ, ψιχός. [Sic enim] declinatur. Mica.

Ψίω. Cibum præmanſum in os in fero. Panis, aut alius cibi fruſtulis in os inſertis alo. Et ψίσαι, exiguis cibi fruſtis in os inſertis alere. Et ψιθεῖν, cibi fruſtulis in os inſertis alantur. Micis paſcantur.

Ψιττάκια. Pſittacia. Muliebris calceamenti genus.

Ψιττακός. Pſittacus. Nomen avis. Volucres, quæ linguam habent, & maxillarum formam, [humanæ] ſimilem, ſermonem hominum imitari poſſunt: ut pſittaci, picæ, & ſimiles.

1 Ψιλεύς] Heſychius: Ψιλεῖς. οἱ ὕστατοι χορεύοντες.
2 Ψιλοκόρσης] Scribendum eſt, ψιλοκόῤῥης, per duplex ρ, ut apud Heſychium: vel, ψιλοκόρσης.
3 Τὰ δὲ θηρία ὕσ.] Hæc ſunt verba Polybii, lib. XI. cap. 1.
4 Τάξις ἐστὶν ἀγεννεστάτη, ἥτις προβάλ.] Locus hic turbatus mihi videtur, quem ſic reſcribo, τάξις ἐστὶν ἀγεννεστάτη τῶν γυμνῶν καὶ ἀόπλων, ἥτις προβάλλεται. &c.
5 Οἴμοι κακοδ.] Eſt verſus Ariſtophanis *Theſmophor.* pag. 779. (517. Ed. Baſ. P.)
6 Αὖ πάλιν εἴσειμι πρ.] Hæc ſunt verba Sophoclis in *Philoctete,* pag. 417. ut Portus monuit.
7 Ψιλοί. οἱ μὴ καθωπλ.] Nota hæc excerpta eſt ex Scholiaſte Thucydidis ad lib. 1. cap. LX.
8 Ψιμμίθιον] Scribe, ψιμμύθιον, per υ in ſyllaba antepenultima. Vide Lexica.
9 Ῥοιάδες] Heſychius, & Photius in Lex. MS. rectius ῥυάδες. Et ſic ipſe Suidas ſupra, v. Ῥυάδες.
10 Τὰς δρυπέπεις] Sic præter MStos, habent etiam Editt. Mediol. & Ald. At Editt. Baſil. & Genev. δρυπέπεις. Vide Noſtrum ſupra, v. Δρυπέπης.

Ψίτλαι. ἰχθύων γένος.

Ψιτάλεια. νησύδριόν τι περὶ τὰς Ἀθήνας.

Ψίχες. ἀρσενικῶς, οἱ ψίχες, καὶ τοὺς ψίχας. Ὁ δὲ Θεολόγος θηλυκῶς λέγει· Ψὶξ παραδεχομένουσα τὸ φαυλότατον. καὶ ψιχίον.

Ψόα. μέρος τοῦ σώματος. ἐν ταύταις ἔγκεινται οἱ νεφροὶ, δι' ὧν αἱ ὀρέξεις κινεῖσθαι πεφύκασι. καὶ ὁ Δαβίδ· Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων.

Ψόγος. ἡ κακολογία.

Ψόθος. ἀκαθαρσία. οὕτως Φρύνιχος.

Ψολόεν φλογῶδες πῦρ.

Ψολόεντα κεραυνόν. τὸν ὀξέως φθείροντα. ἡ εὐθεῖα, ὁ ψολόεις.

Ψολοκομπεία. ἀλαζονεία. [1] Ἀριστοφάνης Ἱππεῦσιν·

Ἥσθην ἀπειλαῖς, ἐγέλασα ψολοκομπείαις.

Μεγαλοδοξίαις, καὶ [2] μεγαλοπρεπείαις. ἀπὸ τῶν προειρημένων ὀνομάτων, τοῦ βροντᾶν, καὶ ταράττειν τὴν γῆν, καὶ κρημνοὺς ἐρείδειν, καὶ κεραυνοῖς χρῆσθαι. τῶν γὰρ κεραυνῶν οἱ μὲν καταιβάται· οἱ δὲ ψολόεντες, οἱ κατὰ τὸ ψαῦσαι ὀλλύντες· οἱ δὲ ἀργῆτες καλοῦνται.

Ψεῦδα. [3] ψευδῆ. Κρῆτες.

Ψοφοδεής. δειλός. τοὺς ψόφους φοβούμενος.

Ψόφος. [4] ὁ ψόφος, ὁ μὲν δυνάμει· ὁ δὲ, ἐνέργεια. καὶ τὰ μὲν δύναται ψοφεῖν· τὰ δὲ, οὔ. τὰ μὲν οὖν δυνάμενα ψοφεῖν, ἐστὶ τὰ στερεὰ καὶ λεῖα, ἐν οἷς ἐστιν ὁ δυνάμει ψόφος· ὅταν ἐνεργῇ, καθὸ ἐστι ψοφητικά. ἡ γὰρ ἐπιτηδειότης τοῦ δύνασθαι ψοφεῖν, οὗτός ἐστιν ὁ δυνάμει ψόφος. ὅταν δὲ δυνάμενα ποιῇ, οὗτός ἐστιν ὁ ἐνεργείᾳ. ἔστι δὲ ψόφος, πληγὴ ἀέρος ποιῶσδε γινομένη. [5] δεῖ γὰρ εἰς τὸ γενέσθαι ψόφον δύο σκληρῶν σωμάτων συμπλήσεως, καὶ λείων σωμάτων ἀθρόαν σύνεμπλωσιν πρὸς ἄλληλα γενέσθαι. ἐν γὰρ τούτοις ὁ ἐναπολαμβανόμενος ἀὴρ ἀθρόως ἐκθλιβόμενος, ποιεῖ τὸν ψόφον. οὔτε γὰρ τὰ μαλακὰ τῶν σωμάτων ψόφον ποιεῖ· οἷον σπόγγος, καὶ ἔρια· οὔτε τὰ σκληρὰ μὲν, ἠρέμα δὲ καὶ κατὰ μικρὸν προσκρουόμενα. φθάνει γὰρ κατὰ μέρος οἷον θρυφθῆναι ὁ ἀήρ. διὸ δεῖ σφοδρᾶς τῶν σκληρῶν σωμάτων συνεμπλώσεως, ἵνα πολὺς ὁ ἀὴρ ἐναποληφθῇ μεταξύ· ὃς ἐναπολαμβανόμενος, καὶ ἀθρόως ἐξωθούμενος, ποιεῖ τὸν ψόφον. φθάνουσα γὰρ ἡ πληγὴ τὴν ἔξοδον αὐτοῦ ἀποκλείει, καὶ ἀθρόον [6] ἐκπυρρίζει. τὰ δὲ μαλακὰ οὐ ψοφεῖ, διότι οὐχ οἷά τε ἐστιν ἐξωθῆσαι τὸν ἀέρα, τὸν ἐναποκλειόμενον. διὰ γὰρ τῶν πόρων (μανὰ γάρ ἐστι τὰ μαλακά) κατακερματισθεὶς ἔξεισι. δεῖ δὲ καὶ λειότητος τοῖς πλήττουσι μάλιστα, πρὸς τὸ πλείονα γίνεσθαι τὸν ψό-

Ψίτλαι. Pſittæ. Piſcium genus.

Ψιτάλεια. Pſittalia. Parva quædam inſula circa Athenas.

Ψίχες. Micæ. Genere maſculino dicitur, οἱ ψίχες, & τοὺς ψίχας. Theologus autem fœminino genere dixit, ἡ ψίξ. Et ψιχίον, parva mica.

Ψόα. Pars corporis, in qua ſiti ſunt renes, qui appetitiones ciere ſolent. Lumbus. Et David: *Lumbi mei repleti ſunt ludibriis.*

Ψόγος. Vituperatio. Reprehenſio.

Ψόθος. Impuritas. Sordes. Ita Phrynichus.

Ψολόεν πῦρ. Ardens ignis.

Ψολόεντα κεραυνόν. [Ardens fulmen.] Celeriter perdens fulmen. Rectus caſus eſt, ψολόεις.

Ψολοκομπεία. [Proprie,] jactantia [fumi plena.] *Gaviſus ſum minis, fumoſaſque tuas jactantias riſi.* Vel, gloriationes, & magniloquentias. Hæc autem dicit, alludens ad præcedentia illa, tonare, & turbare terram, & fragmenta montium ejaculari, & fulminibus uti. Fulminum enim alia dicuntur καταιβάται: alia, ψολόεντες, quæ ſolo tactu perdunt: alia, ἀργῆτες. [Vide Lexica.]

Ψεῦδα. Pro ψευδῆ. Mendacia. Falſa. Cretenſes.

Ψοφοδεής. Qui quemvis ſtrepitum expaveſcit. Timidus.

Ψόφος. Strepitus, vel ſonus. Sonus alius eſt, facultate: alius vero, actu. Et alia quidem ſonum edere poſſunt: alia vero non. Quæ autem ſonum edere poſſunt, ſunt ſolida & lævia, in quibus eſt ſonus facultate, cum agunt pro ea, quam habent, ſoni edendi facultate. Nam aptitudo ad ſonum edendum, eſt ſonus facultate. Cum vero ea, quæ poſſunt, ſonum edunt, eſt [ſonus] actu. Sonus autem eſt aeris percuſſio, quæ certo quodam modo fit. Ut enim ſonus edatur, neceſſe eſt, ut duo corpora dura & lævia vehementi ictu inter ſe collidantur. Tunc enim aer inter ea concluſus, & ſubito ictu eliſus, ſonum edit. Neque enim corpora mollia ſonum edunt; ut ſpongia, & lana: neque dura quidem, ſed leniter & paulatim colliſa. Aer enim per partes [eliditur &] frangitur. Quamobrem opus eſt vehementi durorum corporum colliſione, ut plurimus aer inter ea concludatur: qui concluſus, & ſubito eliſus, ſonum efficit. Ictus enim exitum ejus antevertit, eumque ſic intercluſum ſubito expellit. Mollia vero non edunt ſonum, quod incluſum aerem expellere non poſſint. Per meatus enim (mollia namque ſunt rara) minutatim exit. Porro iis, qui corpora collidunt, lævore præcipue opus eſt, ut major ſonus edatur. Aer enim copioſior inter cor-

1 Ἀριστοφάνης Ἱππεῦσι] Pag. 329. (228. Ed. Baſ. *P.*) ſed ubi legitur, ψολοκομπίαις: uti & hic metri gratia ſcribendum eſt.

2 Μεγαλοπρεπείαις] Scholiaſtes Ariſtoph. recte, μεγαληγορίαις.

3 Ψεῦδα] Sic recte MS. A. itemque Photius in Lexico inedito. At priores Editt. ψόδα: quam lectionem literarum ſeries reſpuit.

4 Ὁ ψόφος, ὁ μὲν δυν.——— ἐν τοῖς κοιλώμασι πλείοσιν ὄντι, καὶ ἀθρόως οὐκ ἔξεισι] Hæc omnia ſumpta ſunt ex Joanne Philopono in lib. II. Ariſtot. *de Anima*, L. III. a. ut Pearſonius obſervaverat.

5 Δεῖ γὰρ εἰς τὸ γεν.——— πρὸς ἄλληλα γενέσθαι] Rectius Philoponus: Δεῖ γὰρ πρὸς τὸ γενέσθαι ψόφον δύο σκληρῶν καὶ λείων σωμάτων ἀθρόαν σύνεμπλωσιν πρὸς ἄλληλα γενέσθαι.

6 Ἐκπυρρίζει] Scribe, ἐκπυρίζει, per unum ρ: ut habet Philoponus.

φον διότι πλέον ἐναπολαμβανόμενος ὁ ἀὴρ ἐκθλίβεται ἀθρόως. ἐν δὲ τοῖς μὴ λείοις κατακερματίζεται ἐν τοῖς κοιλώμασι, πλείοσιν οὖσι, καὶ ἀθρόως οὐκ ἔξεισι. λέγει περὶ ἠχῆς καὶ ἕτερα, ἃ παραλελοίπαμεν. ψοφητικὸν δέ ἐστι, τὸ δυνάμενον ἕνα καὶ συνεχῆ τὸν ἀέρα τηρῆσαι μέχρι τῆς ἀκοῆς. συμφυὴς δέ ἐστι, καὶ ἐγκατῳκοδομημένος τοῖς κοιλώμασι τῶν ὤτων πρὸς αὐτῇ τῇ μήνιγγι.

pora lævia concluſus, ſubito eliditur. In corporibus vero non lævibus aer per plures cavitates diviſus, non ſubito, [ſed paulatim] exit. De ſono autem [Philoſophus] & alia dicit, quæ hic prætermiſimus. Soni autem edendi facultate præditum, eſt id, quod eundem & continuum aerem conſervare poteſt, uſque ad auditum. Aer autem ab ipſo hominis ortu inſitus & cavitatibus aurium incluſus eſt, juxta membranam.

Ψόφου[1] πλέως. ἀντὶ τοῦ, ταραχώδης. περὶ Αἰσχύλου φησί· Τὰ γὰρ ῥήματα Αἰσχύλου φαντασίαν μὲν ἔχει, βασανιζόμενα δὲ, οὐδεμίαν ἔχει πραγματείαν. διὰ ταῦτα οὖν λέγει, ἀξύστατον· οἷον ἀδιάθετον, [2] ἀπιθάνως συντεθέντα. κομπώδη. Κρημνοποιὸν δὲ, μεγάλας λέξεις ποιοῦντα. καὶ, [3] Ψοφεῖ λάλον τι καὶ πυρορραγές. Πυρορραγῆ κεράμια καλεῖται, ὅσα ἐν τῷ πυρὶ ῥήγνυται ἐν τῷ ὀπτᾶσθαι.

Ψόφου πλέως. Strepitu plenus. Vel, tumultuoſus, [& ſonorus.] De Æſchylo [Ariſtophanes] dicit, verba quidem ejus prima ſpecie magnifica videri, ſed, ſi diligentius examinentur, nihil ſolidi continere. Hinc eum vocat ἀξύστατον, i.e. ſibi non conſtantem, vel, incompoſitum, & fabulas incredibiles confingentem. Κρημνοποιὸν vero, i.e. vocabula [aſpera &] grandia componentem. Et, *Strepit garrulum quid, & obtuſum, quale ſolent vaſa fictilia igne rupta.* Πυρορραγῆ κεράμια enim, dicuntur vaſa fictilia, quæ, dum coquuntur, in igne rumpuntur.

Ψῶα. ἡ δυσωδία. [4] Ἄτλητον ἐπὶ ψῶαν πνέουσιν.

Ψῶα. Malus odor. Fœtor. Teter odor. *Intolerabilem fœtorem ſpirabant.*

Ψῶζα. νόσος τις. [5] Εὔπολις Μαρικᾷ·

Ὃς θυμήνας τοῖς στρατιώταις λοιμὸν καὶ ψῶζαν ἔπεμψεν.

οἱ δὲ φασὶ καὶ τὸ τῆς νόσου εἶδος, ὅτι κνησμὸς μετὰ δυσωδίας ἐστί.

Ψῶζα. Pſoza Morbus quidam. Eupolis *Marica: Qui iratus peſtilentiam & pſozam militibus immiſit.* Quidam vero & ipſum morbi genus declarant, [dicentes,] eſſe ſcabiem fœtidam.

Ψώθια. τὸ ὑποκάτω τοῦ ἄρτου.

Ψώθια. Inferior panis pars, vel cruſta.

Ψωλὸν[6] γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου. ἡ παροιμία παρὰ Ἀριστοφάνει ἐν Ἱππεῦσιν. ἐλέχθη δὲ ἐπὶ τῶν μέχρι πολλοῦ [7] διεσκυλμένων. παρὰ δὲ Διφίλῳ ἐν τοῖς Ἐναγίσμασι παραπεποίηται, ἄχρι τοῦ λάρυγγος.

Ψωλὸν γενέσθαι δ. *Recutitum te fieri oportet, uſque ad caput.* Proverbium eſt apud Ariſtophanem *Equitibus.* Dictum vero eſt de illis, quorum penis magna ex parte nudatus eſt cute. Apud Diphilum vero in *Enagiſmaſi*, loco hoc in alium ſenſum detorto, [pro μέχρι τοῦ μυρρίνου,] legitur, ἄχρι τοῦ λάρυγγος.

Ψωλός. ὁ λειπόδερμος, ὀξυτόνως. καὶ ἀκρόψωλος, ὁ ἐπὶ βραχὺ τοιοῦτος. ἢ ὁ ἀσχήμων, κατὰ παρέκτασιν τοῦ μορίου. [8] Ἀριστοφάνης· Κόκκυξ· ψωλοὶ πεδίονδε. Ἀντὶ τοῦ, κόκκυγος [9] κράζοντος, τὰ πεδία θερίζομεν. οἱ δὲ Αἰγύπτιοι ψωλοὶ λέγονται εἶναι. τουτέστι, περιτετμημένοι. φησὶν οὖν, ὅταν ὁ κόκκυξ κοκκύσῃ, οἱ ψωλοὶ ἤρχοντο εἰς τὸ πεδίον. τουτέστιν, οἱ μεγάλα αἰδοῖα ἔχοντες. Ἀριστοφάνης Ὄρνισι·

Τοῦτ' ἄρ' ἐκεῖν' ἦν τοὔπος ἀληθῶς· Κόκκυ, ψωλοὶ πεδίονδε.

Καὶ αὖθις·

Ψωλὸν[10] γενέσθαι δεῖ σε μέχρι τοῦ μυρρίνου.

Ἀντὶ τοῦ, μέχρι τῆς κεφαλῆς. ἐπειδὴ οἱ ἄρχοντες μυρρίνῃ ἐστεφανοῦντο. ἢ [11] ἀπεκαλύφθαι τὸ αἰδοῖον. Μολγὸν γενέσθαι δεῖ σε. τουτέστι, κλέπτην τῶν δημοσίων. ἐξαμέλγοντα τὰ κοινά.

Ψωλός. Recutitus. Cui glans penis pelle nudata eſt. Et ἀκρόψωλος, qui in extrema tantum penis parte recutitus eſt. Vel, qui turpiter retracta cute penem erigit. Ariſtophanes: *Cuculus. Recutiti in agrum.* Id eſt, cuculo cantante, ſegetes demetimus. Ægyptii autem dicuntur eſſe recutiti, vel circumciſi. Ait igitur, cum cuculus cantat, recutiti exeunt in agros. [Vel, ψωλοὶ,] qui magnos habent penes. Ariſtophanes *Avibus: Hoc vere erat proverbium illud: Cuculus. Recutiti in agros.* Et iterum: *Recutitum te fieri oportet uſque ad caput.* Μύρρινον enim hic ſignificat caput: quod Magiſtratus caput myrto coronarent. Et, Μολγὸν γεν. depeculatorem te fieri oportet, & furem ærarii. [Proprie autem μολγὸς ſignificat] eum, qui emulget Rempublicā.

1 Ψόφου πλέως. ἀντὶ τοῦ, ταρ.] Nota hæc pertinet ad locum illum Ariſtophanis in *Nubib.* pag. 199.

Ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνοποιόν.

2 Ἀπιθάνως συντεθέντα] Supple ex Scholiaſta Ariſtophanis, ἀπιθάνως συντεθέντα τοὺς μύθους.

3 Ψοφεῖ λάλον τι καὶ π.] Ariſtoph. *Acharnenſ.* pag. 415.

——— Ἐπεὶ τι καὶ ψοφεῖ

Λάλον τι καὶ πυρορραγές.

Vide ibi veterem Interpretem.

4 Ἄτλητον ἐπὶ ψ.] Vide Etymologum v. Ψῶα, apud quem fragmentum hoc auctius legitur.

5 Εὔπολις Μαρικᾷ] Sic recte MS. A. itemque Photius in *Lex. MS.* At in prioribus Editt. locus hic male ita diſtinguitur & legitur: Εὔπολις· Μαρικᾷ δὲ θυμήνας, &c. Fabula autem Eupolidis, Μαρικᾶ dicta, ſæpius a veteribus laudatur.

6 Ψωλὸν γενέσθαι δεῖ σ.] Eſt verſus Ariſtophanis *Equit.* pag. 345. (242. Ed. Baſ. *P.*) Male autem Suidas locum hunc inter proverbia refert: ut cuilibet patebit, qui ipſum Comicum inſpicere voluerit.

7 Διεσκυλμένων] Eſt vox prorſus inſolens: cujus loco ſcribere malim, ἀπεσκολυμμένων, ab ἀποσκολύπτω. Vide Heſychium v. Ἀποσκόλυπτε, & Noſtrum ſupra, v. Ἀποσκολυμμένος.

8 Ἀριστοφάνης] *Avibus*, pag. 565. (388. Ed. Baſ. *P.*)

9 Κράζοντος] Scholiaſtes Ariſtophanis habet, κρώζοντος.

10 Ψωλὸν γεν.] Verſus hic, a Suida & paulo ante citatus, legitur apud Ariſtoph. *Equit.* pag. 345. (242. Ed. Baſ. *P.*)

11 Ἀπεκαλύφθαι] Lego, ἀπεσκολύφθαι. Vide Lexica, v. Ἀποσκολύπτω.

Ψωμί-

Ψωμίζεται.[1] ἀπατᾶται. χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. [2] Ἀριστοφάνης·

Ἐπίσαμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.

οἷς ἀπατᾶται. οἷς χαίρει. καὶ, Ψωμεῖς ἡμᾶς ἄρτον δακρύων.

Ψωμοκόλακες.[3] οἱ παράσιτοι, ὡς Φιλιππίδης.

Ψωμόλεθρος. ὁ πολυφάγος.

Ψωμός. ὁ ἄρτος.

Ψώρα. κνησμονή. Ψωρὶς, ὄνομα πόλεως.

Ψῶσαν. θάλπουσαν. Ἡρόδοτος.

Ψωφιλία. χώρα. καὶ Ψωφίλιοι, ἔθνος.

Ψωφίς. πόλις.

Ψώχοντες. θρύπτοντες. λεπτύνοντες.

Ψῶχος. γῆ ψαμμώδης.

Ψοιά. ψύα δέ. καὶ πληθυντικῶς, τὰ ψύη, αἱ λαγόνες.

Ψοίθης. ὁ ἀλαζών.

Ψοῖθος. σποδός.

Ψυγείσῃ.[4] Ἀριστοφάνης, ἀντὶ τοῦ, ἀποθανούσῃ.

Ψύδραξ. τὸ ἐπὶ τοῦ σώματος ἐξάνθημα.

Ψύδος.[5] ψευδές. ψύθος.

———Καὶ σὺ ψύθος οὔνομ' ἔχουσα.

Ἀντὶ τοῦ ψευδὲς, παρὰ Καλλιμάχῳ.

Ψυκτήρ. σκεῦος, ἔνθα διανίζουσι τὰ ποτήρια.

Ψυκτῆρα. κάδδον. ἢ ποτήριον μέγα. ἀπὸ τοῦ θᾶττον ψύχεσθαι ἐν αὐτῷ τὸν [6] κρασίν.

Ψύλλα, καὶ ψύλλαι. θηλυκῶς. παρὰ δὲ Ἡροδότῳ, Ψύλλοι, ἔθνος Λιβύης. καὶ τὸ ἐν τῇ Μεσσηνίᾳ Μενάνδρου κύριον ὄνομα. ὅτι δὲ τὸ ζῶον τὸ μικρὸν ἀρρενικῶς Ἐπίχαρμος εἶπε, καὶ ἕτεροι. [7] Ἀριστοφάνης·

Ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης,

Ψύλλαν ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας.

Ἱστόρηται δὲ, ὡς ἡ ψύλλα ἓξ πόδας ἔχει.

Ψύλλειον. βοτάνης εἶδος. καὶ ψυλλίζω, αἰτιατικῇ. Ψυλλεῖς, ἐθνικόν.

Ψύξας. φυσήσας. ἢ ἀμβλύνας.

Ψύρα[8] τὸν Διόνυσον ἄγοντες. ἡ παροιμία παρὰ Κρατίνῳ. τὰ δὲ Ψύρα, εὐτελὴς νῆσός ἐστι καὶ μικρὰ, πλησίον Χίου, μὴ δυναμένη οἶνον ἐνεγκεῖν. λέγομεν οὖν τὴν παροιμίαν ἐπὶ τῶν ἐν συμποσίῳ ἀνακειμένων,

Ψωμίζεται. [Paſcitur.] Decipitur. Ineſcatur. [Proprie] autem ψωμίζεσθαι de parvis pueris dicitur, qui ab aliis cibo præmanſo nutriuntur. Ariſtophanes: *Novi, quibus rebus* [*populus*] *ineſcetur.* Vel, quibus rebus decipiatur, & delectetur. Et, *Paſces nos pane lacrymarum.*

Ψωμοκόλακες. Paraſiti. Sive, qui cibi gratia adulantur: ut Philippides.

Ψωμόλεθρος. [Ciborum pernities.] Helluo. Vorax.

Ψωμός. [Buccella.] Panis.

Ψώρα. Scabies. At Ψωρὶς, Pſoris. Nomen urbis.

Ψῶσαν. Foventem. Mulcentem. Demulcentem. Herodotus.

Ψωφιλία. Pſophilia. Regio. Et Pſophilii, gens, [quæ Pſophiliam incolit.]

Ψωφίς. Pſophis. Urbs.

Ψώχοντες. Comminuentes. Attenuantes.

Ψῶχος. Arenoſa terra.

Ψοιά. Lumbus. [Per diphthongum οι in prima ſyllaba.] At ψύα, [per υ in ſyllaba prima. Idem.] Et pluraliter, τὰ ψύη, ilia, lumbi.

Ψοίθης. Arrogans. Superbus.

Ψοῖθος. Cinis.

Ψυγείσῃ. [Proprie, refrigeratæ, vel frigefactæ. At] Ariſtophanes [poſuit] pro ἀποθανούσῃ, i. e. mortuæ.

Ψύδραξ. Puſtula in corpore.

Ψύδος. Idem quod ψευδὲς, vel ψύθος. Falſum. Mendacium. *Et tu mentitum nomen habens.* Apud Callimachum.

Ψυκτήρ. Vas, in quo pocula lavantur.

Ψυκτῆρα. Cadum. Vel, poculum magnum. [Sic dictum,] quod in eo vinum cito refrigeretur.

Ψύλλα. Pulex. Et ψύλλαι, pulices. Eſt generis fœminini. Apud Herodotum vero, Pſylli, eſt gens Africæ. Et [Pſyllus,] in Menandri *Meſſenia,* eſt proprium [viri] nomen. Et pulicē genere maſculino [ψύλλον] Epicharmus dixit, & alii. [Plerumque vero ψύλλα dicitur, genere fœminino.] Ariſtophanes: ***Interrogavit modo Chærephontem Socrates, pulex quot ſuorum pedum ſaltaret.***

Ψύλλειον. Pſyllium. Genus herbæ. Et Ψυλλεῖς, Pſyllenſes. Nomen gentis.

Ψύξας. Qui inflavit. Vel, qui obtudit.

Ψύρα τὸν Διόνυσ. In Pſyris feſtum Bacchi celebrantes. Proverbium eſt apud Cratinum. Pſyra autem eſt inſula vilis & parva prope Chium, quæ vinum ferre nequit. Proverbi-

1 Ψωμίζεται. ἀπατᾶται. χαίρ.] Ex Scholiaſta Ariſtoph. ad *Equit.* pag. 330. (229. Ed. Baſ. P.)

2 Ἀριστοφάνης] *Equit.* pag. 330.

3 Ψωμοκόλακες] Vide Caſaubonum ad Athen. lib. VI. cap. XVIII.

4 Ψυγείσῃ. Ἀριστοφ.] Ariſtoph. in *Nubibus,* pag. 132. (64. Ed. Baſ. P.)

Κᾆτα ψυγείσῃ περιέφυσεν Περσικαί.

Scholiaſtes ad eum locum: Ψυγείσῃ, ἀντὶ τοῦ θανούσῃ. Sed interpretatio illa a dicto loco Ariſtophanis aliena eſt. Nam ψυγείσῃ ibi proprie ſignificat, refrigeratæ: ut ex ſenſu loci illius patet.

5 Ψύδος] Sic habent omnes Edit. At ſcribendum eſſe ψύθος, per θ, non ſolum ex exemplo ſubjuncto, ſed etiam ex ſerie literarum patet. Confer Etymologum v. Ψίθυρ: ubi ſubjunctum fragmentum Callimachi auctius legitur.

6 Κρασίν] Hæc vox apud Græcos hodiernos *vinum* ſignificat: qua ſignificatione vocabulum iſtud Suidas hic accipere videtur.

7 Ἀριστοφάνης] *Nubibus,* pag 131. (67. Ed. Baſ. *P.*)

8 Ψύρα τὸν Διόν.] Alcman apud Euſtathium ad Odyſſ. Γ. Παρὰ Ψύρα τὸν Διόνυσον ἄγοντες. Vide Parœmiographos.

καὶ μὴ πινόντων. λέλεκται καὶ ἐπὶ τῶν εὐτελείᾳ συμμιγνύντων.

Ψυταλίων.

Ψυχαγωγεῖ. αἰτιατικῇ. παραμυθεῖται. τέρπει. ἢ ψυχὰς ἀνάγει. [1]Ἀριστοφάνης Ὄρνισι· Πρὸς δὲ τοῖς Σκιάποσι λίμνη ἐστὶν, οὗ ψυχαγωγεῖ Σωκράτης. Περὶ ψυχαγωγίας. [2]Γοητείας τινὰς ποιοῦσιν ἐς τοὺς νεκρούς. ἐπὰν γὰρ ἐς τὰ χωρία ἀφίκωνται, ὅθεν ἄγειν ἐστὶ τὰς ψυχὰς, ἃς ποθοῦσιν οἱ δεόμενοι, ἀφικνοῦνται, ἔνθα τεθνᾶσιν οἱ ψυχαγωγούμενοι· καὶ οὐχ εὑρίσκουσι παραχρῆμα τὸν χῶρον, ἀλλὰ ἀνιχνεύουσι τὸν τρόπον τοῦτον. πρόβατον μέλαν παραλαβόντες, εἶτα τοῦ κέρατος τοῦ ἑτέρου λαβόμενοι, ἢ τῶν ποδῶν τῶν προσθίων, καὶ ἐπὶ τοῖς ποσὶ τοῖς ἄλλοις στήσαντες, περιάγουσι. τὸ δὲ ἕπεται τῇ ἕλξει, καὶ μάλα εὐπειθῶς. ὅταν δὲ ἀφίκηται, ἔνθα ἐκεῖνος, ἢ ἐκείνη κατωρύχθη, ἐνταῦθα τὸ πρόβατον ἑαυτὸ ἔρριψεν· καὶ τούτου γενομένου, εἶτα τὸ πρόβατον ἐκποδὼν ποιήσαντες, καὶ κατακρύψαντες, σὺν καί τισι ποικίλαις ἱερουργίαις καὶ ἐπῳδαῖς περιηγοῦνται καὶ περιέρχονται αὐτὰ, καὶ ἀκούουσι λεγόντων, καὶ τὰς αἰτίας, δι' ἃς μηνίουσι, πυνθάνονται. [3]Ἐψυχαγώγησε δὲ καὶ Ἀντωνῖνος ὁ Ῥωμαίων βασιλεὺς περὶ Κομμόδου τοῦ πατρὸς αὐτοῦ. Φησὶ Πολύβιος· Οὗτοι μὲν περὶ ταῦτα διέτριβον, ψυχαγωγοῦντες τὰς δυνάμεις. ἀντὶ τοῦ, παραμυθούμενοι.

Ψυχάζειν. ἀναψύχειν. Οἱ δὲ ἀποβάντες τῶν ἵππων, ἐνεχείρουν ψυχάζειν, τοῖς τε ἵπποις ἀνακωχῆς μεταδιδόναι τινός.

Ψυχάζουσι. πρὸς τὸ ψῦχος καὶ τὸ πνεῦμα διατρίβουσιν, ἵνα ἀναψυχήν τινα λάβωσιν. ἔστι δὲ ὅμοιον τῷ χειμάζειν. Οὐδέ τις αὐτοῖς τὴν ἀσπίδα ἢ τὸν θώρακα ἔφερε, ψυχάσαι τοῖς δεομένοις.

Ψύχεται. ἀντὶ τοῦ ψυχραίνεται. μαραίνεται. [4]ἐν Ἐπιγράμματι·

Καὶ φλὸξ ἐν τελεταῖς, ὅτε θύματα πάντα λαφύξει,
Φορβῆς[5] ἡ μανίη ψύχεται αὐτομάτως.

Ψύχειν, καὶ ἀποψύχειν τὰ ὑγραινόμενα.

Ψυχεινὸς τόπος. ὁ ψυχρός.

Ψυχή. πνεῦμα νοερόν. Μέρη[6] τῆς ψυχῆς, ἢ εἴδη τρία· λογιζόμενον, θυμούμενον, ἐπιθυμοῦν. ἀναγκαίως οὖν καὶ τριττὴ πολιτεία ἐγένετο, ἔχουσα ἑκάστη τὰς

um igitur dicitur in convivantes, qui non bibunt. Dicitur etiam de rebus vilibus.

Ψυταλίων. Pſytalion. [Videtur viri nomen.]

Ψυχαγωγεῖ. Accuſativo jungitur. Conſolatur. Delectat. Voluptate afficit. Vel, animas ab Inferis evocat. Ariſtophanes *Avibus: Apud Sciapodes palus eſt, ubi Manes elicit Socrates.* De animarum evocatione. Incantationibus quibuſdam utuntur circa mortuos. Poſtquam enim ad loca illa pervenerunt, unde animas evocare licet illis, qui eas deſiderant; eo veniunt, ubi mortui ſunt illi, quorum Manes eliciuntur. Non autem locum ſtatim inveniunt, ſed eum ſic inveſtigant. Nigrum arietem adhibent, ejuſque cornu alterum prehendunt, vel pedes anteriores; & pedibus poſterioribus erectum circumducunt. Ille autem trahentem lubens ſequitur. Cum autem perventum eſt eo, ubi ille vel illa ſita eſt: ibi aries ſe ipſum ultro proſternit. Quo facto, arietem inde abductum occultant, adhibitiſque curioſis quibuſdam ſacrificiis & incantationibus, [loca illa] circumeunt, [Maneſque] loquentes audiunt; & cauſas, quare irati ſint, ſciſcitantur. Antoninus quoque Romanorum Imperator Commodi patris ſui manes elicuit. Et Polybius inquit: *Illi quidem in his tempus terebant, militum animos demulcentes.*

Ψυχάζειν. Reſpirare. Frigus captare. *Illi vero, cum ex equis deſcendiſſent, [æſtu defatigati] reſpirare cœperunt, & equis relaxationem aliquam laboris dare.*

Ψυχάζουσι. Frigus & ventum captant, ut vires recreent. Τὸ ψυχάζειν autem ſimile eſt verbo χειμάζειν, i.e. hybernare. *Nemo autem ipſis clypeum aut loricam ferebat, ut a laſſitudine reſpirarent.*

Ψύχεται. Refrigeratur. Frigeſit. Extinguitur. In Epigrammate: *Et flamma in ſacris Cereris, cum victimas omnes abſumpſit, pabulo deficiente ſponte exſtinguitur.*

Ψύχειν, & ἀποψύχειν τὰ ὑγραινόμενα. Humida ad ventum expoſita ſiccare.

Ψυχεινὸς τόπος. Frigidus locus.

Ψυχή. [Anima. Vel, animus. Id eſt,] ſpiritus intelligens. Partes, ſive ſpecies animæ ſunt tres: Ratiocinans, Iraſcens, & Appetens. Neceſſario igitur & triplex vitæ genus

1 Ἀριστοφάνης Ὄρνισι] Pag. 612. (426. Ed. Baſ. P.) ubi locus hic ita diſtinguitur:

Πρὸς δὲ τοῖσι Σκιάποσι λί-
μνη τις ἔστ' ἄλουτος, οὗ
ψυχαγωγεῖ Σωκράτης.

2 Γοητείας τινὰς ποιοῦσιν ἐς τ.] Miror, unde hæc Suidas.

3 Ἐψυχαγώγησε δὲ καὶ Ἀντ.] Imo, inverſo potius ordine ſcribendum, ἐψυχαγώγησε δὲ καὶ Κόμμοδος, ὁ Ῥωμαίων βασιλεὺς, περὶ Ἀντωνίνου τοῦ πατρὸς αὐτοῦ. Commodum enim filium fuiſſe M. Antonini Philoſophi, ex hiſtoria ſatis notum eſt.

